Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
+200 2036
Αριθ. εισ. 247/1959
ΔΩΡΕΑ Δημ. Παπαδοπούλου
GRVER-00747





Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

21

ΤΟΥ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡ ἐν Βεροίᾳ ἐλαφρία αρὸν διάδοσιν ἰῶν χριστιανικῶν γνώσεων ὑπὸ τῆς Ἱερᾶς Μητροπόλεως τῆς Ἐπαρχίας Βεροίας διὰ τὸν Α. Δ. Παναγιώτου

ΤΟΥ ΕΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ἙΡΜΗΝΕΙΑ

ΕΙΣ ΠΑΣΑΣ

ΤΑΣ ΤΟΥ ἉΓΙΟΥ ΠΑΥΛΟΥ ΕΠΙΣΤΟΛΑΣ.

ΤΟΜΟΣ Α.

ΠΕΡΙΕΧΩΝ ΤΑΣ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ἙΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ἙΟΜΙΛΙΑΣ.

1849

Ἐτυπώθη σὺν θεῷ τὸ παρὸν βιβλίον ἐν Ὀξονίῳ δι' ἐπιμελείας Θωμᾶ τοῦ Κομβίου τυποθέτου τῆς Ἀκαδημίας, καὶ ἐτελειώθη μηνὶ Ἰουλίῳ κ ἔτους ζτνζ (A. D. 1849.)

Δημοτική Κοινοτική Βιβλιοθήκη Βέροιας
Αρ. Εισ 2036

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΥ ΕΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ἙΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ἩΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΕΚΔΟΣΙΣ ΚΑΙΝΗ

ΕΚ ΠΑΛΑΙΩΝ ΑΝΤΙΓΡΑΦΩΝ ΔΙΟΡΘΩΘΕΙΣΑ.

Ἐτυπώθη σὺν θεῷ τὸ παρὸν βιβλίον ἐν Ὀξονίῳ δι' ἐπιμελείας Θωμᾶ τοῦ Κομβίου τυποθέτου τῆς Ἀκαδημίας, καὶ ἐτελειώθη μηνὶ Ἰουλίῳ κ ἔτους ,ζτνζ (A. D. 1849.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

MONITUM.

" SERMONES CHRYSOSTOMI in Epistolas Pauli," ut Savilii verba nostrum in usum accommodemus, " ante annos fere nonaginta ediderunt Veronenses [anno MDXXIX], atque iterum nuper admodum Heidelbergenses. Illi, quod potuerunt, praestiterunt, praeter interpunctionum vitia: quod non potuerunt ex unico, eoque ἡμιβρώτῳ Codice, quod viros bonos decuit, ingenue confessi sunt. Heidelbergenses, cum scriptos Codices tam Augustanae, quam Palatinae Bibliothecae magnificis titulis prae se ferrent, et quidem haberent ad manum, castigatis ex MSS. levi manu Homiliis tredecim prioribus ad Romanos, quo fucum lectori facerent, usque ad illa verba, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσι, quae reperiuntur Hom. XIV [XV] p. 113. l. 7. Editionis nostrae, in cetero opere usque ad finem Epistolarum, nullo, ut videtur, adito libro, nullo inspecto, Veronensium errores novis de suo erroribus auctos et accumulatos, pro nova scilicet et emendata Editione nobis obtruserunt." Hujus igitur Editionis, tanquam plane fallacis et fraudulentae, nos nullam rationem habuimus; Veronensem autem, unde ceterae omnes fluxerint, cum constet ex

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

unico libro Veneto totam pendere, operae pretium erit, plenam et accuratam hujus Codicis descriptionem, a THEODORO HEYSIO nostro rogatu concinnatam, hic subjungere.

"Codex Bessarioneus 103 [Heysii b.] bombacinus, foliis majoribus quadringentis quatuordecim; quo corpore uno universa Jo. Chrysostomi in Paulum Expositio continetur. Scriptura saeculi circiter XI. *μονόστοιχος*, literulis exiguis accurate distincta, in compendiis plurima, quibus fere utebantur docti homines, cum sibi, non emptori, exempla elaborabant, praeter fidem operis elegantiae parum curiosi. Et sanequam purus est textus: festinatione perraro, inscitia nunquam erratum; ubi corrupta lectio, archegraphi mendo est, non vitio descriptoris; nulla praeterea secunda manus: si quid correctum, est a librario; *διασσογραφίαι* sicubi notantur (quae tamen sunt valde paucae), ex ipso archegrapho translatas apparet.—Est autem hic idem ille Codex, quem elegerat Gibertus Episcopus Veronensis, unde primus Chrysostomi super Paulum Commentarios in publicum ederet (a. 1529, ex officina fratrum de Sabio). Quod quo serius animadverti, eo certius mihi exploratum, quippe post laborem non brevem in colligendis a Saviliana scriptura diversitatibus frustra vel minimo cum fructu consumptum. Nimirum et Savilii hinc paene omnis pendet recensio, qui, quae erat religiosissimi Critici summa cautio, ea sibi lege videtur alia antigrapha adhibenda censuisse, ut unius prototypi auctoritati plures etiam quam deteriores lectiones posthaberet. Quin quod Sermonum clausulam, sive *τὴν δοξολογίαν*, ita mutilam dedit, ut desinere soleat in verbis *χάριτι καὶ φιλανθρωπίᾳ*, hunc unum librum habet auctorem, cum ceteri quotquot sunt omnes pleniorem ubique formulam exhibeant, quos jure secutus est Montefalconius.——Jam ubi satis mihi persuasi, Editores Veronenses in Codice typis exprimendo fideliter omnino neque indiligenter egisse, deserendus mihi ille, qui quantum poterat, profuit, et vero perveniendum a corpore ad membra. Id enim nunc

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

agitur, ut ex aliis exemplis, praesertim siqua sunt vetustiora, quae singulas tantum partes Chrysostomei operis, alias atque alias continent, corruptelarum remedia, lacunis supplementa conquiramus; denique, siquidem fieri potuerit, ut qui hoc totum corpus confecit, moralium indicem praefixit, clausulas sermonum amputavit, idem in ipsa subinde oratione, suo arbitratu, mutare aliqua vel compendiaria quadam ratione contrahere sibi permiserit, id maxime contendendum, ut ultra unius notarii curas sive qualemcunque recensionem, ad Scriptoris pristinam manum, quantum per Codices licet, propius accedere studeamus."

Haec de integro corpore Commentariorum, in quibus Chrysostomus Epistolas Paulinas omnibus luminibus ingenii, doctrinae, facundiae illustraverit, dicta sint. Nunc ad has ipsas in Epistolam ad Romanos Homilias, quas post Commentaria in Epistolam ad Corinthios utramque edendas suscepimus, transeamus.

Savilius in exemplari horum Sermonum Veronensi castigando, Regium quendam Codicem adhibuit, qui cum nostro A. quantum ex variantibus lectionibus ab isto Editore vel in contextum receptis, vel in margine reconditis, colligere licet, magna ex parte consentire videtur. Partim hujus libri ope, partim ingenii, quo pollebat, acumine, plurima archetypi ejus menda sustulit, lacunas, si quae erant, sarsit, interpunctionem correxit, denique Editoris partes, pro subsidiis quae ei erant ad manum, summa fide ac diligentia egit. Porro castigationes quasdam lectionesque Codicis Augustani post absolutam Editionem ab Hoeschelio missas in fine Tomi octavi ordinavit.

Omissa Morelli recensione, cujus criticus usus est nullus, restat Editio, quae per tot annos ceteras omnes

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

splendore suo obscuravit, Benedictina, ab ipso Montefalconio, insigni istius fraternitatis ornamento, elaborata. De quo Patris nostri Editore quid sentiamus, cum decem abhinc annis nec tecte nec timide dixerimus, memoriam viri laudatissimi novis vituperationibus onerare, ingratum sane et odiosum foret. Penes Lectorem judicium sit. Codices vero, quibuscum hasce Homilias contulisse se profitetur Montefalconius, sunt Reg. 1954, (hodie 732, nobis B.) et Colbert. 993 (nunc Reg. 734, nobis E.)

Tandem ad nostram Editionem accedendum est, cujus in usum diligenter collati sunt libri quos nunc recensebimus.

A. Codex Regius 731. Membranaceus, saeculi XII. Hunc librum haud mediocri cum fructu in subsidium vocavit Editor Benedictinae alterius, quae prodiit Parisiis, anno MDCCCXXXIV—MDCCCXL.

B. Regius 732. Membranaceus, saeculi XI. a Montefalconio adhibitus.

C. Vaticanus 550. Membranaceus, saeculi X. Exhibet hic liber duas recensiones plane diversas. Scilicet in priore operis parte, usque ad finem Homiliae octavae, cum nostris A.F.H.I. plerumque conspirat; in ceteris autem sermonibus arctam cum Cod. G. affinitatem prae se fert. Hujus libri collatio integra ab Heysio nostro confecta penes nos est; quam tamen non nisi ad lacunas alterius Codicis supplendas adhibuimus.

D. Regius 1016 A. Membranaceus, saeculi XI.

E. Regius 734. Membranaceus, saeculi XI. a Montefalconio in subsidium vocatus.

F. Venetus, Bessarioneus 98. Forma quadrata, membranis 262, paginis bipartitis versuum tricenorum singulorum, scriptus saec. XI.

G. Venetus, Append. 564. Olim Jacobi Contareni, saeculi item XI. membranaceus, forma quadrata, foliis 287, (quorum tamen viginti duo chartacea saeculo XV.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

suppleta fuerunt) paginis bipartitis versuum vicenorum quinorum. Incipiunt antiqui libri reliquiae pag. Sav. 6, 15: exeunt pag. 148, 32. Intus sunt lacunae, quas in Var. Lect. notavimus. "Textum praebet, ineptas interpolatorum manus non leviter quidem, neque tamen ita passum, quin vetustissimi ejus, quod illi corrupturi satagebant, exempli lectiones multae superstites ex ipsa labe eniteant, vulgatis nonnunquam anteferendae." *Heyse.*

H. Monacensis (olim Augustanus) 457. Membranaceus, saeculi XI. in fol. minore, constans foliis 329, initio mutilus. Nostrum in usum contulit J. G. Krabinger. Hic est, ni fallimur, Augustanus ille, quem Savilii in gratiam contulit Hoeschelius.

I. Vindobonensis, Lambec. CXLI. Chartaceus, antiquus et bonae notae, in quarto. Continet 1^mo. a fol. 1. usque ad fol. 111. Chrysostomi Homilias in Epistolam ad Hebraeos initio mutilas; 2^do. a fol. 111. usque ad fol. 239. Ejusdem Homilias in Epistolam ad Romanos, in fine laceras.

Codices horum Sermonum Mosquenses, a nobis in textu Apostolico recensendo appellatos, descripsit C. F. Matthaei in Edit. Nov. Test. Tom. VI. p. 262 sqq. Hi sunt,

3. Membranaceus Bibliothecae SS. Synodi num. XCVII. in folio. Scriptus est anno post Christum natum DCCCCXVII. Continet in foliis 352. XXXIII Homilias S. Chrysostomi in Epistolam D. Pauli ad Romanos. Contextus sacer scriptus est literis quadratis. Singula folia distincta sunt binis columnis.

8. Membranaceus Bibliothecae SS. Synodi num. C. in folio. Saeculi X. aut XI. Continet in foliis 425. XXXIII Orationes (λόγους) Chrysostomi in Epistolam ad Romanos. Singulae paginae divisae sunt in binas columnas.

Catenam in D. Pauli Epistolam ad Romanos e Cod. Bodleiano edidit J. A. Cramer ὁ μακαρίτης, quae tamen

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

vix decem Chrysostomi loca, eaque levissimi momenti, includit. Majore cum fructu evolvimus ejusdem operis Supplementum e Cod. Monacensi 23. descriptum, quod incipit a Cap. VII. v. 7. quodque magnam partem ex Chrysostomi commentariis decerptum est.

Homilias S. Chrysostomi in Epistolam ad Romanos Latinas fecerunt, integras Wolfgangus Musculus, septendecim priores Germanus Brixius, Altissiodorensis. Hic autem ad manum habuit, praeter Editionem Veronensem, librum scriptum ab Erasmo acceptum, quem nunc Germanicum, nunc Budaei Codicem appellat. Hic liber ad eandem cum nostro G. recensionem pertinere videtur.

Valeas, Lector, et incepto nostro faveas.

F. F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΛΟΓΟΣ Α.

ΣΥΝΕΧΩΣ ἀκούων ἀναγινωσκομένων τῶν ἐπιστολῶν τοῦ μακαρίου Παύλου, καὶ καθ' ἑκάστην ἑβδομάδα δὶς, πολλάκις [a]δὲ καὶ τρὶς καὶ τετράκις, ἡνίκα ἂν μαρτύρων ἁγίων μνήμας ἐπιτελῶμεν, χαίρω μὲν τῆς σάλπιγγος ἀπολαύων τῆς πνευματικῆς, καὶ διανίσταμαι, καὶ θερμαίνομαι τῷ πόθῳ, τὴν ἐμοὶ φίλην ἐπιγινώσκων φωνὴν, καὶ μονονουχὶ παρόντα αὐτὸν δοκῶ φαντάζεσθαι, καὶ διαλεγόμενον ὁρᾶν· ἀλγῶ δὲ καὶ ὀδυνῶμαι, B ὅτι τὸν ἄνδρα τοῦτον οὐχ ἅπαντες ἴσασιν, ὥσπερ εἰδέναι χρὴ, ἀλλ' οὕτω τινὲς αὐτὸν ἀγνοοῦσιν, ὡς μηδὲ [b]τῶν ἐπιστολῶν τὸν ἀριθμὸν εἰδέναι σαφῶς. Τοῦτο δὲ γίνεται οὐ παρὰ ἀμαθίαν, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι συνεχῶς ὁμιλεῖν τῷ μακαρίῳ τούτῳ. Οὐδὲ γὰρ ἡμεῖς ὅσαπερ ἴσμεν, εἴπερ τινὰ ἴσμεν, δι' εὐφυΐαν καὶ ὀξύτητα διανοίας ἐπιστάμεθα, ἀλλὰ διὰ τὸ συνεχῶς ἔχεσθαι τοῦ ἀνδρὸς, καὶ σφόδρα διακεῖσθαι [c]περὶ αὐτόν. Τὰ γὰρ τῶν φιλουμένων πρὸ τῶν ἄλλων ἁπάντων οἱ φιλοῦντες ἴσασιν, ἅτε δὴ μεριμνῶντες αὐτούς. Ὅπερ καὶ ὁ μακάριος [d]οὗτος C ἐνδεικνύμενος, ἔλεγε Φιλιππησίοις· [1]" Καθὼς [e]ἐμοὶ δίκαιόν ἐστι τοῦτο φρονεῖν περὶ ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς,

[1] Philipp. i. 7.

CODICES B.D.E.F.I. [a] Sic B.E.F.I. δὲ aberat ante Montef. [b] τῶν] +αὐτοῦ D. [c] περὶ] πρὸς F.I. γρ. περὶ πρὸς (sic) D. [d] οὗτος] Παῦλος F. [e] ἐμοὶ om. D.E.F. ἐμὲ pro ἐμοὶ est in Sav. marg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔν [f]τε τοις δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου." Ὥστε καὶ ὑμεῖς [g]ἂν ἐθέλητε μετὰ προθυμίας προσέχειν τῇ ἀναγνώσει, οὐδενὸς ἑτέρου [h]δεήσεσθε. Ἀψευδὴς γὰρ ὁ τοῦ Χριστοῦ λόγος [i]ὁ εἰπών· [2]"Ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται [k]ὑμῖν." Ἀλλ' ἐπειδὴ τὸ πλέον ἡμῖν
426 τῶν ἐνταῦθα συλλεγομένων καὶ παιδοτροφίαν καὶ γυναικὸς ἐπιμέλειαν καὶ οἰκίας πρόνοιαν ἀνεδέξαντο, καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιντο ὅλους ἑαυτοὺς δοῦναι τῷ πόνῳ τούτῳ· πρὸς γοῦν τὸ λαβεῖν τὰ [l]παρ' ἑτέρων συλλεγέντα διανάστητε, καὶ τοσαύτην ἀπονείματε σπουδὴν τῇ τῶν λεγομένων ἀκροάσει, ὅσην τῇ τῶν χρημάτων συλλογῇ. Εἰ γὰρ καὶ αἰσχρὸν τοσαύτην ἀπαιτῆσαι παρ' ὑμῶν μόνην, [m]πλὴν ἀλλ' ἀγαπητὸν, ἂν τοσαύτην γοῦν [n]διδῶτε. Καὶ γὰρ ἐντεῦθεν τὰ μυρία ἐφύη κακὰ, ἀπὸ τῆς τῶν γραφῶν ἀγνοίας· ἐντεῦθεν ἡ πολλὴ τῶν αἱρέσεων ἐβλάστησε λύμη, ἐντεῦθεν οἱ ἠμελημένοι βίοι, ἐντεῦθεν οἱ ἀκερ- (2)
δεῖς πόνοι. Ὥσπερ γὰρ οἱ τοῦ φωτὸς ἀπεστερημένοι τούτου οὐκ
B ἂν ὀρθὰ [o]βαδίσαιεν· οὕτως οἱ πρὸς τὴν ἀκτῖνα τῶν θείων μὴ βλέποντες γραφῶν, πολλὰ ἀναγκάζονται καὶ συνεχῶς ἁμαρτάνειν, [p]ἅτε ἐν σκότῳ χαλεπωτάτῳ βαδίζοντες. Ὅπερ ἵνα μὴ γένηται, [q]διανοίξωμεν τοὺς ὀφθαλμοὺς πρὸς τὴν λαμπηδόνα τῶν ἀποστολικῶν ῥημάτων. Καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἔλαμψεν ἡ τούτου γλῶττα, καὶ τῶν ἄλλων ἁπάντων ἐπλεονέκτησε [r]τῷ τῆς διδασκαλίας λόγῳ. Ἐπειδὴ γὰρ [s]περισσότερον αὐτῶν ἐκοπίασε, πολλὴν καὶ [t]τοῦ πνεύματος ἐπεσπάσατο τὴν χάριν. Καὶ τοῦτο
C οὐκ ἀπὸ τῶν ἐπιστολῶν [v]ἰσχυρίζομαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν Πράξεων. Εἰ γάρ που δημηγορίας ἦν καιρὸς, αὐτῷ πανταχοῦ παρεχώρουν· διὸ καὶ Ἑρμῆς εἶναι ἐνομίζετο παρὰ τοῖς ἀπίστοις, διὰ τὸ τοῦ λόγου κατάρχειν.

Μέλλοντας δὲ εἰς τὴν ἐπιστολὴν κατιέναι ταύτην, ἀναγκαῖον καὶ τὸν χρόνον εἰπεῖν, καθ' ὃν ἐγράφη. Οὐδὲ γὰρ, ὡς [w]οἱ πολλοὶ νομίζουσι, πρὸ πασῶν τῶν ἄλλων ἐστὶν, ἀλλὰ τῶν μὲν ἀπὸ Ῥώμης γραφεισῶν προτέρα πασῶν, τῶν δὲ ἄλλων ὑστέρα, εἰ καὶ μὴ πασῶν· καὶ γὰρ αἱ πρὸς Κορινθίους ἀμφότεραι πρὸ

[2] Matth. vii. 7.

[f] τε om. F.I. [g] ἂν ἐθέλητε] Sic omnes. εἰ θέλετε Edd. [h] Sic D.E.F.I. Edebatur δεηθήσεσθε. [i] Sic omnes. Articulus aberat. [k] ὑμῖν om. F. [l] παρ' ἑτέρων] ἑτέρω B. [m] πλὴν om. D. [n] διδῶτε omnes. Editi δῶτε. [o] βαδίσαιεν B.D.E.F. βαδίσαι I. βαδίσαιεν Edd. praeter Ben. [p] ἅτε]+δὴ Edd. invitis libris. [q] ἀνοίξωμεν B.D.E. [r] τῷ τῆς δ. λόγῳ om. I. [s] περισσοτέρως (sine αὐτῶν) I. [t] τοῦ π. ἐ. τὴν χ.] Sic omnes. τὴν τοῦ π. ἐ. χ. Edd. [v] ἰσχυρ. omnes. διϊσχυρ. Edd. [w] οἱ accessit ex omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτης εἰσὶν [x]ἀπεσταλμέναι. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἐν τῷ τέλει ταύτης ἔγραφεν, οὕτω λέγων· [3]"Νυνὶ δὲ πορεύομαι εἰς D
Ἰερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. [y]Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἰερουσαλήμ." [z]Κορινθίοις γὰρ ἐπιστέλλων ἔλεγεν· [4]"Ἐὰν ᾖ ἄξιον τοῦ [a]κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται," περὶ τῶν ἀποκομιζόντων ἐκεῖσε τὰ χρήματα ταῦτα λέγων. [c]Ὅθεν δῆλον, ὅτι ἡνίκα μὲν ἐπέστελλε Κορινθίοις, ἀμφίβολον ἦν τὸ τῆς τοιαύτης ἀποδημίας αὐτοῦ· ὅτε δὲ Ῥωμαίοις, [b]κεκυρωμένον λοιπόν. Τούτου δὲ [c]ὁμολογουμένου, κἀκεῖνο δῆλον, ὅτι αὕτη μετ' ἐκείνας ἡ ἐπιστολή. Καὶ ἡ πρὸς E
[d]Θεσσαλονικέας δὲ ἐμοὶ δοκεῖ προτέρα τῆς πρὸς [e]Κορινθίους εἶναι. Καὶ γὰρ ἐκείνοις πρότερον ἐπιστείλας, καὶ τὸν τῆς ἐλεημοσύνης πρὸς αὐτοὺς [f]κινήσας λόγον, ὅτε ἔλεγε· [5]"Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν· αὐτοὶ γὰρ [g]ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους· καὶ [h]γὰρ ποιεῖτε αὐτὸ [i]εἰς πάντας τοὺς ἀδελφούς·" τότε Κορινθίοις ἐπέστελλε. Καὶ τοῦτο αὐτὸ δηλοῖ λέγων· [6]"Οἶδα [k]γὰρ τὴν προθυμίαν ὑμῶν, [l]ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι 427
Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας." Ἐξ ὧν ἔδειξεν, ὅτι πρώτοις ἐκείνοις περὶ τούτου διελέχθη. Τούτων μὲν οὖν ὑστέρα τῶν ἐπιστολῶν αὕτη, τῶν δὲ ἀπὸ Ῥώμης πρώτη. Οὐδέπω γὰρ ἦν τῆς Ῥωμαίων πόλεως ἐπιβάς, ἡνίκα ταύτην ἔγραφε τὴν ἐπιστολήν· καὶ τοῦτο δηλοῖ λέγων· [7]"Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι [m]μεταδῶ χάρισμα ὑμῖν πνευματικόν." Ἀπὸ Ῥώμης δὲ Φιλιππησίοις ἐπέστελλε· διό φησιν, [8]"Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες, μάλιστα οἱ ἐκ τῆς Καίσαρος οἰκίας." Καὶ Ἑβραίοις δὲ ἐκεῖθεν ὁμοίως· διὸ [n]καί φησι, τοὺς ἀπὸ τῆς Ἰταλίας ἀσπά- B
ζεσθαι πάντας αὐτούς. Καὶ τὴν πρὸς Τιμόθεον δὲ ἐπιστολὴν

3 Rom. xv. 25, 26. 4 1 Cor. xvi. 4. 5 1 Thess. iv. 9, 10. 6 2 Cor. ix. 2. 7 Rom. i. 11. 8 Philipp. iv. 22. Heb. xiii. 24.

x ἐπεστ. B.D. Veron. y εὐδόκησε vel εὐδόκησεν D.I. ηὐδόκησε B.E. Sav. in marg. habet εὐδόκησε γὰρ Μακεδόσι καὶ Ἀχαΐᾳ. z Κορινθίοις γὰρ] Sic B.E.F.I. et Ed. Veron. καὶ Κορινθίοις D. Κορινθίοις δὲ Sav. Mor. Ben. *Corinthiis autem* Interpp. a κἀμὲ D.F.I. καὶ ἐμὲ B.E. ut tacite edidit Montef. Aberat καί. b κεκ. ἦν λ. D.F.I. ἦν κεκ. λ. Sav. Mor. Ben. ἦν abest a B.E. et Veron. c ὁμολογημένου D.F.I. d Sic B.D.E.I. Θεσσαλονικεῖς vulgo. e Κορινθίους]+ἐπιστολῆς D.E. Ita Sav. Mor. Ben. f νικήσας mendose E. g ὑμεῖς om. I. h γὰρ om. E. i εἰς] Sic B.D.E.I. Edebatur πρός. k γὰρ]+ἐγὼ Edd. repugnantibus libris. l ἣν] καὶ I. m μεταδῶ] δῶ F.I. n καὶ, quod aberat, est in nostris omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ αὐτὴν ἀπὸ Ῥώμης [o]δεδεμένος ἔπεμψεν· ἣ καὶ ἐσχάτη μοι δοκεῖ πασῶν εἶναι τῶν ἐπιστολῶν· καὶ δῆλον ἀπὸ τοῦ τέλους. [9]"Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησὶ, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν." Ὅτι δὲ τὸν βίον ἐκεῖ κατέλυσε, παντί που δῆλόν ἐστιν. Ἡ δὲ πρὸς Φιλήμονα ἐσχάτη μὲν καὶ [p]αὐτή· πρὸς γὰρ ἐσχάτῳ γήρᾳ αὐτὴν ἔγραψε· διὸ καὶ [q]ἔλεγεν· [10]"Ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ·" τῆς C μέντοι πρὸς Κολοσσαεῖς προτέρα· καὶ τοῦτο ἀπὸ τοῦ τέλους δῆλον πάλιν. Κολοσσαεῦσι γὰρ γράφων φησὶν, ὅτι "Τυχικὸς πάντα γνωρίσει ὑμῖν, ὃν ἔπεμψα σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ·" Ὀνήσιμος δὲ οὗτος ἦν, ὑπὲρ οὗ τὴν πρὸς Φιλήμονα ἐπιστολὴν συνέθηκε. Καὶ ὅτι οὐκ ἦν ἄλλος οὗτος ὁμώνυμος ἐκείνῳ, δῆλον [r]ἀπὸ τοῦ Ἀρχίππου· ὃν γὰρ ἔλαβε συνεργὸν ἐν τῇ πρὸς Φιλήμονα ἐπιστολῇ τῆς παρακλήσεως τῆς ὑπὲρ Ὀνησίμου, *τοῦτον [s]καὶ Κολοσσαεῦσιν ἐπιστέλλων διεγείρει, λέγων· [11]"Εἴπατε Ἀρχίππῳ, βλέπε D τὴν διακονίαν, ἣν παρέλαβες, ἵνα αὐτὴν πληροῖς." Δοκεῖ δέ μοι (3) καὶ ἡ πρὸς Γαλάτας προτέρα εἶναι τῆς πρὸς Ῥωμαίους. Εἰ δὲ ἐν [t]ταῖς βίβλοις ἑτέραν ἔχουσι τάξιν, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ οἱ προφῆται οἱ δώδεκα οὐκ ἐφεξῆς ἀλλήλοις ὄντες κατὰ τοὺς χρόνους, ἀλλὰ πολὺ διεστηκότες ἀλλήλων, ἐν τῇ τῶν [v]βιβλίων τάξει ἐφεξῆς εἰσι κείμενοι. Ὁ γοῦν Ἀγγαῖος [w]καὶ Ζαχαρίας [x]καὶ ἄγγελος μετὰ τὸν Ἰεζεκιὴλ καὶ Δανιὴλ προεφήτευσαν, καὶ [y]πολὺ μετὰ τὸν Ἰωνᾶν καὶ τὸν Σοφονίαν καὶ τοὺς ἄλλους δὲ [z]πάντας· ἀλλ' ὅμως συνημμένοι πᾶσίν εἰσιν ἐκείνοις, ὧν [a]τοσοῦτον τῷ χρόνῳ διεστήκασι.

Μηδεὶς δὲ πάρεργον τοῦτον ἡγείσθω τὸν πόνον, μηδὲ πε- E ριεργίας περιττῆς τὴν τοιαύτην ἔρευναν· συντελεῖ γὰρ ἡμῖν πρὸς τὰ ζητούμενα οὐ μικρὸν ὁ τῶν ἐπιστολῶν χρόνος. Ὅταν γὰρ ἴδω Ῥωμαίοις καὶ Κολοσσαεῦσιν ὑπὲρ τῶν αὐτῶν μὲν ἐπιστέλλοντα, οὐχ ὁμοίως δὲ ὑπὲρ τῶν αὐτῶν, ἀλλ' ἐκείνοις μὲν μετὰ πολλῆς τῆς συγκαταβάσεως, ὡς ὅταν λέγῃ· [12]"Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις

[9] 2 Tim. iv. 6. [10] Philem. 9. Col. iv. 7. [11] Col. iv. 17. [12] Rom. xiv. 1, 2. Col. ii. 20—22.

[o] δεδ.] καὶ δεδ. F.I. Statim ἔπεμπεν B.E. [p] αὐτὴ B.D.F. αὐτῇ E. αὔτη Edd. [q] λέγει F.I. [r] ἀπὸ] καὶ ἀπὸ Edd. καὶ om. B.E.F.I. supra scriptum in D. * Incipit Codex H. [s] καὶ accessit ex omnibus. Statim Κολασσ. hic et alibi H. [t] τοῖς βιβλίοις B.D.H.I. [v] βίβλων H.I. [w] καὶ ὁ Ζαχ. I. [x] καὶ ἄγγελος] Sic H. καὶ οἱ ἄλλοι B.D.E. καὶ ἄλλοι Edd. Haec desunt in I. Mox καὶ τὸν Δανιὴλ F. [y] πολὺ] Sic B.F.H.I. Edebatur πολλοί. [z] ἅπαντας F.H.I. [a] τοσοῦτον τῷ χ.] τῷ χ. τοσούτῳ F.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[b]διαλογισμῶν· ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει" Κολοσσαεῦσι δὲ οὐχ οὕτω περὶ τῶν αὐτῶν, ἀλλὰ μετὰ πλείονος παρρησίας· "Εἰ γὰρ ἀπεθάνετε, φησὶ, σὺν Χριστῷ, [c]πῶς ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, μὴ ἅψῃ, 428
μηδὲ γεύσῃ, μηδὲ θίγῃς; ἅτινά ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός" οὐδὲν ἄλλο αἴτιον εὑρίσκω τῆς διαφορᾶς ταύτης, ἢ τὸν τῶν [d]πραγμάτων χρόνον. Ἐν ἀρχῇ μὲν γὰρ συγκαταβαίνειν ἔδει, μετὰ δὲ ταῦτα [e]οὐκέτι. Καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο ἄν τις εὕροι ποιοῦντα αὐτόν. Οὕτω καὶ ἰατρὸς καὶ διδάσκαλος ποιεῖν εἰώθασιν· οὔτε γὰρ τοῖς ἐξ ἀρχῆς *νοσοῦσιν ὁ ἰατρὸς, [f]καὶ πρὸς τὸ τέλος λοιπὸν τῆς ὑγείας ἐλθοῦσιν, οὔτε τοῖς ἐξ ἀρχῆς μανθάνουσι παιδίοις ὁ διδάσκαλος, καὶ τοῖς τῶν [g]τελειοτέρων B
δεομένοις διδαγμάτων, ὁμοίως χρήσονται. Τοῖς μὲν οὖν ἄλλοις ἐξ αἰτίας τινὸς καὶ ὑποθέσεως [h]κινούμενος ἐπέστελλε· καὶ δηλοῖ τοῦτο Κορινθίοις μὲν λέγων· [13]"Περὶ δὲ ὧν ἐγράψατέ μοι" καὶ Γαλάταις δὲ, εὐθέως ἐκ τοῦ προοιμίου [i]καὶ τῆς ἐπιστολῆς ἁπάσης [k]τοῦτο αὐτὸ ἐμφαίνων· τούτοις δὲ τίνος ἕνεκεν, καὶ διὰ τί; Καὶ γὰρ φαίνεται μαρτυρῶν αὐτοῖς, [14]ὅτι [l]μεστοί εἰσιν ἀγαθωσύνης, πεπληρωμένοι πάσης [m]γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. Τίνος οὖν ἕνεκεν ἐπέστελλε; "Διὰ τὴν χάριν τοῦ θεοῦ, φησὶ, τὴν δοθεῖσάν μοι εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ." Διὸ καὶ ἐν ἀρχῇ ἔλεγεν· [15]"Ὀφει- C
λέτης εἰμὶ, τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι." Καὶ γὰρ τὰ εἰρημένα, οἷον ὅτι δύνανται καὶ ἄλλοις νουθετεῖν, καὶ ὅσα τοιαῦτα, ἐγκωμίου μᾶλλόν ἐστι καὶ προτροπῆς· καὶ ἀναγκαία καὶ ἡ [n]διὰ τῶν γραμμάτων διόρθωσις καὶ τούτοις ἦν. Ἐπειδὴ γὰρ οὔπω παραγεγονὼς ἦν, διπλῇ ῥυθμίζει τοὺς ἄνδρας, καὶ τῇ τῶν γραμμάτων ὠφελείᾳ, καὶ τῇ τῆς παρουσίας προσδοκίᾳ. Τοιαύτη γὰρ ἡ ἁγία [o]ἐκείνη ψυχή· πᾶσαν περιελάμβανε τὴν οἰκουμένην, καὶ ἐν ἑαυτῷ περιέφερεν ἅπαντας, συγγένειαν μεγίστην τὴν κατὰ [p]θεὸν νομί- D

[13] 1 Cor. vii. 1. [14] Rom. xv. 14—16. [15] Ibid. i. 14, 15.

[b] λογισμῶν H. [c] πῶς abest a Veron. πῶς] ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί Sav. Mor. Ben. repugnantibus libris. [d] γραμμάτων H.I. sed πραγμάτων a recenti manu superscriptum habet H. [e] οὐ ἔτι H. * Incipit Codex A. sed mutilus et attritus usque ad initium Hom. seq. [f] καὶ]+τοῖς Sav. Mor. Ben. invitis libris. Mox ὑγιείας B.E. [g] Sic omnes. τελεωτέρων Edd. [h] κινούμενος in marg. ab eadem manu habet E. [i] Sic omnes. καὶ aberat ante Montef. [k] τοῦτο αὐτὸ] Sic A.B.D.H.I. τὸ αὐτὸ Edd. τοῦτο sine αὐτὸ habet E. [l] μεστοὶ]+μὲν Edd. invitis libris. [m] τῆς γνώσεως A.F.H.I. [n] διὰ om. a pr. man. H. [o] Sic B.D.E. ἐκείνη aberat ante Montef. [p] θεὸν]+εἶναι Edd. εἶναι om. A.D.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζων· καὶ ὥσπερ πάντας αὐτοὺς ἀποτεκὼν, οὕτως ἐφίλει, μᾶλλον δὲ πατρὸς [q]παντὸς μείζονα ἐπεδείκνυτο φιλοστοργίαν. Τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις· νικᾷ τὰς σαρκικὰς ὠδῖνας, καὶ θερμότερον ἐπιδείκνυται τὸν πόθον. Καὶ τοῦτο μάλιστα ἔστιν ἰδεῖν ἐπὶ τῆς τοῦ Παύλου ψυχῆς, ὃς καθάπερ πτηνός τις ὑπὸ τῆς ἀγάπης γενόμενος, ἅπαντας περιῄει συνεχῶς, οὐδαμοῦ μένων οὐδὲ ἱστάμενος. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, [16]"Πέτρε, φιλεῖς με; ποίμαινε [r]τὰ πρόβατά μου," καὶ τοῦτον μέγιστον ὅρον ἐκφέροντος ἀγάπης, μεθ' ὑπερβολῆς αὐτὸν ἐπεδείκνυτο.

E [s]Τοῦτον οὖν καὶ ἡμεῖς ζηλώσαντες, εἰ καὶ μὴ τὴν οἰκουμένην, μηδὲ πόλεις ὁλοκλήρους καὶ ἔθνη, ἀλλὰ τὴν οἰκίαν ἕκαστος ῥυθμιζέτω τὴν ἑαυτοῦ, τὴν γυναῖκα, τὰ παιδία, τοὺς φίλους, τοὺς γείτονας. Καὶ μή μοι λεγέτω τις, ὅτι ἄπειρός εἰμι καὶ ἰδιώτης. Οὐδὲν ἀμαθέστερον Πέτρου, οὐδὲν ἰδιωτικώτερον Παύλου. Καὶ τοῦτο αὐτὸς ὡμολόγει, καὶ οὐκ ἠσχύνετο λέγων· [17]"Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει." Ἀλλ' ὅμως ὁ ἰδιώτης οὗτος καὶ ὁ ἀμαθὴς ἐκεῖνος μυρίους ἐνίκησαν
429 φιλοσόφους, μυρίους ἐπεστόμισαν ῥήτορας, ἀπὸ τῆς αὐτῶν προθυμίας καὶ τῆς τοῦ θεοῦ χάριτος τὸ πᾶν ἐργασάμενοι. Τίνα (4)
οὖν ἔξομεν ἀπολογίαν ἡμεῖς, οὐδὲ εἴκοσιν ἀρκοῦντες ὀνόμασιν, οὐδὲ τοῖς συνοικοῦσιν ὄντες χρήσιμοι; Σκῆψις ταῦτα καὶ πρόφασις. Οὐδὲ γὰρ ἀμαθία οὐδὲ ἀπαιδευσία κωλύει τὴν διδασκαλίαν, ἀλλὰ νωθεία καὶ ὕπνος. Τοῦτον οὖν ἀποτιναξάμενοι τὸν ὕπνον, μετὰ πάσης σπουδῆς ἀντεχώμεθα τῶν [t]οἰκείων μελῶν, ἵνα καὶ ἐνταῦθα πολλῆς ἀπολαύσωμεν τῆς γαλήνης, κατὰ τὸν
B τοῦ θεοῦ φόβον τοὺς ἡμῖν ἐπιτηδείους ῥυθμίζοντες, καὶ ἐκεῖ μυρίων μετάσχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ [v]ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β. (5)

[1]Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν
C προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις.

16 Joan. xxi. 15. 17 2 Cor. xi. 6. 1 Cap. I. v. 1, 2.

q παντὸς] Sic Edd. et Interpp. πρὸς πάντας Codices. r τὰ πρ. μου] Sic A.B.D.E.H.I. μου τὰ πρ. Edd. Mox ἐκφέρων I. s ΗΘΙΚΟΝ. Περὶ τοῦ διδάσκειν τήν τε γυναῖκα, καὶ τὰ παιδία, καὶ τοὺς ἐν τῇ οἰκίᾳ πάντας, καὶ φίλους καὶ συγγενεῖς καὶ γείτονας, καὶ μὴ προφασίζεσθαι ἰδιωτείαν. Veron. (Pro ἰδιωτείαν, quidam λόγῳ vel λόγον habent.) t οἰκείων] ἰδίων H. v ἡ om. B.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΩΥΣΗΣ μὲν πέντε βιβλία [a]συγγράψας, οὐδαμοῦ τὸ ὄνομα [b]τὸ ἑαυτοῦ τέθεικεν, οὐδὲ οἱ μετ' ἐκεῖνον [c]τὰ μετ' ἐκεῖνον συνθέντες, ἀλλ' οὐδὲ Ματθαῖος, οὐδὲ Ἰωάννης, οὐ Μάρκος, οὐ Λουκᾶς· ὁ δὲ μακάριος Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν [d]αὐτοῦ τὸ ὄνομα τίθησι. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν παροῦσιν ἔγραφον, καὶ περιττὸν ἦν [e]ἑαυτοὺς δηλοῦν παρόντας· οὗτος δὲ διὰ μακροῦ τὰ γράμματα διεπέμπετο, καὶ ἐν ἐπιστολῆς σχήματι· διὸ καὶ ἀναγκαία ἦν [f]τοῦ ὀνόματος ἡ προσθήκη. Εἰ δὲ ἐν τῇ πρὸς [g]Ἑβραίους οὐ ποιεῖ [h]τοῦτο, καὶ τοῦτο κατὰ τὴν D
αὐτοῦ σύνεσιν. Ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχον πρὸς αὐτὸν, ἵνα μὴ ἐκ προοιμίων ἀκούσαντες τοῦ ὀνόματος, ἀποκλείσωσι τῷ λόγῳ τὴν εἴσοδον, ἐσοφίσατο διὰ τοῦ κρύψαι τὸ ὄνομα τὴν ἀκρόασιν [i]τὴν ἐκείνων. [k]Εἰ δὲ [l]τὰ ὀνόματα προφῆταί τινες τὰ ἑαυτῶν τεθείκασι καὶ Σολομών, [m]τοῦτο ὑμῖν καταλιμπάνω λοιπὸν ἐπιζητεῖν, τίνος ἕνεκεν οἱ μὲν [n]ἔθεσαν, οἱ δὲ οὐκ ἔθεσαν· οὐδὲ γὰρ ἅπαντα παρ' ἐμοῦ χρὴ μανθάνειν ὑμᾶς, ἀλλὰ καὶ αὐτοὺς πονεῖν καὶ ἐπιζητεῖν, ἵνα μὴ νωθρότεροι [o]γίνησθε. "Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ." Τίνος ἕνεκεν μετέθηκε [p]τὸ ὄνομα αὐτοῦ ὁ θεὸς, καὶ Σαῦλον ὄντα Παῦλον ἐκάλεσεν; Ἵνα E
μηδὲ ταύτῃ τῶν ἀποστόλων ἔλαττον ἔχῃ, ἀλλ' ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται, καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν [q]λάβῃ. Δοῦλον δὲ ἑαυτὸν οὐχ ἁπλῶς εἶπε τοῦ Χριστοῦ. Καὶ γὰρ πολλοὶ δουλείας τρόποι· εἷς μὲν ὁ κατὰ τὴν δημιουργίαν, καθ' ὃν φησιν, ὅτι [2]"Τὰ σύμπαντα δοῦλα σά," καὶ καθ' ὃν φησιν, "Ὁ δοῦλός μου Ναβουχοδονόσορ" τὸ γὰρ ἔργον τοῦ ποιήσαντος δοῦλον· [r]ἕτερος 430
ὁ ἀπὸ τῆς πίστεως, περὶ [s]ἧς φησιν· [3]"Χάρις δὲ τῷ θεῷ, ὅτι [t]ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ [v]καθαρᾶς καρδίας,

2 Psal. cxviii. 91. Jer. xxv. 9. 3 Rom. vi. 17, 18.

Hom. II. [a] γράψας B.E.F. Veron. [b] τὸ om. H. Statim αὐτοῦ F.H.I. [c] τὰ μετ' ἐκεῖνον om. I. [d] αὐτοῦ] Sic A.H. αὐτοῦ Veron. Sav. Mor. τῶν ἑαυτοῦ B.I. Statim edebatur τὸ ὄνομα αὐτοῦ προτίθησι. αὐτοῦ om. A.B.F.H.I. τίθησι pro προτίθησι habent omnes. Post ἐπιστολῶν pergit D. τὸ ἑαυτοῦ ὄνομα τίθησι. [e] αὐτοὺς B.E. [f] τοῦ ὀν. ἡ πρ.] Sic A.B.F.H.I. ἡ τοῦ ὀν. πρ. Edd. [g] Ἑβραίους]+ἐπιστολῇ Edd. refragantibus libris. [h] τοῦτο] τὸ αὐτὸ E. [i] τὴν om. F.H.I. [k] εἰ δὲ] οἱ δὲ E. [l] τὰ ὀν. προφῆται pro προφῆται τὰ ὀν. A.D.F.H.I. Statim τινες accessit ex A.F.H.I. τὰ ἑαυτῶν om. I. [m] Haec τοῦτο ὑμῖν κ. λ. ἐπιζητεῖν post verba οἱ δὲ οὐκ ἔθεσαν transp. E. [n] ἔθεσαν] ἠθέλησαν bis Veron. Sav. invitis libris. Alterum ex marg. Sav. clam recepit Mor. voluerint Musc. apposuere Brix. [o] γένησθε A.F.H.I. [p] τὸ ὄν. αὐτοῦ] αὐτοῦ τὸ ὄν. B.E. ὁ θεὸς om. B. [q] λάβοι B.E. [r] ἕτερος] +δὲ Edd. contra fidem librorum. [s] ἧς] οὗ I. Post φησιν vulgo addunt ὅτι, repugnantibus libris. [t] ἦτε δοῦλοι omnes. δοῦλοι ἦτε Edd. [v] καθαρᾶς est in nostris omnibus et Sav. marg. non in Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς ὃν παρεδόθητε τύπον διδαχῆς, καὶ ἐλευθερωθέντες [w]ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ" ἕτερος ὁ ἀπὸ τῆς πολιτείας, [x]καθ' ὃν φησι· [4]"Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε" καίτοι καὶ Ἰουδαῖοι πάντες θεράποντες ἦσαν, ἀλλ' ἐξαιρέτως ὁ Μωϋσῆς [y]πολιτείᾳ διαλάμπων. Ἐπεὶ οὖν [z]πάντας τοὺς τρόπους τῆς [a]θαυμαστῆς δουλείας δοῦλος ἦν ὁ Παῦλος, ἀντὶ μεγίστου [b]τοῦτο ἀξιώματος τίθησι λέγων, "δοῦλος Ἰησοῦ Χριστοῦ." Καὶ τὰ τῆς οἰκονομίας ὀνόματα προβάλλεται, (6)
B κάτωθεν ἀναβαίνων ἄνω. Καὶ γὰρ τὸ Ἰησοῦς ὄνομα φέρων ὁ ἄγγελος ἦλθεν ἐκ τῶν οὐρανῶν, ὅτε ἐτίκτετο ἐκ τῆς παρθένου· καὶ Χριστὸς δὲ ἀπὸ τοῦ χρισθῆναι λέγεται, ὃ καὶ αὐτὸ τῆς σαρκὸς ἦν. Καὶ ποίῳ, φησὶν, ἐλαίῳ ἐχρίσθη; Ἐλαίῳ μὲν οὐκ ἐχρίσθη, πνεύματι δέ· οἶδε δὲ καὶ τοὺς τοιούτους χριστοὺς ἡ γραφὴ καλεῖν. Τὸ γὰρ προηγούμενον ἐν τῇ χρίσει, [c]τὸ πνεῦμά ἐστι, δι' ὃ καὶ τὸ ἔλαιον παραλαμβάνεται. Καὶ ποῦ χριστοὺς [d]καλεῖ τοὺς μὴ χρισθέντας ἐλαίῳ; [5]"[e]Μὴ ἅπτεσθε, φησὶ, τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε."
C Τότε [f]δὲ οὐδὲ ἡ κατασκευὴ [g]πω τοῦ ἐλαίου τῆς χρίσεως ἦν. "Κλητὸς ἀπόστολος." Πανταχοῦ κλητὸν ἑαυτὸν καλεῖ, δεικνὺς τὴν οἰκείαν εὐγνωμοσύνην, καὶ ὅτι οὐκ αὐτὸς ζητήσας εὗρεν, ἀλλὰ κληθεὶς παρεγένετο καὶ ὑπήκουσε. Καὶ τοὺς πιστοὺς δὲ οὕτως ὀνομάζει, "κλητοὺς ἁγίους." [h]Ἀλλ' οἱ μὲν μέχρι τοῦ πιστεῦσαι ἐκλήθησαν, οὗτος δὲ καὶ ἕτερον ἐνεχειρίσθη, τὴν ἀποστολὴν, [i]πρᾶγμα μυρίων ἀγαθῶν γέμον, καὶ τῶν χαρισμάτων ἁπάντων καὶ μεῖζον καὶ περιεκτικόν. Καὶ τί γὰρ δεῖ [k]καὶ πλέον εἰπεῖν, ἀλλ' ἢ ὅτι ὅπερ ὁ Χριστὸς παραγενόμενος ἔπραττε, τοῦτο αὐτοῖς ἐγχειρίσας ἀπῆλθεν; [l]Ὁ καὶ βοᾷ Παῦ-
D λος λέγων, [m]καὶ τὸ τῶν ἀποστόλων ἐπαίρων ἀξίωμα· [6]"Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν," τουτέστιν, ἀντὶ Χριστοῦ.

"Ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ." *Καθάπερ [n]γὰρ ἐν

4 Jos. i. 2. 5 Ps. civ. 15. 6 2 Cor. v. 20.

[w] ἀπὸ] +τοῦ ζυγοῦ H. [x] καθ' ὃν] καθὸ I. καθὰ H. [y] πολ.] ἐπὶ πολ. H. [z] κατὰ πάντας Edd. κατὰ om. A.F.H.I. [a] θαυμαστῆς accessit ex libris omnibus et Sav. marg. [b] τοῦτο ἀξ. A.B.F.H.I. τούτου ἀξ. D. ἀξιώματος τοῦτο inverso ord. Edd. Statim προστίθησι H. [c] τὸ, quod aberat, habent libri omnes. [d] καλεῖ] καλεῖ φησι A.D.F.H. φησι καλεῖ I. [e] μὴ ἅπτεσθε, φησί] Sic omnes. ὅπου λέγει, μὴ ἅπτεσθε Edd. et Brix. [f] δὲ pro γὰρ omnes. [g] πω] Sic B.D.E.F.H. πως A. Enclitica deest in Edd. Statim τῆς χρ. ἦν τοῦ ἐλ. inverso ordine Edd. contra fidem librorum. [h] ἀλλ' οἱ μὲν] Sic B.D.E. οἱ μὲν γὰρ vulgo. [i] πρᾶγμα om. H. Mox γέμων E.H. et ante com. I. [k] καὶ assumtum ex A.D.F.H. [l] ὃ om. I. Veron. [m] καὶ τὸ] αὐτὸ H. * Incipit Codex G. [n] γὰρ accessit ex omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκίᾳ [o]πρὸς διάφορα ἕκαστος ἀφώρισται ἔργα, οὕτω καὶ ἐπὶ τῆς ἐκκλησίας διάφοροι τῶν διακονιῶν [p]εἰσιν αἱ διανομαί. Ἐμοὶ δὲ ἐνταῦθα οὐ τὴν ἀποκλήρωσιν δοκεῖ μόνον αἰνίττεσθαι, ἀλλ' ὅτι πάλαι καὶ ἄνωθεν πρὸς τοῦτο ἦν τεταγμένος. Ὅπερ καὶ [q]Ἱερεμίας φησὶ τὸν θεὸν εἰρηκέναι περὶ αὐτοῦ· [7]"Πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε." Ἐπειδὴ γὰρ πρὸς πόλιν ἀλαζονικὴν ἔγραφε καὶ [r]πεφυσιω- E
μένην, πάντοθεν [s]καὶ διὰ πάντων δείκνυσι τοῦ θεοῦ τὴν χειροτονίαν οὖσαν· καὶ γὰρ αὐτὸς ἐκάλεσε, καὶ αὐτὸς ἀφώρισε. Ποιεῖ δὲ τοῦτο, ἵνα ἀξιόπιστον καὶ εὐπαράδεκτον ποιήσῃ τὴν ἐπιστολήν. "Εἰς εὐαγγέλιον θεοῦ." Οὐκ ἄρα [t]μόνος Ματθαῖος εὐαγγελιστὴς οὐδὲ Μάρκος, ὥσπερ οὐδὲ οὗτος μόνος ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι, εἰ καὶ κατ' ἐξαίρετον ὁ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο λέγονται εἶναι. Εὐαγγέλιον δὲ [v]αὐτὸ οὐ διὰ τὰ [w]γεγενημένα ἀγαθὰ μόνον καλεῖ, ἀλλὰ καὶ διὰ τὰ μέλλοντα. Πῶς δὲ τὸν θεὸν εὐαγγελίζεσθαι δι' αὐτοῦ φησιν; "Ἀφωρισμένος γάρ, φησίν, εἰς εὐαγγέλιον θεοῦ" ὁ γὰρ πατὴρ καὶ πρὸ [x]τῶν εὐαγγελίων δῆλος ἦν. Ἀλλ' εἰ καὶ δῆλος ἦν, Ἰου- 431
δαίοις μόνοις, καὶ οὐδὲ τούτοις πᾶσιν, ὡς ἔδει· οὔτε γὰρ πατέρα αὐτὸν ὄντα ᾔδεσαν, καὶ πολλὰ ἀνάξια αὐτοῦ τότε ἐφαντάζοντο. [y]Διὸ ἔλεγεν ὁ Χριστὸς, ὅτι [8]"Ἥξουσιν οἱ ἀληθινοὶ προσκυνηταί" καὶ ὅτι "Ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν." Ὕστερον δὲ καὶ αὐτὸς μετὰ τοῦ υἱοῦ [z]ἐξεκαλύφθη τῇ οἰκουμένῃ πάσῃ· ὅπερ οὖν [a]καὶ προαναφωνῶν ἔλεγεν ὁ Χριστός· [9]"Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν." Εὐαγγέλιον δὲ θεοῦ καλεῖ, ἀπὸ τῶν προοιμίων ἀνορθῶν τὸν ἀκροατήν. Οὐ γὰρ ἦλθέ τι σκυθρωπὸν ἀπαγγέλλων, ὥσπερ οἱ προφῆται κατηγορίας καὶ ἐγκλήματα καὶ ἐπιτιμήσεις, ἀλλ' εὐαγγέλια, καὶ εὐαγγέλια B
θεοῦ, μενόντων καὶ ἀκινήτων ἀγαθῶν θησαυροὺς μυρίους. "Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν [b]αὐτοῦ ἐν γραφαῖς ἁγίαις." [10]"Κύριος [c]γὰρ δώσει ῥῆμα, φησὶ, τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ" καὶ πάλιν, "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζο-

7 Jer. i. 5. 8 Joan. iv. 23. 9 Ibid. xvii. 3. 10 Psal. lxvii. 12. Esai. lii. 7.

[o] πρὸς] εἰ καὶ E. [p] εἰσιν αἱ om. B.E.G. [q] ὁ Ἱερ[illegible] [r] πεφυσημένην F.G.H.I. [s] καὶ, quod aberat, est in libri[illegible]nibus. Dis[illegible]guebatur autem cum Interpp. πεφυσιωμένην πάντοθεν διὰ πάντων δείκνυσ[illegible] [t] Ματθ. μόνος inverso ordine A.F.H.I. [v] αὐτὸ] αὐ[illegible] θεοῦ [illegible] D.F.H.I. et Sav. marg. [w] γενόμενα H. [x] τοῦ εὐαγγελίου [illegible] [y] διὸ καὶ Edd. invitis libris. [z] ἐξεκαλύφθη libri omnes et Sav[illegible]g. ἐξ[illegible] vulgo. [a] καὶ accessit ex nostris omnibus. [b] αὐτοῦ pro τοῦ libri fere omnes. [c] γὰρ om. B.E.G. Mox φησὶ om. A.

Δημόσια Κεντρική Βιβλιοθήκη

μένων εἰρήνην." Ὁρᾷς [d]καὶ ῥητῶς τοῦ εὐαγγελίου καὶ τὸ ὄνομα καὶ τὸν τρόπον ἐν τῇ παλαιᾷ κείμενον; Οὐ γὰρ διὰ ῥημάτων αὐτὸ καταγγέλλομεν [e]μόνον, φησὶν, ἀλλὰ καὶ διὰ πραγμάτων. Οὐδὲ γὰρ ἀνθρώπινον ἦν, [f]ἀλλὰ θεῖον καὶ ἀπόρ-
C ρητον καὶ πᾶσαν ὑπερβαῖνον φύσιν. Ἐπειδὴ δὲ [g]καὶ καινοτομίαν ἐνεκάλουν τῷ πράγματι, δείκνυσιν αὐτὸ πρεσβύτερον [h]Ἑλλήνων ὄν, καὶ ἐν τοῖς προφήταις προδιαγραφόμενον. Εἰ δὲ μὴ ἐξ ἀρχῆς ἔδωκε, παρὰ τοὺς μὴ βουλομένους δέξασθαι· οἱ γοῦν βουλόμενοι ἤκουσαν. [11]"Ἀβραὰμ [i]γὰρ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη." Πῶς οὖν φησιν, [k]ὅτι [12]"Πολλοὶ [l]προφῆται ἐπεθύμησαν ἰδεῖν, [m]ἃ βλέπετε, καὶ οὐκ εἶδον;" [n]Οὕτως ὡς ὑμεῖς βλέπετε καὶ ἀκούετε, αὐτὴν [o]τὴν σάρκα, καὶ αὐτὰ [p]τὰ ἐπὶ τῶν ὄψεων σημεῖα. (7)
Σὺ δέ μοι σκόπει, πρὸ πόσων ταῦτα προεκηρύττετο χρόνων.
D Καὶ γὰρ ὅταν μεγάλα τινὰ [q]κατασκευάζειν ὁ θεὸς μέλλῃ, πρὸ πολλῶν αὐτὰ προαναφωνεῖ χρόνων, γυμνάζων τὴν ἀκοὴν πρὸς [r]τὴν ὑποδοχὴν τῆς παρουσίας αὐτῶν. "Ἐν γραφαῖς ἁγίαις." Οὐ γὰρ ἔλεγον οἱ προφῆται μόνον, ἀλλὰ καὶ ἔγραφον ἅπερ ἔλεγον· [s]οὐκ ἔγραφον δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἐτύπουν, ὡς [t]ὁ Ἀβραὰμ τὸν Ἰσαὰκ [v]ἀνάγων, [w]καὶ ὁ Μωϋσῆς τὸν ὄφιν ὑψῶν, καὶ τὰς χεῖρας ἐκτείνων ἐπὶ [x]τοῦ Ἀμαλήκ, καὶ τὸν ἀμνὸν τοῦ πάσχα θύων.

[13]"Περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ
E κατὰ σάρκα." Τί ποιεῖς, ὦ Παῦλε; Μετεωρίσας ἡμῶν τὰς ψυχὰς καὶ ἀναγαγὼν, καὶ μεγάλα καὶ ἀπόρρητα φαντασθῆναι ποιήσας, καὶ εὐαγγέλιον εἰπὼν, καὶ θεοῦ εὐαγγέλιον, καὶ χορὸν προφητῶν εἰσαγαγὼν, καὶ δείξας πάντας ἀνακηρύττοντας πρὸ πολλῶν [y]ἐτῶν τὰ ἐσόμενα, [z]ποῦ πάλιν ἡμᾶς κατάγεις πρὸς τὸν

11 Joan. viii. 56. 12 Matth. xiii. 17. 13 v. 3.

[d] καὶ om. B. Statim τοῦ εὐαγ. om. E. [e] μόνον om. I. Veron. [f] ἀλλὰ θεῖον] Sic B.D.E. ἀλλὰ καὶ θ. Edd. ἀλλ' ἀληθινὸν A.H.I. [g] καὶ accessit ex B.D.E.G. [h] ὂν Ἑλλήνων inverso ord. B.E.G. [i] γὰρ, quod aberat, est in omnibus. Post ὑμῶν vulgo addunt φησὶν, repugnantibus nostris A.B.D.E.F.G.H. [k] ὅτι] ἔτι G. ὅτι om. I. et corr. A. φησὶν ὅτι om. H. [l] προφῆται]+καὶ δίκαιοι Edd. Haec desunt in nostris A.B.D.F.G.H.I. [m] ἃ ὑμεῖς βλ. Edd. ὑμεῖς deest in omnibus. Post βλέπετε, καὶ ἀκούετε add. B.E.G. [n] οὕτως] οὕτω, φησὶν Edd. repugnantibus libris. [o] τὴν accessit ex A.B.F.G.H.I. Haec αὐτὴν . . . σημεῖα desunt in E. [p] Sic omnes. Edebatur τὰ σημεῖα τὰ ἐπὶ τῶν ὄψεων. [q] Sic omnes. προκατασκευάζειν Edd. [r] τὴν om. A.F.H.I. [s] οὐκ ἔγ. δὲ] καὶ οὐκ ἔγ. A.D.F.H.I. [t] ὁ (bis) accessit ex omnibus. [v] ἀνάγων pro vulgato ἄγων omnes. [w] καὶ om. E. [x] τοῦ] τὸν B. [y] ἐτῶν] τῶν ἐτῶν B.G. [z] Haec ποῦ——Δαυὶδ desunt in I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δαυΐδ; Περὶ ἀνθρώπου [a]διαλέγῃ τινὸς, εἰπέ μοι, καὶ πατέρα δίδως αὐτῷ τὸν τοῦ Ἰεσσαὶ υἱόν; καὶ ποῦ ταῦτα τῶν εἰρημένων ἄξια; Σφόδρα μὲν οὖν ἄξια· οὐ γὰρ περὶ ἀνθρώπου ψιλοῦ, φησὶν, ὁ λόγος ἡμῖν. Διά [b]τοι τοῦτο προσέθηκα τὸ, "κατὰ 432
σάρκα," αἰνιττόμενος ὅτι καὶ κατὰ πνεῦμα γέννησίς ἐστι τοῦ αὐτοῦ. Καὶ τίνος ἕνεκεν ἐντεῦθεν ἤρξατο, καὶ οὐκ ἐκεῖθεν ἀπὸ τῶν ὑψηλοτέρων; Ὅτι καὶ Ματθαῖος ἐντεῦθεν, καὶ Λουκᾶς καὶ Μάρκος. Τὸν γὰρ μέλλοντα χειραγωγεῖν πρὸς τὸν οὐρανὸν, κάτωθεν ἄνω χειραγωγεῖν ἀναγκαῖον. [c]Οὕτω καὶ τὸ πρᾶγμα ᾠκονομήθη. Πρῶτον γοῦν εἶδον αὐτὸν ἄνθρωπον [d]ἐπὶ γῆς, καὶ τότε ἐνόησαν θεόν. [e]Ἧι τοίνυν αὐτὸς τὴν διδασκαλίαν ἐποιήσατο, ταύτῃ καὶ ὁ μαθητὴς αὐτοῦ τέμνει τὴν ἐκεῖ φέρουσαν ὁδόν. [f]Πρώτην οὖν λέγει τὴν κατὰ σάρκα γέννησιν, οὐκ ἐπειδὴ Β
πρώτη ἦν, ἀλλ' ἐπειδὴ ἀπὸ ταύτης πρὸς ἐκείνην ἀνῆγε τὸν ἀκροατήν. [14]"Τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει [g]κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ." Ἀσαφὲς τὸ εἰρημένον ἀπὸ τῆς τῶν λέξεων πλοκῆς γέγονε· διόπερ αὐτὸ διελεῖν ἀνάγκη. Τί [h]οὖν ἐστιν ὃ λέγει; Τὸν ἐκ Δαυὶδ γενόμενον ἀνακηρύττομεν, φησίν. Ἀλλὰ τοῦτο δῆλον· πόθεν δὲ ὅτι καὶ υἱὸς θεοῦ ἐστιν οὗτος ὁ σαρκωθείς; [i]Πρῶτον ἀπὸ τῶν προφητῶν· διὸ ἔλεγεν, "ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις." Οὐ [k]μικρᾶς δὲ ἀποδείξεως οὗτος ὁ τρόπος. Ἔπειτα καὶ ἐξ αὐτοῦ τοῦ τρόπου C
τῆς γεννήσεως· ὃ καὶ [l]αὐτὸς ἐδήλωσεν εἰπὼν, "ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα·" τὸν γὰρ τῆς φύσεως ἔλυσε νόμον. Τρίτον, ἀπὸ τῶν θαυμάτων [m]ἅπερ ἔπραττε, πολλῆς δυνάμεως ἀπόδειξιν παρεχόμενος· τοῦτο γάρ ἐστιν, "ἐν δυνάμει." Τέταρτον, ἀπὸ τοῦ πνεύματος [n]ὅπερ ἐδίδου τοῖς πιστεύουσιν εἰς αὐτὸν, καὶ δι' οὗ πάντας ἁγίους ἐποίει· διό φησι, "κατὰ πνεῦμα ἁγιωσύνης·" θεοῦ γὰρ ἦν μόνου τὰ τοιαῦτα δῶρα χαρίζεσθαι. Πέμπτον, ἀπὸ τῆς [o]ἀναστάσεως· πρῶτος γὰρ οὗτος [p]καὶ μόνος

[14] v. 4.

[a] διαλέγῃ τινὸς omnes. τινὸς (τίνος Sav. Mor. Ben.) διαλέγῃ Edd. Mox παραδίδως pro πρα δίδως Veron. [b] τοι τοῦτο] Sic A.B.D.E.F.G.I. τοιοῦτο Veron. Sav. τοῦτο Mor. Correxit Montef. [c] οὕτω]+γὰρ Edd. contra fidem librorum. [d] ἐπὶ τῆς γῆς A.F. [e] ᾗ] ἣν B.E.G. et ante corr. A. τὴν ante διδασκαλίαν om. B.E.G. Mox ταύτην B.G. [f] πρώτην B.D.E.G.H. πρῶτον vulgo. [g] κατὰ πνεῦμα] Sic omnes. καὶ πνεύματι Edd. [h] οὖν om. A.D.F.H.I. [i] πρῶτον]+μὲν H. πρῶτον om. I. [k] μικρᾶς B.E.I. et Interpp. receptum a Montef. Legebatur μικρός. [l] αὐτὸ I. et ex corr. B. [m] ἅπερ omnes. ὥνπερ Edd. [n] ὅπερ pro οὕπερ omnes. [o] ἀναστάσεως] +κυρίου Edd. repugnantibus libris. [p] καὶ, quod aberat, clam admisit Montef. Habent libri omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτὸν ἤγειρεν· ὅπερ καὶ αὐτὸς μάλιστα πάντων ἔφησεν εἶναι
D σημεῖον ἱκανὸν καὶ τοὺς ἀναισχυντοῦντας ἐπιστομίσαι. [15]"Λύσατε γὰρ, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν·" καὶ, "Ὅταν ὑψώσητέ με ἀπὸ τῆς γῆς, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι·" καὶ πάλιν, [q]"Σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ." Τί οὖν ἐστιν, "ὁρισθέντος;" [r]Τοῦ δειχθέντος, ἀποφανθέντος, κριθέντος, ὁμολογηθέντος παρὰ τῆς ἁπάντων γνώμης καὶ ψήφου, ἀπὸ τῶν προφητῶν, ἀπὸ τῆς παραδόξου γεννήσεως τῆς κατὰ σάρκα, ἀπὸ τῆς δυνάμεως τῆς ἐν τοῖς σημείοις, ἀπὸ τοῦ πνεύματος, δι' οὗ τὸν ἁγιασμὸν ἔδωκεν, ἀπὸ τῆς ἀναστάσεως, δι' ἧς τοῦ θανάτου τὴν τυραννίδα κατέλυσε.

E [16]"Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως." Ὅρα εὐγνωμοσύνην οἰκέτου. Οὐδὲν ἑαυτοῦ [s]εἶναι βούλεται, ἀλλὰ πάντα τοῦ δεσπότου. Καὶ μὴν τὸ πνεῦμα τοῦτο ἔδωκε· διὸ ἔλεγε· [17]"Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ [t]ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν [v]τὴν ἀλήθειαν·" καὶ πάλιν, "Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν." Καὶ ἐν
433 τῇ πρὸς Κορινθίους δέ φησιν, ὅτι [18]"Ὧι μὲν διὰ τοῦ πνεύματος (8)
δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως·" καὶ ὅτι [w]πάντα αὐτὸ διαιρεῖ, καθὼς βούλεται. Καὶ [x]Μιλησίοις δὲ δημηγορῶν, ἔλεγεν· [19]"Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους." Ὁρᾷς ὅτι τὰ τοῦ πνεύματος τοῦ υἱοῦ φησι, καὶ τὰ τοῦ υἱοῦ τοῦ πνεύματος; "Χάριν καὶ ἀποστολήν·" τουτέστιν, [y]οὐχ ἡμεῖς αὐτὸ κατωρθώσαμεν τὸ γενέσθαι ἀπόστολοι· οὐδὲ γὰρ καμόντες πολλὰ καὶ πονέσαντες, τὴν ἀξίαν ταύτην ἐλάχομεν, ἀλλὰ χάριν ἐλάβομεν, καὶ τῆς ἄνωθεν δωρεᾶς τὸ
B κατόρθωμα γέγονεν. "Εἰς ὑπακοὴν πίστεως." Οὐκ ἄρα οἱ ἀπόστολοι ἦσαν οἱ κατορθοῦντες, ἀλλ' ἡ προσδοποιοῦσα χάρις αὐτοῖς. Ἐκείνων μὲν γὰρ ἦν τὸ περιϊέναι καὶ κηρύττειν, τὸ δὲ πείθειν τοῦ ἐνεργοῦντος [z]ἐν αὐτοῖς θεοῦ· καθὼς καὶ ὁ Λουκᾶς [a]φησιν, ὅτι [20]"Διήνοιξε τὴν καρδίαν αὐτῶν·" καὶ πάλιν, "Οἷς

15 Joan. ii. 19. viii. 28. Matth. xii. 39. 16 v. 5. 17 Joan. xvi. 12. Act. xiii. 2. 18 1 Cor. xii. 8, 11. 19 Act. xx. 28. 20 Ibid. xvi. 14.

[q] *σημεῖα* I. *ἡ γ. αὕτη σημεῖον ἐπιζητεῖ* hoc ordine Edd. contra fidem librorum. [r] *τοῦ*] *ἀντὶ τοῦ* D. *τοῦ*, quod aberat, receptum ex omnibus. [s] *βούλεται εἶναι* inverso ord. A.F.H.I. [t] *ἐκεῖνος* A.B.D.E.F.G.I. *ἐκεῖνο* Edd. ante Ben. [v] *τὴν* om. E. et a pr. man. B. [w] *πάντα αὐτὸ* omnes. Editi *αὐτὸ πάντα*. [x] *Μιλησίοις*] *Φιλιππησίοις* A.B.D.E.F.G. Vid. Annot. [y] *οὐχ*] *οὐ γὰρ* H. [z] *ἐν* om. F.H. [a] *φησιν ὅτι*] *ὅτι φησὶν* A.F.H.I. Statim *τὰς καρδίας* H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἦν δεδομένον ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ." "Εἰς ὑπακοήν." Οὐκ εἶπεν, εἰς ζήτησιν καὶ κατασκευήν, ἀλλ', "εἰς ὑπακοήν." Οὐδὲ γὰρ ἐπέμφθημεν, φησί, συλλογίζεσθαι, ἀλλ' ὅπερ ἐνεχειρίσθημεν ἀποδοῦναι. Ὅταν γὰρ ὁ δεσπότης [b]ἀποφαίνηταί τι, [c]τοὺς ἀκούοντας οὐ περιεργάζεσθαι χρὴ τὰ λεγόμενα καὶ πολυπραγμονεῖν, ἀλλὰ δέχεσθαι μόνον. Οἱ γὰρ ἀπόστολοι C διὰ τοῦτο ἐπέμφθησαν, ἵνα, ἅπερ ἤκουσαν, εἴπωσιν, οὐχ ἵνα οἰκοθέν τι προσθῶσι· καὶ [d]ἡμεῖς, ἵνα πιστεύσωμεν. Τί ἵνα πιστεύσωμεν; "Περὶ τοῦ ὀνόματος αὐτοῦ·" οὐχ ἵνα τὴν [e]οὐσίαν περιεργασώμεθα, ἀλλ' [f]ἵνα εἰς τὸ ὄνομα πιστεύσωμεν· τοῦτο γὰρ ἦν, ὃ καὶ τὰ σημεῖα ἐποίει. [21]"Ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, φησὶν, ἔγειραι καὶ περιπάτει." Καὶ τοῦτο δὲ αὐτὸ πίστεως δεῖται, καὶ οὐδὲν τούτων λογισμῷ [g]καταλαβεῖν δυνατόν. "Ἐν πᾶσι τοῖς ἔθνεσιν, [22]ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ." Τί οὖν; πᾶσι τοῖς ἔθνεσιν ὁ Παῦλος ἐκήρυξεν; Ὅτι μὲν [h]γὰρ ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ D Ἰλλυρικοῦ διέδραμε, κἀκεῖθεν πάλιν εἰς αὐτὰς ἐξέβη τῆς γῆς τὰς ἐσχατιάς, δῆλον ἐξ ὧν Ῥωμαίοις ἐπέστειλεν. Εἰ δὲ καὶ μὴ πᾶσιν ἐπέστη, οὐδὲ οὕτω ψεῦδος τὸ λεγόμενον· οὐ γὰρ περὶ [i]αὐτοῦ μόνον φησὶν, ἀλλὰ καὶ περὶ τῶν δώδεκα ἀποστόλων, καὶ πάντων τῶν [k]καταγγειλάντων τὸν λόγον [l]τῶν μετ' ἐκείνους. Ἄλλως δὲ οὐδὲ ἐπ' [m]αὐτοῦ τὸν λόγον ἐλεγχόμενον ἴδοι τις ἄν, [n]ἂν καὶ τὴν προθυμίαν ἐννοήσῃ τὴν ἐκείνου, καὶ ὅτι μετὰ [o]τὴν τελευτὴν οὐ παύεται πανταχοῦ τῆς οἰκουμένης κηρύττων. Ἐννόησον [p]δὲ πῶς ἐπαίρει τὴν δωρεὰν, καὶ δείκνυσι μεγάλην οὖσαν καὶ πολὺ τῆς προτέρας ὑψηλοτέραν· εἴγε τὰ E μὲν παλαιὰ περὶ ἔθνος ἦν [q]ἐγίνετο, αὕτη δὲ γῆν καὶ θάλασσαν ἐπεσπάσατο. Σκόπει δέ μοι κἀκεῖνο, πῶς [r]καὶ κολακείας ἁπάσης [s]ἐστὶν ἀπηλλαγμένη ἡ Παύλου ψυχή. Ῥωμαίοις γὰρ διαλεγόμενος [t]τοῖς ὥσπερ ἐν κορυφῇ τινι τῆς οἰκουμένης ἁπάσης

21 Act. iii. 6. 22 v. 6.

[b] Sic A.B.D.E.F.I. ἀποφήνηται vulgo. [c] τοὺς ἀκούοντας om. A.F.H. invitis Interpp. [d] ἡμεῖς]+δὲ λοιπὸν Edd. Haec om. A.B.D.E.F.H.I. [e] οὐσίαν]+αὐτοῦ Edd. αὐτοῦ om. A.B.E.F.H.I. [f] ἵνα, quod aberat, habent A.B.D.E.F.H.I. Mox αὐτοῦ post ὄνομα abesse jubent A.B.E.F.H.I. [g] καταλαμβάνειν A.B.F.H.I. [h] γὰρ om. D.E. [i] αὐτοῦ pro ἑαυτοῦ scribunt A.B.D.E.I. Statim φησὶν om. A.F.H.I. [k] καταγγελλόντων A.B.H.I. [l] τῶν, quod aberat, est in A.B.F.H.I. [m] αὐτῷ B.D.I. [n] ἂν καὶ] Sic omnes. εἰ Edd. Statim ἐννοήσῃ pro ἐννοήσει habent A.B.F.G.H.I. [o] τὴν accessit ex B.D.E.G. [p] δὲ om. E.H. [q] ἐγίνετο B.E. ἐγένετο A.D.H. γέγονεν I. ἐγίγνετο Edd. [r] καὶ est in libris omnibus, non in Edd. Statim ἁπάσης pro πάσης omnes. [s] ἐστὶν ἀπ. pro ἀπ. ἐστὶν omnes. Statim τοῦ Παύλου Edd. invitis libris. [t] τοῖς] αὐτοῖς τοῖς A.F.H.I. Mox τινι om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθημένοις, οὐδὲν πλέον αὐτοῖς δίδωσι τῶν λοιπῶν ἐθνῶν· οὐδέ, ἐπειδὴ τότε ἐκράτουν καὶ ἐβασίλευον, καὶ ἐν τοῖς πνευματικοῖς φησί τι πλέον αὐτοὺς ἔχειν· ἀλλ' ὥσπερ, [v]φησὶ, τοῖς ἔθνεσι πᾶσι κηρύττομεν, οὕτω καὶ ὑμῖν, μετὰ Σκυθῶν καὶ Θρᾳκῶν
434 αὐτοὺς ἀριθμῶν. Ἐπεὶ εἰ μὴ τοῦτο ἐβούλετο δηλῶσαι, περιττὸν ἦν τὸ εἰπεῖν, "ἐν οἷς ἐστε καὶ ὑμεῖς." Ταῦτα δὲ ποιεῖ καθαιρῶν αὐτῶν τὸ φρόνημα, καὶ κενῶν τὸ φύσημα τῆς διανοίας, καὶ διδάσκων αὐτοὺς τὴν πρὸς [w]ἀλλήλους ἰσοτιμίαν. [x]Διὸ ἐπήγαγεν αὐτὸ τοῦτο λέγων· "ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ·" τουτέστι, μεθ' ὧν ἐστε καὶ ὑμεῖς. Καὶ οὐκ εἶπεν, ὅτι τοὺς ἄλλους μεθ' ὑμῶν, ἀλλ' ὑμᾶς μετὰ τῶν ἄλλων ἐκάλεσεν. Εἰ γὰρ ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος οὐδὲ
B ἐλεύθερος, πολλῷ μᾶλλον οὐδὲ βασιλεὺς καὶ ἰδιώτης· καὶ γὰρ [y]καὶ ὑμεῖς ἐκλήθητε, [z]οὐκ ἀφ' ἑαυτῶν προσήλθετε.

23 "Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ." [a]Ὅρα πῶς συνεχῶς τὸ ὄνομα τοῦ κλητοῦ τίθησι, "κλητὸς [b]ἀπόστολος," "ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ," "πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ κλητοῖς." Τοῦτο δὲ οὐ περιττολογῶν ποιεῖ, ἀλλὰ βουλόμενος αὐτοὺς τῆς εὐεργεσίας ἀναμνῆσαι. Ἐπειδὴ γὰρ εἰκὸς ἦν ἐν τοῖς πιστεύουσι [c]καὶ ἐξ ὑπάτων εἶναι
C [d]καὶ ὑπάρχων, καὶ πένητας καὶ ἰδιώτας, ἐκβάλλων τὴν ἀνωμαλίαν τῶν ἀξιωμάτων, πᾶσι μίαν ἐπιστέλλει προσηγορίαν. (9) Εἰ δὲ ἐν τοῖς ἀναγκαιοτέροις καὶ πνευματικοῖς κοινὰ δούλοις καὶ ἐλευθέροις ἅπαντα πρόκειται, οἷον ἡ ἀγάπη ἡ παρὰ τοῦ θεοῦ, ἡ κλῆσις, τὸ εὐαγγέλιον, ἡ υἱοθεσία, ἡ χάρις, ἡ εἰρήνη, ὁ ἁγιασμὸς, τὰ ἄλλα πάντα, πῶς ἐσχάτης ἀνοίας οὐκ ἂν εἴη, οὓς ὁ θεὸς συνῆψε καὶ ὁμοτίμους ἐποίησεν ἐν τοῖς μείζοσι, τούτους διαιρεῖν ἀπὸ τῶν ἐν τῇ γῇ πραγμάτων; Διά τοι τοῦτο ἀπὸ τῶν προοιμίων αὐτῶν τὴν χαλεπὴν ταύτην [e]ἐκβάλλων νόσον ὁ μακάριος
D οὗτος, εἰς τὴν μητέρα τῶν ἀγαθῶν αὐτοὺς ἐμβιβάζει, ταπεινοφροσύνην. Τοῦτο καὶ οἰκέτας βελτίους εἰργάζετο, μανθάνοντας ὡς οὐδὲν ἐκ τῆς δουλείας παραβλαβήσονται, τὴν ὄντως ἐλευθερίαν ἔχοντες· τοῦτο [f]τοὺς δεσπότας μετριάζειν παρεσκεύαζε, παιδευομένους ὡς οὐδὲν αὐτοῖς ὄφελος τῆς ἐλευθερίας,

23 v. 7.

[v] φησὶ] φησὶν ἐν F.H.I. [w] ἀλλήλους] Sic nostri omnes. τοὺς ἄλλους Edd. [x] διὸ]+καὶ H. [y] καὶ om. A.H. et casu, ut videtur, Montef. [z] οὐκ] καὶ οὐκ Edd. καὶ deest in omnibus. Statim προσήλθατε F.H. [a] ὁρᾷς B.D.E.G. [b] ἀπόστολος]+λέγων Edd. λέγων deest in omnibus. [c] καὶ ἐξ ὑπάρχων εἶναι καὶ ὑπάτων Edd. repugnantibus libris. [d] καὶ]+ἐξ A.F.H.I. [e] ἐκβάλλων pro ἐκβαλὼν omnes. [f] τοὺς] καὶ τοὺς Edd. καὶ deest in omnibus. Statim μετρ. παρεσκ. pro παρεσκ. μετρ. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν μὴ τὰ τῆς πίστεως ᾖ προηγούμενα. Καὶ ἵνα μάθῃς, ὅτι οὐ σύγχυσιν ἐργαζόμενος τοῦτο ἐποίει καὶ πάντα μιγνὺς, ἀλλ' οἶδε καὶ διαίρεσιν ἀρίστην, οὐχ ἁπλῶς ἔγραψε, πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀλλὰ μετὰ διορισμοῦ, "τοῖς ἀγαπητοῖς τοῦ θεοῦ." Αὕτη γὰρ [g]ἀρίστη διαίρεσις, [h]ἣ καὶ δείκνυσι πόθεν ὁ ἁγιασμός. Ε Πόθεν οὖν ὁ ἁγιασμός; Ἀπὸ τῆς ἀγάπης. Εἰπὼν γὰρ, ἀγαπητοῖς, τότε ἐπήγαγε, "κλητοῖς ἁγίοις," [i]δηλῶν ὅτι ἐντεῦθεν ἡμῖν ἡ πηγὴ τῶν ἀγαθῶν ἁπάντων. Ἁγίους δὲ τοὺς πιστοὺς καλεῖ πάντας. "Χάρις ὑμῖν καὶ εἰρήνη." Ὦ προσηγορίας μυρία φερούσης ἀγαθά. Τοῦτο καὶ ὁ Χριστὸς τοῖς ἀποστόλοις εἰς τὰς οἰκίας εἰσιοῦσι πρῶτον ῥῆμα [k]λέγειν ἐπέταττε. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐντεῦθεν πανταχοῦ προοιμιάζεται, ἀπὸ τῆς χάριτος καὶ τῆς εἰρήνης. Οὐδὲ γὰρ μικρὸν κατέλυσεν ὁ Χριστὸς πόλεμον, ἀλλὰ [l]καὶ ποικίλον καὶ παντοδαπὸν καὶ χρόνιον· καὶ τοῦτον οὐκ ἐκ τῶν ἡμετέρων πόνων, ἀλλὰ διὰ τῆς [m]αὐτοῦ χάριτος. Ἐπεὶ οὖν ἡ μὲν ἀγάπη τὴν χάριν, ἡ δὲ χάρις 435
τὴν εἰρήνην ἐδωρήσατο, [n]ἐν τάξει προσηγορίας αὐτὰ θεὶς, ἐπεύχεται μένειν διηνεκῆ καὶ ἀκίνητα, ὥστε μὴ πάλιν ἕτερον ἀναρριπισθῆναι πόλεμον· καὶ παρακαλεῖ τὸν δεδωκότα, πάγια [o]αὐτὰ διατηρεῖν, οὕτω λέγων· "Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ." Ἰδοὺ ἐνταῦθα τὸ, ἀπὸ, κοινόν ἐστιν [p]υἱοῦ καὶ πατρὸς, ὅπερ ἐστὶν ἴσον τῷ, ἐξ οὗ. Οὐ γὰρ εἶπε, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ [q]Χριστοῦ, ἀλλ', "ἀπὸ θεοῦ πατρὸς καὶ [r]κυρίου Ἰησοῦ Χριστοῦ." Βαβαὶ, πόσον ἴσχυσεν ἡ τοῦ θεοῦ Β
ἀγάπη· οἱ ἐχθροὶ [s]καὶ ἠτιμωμένοι ἅγιοι καὶ υἱοὶ [t]γεγόναμεν ἐξαίφνης. Ὅταν γὰρ πατέρα καλέσῃ, υἱοὺς ἐδήλωσεν· ὅταν δὲ υἱοὺς εἴπῃ, ἅπαντα [v]τῶν ἀγαθῶν τὸν θησαυρὸν [w]ἀνεκάλυψε.

[x]Μένωμεν τοίνυν ἀξίαν τῆς δωρεᾶς τὴν πολιτείαν [y]ἐπιδεικνύμενοι, καὶ τὴν εἰρήνην καὶ τὴν ἁγιωσύνην διατηροῦντες. Τὰ

[g] ἡ ἀρίστη Edd. ἡ om. B.D.E.G. Statim διαίρεσις A.F.G.H.I. διάκρισις vulgo. [h] ἣ (ᾗ H.) est in libris omnibus, non in Edd. Mox ὁ ante ἁγιασμὸς om. B.G. [i] δηλῶν ὅτι] Sic A.B.D.E.F.G.I. δηλονότι Edd. ante Ben. [k] λέγειν omnes. φάσκειν vulgo. [l] καὶ, quod aberat, habent A.D.F.H.I. [m] αὐτοῦ pro αὐτοῦ A.B.D.E.F.G. τοῦ θεοῦ H. [n] ἐν] Sic B.D.E.G. καὶ ἐν F.H.I. Veron. ὡς ἐν Sav. Mor. Ben. [o] αὐτὰ pro ταῦτα omnes. Statim τηρεῖν A.F.H.I. [p] υἱοῦ καὶ πατρὸς A.B.D.E.I. πατρὸς καὶ υἱοῦ Edd. Haec ἐστιν υἱοῦ καὶ πατρὸς ὅπερ om. H. [q] Χριστοῦ om. H.I. [r] κυρίου]+ἡμῶν Edd. contra fidem librorum. [s] καὶ οἱ ἠτιμ. D.F.H.I. οἱ superscriptum habet A. [t] γεγόναμεν omnes. γεγόνασιν Edd. [v] τῶν ἀγ. τὸν θ.] τὸν ἀγαθὸν θ. H. [w] ἐξεκάλυψε B.D.E.G. [x] ΗΘΙΚΟΝ. Περὶ ἀγάπης θεοῦ καὶ υἱοθεσίας, καὶ ὅτι τὰ παρὰ τοῦ θεοῦ δωρούμενα ἀξιώματα βέβαια καὶ μετὰ θάνατον μένει, τὰ δὲ τῶν ἀνθρώπων οὐχ οὕτω· καὶ ὅτι δεῖ φεύγειν πονηρίαν. Veron. [y] ἐπιδεικνύμενοι omnes. Edebatur ἐνδεικνύμενοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν γὰρ ἄλλα ἀξιώματα πρόσκαιρά τε ἐστὶ, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ χρημάτων ἐστὶν ὠνητά· ὅθεν οὐδὲ ἀξιώματα αὐτὰ [z]ἄν τις εἶναι φαίη, ἀλλ' ὀνόματα ἀξιωμάτων μόνον, ἐν τῇ τῶν ἱματίων περιβολῇ καὶ τῇ τῶν δορυφόρων
C κολακείᾳ τὴν δύναμιν ἔχοντα· τοῦτο δὲ, ἅτε παρὰ τοῦ θεοῦ δοθὲν, [a]τὸ δῶρον τὸ τῆς [b]ἁγιωσύνης καὶ τῆς υἱοθεσίας, οὐδὲ θανάτῳ διακόπτεται, ἀλλὰ καὶ ἐνταῦθα ποιεῖ λαμπρούς, καὶ πρὸς τὴν μέλλουσαν ἡμῖν συναποδημεῖ ζωήν. Ὁ γὰρ τὴν υἱοθεσίαν διατηρῶν, καὶ τὴν ἁγιωσύνην μετὰ ἀκριβείας [c]διαφυλάττων, αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου καὶ τὴν ἀλουργίδα ἔχοντος λαμπρότερός τε [d]ἐστὶ πολλῷ καὶ μακαριώτερος,
D [e]καὶ κατὰ τὸν παρόντα βίον, γαλήνῃ τε ἐντρυφῶν πολλῇ, καὶ χρηστοῖς συντρεφόμενος ἐλπίσι, καὶ οὐδεμίαν θορύβου καὶ ταραχῆς ἔχων ὑπόθεσιν, ἀλλ' ἡδονῆς διηνεκοῦς ἀπολαύων. Εὐθυμίαν γὰρ καὶ χαρὰν οὐκ ἀρχῆς μέγεθος, οὐ χρημάτων πλῆθος, οὐ δυναστείας ὄγκος, οὐκ ἰσχὺς σώματος, οὐ πολυτέλεια τραπέζης, οὐχ ἱματίων κόσμος, οὐκ ἄλλο τι τῶν [f]ἀνθρωπίνων ποιεῖν εἴωθεν, ἀλλ' ἡ κατόρθωμα μόνον πνευματικὸν καὶ συνειδὸς ἀγαθόν. Καὶ ὁ τοῦτο κεκαθαρμένον ἔχων, κἂν ῥάκια περικείμενος ᾖ, [g]καὶ λιμῷ παλαίων, τῶν σφόδρα τρυφώντων ἐστὶν εὐθυμότερος· ὥσπερ οὖν ὁ πονηρὰ συνειδὼς ἑαυτῷ, κἂν τὰ (10)
[h]πάντων περιβάληται χρήματα, πάντων ἐστὶν ἀθλιώτερος. Διὰ δὴ τοῦτο ὁ μὲν Παῦλος ἐν λιμῷ ζῶν [i]διηνεκεῖ καὶ γυμνό-
E τητι, καὶ μαστιζόμενος καθ' ἑκάστην ἡμέραν, ἔχαιρέ τε καὶ ἐτρύφα μᾶλλον τῶν βασιλευόντων τότε· ὁ δὲ Ἀχαὰβ [k]βασιλεὺς ὢν καὶ τρυφῆς ἀπολαύων πολυτελοῦς, ἐπειδὴ τὴν ἁμαρτίαν ἐκείνην εἰργάσατο, ἔστενέ τε καὶ ἠθύμει, καὶ τὸ πρόσωπον αὐτοῦ συμπεπτωκὸς ἦν, καὶ πρὸ τῆς ἁμαρτίας καὶ μετὰ τὴν ἁμαρτίαν. Εἰ τοίνυν βουλόμεθα ἀπολαύειν ἡδονῆς, πρὸ τῶν ἄλλων ἁπάντων φεύγωμεν πονηρίαν, καὶ διώκωμεν ἀρετὴν, ὡς οὐκ ἐνὸν ἄλλως τούτου μετασχεῖν, κἂν ἐπ' αὐτὸν ἀναβῶμεν τὸν
436 θρόνον τὸν βασιλικόν. Διὸ καὶ [l]ὁ Παῦλος ἔλεγεν· [24]"Ὁ δὲ καρπὸς τοῦ πνεύματος ἀγάπη, χαρὰ, εἰρήνη." Τοῦτον οὖν τὸν

[24] Gal. v. 22.

[z] ἄν τις εἶναι pro εἶναι ἄν τις A.B.D.E.F.H.I. [a] τὸ om. I. [b] ἁγιωσύνης]+λέγω D.E. [c] διαφυλάττων B.D.E.G. φυλάττων Edd. [d] ἔσται F.H.I. Mox μακαριώτερος pro μακαριστότερος omnes. [e] καὶ om. G. Idem post βίον interpungit, quod et nos fecimus. [f] ἀνθρωπίνων]+χρηματικῶν G. [g] καὶ] κἂν I. [h] πάντων] πάντα H. Statim περιβέβληται B.D.E.G. περιβάληται A.F.H. Edebatur περιβάλληται. [i] διηνεκεῖ] τῷ δ. Edd. repugnantibus libris. [k] βασιλεὺς ὢν] Sic omnes. βασιλεύων Edd. Mox πολυτελοῦς ἀπολαύων inverso ord. B.E.G. [l] ὁ om. A.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καρπὸν τρέφωμεν παρ' ἑαυτοῖς, ἵνα καὶ τῆς ἐνταῦθα χαρᾶς ἀπολαύσωμεν, καὶ τῆς μελλούσης ἐπιτύχωμεν βασιλείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ.

[1]Πρῶτον [a]μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ B
[b]ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

ΠΡΕΠΟΝ τῇ μακαρίᾳ ψυχῇ τὸ προοίμιον, καὶ ἱκανὸν ἅπαντας παιδεῦσαι καὶ ἔργων καὶ λόγων ἀγαθῶν ἀπάρχεσθαι τῷ θεῷ, καὶ [c]οὐ μόνον ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων εὐχαριστεῖν κατορθωμάτων, ὃ καὶ φθόνου καὶ βασκανίας καθαρὰν ποιεῖ τὴν ψυχὴν, καὶ τὸν θεὸν ἐπισπᾶται μειζόνως πρὸς [d]τὴν τῶν εὐχαριστούντων εὔνοιαν. Διὸ καὶ ἀλλαχοῦ φησιν· [2]"Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου C
ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ." Εὐχαριστεῖν δὲ δεῖ οὐχὶ πλουτοῦντας μόνον, ἀλλὰ καὶ πενομένους, οὐχ ὑγιαίνοντας, ἀλλὰ καὶ νοσοῦντας, οὐκ εὐημεροῦντας, ἀλλὰ καὶ τἀναντία ὑπομένοντας. Τὸ μὲν γὰρ ἐξ οὐρίας τῶν πραγμάτων φερομένων εὐχαριστεῖν, θαυμαστὸν οὐδέν· [e]ὅταν δὲ πολὺ τὸ κλυδώνιον ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ [f]κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης ἐπίδειξις. Διὰ δὴ τοῦτο καὶ ὁ Ἰὼβ ἐντεῦθεν ἐστεφανοῦτο, καὶ τὸ ἀναίσχυντον [g]στόμα τοῦ διαβόλου ἐνέφραττε, καὶ ἐδείκνυ σαφῶς, ὅτι οὐδὲ ἡνίκα εὐημερῶν ἦν, διὰ τὰ D
χρήματα εὐχάριστος ἦν, ἀλλὰ διὰ τὴν πολλὴν περὶ τὸν θεὸν ἀγάπην. Ὅρα δὲ καὶ ἐπὶ τίσιν εὐχαριστεῖ· οὐκ ἐπὶ τοῖς γηΐνοις [h]καὶ ἀπολλυμένοις, οἷον ἐπὶ ἀρχῇ καὶ δυναστείᾳ καὶ δόξῃ· ταῦτα γὰρ οὐδενὸς ἄξια λόγου· ἀλλ' ἐπὶ τοῖς ὄντως ἀγαθοῖς, τῇ πίστει καὶ τῇ παρρησίᾳ· καὶ μεθ' ὅσης [i]διαθέσεως εὐχαριστεῖ· οὐ γὰρ εἶπε, τῷ θεῷ, ἀλλά, "τῷ θεῷ μου" ὃ καὶ

[1] Cap. I. v. 8. [2] Ephes. i. 3.

Hom. III. [a] μὲν, quod aberat ante Ben. habent A.B.D.E.F.G.H. et Mosqq. [b] ὑπὲρ] περὶ G. [c] οὐ pro μὴ A.D.E.F.H.I. [d] τὴν τῶν εὐχαριστούντων om. D.E. [e] ὅταν δὲ] τὸ δὲ ὅταν E. [f] κινδυνεύῃ]+ταὐτὸ τοῦτο ποιεῖν D.E. [g] στόμα τ. δ.] Sic A.D.E.F.H.I. τοῦ δ. στόμα vulgo. Statim ἔφραττε B.G. [h] καὶ ἀπολλυμένοις om. G. [i] διαθ. εὐχ. omnes. εὐχ. διαθ. vulgo.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ προφῆται ποιοῦσι, [k]τὸ κοινὸν ἰδιοποιούμενοι. Καὶ τί θαυμαστὸν, εἰ οἱ προφῆται; Αὐτὸς γὰρ [l]αὐτὸ συνεχῶς ὁ θεὸς φαίνεται ποιῶν ἐπὶ τῶν δούλων, θεὸν Ἀβραὰμ [m]καὶ Ἰσαὰκ
E καὶ Ἰακὼβ [n]ἰδιαζόντως λέγων ἑαυτόν. "Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ." Τί οὖν; πᾶσα ἡ γῆ τὴν πίστιν ἤκουσε τῶν Ῥωμαίων; Πᾶσα ἐξ ἐκείνου· καὶ οὐδὲν ἀπεικός· οὐ γὰρ ἄσημος ἡ πόλις ἦν, ἀλλ' ὥσπερ ἐπί τινος κορυφῆς κειμένη, [o]διὰ πάντα κατάδηλος [p]ἦν. Σὺ δέ μοι σκόπει τοῦ κηρύγματος τὴν δύναμιν, πῶς ἐν χρόνῳ βραχεῖ διὰ τελωνῶν καὶ ἁλιέων αὐτῆς τῆς τῶν πόλεων ἐπελάβετο [q]κεφαλῆς, καὶ ἄνδρες Σύροι Ῥωμαίων ἐγένοντο διδάσκαλοι καὶ καθηγηταί. Δύο τοίνυν αὐτοῖς μαρτυρεῖ κατορθώματα· καὶ ὅτι ἐπίστευον, καὶ ὅτι μετὰ παρρησίας ἐπίστευον, καὶ τοσαύτης ὡς [r]πᾶσαν
437 τὴν γῆν καταλαβεῖν τὴν ὑπὲρ αὐτῶν φήμην. "Ἡ πίστις γὰρ ὑμῶν, φησὶ, καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ" ἡ πίστις, οὐχ αἱ λογομαχίαι, οὐδὲ αἱ συζητήσεις, οὐδὲ οἱ συλλογισμοί· καίτοι πολλὰ ἦν ἐκεῖ τὰ κωλύματα τῆς διδασκαλίας. Καὶ γὰρ ἄρτι (11)
τῆς οἰκουμένης δεξάμενοι τὴν ἀρχὴν, [s]καὶ μέγα ἐφρόνουν, καὶ [t]πλούτῳ καὶ τρυφῇ συνέζων· καὶ τὸ κήρυγμα ἁλιεῖς ἐκόμιζον, Ἰουδαῖοι καὶ ἐξ Ἰουδαίων, ἔθνους μεμισημένου καὶ παρὰ πᾶσι βδελυκτοῦ· καὶ τὸν ἐσταυρωμένον προσκυνεῖν ἐκελεύοντο, τὸν ἐν Ἰουδαίᾳ τραφέντα· καὶ μετὰ τοῦ δόγματος καὶ βίον αὐ-
B στηρὸν [v]κατήγγελλον οἱ [w]διδάσκοντες ἀνθρώποις τρυφᾶν μεμελετηκόσι, καὶ πρὸς τὰ παρόντα ἐπτοημένοις· καὶ οἱ καταγγέλλοντες ἦσαν πένητες καὶ ἰδιῶται, [x]ἀγεννεῖς καὶ ἐξ ἀγεννῶν. Ἀλλ' οὐδὲν τούτων τοῦ λόγου τὸν δρόμον ἐκώλυσε· τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις ἦν, ὡς πανταχοῦ περιάγειν τὸν λόγον. "Καταγγέλλεται γὰρ, φησὶν, ἐν ὅλῳ τῷ κόσμῳ." Καὶ οὐκ εἶπε, δηλοῦται, ἀλλὰ, "καταγγέλλεται," ὡς πάντων ἐν στόμασιν αὐτοὺς ἐχόντων. Θεσσαλονικεῦσι μὲν οὖν τοῦτο μαρτυρῶν, καὶ ἕτερον προστίθησιν· εἰπὼν γὰρ [y]ὅτι [3]"Ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ [z]θεοῦ," ἐπήγαγεν, "ὥστε μὴ

[3] 1 Thess. i. 8.

[k] τὸ] Sic A.B.D.E.G.H.I. Edebatur τὸν ante Montef. [l] αὐτὸ] αὐτὸς H. Statim ὁ θεὸς om. E. [m] καὶ]+θεὸν B.G. [n] ἰδιαζόντως om. D.E. Statim ἑαυτὸν A.B.D.E.G.H.I. αὐτὸν Veron. Sav. Mor. [o] διὰ πάντα] διὰ πάντων D. πᾶσι B.G. [p] ἦν]+ἀ ἐκέκτητο D. [q] κεφαλῆς pro κορυφῆς A.B.D.E. F.G.H. [r] ἅπασαν B.D.G. Statim καταλαμβάνειν B.G. [s] καὶ est in nostris omnibus, non in Edd. [t] πλ. καὶ τρ.] τρ. καὶ πλ. A.D.E.H.I. [v] κατήγγελλον A.B.D.E.I. fortasse alii. κατήγγελον Veron. Sav. Mor. [w] διδάσκωντες omnes. διδάσκαλοι vulgo. [x] ἀγ.] καὶ ἀγ. B.G. Statim ἀγενεῖς et ἀγενῶν G.H. [y] ὅτι accessit ex omnibus. [z] θεοῦ] Χριστοῦ B.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι." Οἱ γὰρ μαθηταὶ ἐν τάξει C
διδασκάλων [a]κατέστησαν, διὰ τῆς παρρησίας αὐτῶν πάντας
παιδεύοντες, καὶ πρὸς ἑαυτοὺς ἐφελκόμενοι. Οὐ γὰρ ἵστατό
που τὸ κήρυγμα, ἀλλὰ πυρὸς σφοδρότερον πᾶσαν ἐπῄει τὴν
οἰκουμένην. Ἐνταῦθα δὲ τοσοῦτον μόνον, ὅτι καταγγέλλεται.
[b]Καλῶς εἶπεν, ὅτι καταγγέλλεται, δεικνὺς ὅτι οὐδὲν ἔδει προσ-
θεῖναι τοῖς εἰρημένοις, οὐδὲ ἀφελεῖν· ἀγγέλου γὰρ [c]τοῦτο
ἔργον ἐστὶ, τὸ μόνα τὰ λεγόμενα διακομίζειν. Διὰ τοῦτο
καὶ ὁ ἱερεὺς ἄγγελος [d]λέγεται, ὅτι οὐ τὰ ἑαυτοῦ, ἀλλὰ [e]τὰ
τοῦ πέμποντος ἀπαγγέλλει. Καίτοιγε [f]Πέτρος ἐκήρυξεν ἐκεῖ,
ἀλλὰ καὶ τὰ ἐκείνου [g]αὐτοῦ ἡγεῖται· οὕτως, ὅπερ ἔφθην εἰπὼν, D
μεθ' ὑπερβολῆς ἁπάσης βασκανίας ἦν καθαρός.

4 "Μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί
μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ." Ἀποστολικῶν σπλάγ-
χνων τὰ ῥήματα, πατρικῆς [h]κηδεμονίας ἡ ἀπόφασις. Τί δέ
ἐστιν ὃ φησι, καὶ τίνος ἕνεκεν τὸν θεὸν μάρτυρα καλεῖ; Περὶ
διαθέσεως ὁ λόγος ἦν αὐτῷ. Ἐπεὶ οὖν οὐδέπω ἦν αὐτοὺς ἑω-
ρακὼς, [i]διὰ τοῦτο ἀνθρώπων μὲν οὐδένα, τὸν δὲ ἐμβατεύοντα
[k]ταῖς καρδίαις, τοῦτον ἐκάλεσε μάρτυρα. Ἐπειδὴ γὰρ ἔλεγεν,
ὅτι ἀγαπῶ ὑμᾶς, καὶ σημεῖον [l]ἐποιεῖτο τὸ διηνεκῶς εὔχεσθαι, E
καὶ τὸ βούλεσθαι ἐλθεῖν πρὸς αὐτοὺς, [m]καὶ οὐδὲ τοῦτο δῆλον
ἦν, ἐπὶ τὴν ἀξιόπιστον καταφεύγει μαρτυρίαν. [n]Ἆρα δυνή-
σεταί τις [o]ὑμῶν καυχήσασθαι, ὅτι μέμνηται ἐπὶ τῆς οἰκίας
εὐχόμενος τοῦ τῆς ἐκκλησίας πληρώματος; Οὐκ οἶμαι. Ἀλλ'
ὁ Παῦλος οὐχ ὑπὲρ πόλεως μιᾶς, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης
ἁπάσης προσήει τῷ θεῷ, καὶ τοῦτο οὐχ ἅπαξ [o]οὐδὲ δεύτερον,
οὐ τρίτον, [p]ἀλλὰ διηνεκῶς. Εἰ δὲ τὸ διηνεκῶς ἐν μνήμῃ τινὰ
περιφέρειν, οὐκ ἂν γένοιτο, εἰ μὴ ἀπὸ ἀγάπης πολλῆς· [q]τὸ ἐν

4 v. 9.

[a] *κατέστησαν*] ἦσαν I. Statim *διὰ τῆς παρουσίας* idem. [b] *καλῶς*] καὶ καλῶς B.G. *ὅτι* om. iidem. [c] *τοῦτο* et p.p. *ἐστι* om. D.E. *ἔργον* om. a pr. man. I. *ἦν* pro *ἐστι* A.F.H.I. [d] *λέγεται* omnes. *καλεῖται* Edd. [e] *τὰ* om. Veron. Sav. Mor. contra fidem librorum. Statim *ἀπαγγέλλει* pro *ἀναγγέλλει* habent A.D.E.F.G.H.I. [f] *Πέτρος*] καὶ *Πέτρος* A.F.H.I. [g] *αὐτοῦ* pro *ἑαυτοῦ* A.B.E.F.G.H.I. *αὐτοῦ* D. [h] *κηδεμονίας*] *διδασκαλίας* A.E.H.I. [i] *διὰ*]+*τοι* Edd. repugnantibus libris. [k] *τὰς καρδίας* G. et a pr. man. B. [l] *ἐποιεῖτο τὸ*] Sic B.G. ut tacite ediderat Montef. *ἐποίει τοῦτο τὸ* D.E. Ceteri, ut vulgo, *ἐποίει τό*. [m] *καὶ οὐδὲ τοῦτο δ. ἦν*] καὶ τοῦτο δὲ δ. οὐκ ἦν. D. *τοῦτο δὲ δ. οὐκ ἦν* E. [n] *ὑμῶν* pro *ἡμῶν* omnes. [o] *οὐδὲ*] οὐ D.E. Statim *οὐδὲ τρίτον* I. Hoc tacite edidit Montef. [p] *ἀλλὰ διηνεκῶς. εἰ δὲ τὸ δ. ἐν μνήμῃ τινὰ π.*] *ἀλλὰ διηνεκῶς ἐν μνήμῃ. εἰ δὲ τὸ δ. τινα π.* A.F. *ἀλλὰ διηνεκῶς ἐν μνήμῃ εἶχεν. εἰ δὲ τὸ δ. τινὰ π.* I. *ἀλλὰ διηνεκῶς τινα π.* H. [q] *τὸ ἐν εὐχαῖς ἔχειν ἀδιαλείπτως*] Sic A.B.D.E.G.H.I. Editi, *τὸ ἐν εὐχαῖς γὰρ ἔχειν, καὶ ἀδιαλείπτως ἔχειν.* [*γὰρ*] Sav. Mor. *γὰρ* om. F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὐχαῖς ἔχειν ἀδιαλείπτως, ἐννόησον πόσης ἐστὶ διαθέσεως καὶ
438 φιλίας. Ὅταν δὲ εἴπῃ, " ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν
τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ," ὁμοῦ μὲν τὴν τοῦ θεοῦ χάριν,
ὁμοῦ δὲ τὴν [r]αὐτοῦ ταπεινοφροσύνην [s]ἡμῖν ἐνδείκνυται· τὴν μὲν
τοῦ θεοῦ χάριν, ὅτι τοσοῦτον αὐτῷ πρᾶγμα ἐπέτρεψε, τὴν δὲ
αὐτοῦ ταπεινοφροσύνην, ὅτι οὐχὶ τῇ ἑαυτοῦ σπουδῇ, ἀλλὰ τῇ
τοῦ πνεύματος βοηθείᾳ τὸ πᾶν λογίζεται. Ἡ δὲ τοῦ εὐαγ-
γελίου προσθήκη τὸ εἶδος δηλοῖ τῆς διακονίας. Καὶ γὰρ
πολλοὶ [t]τῆς λατρείας οἱ τρόποι καὶ διάφοροι. [v]Καὶ καθάπερ
ἐπὶ τῶν βασιλέων πάντες μέν εἰσιν ὑφ' ἑνὶ τεταγμένοι τῷ
B βασιλεύοντι, διακονοῦνται δὲ [w]οὐ πάντες τὰ αὐτὰ, ἀλλὰ τῷ
μέν ἐστιν ἡ διακονία ἐν τῷ στρατοπέδων ἄρχειν, τῷ δὲ ἐν τῷ
πόλεις οἰκονομεῖν, ἑτέρῳ πάλιν ἐν τῷ φυλάττειν τὰ ἐν τοῖς
ταμιείοις χρήματα· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν ὁ μὲν λα-
τρεύει τῷ θεῷ καὶ δουλεύει ἐν τῷ πιστεύειν καὶ τὸν βίον [x]τὸν
ἑαυτοῦ καλῶς οἰκονομεῖν, ὁ δὲ ἐν τῷ ξένων θεραπείαν [y]ἀναδεδέ-
χθαι, ὁ δὲ ἐν τῷ τὴν προστασίαν τῶν δεομένων [z]μεταχειρίζειν·
καθάπερ καὶ ἐπ' αὐτῶν τῶν ἀποστόλων οἱ περὶ τὸν Στέφανον ἐν
τῇ τῶν χηρῶν προστασίᾳ ἐδούλευον τῷ θεῷ, [a]ἄλλος ἐν τῇ τοῦ
λόγου διδασκαλίᾳ, ὧν καὶ ὁ Παῦλος ἦν, ἐν τῷ τὸ κήρυγμα
C εὐαγγελίζεσθαι λατρεύων· καὶ οὗτος ἦν ὁ τῆς δουλείας [b]αὐτοῦ
τρόπος· τοῦτο γὰρ ἦν ἐπιτεταγμένος. Διὰ τοῦτο οὐ μάρτυρα
[c]τὸν θεὸν καλεῖ μόνον, ἀλλὰ καὶ [d]ὅπερ ἐνεπιστεύθη λέγει,
δεικνὺς ὅτι οὐκ ἂν τηλικαῦτα ἐγχειρισθεὶς, τὸν ἐμπιστεύσαντα (12)
μάρτυρα ἐπὶ ψευδέσιν [e]ἐκάλεσε. Μετὰ δὲ [f]τούτου κἀκεῖνο
δεῖξαι βούλεται, τὴν ἀγάπην τὴν ὑπὲρ αὐτῶν καὶ τὴν φροντίδα
ἀναγκαίαν οὖσαν. Ἵνα γὰρ μὴ λέγωσι, σὺ τίς ὢν καὶ πόθεν,
πόλιν οὕτω μεγάλην καὶ βασιλικωτάτην μεριμνᾶν φῄς; δεί-
κνυσιν ἀναγκαίαν [g]οὖσαν αὐτῷ τὴν τοιαύτην φροντίδα, εἴγε
D [h]αὐτῷ τῆς δουλείας οὗτος ὁ τρόπος ἐπιτέτακται, τὸ καταγ-
γέλλειν τὸ εὐαγγέλιον. Ὁ γὰρ τοῦτο ἐγκεχειρισμένος ἀνάγκην

[r] αὐτοῦ pro αὑτοῦ hic A.F.G.H. infra B.E.F.G.H. [s] ἡμῖν ἐνδείκνυται pro ἐνδ. ἡμῖν A.D.G.I. ἡμῖν om. E. ἡμῖν ἐπιδείκνυται H. Statim haec τὴν μὲν τοῦ θεοῦ——ταπεινοφροσύνην desunt in E. [t] τῆς λατρείας οἱ τρ. κ. δ.] Sic omnes. Edebatur τῆς διακονίας οἱ τρ. κ. δ. καὶ τῆς λατρείας δὲ ὡσαύτως. [v] καὶ καθάπερ] Sic B.D.E.G. καθάπερ γὰρ vulgo. [w] οὐ τὰ αὐτὰ πάντες hoc ordine B.G. τὰ αὐτὰ οὐ πάντες D. [x] τὸν ἑαυτοῦ] Sic A.B.D.E.F.G.I. αὐτοῦ sine artic. H. αὑτοῦ Edd. [y] ἀναδέχεσθαι B.D. et ex corr. G. Ita tacite Montef. [z] μεταχειρίζειν omnes. Edebatur μεταχειρίζεσθαι. Statim ἐπὶ τῶν ἀποστόλων αὐτῶν Edd. refragantibus libris. [a] ἄλλοι E. *alii* Musc. [b] αὐτῷ G. [c] τὸν θεὸν καλεῖ omnes. καλεῖ τὸν θεὸν Edd. [d] ὅπερ] ὥσπερ H. [e] ἐκάλεσε omnes. ἐκάλει vulgo. [f] τοῦτο A.D.F.G.H. et a pr. man. B. [g] οὖσαν post τοιαύτην transp. B.G. [h] αὐτῷ]+τὴν τοιαύτην φροντίδα Χριστὸς δέδωκε, καὶ E. Idem post τρόπος add. παρ' αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχει τοὺς μέλλοντας ὑποδέχεσθαι τὸν λόγον διαπαντὸς ἔχειν ἐπὶ τῆς διανοίας. Δηλοῖ δὲ καὶ ἕτερον πρὸς τούτοις εἰπών, "ἐν τῷ πνεύματί μου" ὅτι πολὺ καὶ τῆς Ἑλληνικῆς καὶ τῆς Ἰουδαϊκῆς λατρείας ἀνωτέρα αὕτη. Ἡ μὲν γὰρ Ἑλληνικὴ, [i]καὶ σαρκικὴ καὶ πεπλανημένη· ἡ δὲ Ἰουδαϊκὴ, ἀληθὴς μὲν, σαρκικὴ δὲ καὶ [k]αὐτή· ἡ δὲ τῆς ἐκκλησίας, τῆς μὲν Ἑλληνικῆς ἐναντία, τῆς δὲ Ἰουδαϊκῆς ὑψηλοτέρα πολλῷ τῷ μέτρῳ. [l]Οὐδὲ γὰρ διὰ προβάτων καὶ μόσχων καὶ καπνοῦ καὶ [m]κνίσης ὁ τῆς ἡμετέρας λατρείας τρόπος, ἀλλὰ διὰ ψυχῆς πνευματικῆς· ὅπερ E καὶ ὁ Χριστὸς δηλῶν ἔλεγε· [5]"Πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ [n]δεῖ προσκυνεῖν." "Ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ." Ἀνωτέρω εἰπὼν τὸ εὐαγγέλιον τοῦ πατρὸς εἶναι, ἐνταῦθα τοῦ υἱοῦ [o]αὐτό φησιν· οὕτως ἀδιάφορον [p]καὶ πατρὸς καὶ υἱοῦ [q]λέγειν. Καὶ γὰρ ἔμαθε παρὰ τῆς μακαρίας ἐκείνης φωνῆς, ὅτι τὰ τοῦ πατρὸς τοῦ υἱοῦ, καὶ τὰ τοῦ υἱοῦ τοῦ πατρός. [6]"Πάντα γὰρ, [r]φησὶ, τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά." "Ὡς ἀδιαλείπτως μνείαν ὑμῶν [s]ποιοῦμαι ἐπὶ τῶν προσευχῶν μου." Τοῦτο γνησίας ἀγάπης. 439
Καὶ δοκεῖ μὲν ἓν τι λέγειν, τέσσαρα δὲ τίθησιν ἐνταῦθα· καὶ ὅτι μέμνηται, καὶ ὅτι ἀδιαλείπτως, καὶ ὅτι ἐν εὐχαῖς, καὶ ὅτι ὑπὲρ μεγάλων πραγμάτων.

[7]"Δεόμενος, εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς." [t]"Ορα καὶ ὠδίνοντα αὐτοὺς ἰδεῖν, καὶ οὐκ ἀνεχόμενον παρὰ τὸ τῷ θεῷ δοκοῦν ἰδεῖν, ἀλλὰ κεκερασμένον φόβῳ θεοῦ τὸν πόθον ἔχοντα. Ἐφίλει μὲν γὰρ αὐτοὺς, καὶ ἠπείγετο πρὸς αὐτούς· οὐ μὴν, ἐπειδὴ ἐφίλει, παρὰ τὸ τῷ θεῷ δοκοῦν ἐβούλετο ἰδεῖν. Αὕτη [v]ἡ γνησία ἀγάπη, οὐχ ὡς B ἡμεῖς οἱ ἀμφοτέρωθεν τῶν νόμων τῆς ἀγάπης ἐκπίπτοντες. [w]Ἡ γὰρ οὐδένα φιλοῦμεν, ἢ ἐπειδὰν φιλήσωμέν ποτε, παρὰ τὸ τῷ θεῷ δοκοῦν [w]φιλοῦμεν, ἀμφότερα παρὰ τὸν θεῖον [x]ποιοῦντες νόμον. Εἰ δὲ φορτικὰ ταῦτα λεγόμενα, φορτικώτερα [y]γινόμενα. Καὶ πῶς παρὰ τὸ τῷ θεῷ δοκοῦν φιλοῦμεν, φη-

[5] Joan. iv. 24. [6] Ibid. xvii. 10. [7] v. 10.

[i] καὶ om. A.D.E.F.H.I. καὶ πεπλ. καὶ σαρκικὴ inverso ord. Edd. contra fidem librorum. [k] αὐτὴ A.E.H. αὕτη vulgo. [l] οὐδὲ pro οὐ A.D.E.F.H.I. [m] κνίσης A.B.G.H. κνίσσης vulgo. [n] δεῖ] χρὴ A.H.I. [o] αὐτὸ] αὐτοῦ G.H. [p] καὶ] τὸ E. οἷδε τὸ D. [q] λέγειν]+αὐτὸ D. [r] φησὶ, quod aberat ante Montef. est in nostris omnibus. [s] ποιοῦμαι]+πάντοτε B.D.G. non Mosqq. [t] ὅρα pro ὁρᾷς omnes. [v] ἡ om. Veron. Sav. Mor. invitis libris. [w] φιλοῦμεν] ποιοῦμεν A. ποιοῦντες H. (et δοκοῦντες pro δοκοῦν). φιλοῦντες D.E. φιλοῦμεν om. I. [x] ποιοῦμεν D.E. et ex corr. A. [y] γινόμενα] γίνεται H. ὅτε γίνεται I. γίνεται πραττόμενα G. πολλῷ γίνεται τὰ πραττόμενα B.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σίν; [f]Ὅταν τὸν μὲν Χριστὸν λιμῷ τηκόμενον περιορῶμεν, παισὶ δὲ [z]καὶ φίλοις καὶ συγγενέσιν ὑπὲρ τὴν χρείαν παρέ-C χωμεν. Μᾶλλον δὲ τί χρὴ [a]περαιτέρω τὸν λόγον προάγειν; [b*]Ἂν γὰρ τὸ ἑαυτοῦ συνειδὸς ἕκαστος ἐξετάσῃ, ἐπὶ πολλῶν τοῦτο εὑρήσει [c]γινόμενον πραγμάτων. Ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος τοιοῦτος ἦν, ἀλλ' ἤδει καὶ φιλεῖν, καὶ φιλεῖν [d]ὡς χρὴ, καὶ ὡς προσῆκον ἦν, καὶ πάντας νικῶν [e]τῷ φιλεῖν, οὐχ ὑπερέ-βαινε τῆς ἀγάπης τὰ μέτρα. Ὅρα γοῦν ἀμφότερα μεθ' ὑπερ-βολῆς ἐν αὐτῷ βρύοντα, καὶ τὸν τοῦ θεοῦ φόβον, καὶ τὸν τῶν Ῥωμαίων πόθον. Τὸ μὲν γὰρ διηνεκῶς εὔχεσθαι, καὶ μὴ τυγ-χάνοντα μὴ ἀφίστασθαι, [f]ἀγάπης σφοδρᾶς ἦν· τὸ δὲ ἀγαπῶντα [g]οὕτω μένειν τῷ τοῦ θεοῦ νεύματι εἴκοντα, εὐλαβείας ἐπιτετα-D μένης. [8]Ἀλλαχοῦ μὲν οὖν τρὶς τὸν κύριον παρακαλέσας, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ τὸ ἐναντίον, μὴ λαβὼν, χάριν ἔγνω τοῦ παρακουσθῆναι πολλήν· οὕτω πρὸς τὸν θεὸν ἐν ἅπασιν ἔβλεπεν. Ἐνταῦθα δὲ ἔλαβε μὲν, οὐχ ὅτε δὲ ἤτησεν, ἀλλὰ βραδέως, καὶ [h]οὐδὲ ἐνταῦθα ἐδυσχέρανε. Ταῦτα δὲ λέγω, ἵνα μὴ [i]ἀσχάλλωμεν μὴ ἀκουόμενοι, [k]ἢ βραδέως ἀκουόμενοι. Οὐ γάρ ἐσμεν Παύλου βελτίους, ὃς ἐπ' ἀμφοτέροις [l]χάριν ὁμολο-γεῖ· καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ ἅπαξ ἑαυτὸν ἔδωκε τῇ πάντα κυβερνώσῃ χειρὶ, καὶ μετὰ τοσαύτης ὑποταγῆς ὑπέθηκε, E μεθ' ὅσης ὁ πηλὸς τῷ κεραμεῖ, ἥπερ ἦγεν ὁ θεὸς, ἠκολούθει. Εἰπὼν τοίνυν, ὅτι ηὔχετο ἰδεῖν αὐτοὺς, λέγει καὶ τὴν αἰτίαν τῆς ἐπιθυμίας. [m]Τίς δέ ἐστιν αὕτη; [9]"Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς." Οὐ γὰρ ἁπλῶς, (13) ὥσπερ πολλοὶ νῦν περιττὰς καὶ ἀνονήτους ἀποδημίας ποιοῦνται, οὕτω καὶ ἐκεῖνος, ἀλλ' ὑπὲρ ἀναγκαίων καὶ σφόδρα κατεπει-γόντων. Καὶ σαφῶς μὲν [n]οὐ λέγει τοῦτο ὃ βούλεται, αἰνιγματωδῶς δέ. Οὐδὲ γὰρ εἶπεν, ἵνα διδάξω ὑμᾶς, ἵνα κατηχήσω, ἵνα τὸ λεῖπον ἀναπληρώσω, ἀλλ', "ἵνα τι μεταδῶ," δεικνὺς ὅτι 440 οὐ τὰ [o]αὐτοῦ δίδωσιν, ἀλλ' ἅπερ ἔλαβε μετεδίδου. Καὶ ἐν-

[8] 2 Cor. xii. 8. [9] v. 11.

[z] καὶ συγγενέσι καὶ φίλοις inverso ord. A.D.E.F.H.I. [a] τὸν λόγον περαι-τέρω hoc ord. A.E.F.H.I. [b] ἂν pro ἐὰν A.B.D.E.H.I. [c] γενόμενον F.H.I. [d] ὡς χρὴ καὶ om. E. [e] τῷ] τὸ E.H. [f] ἀγάπης] ἀπὸ ἀγάπης ex corr. G. [g] οὕτω, quod aberat, est in libris omnibus. [h] οὐδὲ ἐνταῦθα] Sic omnes. οὐδὲν ἐντεῦθεν Edd. Statim ἐδυσχέραινεν F.H. [i] ἀσχάλωμεν E. et a pr. man. B. etiam G. ex corr. [k] ἢ βραδέως ἀκουόμενοι om. D.E.H. [l] χάρω] χαίρειν H. Statim ὡμολογεῖ (sic) F. ὡμολόγει vel ὡμολογεῖ B.H.I. [m] τίς] τι H. [n] οὐ λέγει τοῦτο ὃ βούλεται] Sic omnes. *Neque enim aperte suam aperit voluntatem* Brix. Edebatur sine monito, λέγειν τοῦτο οὐ βούλεται. [o] αὐτοῦ] + αὐτοῖς Edd. repugnantibus libris.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦθα δὲ μετριάζει πάλιν εἰπὼν, "ἵνα τι·" [p]μικρὸν, φησὶ, καὶ ἐμοὶ σύμμετρον. Καὶ τί ποτέ ἐστι [q]τοῦτο τὸ μικρὸν, οὗ μέλλεις [r]ἡμῖν μεταδιδόναι; "Τοῦτο δέ ἐστι, φησὶν, εἰς τὸ στηριχθῆναι ὑμᾶς." Ἆρα καὶ τοῦτο χάριτος, τὸ μὴ σαλεύεσθαι, ἀλλ' ἑστάναι βεβαίως. Χάριν δὲ ὅταν ἀκούσῃς, μὴ νομίσῃς ἐκβεβλῆσθαι τὸν ἀπὸ τῆς προαιρέσεως μισθόν· χάριν γὰρ εἶπεν, οὐχὶ τὸν [s]ἐκ προαιρέσεως ἀτιμάζων πόνον, ἀλλὰ τὸν ἐξ ἀπονοίας ὑποτεμνόμενος τῦφον. Μὴ τοίνυν ἐπειδὴ Παῦλος αὐτὸ χάρισμα ἐκάλεσεν, ἀναπέσῃς. Οἶδε γὰρ δι' εὐγνωμοσύνην B πολλὴν καὶ [t]τὰ κατορθώματα χαρίσματα καλεῖν, διὰ τὸ καὶ ἐν τούτοις πολλῆς ἡμᾶς δεῖσθαι τῆς ἄνωθεν ῥοπῆς. Εἰπὼν [v]δὲ, "εἰς τὸ στηριχθῆναι ὑμᾶς," λανθανόντως ἔδειξε δεομένους πολλῆς διορθώσεως. [a]Ὃ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ἐκ πολλοῦ τοῦ χρόνου [w]καὶ ἐπεθύμουν καὶ ηὐχόμην ὑμᾶς ἰδεῖν, δι' ἕτερον μὲν οὐδὲν, ἵνα δὲ ὑμᾶς βεβαιώσω, [x]στηρίξω, πήξω καλῶς εἰς τὸν τοῦ θεοῦ [y]λόγον, ὥστε μὴ σαλεύεσθαι διηνεκῶς. Ἀλλ' οὕτω μὲν οὐκ εἶπεν· ἔπληξε γὰρ ἄν· ἑτέρως δὲ ὑφειμένως τὸ αὐτὸ αἰνίττεται· ὅταν γὰρ [z]εἴπῃ, "εἰς τὸ στηριχθῆναι ὑμᾶς," τοῦτο δηλοῖ.

Εἶτα ἐπειδὴ καὶ τοῦτο σφόδρα φορτικὸν ἦν, ὅρα πῶς αὐτὸ C παραμυθεῖται διὰ τῆς ἐπαγωγῆς. Ἵνα γὰρ μὴ λέγωσι, τί γάρ; σαλευόμεθα [a]καὶ περιφερόμεθα, καὶ τῆς παρὰ σοῦ δεόμεθα γλώττης εἰς τὸ στῆναι βεβαίως; προλαβὼν ἀναιρεῖ τὴν τοιαύτην ἀντίρρησιν, οὕτω λέγων· [10] "Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ." Ὡς ἂν εἰ ἔλεγε· μὴ ὑποπτεύσητε, ὅτι κατηγορῶν ὑμῶν εἶπον· οὐ ταύτῃ τῇ γνώμῃ [b]ἐφθεγξάμην τὸ ῥῆμα· ἀλλὰ τί ποτέ ἐστιν, ὅπερ ἠβουλήθην εἰπεῖν; Πολλὰς [c]ὑπομένετε D θλίψεις, [d]ὑπὸ τῶν διωκόντων [e]περιαντλούμενοι· ἐπεθύμησα τοίνυν ὑμᾶς ἰδεῖν, ἵνα παρακαλέσω, μᾶλλον δὲ οὐχ ἵνα παρακαλέσω μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς παράκλησιν δέξωμαι. Ὅρα σοφίαν διδασκάλου. Εἶπεν, "εἰς τὸ στηριχθῆναι ὑμᾶς·" [f]εἶδε

[10] v. 12.

[p] μικρὸν] +τι Edd. τι om. A.E.F.G.H.I. [q] τοῦτο τὸ μ. pro τὸ μ. τοῦτο omnes. [r] ἡμῖν omnes. νῦν Edd. [s] ἐκ] ἀπὸ τῆς A.D.E.F.H.I. [t] τὰ om. F. [v] δὲ] τοίνυν E. [w] καὶ accessit ex omnibus. [x] στηρίξω]+ τε καὶ Edd. τε deest in omnibus. τε καὶ om. A.D.E.F.H.I. [y] λόγον] Sic A.B.D.F.G.H.I. φόβον Edd. et Interpp. φόβον καὶ λόγον E. [z] εἴπῃ pro εἶπεν omnes. [a] καὶ accessit ex A.B.D.E.G.H.I. [b] τὸ ῥ. ἐφθεγξάμην inverso ord. B.G. [c] ὑπομένετε pro ὑπεμείνατε omnes. [d] ὑπὸ] ἀπὸ H. [e] παρενοχλούμενοι D.E. [f] εἶδε pro οἶδε A.B.D.E.F.G.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαρὺ καὶ φορτικὸν [g]τοῖς μαθηταῖς τὸ εἰρημένον. Λέγει, "εἰς τὸ παρακληθῆναι ὑμᾶς." Ἀλλὰ καὶ τοῦτο βαρὺ πάλιν, οὐχ οὕτω μὲν ὡς τὸ πρότερον, βαρὺ δὲ ὅμως. Ὑποτέμνεται τοίνυν καὶ τούτου πάλιν τὸ φορτικὸν, λεαίνων πανταχόθεν τὸν λόγον, Ε καὶ ποιῶν εὐπαράδεκτον. Οὐ γὰρ ἁπλῶς εἶπε, παρακληθῆναι, ἀλλὰ, "συμπαρακληθῆναι," καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἑτέραν εἰσάγει πλείονα θεραπείαν, εἰπών· "διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ." Βαβαὶ, πόση [h]ἦν ἡ ταπεινοφροσύνη. Ἔδειξε καὶ [i]ἑαυτὸν ἐκείνων δεόμενον, [k]οὐκ ἐκείνους τούτου μόνον· καὶ τοὺς μαθητὰς ἐν τάξει διδασκάλων ἐκάθισεν, οὐδεμίαν [l]ἀφεὶς μεῖναι ὑπεροχὴν παρ' αὐτῷ, ἀλλὰ πολλὴν τὴν ἰσοτιμίαν ἐπιδειξάμενος. Κοινὸν γάρ ἐστι [m]τὸ κέρδος, φησὶ, καὶ ἐγὼ τῆς παρ' ὑμῶν δέομαι παρακλήσεως, καὶ ὑμεῖς τῆς παρ' 441 ἐμοῦ. Καὶ πῶς τοῦτο γίνεται; "Διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ." Καθάπερ γὰρ ἐπὶ πυρὸς ἂν πολλάς τις συναγάγῃ λαμπάδας, λαμπρὰν ἀνάπτει τὴν φλόγα· οὕτω καὶ ἐπὶ τῶν πιστῶν γίνεσθαι πέφυκεν. Ὅταν μὲν γὰρ καθ' ἑαυτοὺς ὦμεν διεσπασμένοι, ἀθυμότεροί πως ἐσμέν· ὅταν δὲ [n]ἴδωμεν ἀλλήλους, καὶ τοῖς οἰκείοις περιπλακῶμεν μέλεσι, πολλὴν δεχόμεθα τὴν παράκλησιν. Μὴ γάρ μοι τὸν παρόντα καιρὸν ἐξετάσῃς, καθ' ὃν τῇ τοῦ [o]θεοῦ χάριτι [p]καὶ κατὰ πόλιν καὶ κώμην, καὶ ἐν αὐτῇ τῇ ἐρήμῳ πολλὰ τῶν πιστευόντων τὰ τάγματα, καὶ πᾶσα ἀσέβεια ἐξελήλαται· ἀλλ' ἐννόησον κατ' Β ἐκεῖνον τὸν καιρὸν, ὅσον ἦν ἀγαθὸν καὶ διδάσκαλον ἰδεῖν τοὺς μαθητὰς, καὶ ὑπὸ ἀδελφῶν ἀδελφοὺς ὀφθῆναι [q]ἐξ ἄλλης πόλεως ἐπελθόντας. Ἵνα δὲ καὶ σαφέστερον τὸ λεγόμενον ποιήσω, ἐπὶ ὑποδείγματος τὸν λόγον [r]ἀγάγω. Εἰ γὰρ [s]συμβαίη ποτὲ καὶ [t]γένοιτο, ὃ μὴ γένοιτο, ἀπενεχθέντας εἰς τὴν (14) Περσῶν γῆν ἢ Σκυθῶν ἢ βαρβάρων ἑτέρων [v]διεσπάρθαι κατὰ δύο καὶ τρεῖς ἐν ἐκείναις ταῖς πόλεσιν, εἶτα ἐξαίφνης τινὰ τῶν

[g] τοῖς μ. τὸ εἰρημένον. λέγει] Sic A.B.E.F.G.I. τοῖς μ. εἰρημένον. λέγει H. τοῖς μ. τὸ εἰρημένον ὃν καὶ λέγει D. τὸ εἰρημένον τοῖς μαθηταῖς ὃν καὶ λ. Edd. [h] ἦν accessit ex omnibus. [i] αὐτὸν A.B.H.I. αὑτὸν D.G. [k] οὐκ ἐκείνους τούτου μόνον om. F.H.I. [l] ἀφεὶς μ. ὑ.] Sic omnes. ὑ. ἀφεὶς μ. Edd. Statim παρ' αὐτῷ G.H. fortasse alii. παρ' αὐτῷ Veron. Sav. Mor. [m] τὸ om. H. [n] ἴδωμεν ἀλλήλους καὶ τοῖς] Sic A.B.D.E.F.G.I. ἰδόντες ἀλλήλους τοῖς Edd. Sic, sed omisso ἰδόντες, H. [o] θεοῦ] Χριστοῦ F.H.I. [p] καὶ accessit ex A.B.D.E.G.H.I. Statim κατὰ κώμην καὶ πόλιν Edd. repugnantibus libris. [q] ἐξ] καὶ ἐξ B.G. Mox ἐπεισελθόντας G. [r] ἀγάγω] Sic B.D.E.G. ἀναγάγωμεν A.F.H.I. ἀγάγωμεν Edd. [s] συμβαίη pro συμβῇ omnes. [t] γένηται A.B.D.E.H.I. Statim ὃ μὴ γένηται (corr. γένητο) F. [v] διεσπάρθαι] διεσπάσθαι vel διεσπᾶσθαι A.D.E.F.H.I. et ex corr. G. διεσπάρσθαι Sav. Mor. διεσπάρθαι Veron. Ben.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐντεῦθεν ἰδεῖν [w]ἐπελθόντα, [x]σκόπησον ὅσην ἂν [y]ἐκαρπωσάμεθα παραμυθίαν. Οὐχ ὁρᾶτε καὶ τοὺς ἐν τοῖς δεσμωτηρίοις ὄντας, C εἴ τινα τῶν ἐπιτηδείων ἴδοιεν, ἀνισταμένους καὶ [z]πτεροῦμένους ὑπὸ τῆς ἡδονῆς; Εἰ δὲ αἰχμαλωσίᾳ καὶ δεσμωτηρίῳ [a]παραβάλλω τοὺς τότε καιροὺς, μὴ θαυμάσῃς· πολὺ γὰρ χαλεπώτερα τούτων ἔπασχον ἐκεῖνοι, διεσπαρμένοι καὶ ἐλαυνόμενοι, καὶ λιμῷ καὶ πολέμοις συζῶντες, καὶ καθημερινοὺς θανάτους τρέμοντες, καὶ ὑποπτεύοντες καὶ φίλους καὶ οἰκείους καὶ συγγενεῖς, καὶ καθάπερ ξένην τὴν οἰκουμένην οἰκοῦντες, μᾶλλον δὲ πολλῷ τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων χαλεπώτερον. [b]Διὰ τοῦτό φησιν· "Εἰς τὸ στηριχθῆναι ὑμᾶς, καὶ συμπαρακληθῆναι διὰ τῆς ἐν D ἀλλήλοις πίστεως." Τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς αὐτὸς χρῄζων τῆς παρ' ἐκείνων συμμαχίας, ἄπαγε· πῶς γὰρ ὁ τῆς ἐκκλησίας στῦλος, ὁ σιδήρου καὶ πέτρας στερρότερος, ὁ πνευματικὸς ἀδάμας καὶ μυρίαις ἀρκῶν πόλεσιν; ἀλλ' ἵνα μὴ καταφορικὸν ποιήσῃ [c]τὸν λόγον, μηδὲ σφοδρὰν τὴν ἐπιτίμησιν, καὶ αὐτὸς δεῖσθαι τῆς παρακλήσεως ἔλεγε τῆς ἐκείνων. Εἰ δέ τις ἐνταῦθα [d]παράκλησιν τὴν εὐφροσύνην τὴν ἐπὶ τῇ τῆς πίστεως αὐτῶν ἐπιδόσει λέγοι, καὶ [e]ταύτης δεῖσθαι τὸν Παῦλον, οὐκ ἂν οὐδὲ οὕτως ἁμάρτοι τοῦ λόγου. Εἰ οὖν καὶ ἐπιθυμεῖς, φησὶ, καὶ εὔχῃ, καὶ μέλλεις παρακλήσεως ἀπολαύειν, καὶ παρακλήσεως μεταδι- E δόναι, τί τὸ κωλύον ἐλθεῖν; Ταύτην τοίνυν λύων τὴν ὑπόνοιαν, ἐπήγαγεν· 11 "Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, [f]ἀδελφοὶ, ὅτι πολλάκις [g]προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι [h]τῆς δεῦρο." [i]"Ορα μέτρα δουλικῆς ὑπακοῆς, καὶ πολλῆς εὐγνωμοσύνης [k]ἐπίδειξιν. "Οτι μὲν [l]γὰρ ἐκωλύθη, λέγει· διὰ τί δὲ, οὐκέτι. Οὐ γὰρ ἐξετάζει τοῦ δεσπότου τὸ πρόσταγμα, ἀλλὰ πείθεται μόνον. [m]Καίτοιγε εἰκὸς ἦν διαπορῆσαι, τίνος ἕνεκεν πόλιν οὕτω λαμπρὰν καὶ μεγάλην, καὶ πρὸς ἣν ἅπασα ἔβλεπεν ἡ

11 v. 13.

[w] ἀπελθόντα F.H.I. [x] σκόπησον omnes. ἐννόησον Edd. Statim πόσην G. [y] ἐκαρπωσάμεθα] ἐκαρπώσατο A.E.H.I. ἐκαρπώσατο (sic) F. ἐκαρπώσασθε καὶ ἡμεῖς ἐκαρπωσάμεθα G. *caperemus* Interpp. Statim τὴν παραμυθίαν Edd. invitis omnibus. [z] πτεροῦμένους omnes. Legebatur ἐπτερωμένους. [a] τοὺς τότε (καιροὺς in marg.) παραβάλλω hoc ord. G. [b] διὰ]+τοι Edd. τοι abest ab A.B.D.E.F.H.I. [c] τὸν om. F.I. [d] Editi παράκλησιν καὶ εὐφροσύνην τὴν ἐπὶ (ἐπὶ om. Veron.) τῆς π. αὐ. ἐπίδοσιν λέγοι. Pro καὶ εὐφ. libri omnes tuentur τὴν εὐφ. Deinde τὴν ἐπὶ τῇ τῆς π. αὐ. ἐπιδόσει exhibent D.E.I. et ex corr. recent. B. [e] ταύτη F. [f] ἀδελφοὶ om. B.F.H.I. Mosqq. [g] προεθέμην B.D.E.F.G.H.I. Mosqq. ἐθέμην A. προεθυμήθην Edd. [h] τῆς] τοῦ B.F.G. Mosq. 3. [i] ὅρα]+μετὰ ταῦτα G. [k] ἐπίδειξιν A.B.D.E.G.H.I. Editi ἀπόδειξιν. [l] γὰρ, quod aberat, est in A.B.D.E.G.H. [m] καίτοιγε] A.B.D.E.F.G.I. καίτοι Edd. ante Ben.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

442 οἰκουμένη, ἐκώλυσεν ὁ θεὸς ἀπολαῦσαι διδασκάλου [n]τοιούτου, καὶ [o]ἐπὶ χρόνον τοσοῦτον. Ὁ μὲν γὰρ τῆς κρατούσης πόλεως περιγενόμενος, καὶ τοῖς ἀρχομένοις [p]ῥᾳδίως ἐπῆει· ὁ δὲ τὴν βασιλικωτέραν ἀφεὶς, [q]τοῖς δὲ ὑπηκόοις ἐφεδρεύων, τὸ κεφάλαιον [r]εἶχεν ἠμελημένον. Ἀλλ' ὅμως οὐδὲν τούτων περιεργάζεται, ἀλλὰ παραχωρεῖ τῷ τῆς προνοίας ἀκαταλήπτῳ, τό τε ἐμμελὲς ἐπιδεικνύμενος τῆς ἑαυτοῦ ψυχῆς, καὶ παιδεύων πάντας
B ἡμᾶς μηδέποτε τὸν θεὸν ἀπαιτεῖν εὐθύνας τῶν γινομένων, κἂν δοκῇ πολλοὺς θορυβεῖν τὰ πραττόμενα. Δεσπότου μὲν γάρ ἐστι [s]μόνου τὸ ἐπιτάττειν, [t]οἰκετῶν δὲ τὸ πείθεσθαι. [v]Διὰ τοῦτο, ὅτι μὲν [w]ἐκωλύθη, λέγει· τίνος δὲ ἕνεκεν, οὐκέτι· οὐδὲ γὰρ ἐγὼ οἶδα, φησί. Μὴ τοίνυν ἐρώτα με θεοῦ βουλὴν ἣ γνώμην. [12]Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτω; Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, [x]καὶ ζητεῖς μαθεῖν; Οὐκ οἶσθα, ὅτι μέλει πάντων αὐτῷ; ὅτι σοφός ἐστιν; ὅτι οὐδὲν ἁπλῶς ἐργάζεται καὶ εἰκῇ; ὅτι τῶν γεγεννηκότων σε μᾶλλον φιλεῖ, καὶ πατρὸς [y]ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνει φιλοστοργίαν, καὶ μητρὸς κηδεμονίαν; Μηδὲν οὖν πλέον
C ζήτει, μηδὲ πρόβαινε περαιτέρω· καὶ γὰρ ἀρκεῖ σοι ταῦτα [z]εἰς παραμυθίαν· ἐπεὶ καὶ τότε σοφῶς [a]ᾠκονομεῖτο τὸ τῶν Ῥωμαίων. Εἰ δὲ τὸν τρόπον ἀγνοεῖς, μὴ δυσχέραινε· τοῦτο γὰρ [b]πίστεως μάλιστα, [c]τὸ καὶ ἀγνοοῦντα τὸν τρόπον τῆς οἰκονομίας, δέχεσθαι τὸν περὶ προνοίας λόγον.

Κατορθώσας [d]τοίνυν ὅπερ ἐσπούδαζεν ὁ Παῦλος· τί δὲ τοῦτο ἦν; τὸ δεῖξαι, ὅτι οὐ καταφρονῶν αὐτῶν οὐκ ἤρχετο, ἀλλὰ καὶ σφόδρα ἐπιθυμῶν ἐκωλύετο· καὶ τὸ [e]ἔγκλημα ἀποδυσάμενος τῆς ῥᾳθυμίας, καὶ πείσας ὅτι [f]αὐτῶν οὐχ ἧττον [g]ἐκείνων ἰδεῖν αὐτοὺς ἐπεθύμει, πάλιν καὶ δι' ἑτέρων ἐνδείκνυται
D τὴν ἀγάπην Οὐδὲ γάρ, ἐπειδὴ ἐκωλύθην, φησὶν, ἀπέστην τοῦ ἐπιχειρεῖν, ἀλλ' ἀεὶ μὲν ἐπεχείρουν, ἀεὶ δὲ ἐκωλυόμην, [h]οὐδέ-

12 Rom. ix. 20.

[n] τοσούτου A.B.E.H.I. [o] ἐπὶ χρόνων τοσούτων G. [p] ῥᾳδίως] ἂν ῥᾳδίως I. ῥᾳδίως ἂν καὶ τοῖς ἀρχ. ἐπίοι E. [q] τοῖς] ταῖς E. [r] ἔχει G. [s] μόνου pro μόνον A.B.F.H.I. Statim τὸ ἐπιτρέπειν G. [t] οἰκετῶν omnes. δούλων Edd. [v] διὰ]+δὴ G. [w] ἐκωλύθη omnes. Legebatur ἐκώλυε ante Montef. [x] καὶ om. A.D.E.F.H.I. [y] ἐκ] καὶ ἐκ G. Statim τοῦ om. H. [z] εἰς] πρὸς G. [a] ᾠκονομεῖτο τὸ τῶν Ῥ. D.E. ᾠκονόμειτο (sic) τὸ τῶν Ῥ. F. ᾠκονόμει τὸ τῶν Ῥ. G. ᾠκονόμει τὰ Ῥ. Veron. ᾠκονόμητο τὸ (τὰ B.) τῶν Ῥ. A.B.H.I. Hoc ediderunt Sav. Mor. Ben. [b] μάλιστα πίστεως inverso ord. G. [c] τὸ] τὸν H. Statim καὶ om. G.I. [d] τοίνυν]+ὡς προσῆκον G. [e] ἔγκλημα] ἔνδυμα H. [f] αὐτῶν] αὐτὸς I. [g] ἐκείνων] ἐκεῖνος a manu recent. A. receptum a Sav. Mor. Ben. [h] οὐδὲ ποτε δὲ] καὶ οὐδέποτε I. δὲ om. F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποτε δὲ ἀφιστάμην, τῷ μὲν θελήματι τοῦ θεοῦ οὐκ ἀντιπίπτων, τὴν δὲ ἀγάπην [i]διατηρῶν. Διὰ μὲν γὰρ τοῦ προτίθεσθαι καὶ μὴ ἀφίστασθαι τὸ φίλτρον ἐπεδείκνυτο· διὰ δὲ τοῦ κωλύεσθαι καὶ μὴ ἀντιτείνειν τὴν περὶ τὸν θεὸν [k]εὔνοιαν ἅπασαν. "Ἵνα (15) τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν." Καίτοι [l]καὶ ἀνωτέρω τὴν αἰτίαν εἶπε τῆς ἐπιθυμίας, καὶ αὐτῷ πρέπουσαν ἔδειξεν· ἀλλ' ὅμως καὶ ἐνταῦθα αὐτὴν τίθησι, σφοδρῶς ἐκκαθαίρων αὐτῶν τὴν E ὑπόνοιαν. Ἐπειδὴ γὰρ περίβλεπτος ἦν ἡ πόλις, καὶ μόνη πανταχοῦ γῆς καὶ θαλάττης τοιαύτη, καὶ [m]ἡ τῆς ἱστορίας αὐτῆς ἐπιθυμία μόνη πολλοῖς ἀποδημίας πρόφασις γέγονεν· ἵνα μὴ καὶ περὶ τοῦ Παύλου τοιοῦτόν τι νομίσωσι, [n]μηδὲ ὑποπτεύσωσιν, ὅτι ἁπλῶς τῇ οἰκειώσει αὐτῶν ἐγκαλλωπιζόμενος ἐπεθύμει τῆς ἐκεῖ παρουσίας, συνεχῶς τίθησι τὴν ὑπόθεσιν τῆς ἐπιθυμίας. Καὶ ἔμπροσθεν μέν φησιν, "ἵνα τι μεταδῶ [o]χάρισμα ὑμῖν πνευματικὸν," ἐπεθύμουν ἰδεῖν· ἐνταῦθα δὲ σαφέστερον, "ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι." Τοὺς ἄρχοντας μετὰ τῶν ἀρχομένων 443 ἔστησε, καὶ μετὰ [p]τὰ μυρία τρόπαια καὶ τὰς νίκας καὶ τὴν τῶν ὑπάτων περιφάνειαν, μετὰ τῶν βαρβάρων αὐτοὺς τίθησι· καὶ μάλα εἰκότως. Ὅπου γὰρ [q]ἡ τῆς πίστεως εὐγένεια, οὐδεὶς βάρβαρος, οὐδεὶς Ἕλλην, οὐδεὶς ξένος, οὐδεὶς πολίτης, ἀλλ' εἰς μίαν ἅπαντες [r]ἀξιώματος ἀναβαίνουσιν ὑπεροχήν. [w]Ὅρα δὲ αὐτὸν καὶ ἐνταῦθα μετριάζοντα. Οὐ γὰρ εἶπεν, ἵνα διδάξω καὶ κατηχήσω, ἀλλὰ τί; "[s]Ἵνα τινὰ καρπὸν σχῶ." Καὶ οὐδὲ ἁπλῶς καρπὸν, [t]ἀλλὰ, "τινὰ καρπόν" πάλιν συστέλλων τὰ [v]καθ' ἑαυτὸν, ὥσπερ ἀνωτέρω, "ἵνα τι μεταδῶ." Εἶτα καὶ B αὐτοὺς, ὥσπερ ἔφθην εἰπὼν, καταστέλλων, "καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι," φησίν. [w]Οὐδὲ γὰρ, ἐπειδὴ πλουτεῖτε καὶ τῶν ἄλλων ἔχετε [x]πλέον, ἐλάττονα [y]περὶ τοὺς λοιποὺς σπουδὴν ἐπιδείκνυμι· οὐ γὰρ τοὺς πλουτοῦντας [z]ζητοῦμεν, ἀλλὰ τοὺς πιστούς. Ποῦ [a]νῦν οἱ σοφοὶ τῶν Ἑλλήνων, οἱ τοὺς βαθεῖς πώγωνας [b]ἔλκοντες, καὶ τὰς ἐξωμίδας ἀναβεβλημένοι, καὶ

[i] διατηρῶν omnes. Editi τηρῶν. [k] εὔνοιαν ἅπασαν] Sic A.B.F.H.I. εὔνοιαν πᾶσαν G. εὔνοιαν sine ἅπασαν D.E. ἅπασαν ἀγάπην ἐδήλου Edd. Vocabulum ἐδήλου damnant omnes. [l] καὶ accessit ex omnibus. [m] ἡ, quod aberat ante Montef. agnoscunt libri omnes. [n] μηδὲ ὑποπτεύσωσιν om. G. [o] ὑμῖν χάρισμα inverso ord. D.E.I. [p] τὰ om. F.G.H.I. supra lineam habent A.B. [q] ἡ τῆς om. B. [r] ἀξιωμάτων ἀναβ. κορυφὴν G. [s] ἵνα] ἀλλ' ἵνα B. [t] ἀλλὰ B.G.I. Interpp. ἀλλ' ἵνα vulgo. [v] καθ' ἑαυτὸν] κατ' αὐτῶν G. Statim ὥσπερ καὶ ἀνωτέρω λέγων E. ὥσπερ ἀνωτέρω εἶπεν Edd. εἶπεν deest in nostris. [w] οὐδὲ pro οὐ E.H.I. [x] πλέον] τὸ πλέον D.E. Statim καὶ ἐλάττονα I. [y] περὶ] παρὰ B. Mox ἐπιδείκνυμαι G. [z] ἐπιζητοῦμεν B. [a] νῦν] τοίνυν A.D.E.F.H.I. νῦν]+εἰσιν G. [b] ἔχοντες G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[c]μεγάλα φυσῶντες; Τὴν Ἑλλάδα, τὴν βάρβαρον πᾶσαν ὁ σκηνοποιὸς ἐπέστρεψεν. Ὁ δὲ παρ' αὐτοῖς [d]ἀδόμενος καὶ περιφερόμενος Πλάτων, τρίτον εἰς Σικελίαν ἐλθὼν μετὰ τοῦ C κόμπου τῶν ῥημάτων ἐκείνων, μετὰ τῆς ὑπολήψεως τῆς [e]λαμπρᾶς, οὐδὲ ἑνὸς περιεγένετο τυράννου, ἀλλ' οὕτως ἀθλίως ἀπήλλαξεν, ὡς καὶ αὐτῆς ἐκπεσεῖν τῆς ἐλευθερίας. Ὁ δὲ σκηνοποιὸς οὗτος οὐ Σικελίαν μόνον οὐδὲ Ἰταλίαν, ἀλλὰ πᾶσαν ἐπέδραμε τὴν οἰκουμένην, καὶ οὐδὲ ἐν τῷ κηρύττειν τῆς τέχνης ἀπέστη, ἀλλὰ καὶ τότε δέρματα ἔρραπτε, καὶ ἐργαστηρίου προειστήκει· καὶ οὐδὲ τοῦτο ἐσκανδάλισε τοὺς ἐξ ὑπάτων· καὶ μάλα εἰκότως. Οὐ γὰρ αἱ τέχναι καὶ τὰ ἐπιτηδεύματα, ἀλλὰ τὸ ψεῦδος καὶ τὰ πεπλασμένα δόγματα εὐκαταφρονήτους ποιεῖν εἴωθε τοὺς διδάσκοντας. Διά τοι τοῦτο [f]ἐκείνων μὲν καὶ Ἀθηναῖοι λοιπὸν D καταγελῶσι· τούτῳ δὲ καὶ βάρβαροι προσέχουσι καὶ ἀνόητοι καὶ ἰδιῶται. Κοινὸν γὰρ τὸ κήρυγμα πρόκειται πᾶσιν· οὐκ ἀξιώματος οἵδε διαφοράν, [g]οὐκ ἔθνους ὑπεροχήν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· πίστεως [h]γὰρ δεῖται μόνης, οὐ συλλογισμῶν. Διὸ δὴ μάλιστα αὐτὸ θαυμάζειν ἄξιον, οὐχ ὅτι χρήσιμον καὶ σωτήριον μόνον, ἀλλ' ὅτι καὶ εὔκολον καὶ ῥᾷστον, καὶ [i]πᾶσιν εὔληπτον· ὃ [k]δὴ μάλιστα τῆς τοῦ θεοῦ προνοίας ἔργον ἐστὶ, κοινὰ τὰ παρ' ἑαυτοῦ [l]προτιθέντος ἅπασιν. Ὅπερ γὰρ ἐπὶ ἡλίου καὶ σελήνης καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἄλλων ἐποί- E ησεν, οὐ τοῖς μὲν [m]πλουτοῦσι καὶ σοφοῖς πλείονος μεταδιδοὺς τῆς ἀπὸ τούτων χορηγίας, ἐλάττονος δὲ τοῖς πένησιν, ἀλλ' ἴσην ἅπασι τὴν ἀπόλαυσιν προτιθεὶς, τοῦτο καὶ ἐπὶ τοῦ κηρύγματος εἰργάσατο, καὶ πολλῷ [n]πλέον, ὅσῳ καὶ ἀναγκαιότερον τοῦτο ἐκείνων. Διὸ [o]καὶ Παυλός φησι συνεχῶς, "[p]ἐν πᾶσι τοῖς ἔθνεσιν." Εἶτα [q]δεικνὺς, ὅτι οὐδὲν αὐτοῖς αὐτὸς χαρίζεται, ἀλλ' ἐπίταγμα πληροῖ δεσποτικὸν, καὶ παραπέμπων αὐτοὺς ἐπὶ τὴν τοῦ θεοῦ τῶν ὅλων εὐχαριστίαν, φησίν· [13]" Ὀ- 444 φειλέτης εἰμί·" ὃ καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε. [r]Λέγει δὲ τοῦτο, τὸ πᾶν ἀνατιθεὶς τῷ θεῷ. [14]" Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι." Ὦ ψυχῆς

[13] v. 14. [14] v. 15.

[c] μεγάλα] μέγα G. τὰ μεγάλα Edd. invitis libris. Statim φρονοῦντες I.
[d] ἀδόμενος B.D.E. ἀγόμενος vulgo. [e] λαμπρᾶς] μακρᾶς G. [f] ἐκείνου E.G.I. *illum* Brix. *tales* Musc.
[g] οὐ γένους ὐ. G. [h] γὰρ om. B.
[i] πᾶσιν] τοῖς πᾶσιν Edd. repugnantibus libris. [k] δὴ]+καὶ G. [l] προτιθέναι E. [m] πλουσίοις G. [n] πλέον] μὲν πλεῖον G. Statim ὅσον H.I.
[o] καὶ] δὴ A. Statim ὁ Παῦλος B.G. [p] ἐν accessit ex A.B.D.E.F.H.I.
[q] δεικνὺς]+αὐτοῖς Edd invitis libris. [r] Haec λέγει δὲ——τῷ θεῷ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

γενναίας· πρᾶγμα τοσούτων κινδύνων [s]γέμον ἀναδεξάμενος, ἀποδημίαν διαπόντιον, πειρασμοὺς, ἐπιβουλὰς, ἐπαναστάσεις· καὶ
(16) γὰρ εἰκὸς πόλει τοσαύτῃ [t]μέλλοντα διαλέγεσθαι, ὑπὸ ἀσεβείας τυραννουμένῃ, νιφάδας πειρασμῶν ὑπομένειν· οὕτω γοῦν καὶ τὸν βίον κατέλυσεν ἐν τῇ πόλει ταύτῃ, παρὰ τοῦ τότε τυραννοῦντος ἀποτμηθείς· ἀλλ' ὅμως τοσαῦτα προσδοκῶν ὑπομένειν, οὐδενὶ B τούτων ὀκνηρότερος [v]ἐγίνετο, ἀλλὰ [w]καὶ ἠπείγετο καὶ ᾤδινε καὶ πρόθυμος ἦν. Διό [x]φησι, "Τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι."

15 "Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον." Τί φὴς, ὦ Παῦλε; Δέον εἰπεῖν, ὅτι καὶ καυχῶμαι [y]καὶ σεμνύνομαι καὶ ἐναβρύνομαι, τοῦτο μὲν οὐ λέγεις, τὸ δὲ ἔλαττον τούτου, ὅτι οὐκ ἐπαισχύνῃ· ὅπερ οὐκ ἐπὶ τῶν σφόδρα λαμπρῶν λέγειν εἰώθαμεν. Τί οὖν ἐστιν ὃ φησι; καὶ τίνος ἕνεκεν οὕτω φθέγγεται, καίτοιγε ἀγαλλόμενος ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τῷ οὐρανῷ; Γαλάταις γοῦν ἐπιστέλλων ἔλεγεν· 16 "Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ C Χριστοῦ." Τίνος οὖν ἕνεκεν ἐνταῦθα οὐ λέγει, ὅτι [z]καὶ καυχῶμαι, ἀλλ' ὅτι "οὐκ ἐπαισχύνομαι;" Σφόδρα πρὸς τὰ τοῦ κόσμου πράγματα ἦσαν ἐπτοημένοι οἱ Ῥωμαῖοι διὰ τὸν πλοῦτον, διὰ τὴν ἀρχὴν, διὰ τὰς νίκας· [a]καὶ τοὺς αὐτῶν βασιλεῖς ἰσοθέους ἡγοῦντο. Οὕτω γοῦν αὐτοὺς καὶ ἐκάλουν. Διὰ δὴ τοῦτο καὶ ναοῖς αὐτοὺς ἐθεράπευον, καὶ βωμοῖς καὶ θυσίαις. Ἐπεὶ οὖν οὕτως ἦσαν [b]πεφυσημένοι, ὁ δὲ Παῦλος ἔμελλε κηρύττειν τὸν Ἰησοῦν τὸν [c]νομιζόμενον τοῦ τέκτονος υἱὸν, τὸν ἐν Ἰουδαίᾳ τραφέντα καὶ ἐν οἰκίᾳ γυναικὸς εὐτελοῦς, οὐ δορυφόρους ἐσχηκότα, οὐ χρήματα [d]περιβαλόμενον, ἀλλὰ καὶ ὡς D κατάδικον ἀποθανόντα μετὰ ληστῶν, καὶ ἕτερα πολλὰ ἄδοξα ὑπομείναντα, καὶ εἰκὸς ἦν αὐτοὺς ἐγκαλύπτεσθαι, οὐδὲν τῶν ἀπορρήτων καὶ μεγάλων εἰδότας οὐδέπω· διὰ τοῦτό φησιν, "οὐκ ἐπαισχύνομαι," ἐκείνους διδάσκων τέως μὴ ἐπαισχύνεσθαι· ἤδει γὰρ ὅτι, ἂν τοῦτο κατορθώσωσι, ταχέως προϊόντες καὶ

15 v. 16. 16 Gal. vi. 14.

[s] γέμον (vulgo μεστὸν, invitis omnibus) om. G. Statim ἀναδεξαμένης F. ἀναδεξάμενον G. [t] μελλόντων ante corr. B. [v] ἐγένετο A.D.E.H. γέγονεν I. ἐγίγνετο Edd. [w] καὶ ἠπείγετο (ἐπείγετο I.)] Sic omnes. Edebatur κατηπείγετο. [x] φησιν]+οὕτω Edd. invitis libris. [y] καὶ] ὅτι καὶ H. [z] καὶ om. B.G. [a] καὶ τοὺς αὐτῶν βασιλεῖς ἰσοθέους ἡγοῦντο] Sic G. Veron. et Interpp. Ceteri, καὶ τοὺς αὐτῶν βασιλεῖς· ἰσοθέους γὰρ ἡγοῦντο τούτους. [b] πεφυσημένοι A.D.E.F.G.H.I. πεφυσιωμένοι Edd. [c] ὀνομαζόμενον H. [d] περιβαλόμενον B.E. περιβαλλόμενον Edd.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

[e]ἐπὶ τὸ καυχᾶσθαι ἥξουσι. Καὶ σὺ τοίνυν [f]ἂν ἀκούσῃς τινὸς λέγοντος, [g]τὸν ἐσταυρωμένον προσκυνεῖς; μὴ ἐπαισχυνθῇς, Ε μηδὲ κάτω βλέψῃς, ἀλλὰ καὶ ἐναβρύνου καὶ καλλωπίζου, καὶ ἐλευθέροις ὀφθαλμοῖς καὶ ὑψηλῷ προσώπῳ κατάδεξαι τὴν ὁμολογίαν. Κἂν εἴπῃ πάλιν, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ πάλιν πρὸς αὐτόν· ἀλλ' οὐ τὸν μοιχὸν, οὐδὲ τὸν [h]πατραλοίαν, οὐδὲ τὸν παιδοκτόνον· τοιοῦτοι γὰρ οἱ παρ' αὐτοῖς θεοὶ πάντες· ἀλλὰ τὸν διὰ σταυροῦ δαίμονας [i]ἐπιστομίσαντα, καὶ τὰς μυρίας αὐτῶν ἀνελόντα μαγγανείας. Καὶ γὰρ ὁ σταυρὸς δι' ἡμᾶς, τὸ τῆς ἀφάτου φιλανθρωπίας ἔργον, τὸ τῆς πολλῆς κηδεμονίας σύμβολον. Πρὸς δὲ τοῖς εἰρημένοις, ἐπειδὴ καὶ λόγῳ μέγα [k]κομπάζοντες, καὶ τὴν ἔξωθεν περιβεβλημένοι
445 σοφίαν ἐφυσῶντο, ἐγὼ, φησὶν, ἐρρῶσθαι πολλὰ τούτοις εἰπὼν τοῖς συλλογισμοῖς, σταυρὸν ἔρχομαι κηρύττων, καὶ οὐ διὰ τοῦτο αἰσχύνομαι. "Δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν." Ἐπειδὴ γάρ ἔστι [l]καὶ δύναμις θεοῦ εἰς κόλασιν· καὶ γὰρ ὅτε τοὺς Αἰγυπτίους ἐκόλαζεν, ἔλεγεν· [17]"Αὕτη ἐστὶν ἡ δύναμίς μου ἡ μεγάλη·" καὶ δύναμις εἰς ἀπώλειαν· "Φοβήθητε γὰρ, φησὶ, τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα [m]ἐν γεέννῃ ἀπολέσαι·" διὰ τοῦτό φησιν· οὐ ταῦτα ἐλθὼν κομίζω, οὐ τὰ περὶ κολάσεως καὶ τιμωρίας, [n]ἀλλὰ τὰ περὶ σωτηρίας. Τί οὖν;
Β οὐχὶ καὶ ταῦτα [o]κατήγγελλε τὸ εὐαγγέλιον, τὸν περὶ γεέννης λόγον, τὸν περὶ τοῦ σκότους τοῦ ἐξωτέρου καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου; Καὶ μὴν οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τοῦ εὐαγγελίου ταῦτα ἔγνωμεν. Πῶς οὖν, φησὶ, "δύναμις [p]θεοῦ εἰς σωτηρίαν;" Ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς· "Παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε [q]πρῶτον, καὶ Ἕλληνι." Οὐ γὰρ ἁπλῶς πᾶσιν, ἀλλὰ τοῖς δεχομένοις. Κἂν [r]γὰρ Ἕλλην ᾖς, [s]κἂν πᾶσαν ἐπελθὼν κακίαν, κἂν Σκύθης, κἂν βάρβαρος, κἂν αὐτοθηρίον, [t]καὶ πάσης ἀλογίας γέμων, [v]καὶ μυρία ἁμαρτημάτων ἐπιφερόμενος φορτία, ἅμα τὸν περὶ σταυροῦ λόγον κατεδέξω, καὶ [w]βαπτισθεὶς πάντα ἐκεῖνα ἐξήλειψας. Διὰ τί δέ φησιν ἐν-

17 Joel. ii. 25. Matth. x. 28.

[e] ἐπὶ τὸ εὐσεβέστερον ἥξωσι ex corr. G. [f] ἂν pro ἐὰν A.B.D.E.H.I. [g] τὸν] ὅτι τὸν E. [h] πατρολοίαν H. [i] ἐπιτιμήσαντα E. [k] ἐκόμπαζον D.E. [l] καὶ δ. θεοῦ εἰς] Sic omnes. Edebatur δ. θεοῦ καὶ εἰς. [m] ἐν γ. ἀπολέσαι pro ἀπολέσαι ἐν γ. A.B.D.E.F.H. [n] ἀλλὰ τ. π. σωτηρίας om. G. [o] καταγγέλλει I. ἤγγειλεν H. [p] θεοῦ]+ἐστιν B.G. [q] πρώτῳ H. [r] γὰρ om. G. [s] κἂν] καὶ B.D.E. Statim π. ἐπέλθῃς κακίαν A.F.H.I. π. ἐλθὼν κακίαν καὶ ἐπελθὼν G. [t] καὶ] κἂν A.F.H. Mox γέμον G. [v] καὶ] κἂν H. [w] βαπτισθεὶς F.H.I. et ante corr. A. Edebatur ἐβαπτίσθης. Statim καὶ πάντα Edd. καὶ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦθα, "Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι;" τί βούλεται αὕτη C
ἡ διαφορά; Καίτοι [x]πολλαχοῦ εἶπεν, ὅτι οὔτε περιτομή τι
ἐστὶν, οὔτε ἀκροβυστία· πῶς [y]οὖν ἐνταῦθα διαιρεῖ, προτιθεὶς
τὸν Ἰουδαῖον τοῦ Ἕλληνος; Καὶ τί τοῦτο; Οὐδὲ γὰρ, ἐπειδὴ
πρῶτός ἐστι, καὶ πλέον λαμβάνει τῆς χάριτος· ἡ γὰρ αὐτὴ
(17) δωρεὰ [z]καὶ τούτῳ κἀκείνῳ δίδοται· ἀλλὰ τάξεώς ἐστι τιμὴ
μόνον τὸ πρῶτος. Καὶ γὰρ οὐκ ἐν τῷ μείζονα λαβεῖν δικαιο-
σύνην πλεονεκτεῖ, ἀλλ' ἐν τῷ πρῶτος [a]αὐτὴν λαβεῖν τετίμηται
μόνον· ἐπεὶ καὶ ἐπὶ τῶν φωτιζομένων· ἴστε δὲ οἱ μύσται τὸ
λεγόμενον· πάντες μὲν ἐπὶ τὸ βάπτισμα τρέχουσιν, οὐ πάντες D
δὲ ἐν τῇ αὐτῇ ὥρᾳ, ἀλλ' ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος· οὐ [b]μὴν
ὁ πρῶτος τοῦ δευτέρου πλέον λαμβάνει, οὐδὲ [c]ἐκεῖνος τοῦ μετ'
αὐτὸν, ἀλλὰ τῶν αὐτῶν ἅπαντες ἀπολαύουσι. Τὸ τοίνυν,
πρῶτος, ἐνταῦθα ῥήματός ἐστι τιμὴ, οὐ χάριτος πλεονασμός.
Εἶτα εἰπὼν, "[d]εἰς σωτηρίαν," πάλιν αὔξει τὴν δωρεὰν, δεικνὺς
οὐκ ἄχρι τοῦ παρόντος ἱσταμένην, ἀλλὰ περαιτέρω προϊοῦσαν.
Τοῦτο γὰρ ἐδήλωσεν εἰπών· 18" Δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ
ἀποκαλύπτεται." Ὁ [e]δὲ γενόμενος δίκαιος, οὐ κατὰ τὸν πα- E
ρόντα [f]βίον μόνον, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα ζήσεται. Οὐ
τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον αἰνίττεται μετὰ [g]τούτου, τὸ
λαμπρὸν καὶ περιφανὲς τῆς τοιαύτης ζωῆς. Ἐπειδὴ γάρ ἐστι
καὶ μετὰ αἰσχύνης σωθῆναι· ὥσπερ οὖν πολλοὶ τῶν [h]ἀπὸ
φιλανθρωπίας βασιλικῆς ἀπαλλαττομένων κολάσεως σώζονται·
ἵνα μὴ [i]τοῦτο ὑποπτεύσῃ τις σωτηρίαν ἀκούσας, προσέθηκε καὶ
δικαιοσύνην, [k]καὶ δικαιοσύνην οὐ σὴν, ἀλλὰ θεοῦ, καὶ τὸ δαψιλὲς
αὐτῆς καὶ τὸ εὔκολον αἰνιττόμενος. Οὐ γὰρ ἐξ ἱδρώτων καὶ
πόνων αὐτὴν κατορθοῖς, ἀλλ' ἀπὸ τῆς ἄνωθεν δωρεᾶς λαμβάνεις,
ἓν μόνον [l]εἰσφέρων οἴκοθεν, τὸ πιστεῦσαι. Εἶτα, ἐπειδὴ ἀπί- 446
θανος [m]ὁ λόγος εἶναι ἐδόκει, εἰ ὁ μοιχὸς, καὶ μαλακὸς, καὶ
τυμβωρύχος, [n]καὶ γόης ἀθρόον οὐχὶ κολάσεως ἀπαλλάττεται
μόνον, ἀλλὰ καὶ δίκαιος γίνεται, καὶ δίκαιος τὴν ἀνωτάτω δικαι-
οσύνην, ἀπὸ τῆς παλαιᾶς πιστοῦται τὸν λόγον. Καὶ πρῶτον
μὲν βραχεῖ ῥήματι πέλαγος ἱστοριῶν ἀχανὲς τῷ δυναμένῳ
βλέπειν ἀναπετάννυσιν. Εἰπὼν γὰρ, "ἐκ πίστεως εἰς πίστιν,"
παρέπεμψε τὸν ἀκροατὴν ἐπὶ τὰς οἰκονομίας τοῦ θεοῦ τὰς ἐν

18 v. 17.

[x] πανταχοῦ G. [y] οὖν deerat in Edd. ante Ben. invitis libris. [z] καὶ om. G. [a] αὐτὴν om. B. [b] μὴν]+δὲ D. [c] ἐκεῖνος]+πλεῖον G. [d] εἰς om. I. [e] δὲ pro γοῦν omnes. [f] βίον] αἰῶνα G. [g] τοῦτο G. [h] ὑπὸ B. [i] τοῦτο ὑποπτ. pro ὑποπτ. τοῦτο omnes. Statim τις εἰς σωτηρίαν G. [k] καὶ om. G. [l] φέρων I. [m] ὁ λόγος om. F. Statim δοκεῖ A.D.E.G.I. [n] καὶ γόης om. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ παλαιᾷ γενομένας [o]οὕτως, ἂς Ἑβραίοις ἐπιστέλλων μετὰ πολλῆς ἐξηγεῖται [p]τῆς σοφίας, καὶ τοὺς δικαίους καὶ τοὺς
B ἁμαρτωλοὺς οὕτω δικαιωθέντας [q]δεικνὺς καὶ τότε· διὸ καὶ τῆς [r]πόρνης καὶ τοῦ Ἀβραὰμ ἐμνημόνευσεν. [s]Ἔπειτα δὲ ἐνταῦθα αἰνιξάμενος [s]αὐτὸ μόνον· καὶ γὰρ ἐφ' ἕτερον ἔτρεχε θεώρημα [t]κατεπείγον· ἀπὸ τῶν προφητῶν πάλιν πιστοῦται τὸν λόγον, τὸν [v]Ἀμβακοὺμ εἰς μέσον [w]παράγων βοῶντα καὶ λέγοντα, ὅτι οὐδὲ ἕνι ἄλλως ζῆν τὸν μέλλοντα ζήσεσθαι, [x]ἀλλ' ἢ διὰ πίστεως. "Ὁ γὰρ δίκαιος, φησὶν, ἐκ πίστεως ζήσεται," περὶ τῆς μελλούσης λέγων ζωῆς. Ἐπειδὴ γὰρ ἅπερ ὁ θεὸς χαρίζεται, [y]πάντα ὑπερβαίνει λογισμὸν, εἰκότως πίστεως ἡμῖν δεῖ. [19]"Ὁ δὲ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ [z]ἀλαζὼν, [a]οὐδὲν
C οὐ μὴ περάνῃ." [b]Ἀκουέτωσαν [c]αἱρετικοὶ τῆς πνευματικῆς φωνῆς. Τοιαύτη γὰρ ἡ τῶν λογισμῶν φύσις· λαβυρίνθῳ τινὶ καὶ γρίφοις ἔοικεν, οὐδὲν οὐδαμοῦ τέλος ἔχουσα, οὐδὲ ἀφιεῖσα τὸν λογισμὸν ἑστάναι ἐπὶ τῆς πέτρας, [d]καὶ τὴν ἀρχὴν ἐξ ἀλαζονείας λαμβάνουσα. Αἰσχυνόμενοι γὰρ ἐπὶ [e]τῷ παραδέχεσθαι πίστιν καὶ δοκεῖν [f]ἀγνοεῖν τὰ οὐράνια, εἰς κονιορτὸν ἑαυτοὺς [g]μυρίων ἐμβάλλουσι λογισμῶν. Εἶτα, ἄθλιε καὶ ταλαίπωρε καὶ μυρίων ἄξιε δακρύων, ἂν μέν τις σε ἔρηται, πῶς ὁ οὐρανὸς [h]γέγονε, καὶ πῶς ἡ γῆ· [i]καὶ τί λέγω τὸν οὐρανὸν καὶ τὴν γῆν; πῶς αὐτὸς ἐτέχθης,
D [k]πῶς ἐτράφης καὶ ηὐξήθης, οὐκ αἰσχύνῃ τὴν ἄγνοιαν; [l]ἂν δὲ περὶ τοῦ μονογενοῦς γίνηταί τις λόγος, δι' αἰσχύνην εἰς [m]βάραθρον σεαυτὸν ἐμβάλλεις ἀπωλείας, ἀνάξιον [n]σεαυτοῦ νομίζων

[19] Habac. ii. 5.

[o] *οὕτως*, quod aberat, est in A.B.D.E.F.H.I. *οὕτως* pro *ἂς* exhibet G. [p] *τῆς*, quod aberat ante Montef. est in nostris A.D.E.G.I. [q] *δεικνὺς* pro *δείκνυσι* A.B.D.E.H.I. *δεικνύει* ex corr. (pro *δεικνὺς*?) G. [r] *πόρνης* pro Ῥαὰβ habent A.E.H.I. et ante corr. F. [s] *αὐτὸν* H.I. [t] *καὶ κατεπείγον* Edd. *καὶ* deest in omnibus. [v] Ἀμβακοὺμ B.E.G. Ἀββακοὺμ D. Legebatur Σοφονίαν ante Montef. [w] *παραγαγὼν* G. Mox *οὐκ* pro *οὐδὲ* G.I. [x] *ἀλλ' ἢ* pro *ἀλλὰ* A.B.D.E.F.G. *ἀλλ' ἤ* H. *ἀλλ' ἢ* edidit Montef. [y] *πάντα* om. F. [z] *καὶ ἀλαζὼν* Edd. *καὶ* om. A.B.F.G.H.I. [a] *οὐδὲν* pro *οὐθὲν* omnes. Statim *οὐ μὴ* om. F. *περάνῃ* pro *περανεῖ* dant A.B.D.E.H. *περάνει* (sic ab eadem manu) I. [b] ΗΘΙΚΟΝ. *Πρὸς αἱρετικοὺς περὶ ἀκαταλήπτου, καὶ ὅτι δεῖ πάντα πίστει δέχεσθαι, καὶ μὴ λογισμοῖς, μηδὲ λόγον ζητεῖν τῶν ἐπιταγμάτων τοῦ θεοῦ, ἀλλὰ πείθεσθαι μόνον.* Veron. [c] *οἱ αἱρετικοὶ* A.F.H.I. [d] *καὶ*] *ἅτε* D.E. [e] *τὸ* B.D.E.G.H. et ante corr. A. Ita etiam Veron. [f] *ἀγνοεῖν*] *γινώσκειν* G. *ἐννοεῖν* H.I. Statim *τὰ οὐ̃ινα* Veron. [g] *μυρίων* om. G. *ἐμβ. μ. λογισμῶν* hoc ord. B. *μ. λογ. ἐμβ.* Edd. dissentientibus libris. [h] *γέγονε καὶ*] Sic A.B.D.E.F.G.H. *γέγονεν ἢ* Edd. ante Ben. [i] *καὶ* accessit ex omnibus. [k] *καὶ* pro *πῶς* H. Proxime *πῶς* pro *καὶ* B. [l] *ἂν* pro *ἐὰν* B.D.E.H.I. [m] *βόθρον* B. Statim *σεαυτὸν* pro *ἑαυτὸν* A.B.D.E.F.H.I. [n] *σεαυτοῦ* D.E. *σεαυτὸν* A.F.G.H. et ante corr. B. *σεαυτῷ* Edd. Mox *τοῦ μὴ* G. et, ut videtur, ante corr. A. Ceterum *εἶναι*, quod aberat, est in libris omnibus.

Δημοσιο Κεντρικη Βιβλιοθηκη Βεροιας

εἶναι τὸ μὴ πάντα εἰδέναι; Καὶ μὴν ἀνάξιον ἡ φιλονεικία, καὶ τὸ πολυπραγμονεῖν ἀκαίρως. Καὶ τί λέγω περὶ δογμάτων; Αὐτῆς γὰρ τῆς κατὰ τὸν παρόντα βίον πονηρίας οὐδαμόθεν ἀπηλλάγημεν ἄλλοθεν, ἀλλ' ἢ διὰ [o]τῆς πίστεως. Οὕτω καὶ οἱ πρὸ τούτου [p]ἔλαμψαν ἅπαντες, οὕτως ὁ Ἀβραὰμ, οὕτως ὁ Ἰσαὰκ, οὕτως ὁ Ἰακώβ· οὕτω [q]καὶ ἡ πόρνη ἐσώθη, καὶ [r]ἡ ἐν τῇ παλαιᾷ, καὶ ἡ ἐν τῇ καινῇ. [20]" Πίστει [s]γὰρ Ῥαὰβ ἡ πόρνη, [t]φησὶν, οὐ συναπώλετο τοῖς ἀπειθήσασι, [v]τοὺς κατασκόπους E δεξαμένη." Εἰ δὲ πρὸς ἑαυτὴν εἶπε, καὶ πῶς δυνήσονται οὗτοι, αἰχμάλωτοι καὶ φυγάδες ὄντες [w]καὶ μετανάσται, καὶ νομάδων βίον ζῶντες, ἡμῶν τῶν πόλιν ἐχόντων καὶ τείχη καὶ πύργους (18) περιγενέσθαι; καὶ ἑαυτὴν καὶ ἐκείνους ἂν προσαπώλεσεν· ὅπερ οὖν καὶ οἱ πρόγονοι τῶν τότε σωθέντων ἔπαθον. Ἐκεῖνοι γὰρ ἐπειδὴ ἄνδρας [x]ἰδόντες μεγάλους καὶ εὐμήκεις, τὸν τρόπον τῆς 447 νίκης ἐζήτουν, [y]ἀπώλοντο χωρὶς πολέμου καὶ παρατάξεως ἅπαντες. Εἶδες πόσον τῆς ἀπιστίας τὸ βάραθρον, [z]πόσον τῆς πίστεως τὸ τεῖχος; Ἡ μὲν γὰρ ἀπείρους κατήνεγκε χιλιάδας· αὕτη δὲ [a]καὶ πόρνην γυναῖκα οὐ μόνον διέσωσεν, ἀλλὰ [b]καὶ δήμου τοσούτου προστάτιν ἐποίησε. Ταῦτ' οὖν [c]εἰδότες, καὶ τὰ τούτων πλείονα, μηδέποτε τὸν θεὸν εὐθύνας τῶν γινομένων ἀπαιτῶμεν, ἀλλ' [d]ὅπερ ἂν ἐπιτάξῃ, δεχώμεθα· καὶ μὴ περιεργαζώμεθα μηδὲ πολυπραγμονῶμεν, κἂν ἀνθρωπίνοις λογισμοῖς ἄτοπον εἶναι δοκῇ τὸ κελευόμενον. Τί γὰρ, εἰπέ μοι, τοῦ B σφάξαι μονογενῆ παῖδα καὶ γνήσιον αὐτὸν τὸν γεγεννηκότα, ἀτοπώτερον εἶναι δοκεῖ; Ἀλλ' ὅμως ὁ δίκαιος κελευσθεὶς, [e]οὐ περιειργάσατο τοῦτο, ἀλλ' ἀπὸ τῆς ἀξίας τοῦ κελεύσαντος ἐδέξατο τὸ ἐπίταγμα [f]μόνον. [21] Καὶ ἕτερος δὲ προφήτην παρὰ τοῦ θεοῦ κελευσθεὶς [g]ῥαπίσαι, ἐπειδὴ τὸ δοκοῦν ἄτοπον εἶναι

[20] Heb. xi. 31. [21] 3 Reg. xx. 35.

[o] τῆς πίστεως A.B.D.E.F.G.H. Articulus aberat. [p] διέλαμψαν G. [q] καὶ om. G. Statim πόρνη sine articulo legitur in Edd. ante Ben. invitis libris. [r] ἡ om. E.H.I. et ante corr. G. Mox ἡ om. I. et ante corr. G. ἡ bis deest in Veron. [s] γὰρ om. A.E.F.G.H.I. [t] Sic Codices. φησὶ ante Ῥαὰβ vulgo legitur. [v] τοὺς κ. δεξαμένη. εἰ δὲ] Sic B. εἰ (ἡ pro εἰ H. et ex corr. G.) δὲ, τοὺς κ. δεξαμένη ceteri. Mox ἂν ante εἶπε infert G. In Editis autem locus sic legitur: ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους. οὐδὲ πρὸς ἑαυτὴν εἶπε κ. τ. ἑ. Deinde post περιγενέσθαι vulgo addunt ὡς εἰ πρὸς ἑαυτὴν ταῦτα εἶπε, repugnantibus libris. Eadem tamen in suis habuerunt Interpretes. [w] καὶ μετανάσται om. G. [x] εἰδότες H. [y] καὶ ἀπώλοντο Edd. καὶ, inclusum a Savilio, deest in omnibus. [z] καὶ πόσον Edd. καὶ deest in nostris omnibus. [a] καὶ accessit ex A.B.D.E.F.G.I. [b] καὶ om. E. Mox προστάτην H. [c] ἰδόντες ante corr. G. Statim καὶ πλείονα τούτων id. [d] ἅπερ ἂν ἐπιτάττῃ G. [e] οὐ pro οὔτε A.B.D.E.G.I. [f] μόνον]+καὶ ὑπήκουσε Edd. Haec absunt a nostris B.D.E.F.G.H. et Brix. [g] παῖσαι G. κελ. παρὰ τοῦ θ. inverso ord. B.G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ [h]προστάγματος περιειργάσατο, καὶ οὐχ ἁπλῶς ὑπήκουσε, δίκην ἔδωκε τὴν ἐσχάτην· ὁ δὲ πλήξας εὐδοκίμησε. Καὶ ὁ Σαοὺλ δὲ σώσας ἀνθρώπους παρὰ τὸ τῷ θεῷ δοκοῦν, τῆς βασιλείας ἐξέπεσε, καὶ [i]τὰ ἀνήκεστα ἔπαθε. Καὶ ἕτερα [k]πλείονα
C τούτων ἄν τις εὕροι παραδείγματα, δι' ὧν ἁπάντων παιδευόμεθα μηδέποτε τῶν ἐπιταγμάτων [l]τοῦ θεοῦ λόγον ἀπαιτεῖν, ἀλλ' ἕπεσθαι καὶ πείθεσθαι μόνον. Εἰ δὲ, [m]ἅπερ ἂν ἐπιτάξῃ, περιεργάζεσθαι ἐπισφαλὲς, καὶ ἐσχάτη [n]κεῖται κόλασις τοῖς πολυπραγμονοῦσιν· [o]οἱ τὰ πολλῷ τούτων [p]καὶ ἀπορρητότερα καὶ φρικωδέστερα περιεργαζόμενοι, τουτέστι, πῶς ἐγέννησε τὸν υἱὸν, καὶ τίνι τρόπῳ, καὶ τίς ἡ οὐσία, τίνα ἔξουσιν ἀπολογίαν
D [q]ποτέ; Ταῦτ' οὖν εἰδότες, τὴν [r]ἁπάντων τῶν ἀγαθῶν μητέρα πίστιν μετὰ πάσης [s]ὑποδεχώμεθα τῆς εὐνοίας, ἵνα ὥσπερ ἐν γαληνῷ πλέοντες λιμένι τά τε ὀρθὰ διατηρῶμεν δόγματα, καὶ τὸν βίον ἡμῶν μετὰ ἀσφαλείας κατευθύνοντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ.

[1]Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέ-
E βειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων.

Ὅρα τὴν Παύλου σύνεσιν, πῶς ἀπὸ τῶν χρηστοτέρων προτρέψας, ἐπὶ τὰ φοβερώτερα τρέπει τὸν λόγον. Εἰπὼν γὰρ, ὅτι σωτηρίας αἴτιον τὸ εὐαγγέλιον, ὅτι ζωῆς, ὅτι θεοῦ δύναμις, ὅτι σωτηρίας, [a]ὅτι δικαιοσύνης ποιητικὸν, λέγει καὶ τὰ φοβῆσαι δυνάμενα τοὺς οὐ προσέχοντας. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ τῶν ἀνθρώπων οἱ πλείους οὐχ οὕτω τῇ τῶν χρηστῶν ἐπαγγελίᾳ, ὡς τῷ φόβῳ τῶν [b]λυπηρῶν πρὸς τὴν ἀρετὴν ἕλκονται, ἑκατέρωθεν αὐτοὺς ἐπισπᾶται. Διὰ τοῦτο καὶ ὁ θεὸς οὐ
448 βασιλείαν ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ γέενναν ἠπείλησε· καὶ

[1] Cap. I. v. 18.

[h] προστάγματος A.B.D.F.H.I. et ex corr. G. Edebatur πράγματος. [i] τὰ ἐκεῖνα ἀν. (τὰ ἀν. ἐκεῖνα?) E. [k] πλείονα]+δὲ G. [l] τοῦ θ. λ. ἀ.] λ. ἀ. τὸν θεὸν E. [m] ἅπερ] τὸ ἅπερ I. [n] κεῖται κόλ. pro κόλ. κεῖται omnes. [o] οἱ τὰ] Sic D.I. et ex corr. A.B. Olim aberat οἱ, tacite receptum a Montef. τὰ δὴ (sine οἱ) G. [p] καὶ accessit ex omnibus. [q] τότε D.I. ποτὲ om. E. [r] ἁπάντων pro πάντων omnes. Statim τῶν om. G. [s] ἀποδεχώμεθα G. ὑποδεχόμεθα B.E. et ante corr. A. Statim τῆς om. B.G. Hom. IV. [a] ὅτι pro καὶ omnes. [b] λυπηρῶν] ἀπειλῶν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ προφῆται δὲ τοῖς Ἰουδαίοις οὕτω διελέγοντο, τὰ κακὰ τοῖς ἀγαθοῖς ἀναμιγνύντες διηνεκῶς. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὕτω ποικίλλει τὸν λόγον, οὐ μὴν ἁπλῶς, ἀλλὰ τὰ χρηστὰ τίθησι [c]πρῶτα, καὶ μετὰ ταῦτα τὰ λυπηρά, δεικνὺς ὅτι ἐκεῖνα μὲν τῆς προηγουμένης τοῦ θεοῦ γνώμης ἐστὶ, ταῦτα δὲ τῆς τῶν ῥαθυμούντων πονηρίας. Οὕτω καὶ ὁ προφήτης [d]πρῶτα τὰ ἀγαθὰ τίθησι, λέγων· [2]"Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ [e]θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται." Οὕτω καὶ ἐνταῦθα προάγει B
(19) τὸν λόγον ὁ Παῦλος. Σκόπει δέ. [f]Ἦλθε φέρων, [g]φησὶν, ὁ Χριστὸς ἄφεσιν, δικαιοσύνην, ζωήν· [g]καὶ οὐχ ἁπλῶς, ἀλλὰ διὰ [h]σταυροῦ· ὃ δὴ μέγιστον καὶ θαυμαστὸν, οὐχ ὅτι τοιαῦτα ἐχαρίσατο μόνον, ἀλλ' ὅτι καὶ τοιαῦτα ἔπαθεν. [a]Ἂν τοίνυν [i]ἐνυβρίσητε εἰς τὰς δωρεὰς, τότε [k]ἀναμένει τὰ λυπηρά. Καὶ ὅρα πῶς ἐπαίρει τὸν λόγον. "Ἀποκαλύπτεται γὰρ, [l]φησὶν, ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ." Πόθεν τοῦτο δῆλον; [a]Ἂν μὲν ὁ πιστὸς λέγῃ, τοῦ Χριστοῦ τὰς ἀποφάσεις ἐροῦμεν· ἂν δὲ ὁ ἄπιστος καὶ [m]ὁ Ἕλλην, ἀπὸ τῶν ἐξῆς αὐτὸν ὁ Παῦλος ἐπιστομίζει τῶν περὶ τῆς κρίσεως τοῦ θεοῦ λόγων, ἐκ τῶν [n]ὑπ' C
ἐκείνων γινομένων ἀπόδειξιν ἀναντίρρητον [o]εἰσάγων· ὃ δὴ [p]μάλιστά ἐστι παραδοξότατον, ὅταν τοὺς ἀντιλέγοντας [q]αὐτοὺς τῇ ἀληθείᾳ, δι' ὧν ποιοῦσι καθ' ἑκάστην [r]ἡμέραν καὶ λέγουσι, συνισταμένους [s]ἀποφαίνῃ τοῖς τῆς ἀληθείας δόγμασιν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς, τέως δὲ τῶν προκειμένων [t]ἐχώμεθα. "Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ." Καίτοι καὶ ἐνταῦθα πολλάκις τοῦτο γίνεται, οἷον ἐν λιμοῖς καὶ λοιμοῖς καὶ πολέμοις· καὶ [v]γὰρ ἰδίᾳ ἕκαστος, καὶ κοινῇ πάντες κολάζονται. Τί οὖν τὸ ξένον τότε; [a]Ὅτι καὶ μείζων ἡ κόλασις, καὶ κοινὴ, καὶ οὐκ ἐπὶ τοῖς αὐτοῖς. Νῦν μὲν γὰρ πρὸς διόρθωσιν τὰ D
γινόμενα, τότε δὲ πρὸς τιμωρίαν· [w]ὅπερ καὶ ὁ Παῦλος δηλῶν

[2] Esai. i. 19, 20.

[c] πρῶτα pro πρῶτον A.E.F.G.H.I. [d] πρῶτα A.D.E.F.H.I. πρῶτον vulgo. [e] θέλητε μηδὲ εἰσ.] Sic A.E.F.G.H.I. Edebatur θελήσητε καὶ μὴ (μὴ om. Veron.) εἰσ. In B. haec τὰ ἀγαθὰ——εἰσακούσητέ μου absunt. [f] Sic A.B.E.F.G.H.I. φησὶ post ἄφεσιν vulgo legitur. [g] καὶ οὐχ ἁ.] οὐχ ἁ. ταῦτα Veron. Ita ex corr. G. [h] σταυροῦ]+φέρει Edd. φέρει om. A.B. E.F.G.H.I. [i] ἐνυβρίσητε pro ὑβρίσητε habent A.E.F.H.I. [k] ἀναμένει (vel ἀναμενεῖ) A.B.E.F.I. Brix. ἀναμένοι G. ἀναμενεῖτε vulgo. [l] φησὶν om. E.G. [m] ὁ om. H. [n] ὑπ'] ἀπ' H. [o] ἐπάγων A.F.H.I. [p] μάλιστά ἐστι] Sic A.B.E.F.G.H.I. καὶ ἔστι μάλιστα Edd. [q] αὐτοὺς pro αὐτῇ omnes. Infra post συνισταμένους vulgo addunt αὐτοὺς, repugnantibus libris, nisi forte Cod. I. excipias. [r] ἡμέραν καὶ] Sic omnes. ἢ καὶ Edd. Statim ἀντιλέγουσι G. [s] ἀποφαίνῃ A.D.E.F.G.I. ἀποφαίνει vulgo. [t] ἐχόμεθα E.F. [v] γὰρ om. E. [w] ὅπερ]+οὖν G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἔλεγεν, ὅτι [3]" Παιδευόμεθα νῦν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν." Καὶ νῦν μὲν οὐ διὰ τὴν ἄνωθεν ὀργὴν πολλοῖς δοκεῖ τὰ πολλὰ γίνεσθαι, ἀλλὰ δι' ἀνθρώπων ἐπήρειαν· τότε δὲ φανερὰ ἔσται ἡ παρὰ τοῦ θεοῦ κόλασις, ὅταν καθήμενος ἐπὶ τοῦ φοβεροῦ βήματος ὁ κριτὴς, τοὺς μὲν ἐπὶ τὰς καμίνους ἔλκεσθαι [x]κελεύῃ, τοὺς δὲ ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, τοὺς δὲ [y]ἐπ' ἄλλας ἀπαραιτήτους καὶ ἀφορήτους κολάσεις. Καὶ τίνος
E ἕνεκεν οὐχ οὕτως εἶπε σαφῶς, οἷον ὅτι [z]ὁ υἱὸς τοῦ [a]θεοῦ μέλλει παραγίνεσθαι μετὰ μυρίων ἀγγέλων, καὶ τὰς εὐθύνας ἀπαιτεῖν ἕκαστον, ἀλλ' ὅτι ἀποκαλύπτεται ὀργὴ θεοῦ; Τῶν νεοφύτων ἦσαν οἱ ἀκούοντες [b]ἔτι· διὰ τοῦτο ἀπὸ τῶν σφόδρα ὡμολογημένων παρ' αὐτοῖς πρῶτον αὐτοὺς ἐπισπᾶται. Χωρὶς δὲ τῶν εἰρημένων καὶ πρὸς Ἕλληνας ἀποτείνεσθαί μοι δοκεῖ· διὸ καὶ ἐντεῦθεν προοιμιάζεται· ὕστερον δὲ καὶ τὸν περὶ τῆς κρίσεως τοῦ Χριστοῦ λόγον εἰσάγει.

" Ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων." Ἐνταῦθα δείκνυσιν, ὅτι πολλαὶ τῆς ἀσεβείας αἱ ὁδοὶ, ἡ δὲ τῆς ἀληθείας μία· καὶ γὰρ ποικίλον
449 καὶ πολυειδὲς καὶ συγκεχυμένον ἡ πλάνη, ἡ δὲ ἀλήθεια μία. Εἰπὼν δὲ περὶ δογμάτων, λέγει καὶ περὶ βίου, ἀδικίαν ἀνθρώπων εἰπών. Καὶ γὰρ [c]αἱ ἀδικίαι ποικίλαι· καὶ ἡ μὲν περὶ χρήματα γίνεται, οἷον ὅταν τις ἐν τούτοις ἀδικῇ τὸν πλησίον· ἡ δὲ περὶ [d]γυναῖκας, ὅταν τις ἀφεὶς τὴν ἑαυτοῦ, τὸν ἑτέρου διορύττῃ γάμον· καὶ γὰρ καὶ τοῦτο πλεονεξίαν ὁ Παῦλος καλεῖ, οὕτω λέγων· [4]" Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν." Ἕτεροι πάλιν, ἀντὶ γυναικὸς καὶ χρημάτων, δόξαν λυμαίνονται τὴν τοῦ πλησίον· καὶ τοῦτο
B δὲ ἀδικία· καὶ γὰρ [5]" Κρεῖσσον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς." Τινὲς [e]δέ φασιν, ὅτι καὶ τοῦτο περὶ δογμάτων εἴρηται τῷ Παύλῳ· πλὴν οὐδὲν κωλύει περὶ ἀμφοτέρων εἰρῆσθαι. Τί δέ ἐστι, "τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων," διὰ τῶν ἑξῆς μάνθανε. [6]"Ὅτι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· [f]ὁ θεὸς γὰρ αὐτοῖς ἐφανέρωσεν." Ἀλλὰ ταύτην τὴν δόξαν ξύλοις περιέθηκαν καὶ λίθοις. Ὥσπερ οὖν ὁ χρήματα πιστευθεὶς βασιλικὰ, καὶ εἰς τὴν τοῦ βασιλέως δόξαν

3 1 Cor. xi. 32. 4 1 Thess. iv. 6. 5 Prov. xxii. 1. 6 v. 19.

x κελεύει E.H. et ante corr. A. Ita etiam Veron. y ἐπὶ τὰς ἄλλας G. z ὁ accessit ex omnibus. a θεοῦ] ἀνθρώπου D.E. Statim ἔμελλε G. b ἔτι] τότε ἔτι G. c αἱ] καὶ αἱ G. αἱ om. A.E.F.H.I. Statim πολλαὶ pro ποικίλαι dant B.G. d γυναικὸς G. e δὲ om. G. f ὁ θεὸς γὰρ pro ὁ γὰρ θεὸς A.D.E.F.H.I. et Mosq. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναλῶσαι κελευσθεὶς, ἂν εἰς λῃστὰς καὶ πόρνας καὶ γόητας C
δαπανήσῃ ταῦτα, καὶ λαμπροὺς τούτους ἀπὸ τῶν τοῦ βασιλέως
ποιήσῃ χρημάτων, ὡς τὰ μέγιστα ἠδικηκὼς [g]τὴν βασιλείαν
κολάζεται· οὕτω καὶ οὗτοι λαβόντες τὴν περὶ [h]τοῦ θεοῦ
γνῶσιν καὶ τῆς δόξης αὐτοῦ, εἶτα εἰδώλοις αὐτὴν περιθέντες, ἐν
ἀδικίᾳ τὴν ἀλήθειαν [i]κατέσχον, [k]καὶ, τό γε εἰς αὐτοὺς ἦκον,
ἠδίκησαν τὴν γνῶσιν, οὐκ εἰς [l]τὰ προσήκοντα αὐτῇ χρησάμενοι.
[e]Ἆρα γέγονεν ὑμῖν σαφὲς τὸ λεχθὲν, ἢ δεῖ σαφέστερον αὐτὸ
πάλιν εἰπεῖν; Τάχα ἀναγκαῖον [m]πάλιν εἰπεῖν. Τί οὖν ἐστι
τὸ λεγόμενον; Τὴν περὶ [n]ἑαυτοῦ γνῶσιν τοῖς ἀνθρώποις ἐξ
ἀρχῆς ἐνέθηκεν ὁ θεὸς, ἀλλὰ ταύτην τὴν [o]γνῶσιν ξύλοις περι- D
(20) θέντες καὶ λίθοις, ἠδίκησαν τὴν ἀλήθειαν, τό γε αὐτῶν μέρος·
ἐκείνη γὰρ ἄτρεπτος μένει, τὴν οἰκείαν [p]ἔχουσα δόξαν ἀκίνητον.
Καὶ πόθεν δῆλον, ὅτι ἐνέθηκεν αὐτοῖς τὴν γνῶσιν, ὦ Παῦλε;
"Ὅτι, φησὶ, τὸ γνωστὸν αὐτοῦ φανερόν ἐστιν ἐν αὐτοῖς."
Ἀλλὰ τοῦτο ἀπόφασίς ἐστιν, [q]οὐκ ἀπόδειξις· σὺ δέ μοι κατα-
σκεύασον, καὶ δεῖξον, ὅτι ἡ γνῶσις ἡ περὶ τοῦ θεοῦ δῆλη ἦν
αὐτοῖς, καὶ ἑκόντες παρέδραμον. Πόθεν οὖν δῆλη ἦν; φωνὴν
αὐτοῖς [r]ἄνωθεν ἀφῆκεν; Οὐδαμῶς· ἀλλ' ὃ φωνῆς αὐτοὺς ἐφέλ- E
κεσθαι μᾶλλον ἠδύνατο, τοῦτο ἐποίησε, τὴν κτίσιν εἰς μέσον
προθεὶς, ὥστε καὶ σοφὸν καὶ ἰδιώτην, καὶ Σκύθην καὶ βάρβαρον
διὰ τῆς ὄψεως καταμαθόντα τῶν ὁρωμένων τὸ κάλλος, ἐπὶ τὸν
θεὸν ἀναβαίνειν. Διό φησι· [7]"Τὰ γὰρ ἀόρατα αὐτοῦ [s]ἀπὸ
κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται" ὅπερ οὖν
καὶ ὁ προφήτης ἔλεγεν, [8]"Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ."
Τί γὰρ ἐροῦσι κατ' ἐκείνην τὴν ἡμέραν οἱ Ἕλληνες; ὅτι
ἠγνοήσαμέν [t]σε; [u]Εἶτα οὐκ ἠκούσατε τοῦ οὐρανοῦ φωνὴν
[w]διὰ τῆς ὄψεως ἀφιέντος; τῆς εὐτάκτου πάντων ἁρμονίας
σάλπιγγος λαμπρότερον βοώσης; νυκτὸς καὶ ἡμέρας νόμους
οὐκ εἴδετε μένοντας ἀκινήτους διηνεκῶς; χειμῶνος, [x]ἔαρος, καὶ 450
τῶν ἄλλων ὡρῶν τὴν εὐταξίαν βεβαίαν τε καὶ ἀκίνητον οὖσαν;
θαλάττης εὐγνωμοσύνην ἐν ταραχῇ τοσαύτῃ καὶ κύμασι; πάντα

[7] v. 20. [8] Psal. xviii. 1.

[g] τὴν βασιλείαν A.B.D.E.F.I. τὸν βασιλέα Edd. [h] τοῦ om. A.D.E.H.I. [i] κατέσχον omnes. Edebatur ante Montef. περιέσχον. [k] καὶ om. F. G. H. [l] τὰ προσῆκοντα] προσῆκον G. [m] πάλιν om. E. Haec τάχα ἀ. π. εἰπεῖν desunt in G.I. [n] ἑαυτοῦ pro αὐτοῦ A. D. E. H. I. Mox τοῖς ἀνθ. ἐξ ἀρχῆς F. G.H.I. ἐξ ἀρχῆς τοῖς ἀνθρώποις Edd. [o] γνῶσιν]+οἱ Ἕλληνες Edd. οἱ Ἕλληνες om. A. D.E.F.H.I. [p] ἔχουσα δ. ἀ. hoc ordine A.B.D.F.G.H. δ. ἀ. ἔχουσα E. δ. ἔχουσα ἀ. Edd. [q] οὐκ] ἀλλ' οὐκ G. [r] ἄνωθεν est in libris omnibus, non in Edd. [s] ἀπὸ κτ. κοσμοῦ om. F.G.H.I. [t] σε om. F.G. [u] εἶτα om. H. [w] διὰ τῆς ὄψεως om. I. [x] ἀέρος E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροιας

ἐν τάξει μένοντα, καὶ διὰ τοῦ κάλλους καὶ διὰ τοῦ μεγέθους ἀνακηρύττοντα τὸν δημιουργόν; Ταῦτα γὰρ [y] ἅπαντα, καὶ τὰ τούτων πλείονα [z] συνελὼν ὁ Παῦλος ἔλεγε· "Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κάσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους." Καίτοιγε οὐ διὰ τοῦτο ταῦτα [a] πε-
B ποίηκεν ὁ θεὸς, εἰ καὶ τοῦτο ἐξέβη. Οὐ γὰρ ἵνα αὐτοὺς ἀπολογίας ἀποστερήσῃ, διδασκαλίαν τοσαύτην εἰς μέσον προύθηκεν, ἀλλ' ἵνα αὐτὸν ἐπιγνῶσιν· [b] ἀγνωμονήσαντες δὲ, πάσης ἑαυτοὺς [c] ἀπεστέρησαν ἀπολογίας.

Εἶτα δεικνὺς, πῶς εἰσιν ἀπολογίας ἀπεστερημένοι, φησίν· [9] "Ὅτι γνόντες τὸν θεὸν, οὐχ ὡς θεὸν [d] ἐδόξασαν." [e] Ἓν τοῦτο ἔγκλημα μέγιστον· [e] δεύτερον μετ' ἐκεῖνο, τὸ καὶ εἴδωλα προσκυνῆσαι· ὃ καὶ Ἱερεμίας κατηγορῶν, ἔλεγε· [10] "Δύο [f] καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν [g] ὕδατος
C ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους." Εἶτα καὶ σημεῖον τοῦ εἰδέναι τὸν θεὸν, καὶ μὴ [h] χρήσασθαι εἰς δέον τῇ γνώσει, [i] παράγει τοῦτο αὐτὸ, [k] τὸ θεοὺς ἐγνωκέναι. Διόπερ ἐπήγαγε· "Διότι γνόντες τὸν θεὸν, οὐχ ὡς θεὸν ἐδόξασαν." Καὶ τὴν αἰτίαν δὲ τίθησι, δι' ἣν εἰς [l] τοσαύτην ἄνοιαν ἐξέπεσον. Τίς οὖν [m] αὕτη ἐστί; Τοῖς λογισμοῖς τὸ πᾶν ἐπέτρεψαν. Ἀλλ' οὐκ εἶπεν οὕτως, [n] ἀλλὰ πολλῷ πληκτικώτερον· "Ἐματαιώθησαν γὰρ, [o] φησὶν, ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία." Ὥσπερ γὰρ ἐν ἀσελήνῳ νυκτὶ εἴ τις ξένην [p] ἐπιχειροίη βαδίζειν ὁδὸν, ἢ πέλαγος πλεῖν, οὐ
D μόνον οὐ φθάσει πρὸς τὸ τέλος, ἀλλὰ καὶ ἀπολεῖται ταχέως· οὕτω καὶ οὗτοι τὴν πρὸς τὸν οὐρανὸν φέρουσαν ὁδὸν βαδίζειν ἐπιχειροῦντες, καὶ τὸ φῶς ἀφ' ἑαυτῶν [q] ἀνελόντες, εἶτα ἀντ' ἐκείνου τῷ σκότῳ τῶν λογισμῶν ἑαυτοὺς ἐπιτρέψαντες, καὶ ἐν [r] σώμασι τὸν ἀσώματον, [s] καὶ ἐν σχήμασι τὸν ἀσχημάτιστον ἐπιζητοῦντες, ναυάγιον ὑπέστησαν χαλεπώτατον. Μετὰ δὲ τῶν εἰρημένων καὶ ἑτέραν τίθησιν αἰτίαν τῆς πλάνης αὐτῶν,

[9] v. 21. [10] Jer. ii. 13.

[y] ἅπαντα pro πάντα A.B.D.E.H.I. [z] συνελὼν] συνεχῶς G. [a] πεποίηκεν A.B.D.E.G.H.I. ἐποίησεν vulgo. [b] ἀγνοήσαντες A.D.E. [c] ἀπεστέρησαν pro ἐστέρησαν A.E.F.G.H.I. [d] ἐδόξασαν]+ ἢ εὐχαρίστησαν Sav. Mor. Ben. Desunt in nostris A.B.D.E.F.H.I. et Mosqq. [e] δεύτερον δὲ Edd. δὲ abest ab omnibus. [f] καὶ accessit ex omnibus. [g] ὕδατος ζ. pro ζ. ὕδατος omnes. [h] χρήσασθαι A.B.D.E.F.H.I. et corr. G. Editi χρῆσθαι. [i] παράγει] + γὰρ G. [k] τὸ] τοὺς H. [l] τοιαύτην G. [m] ἐστιν αὕτη inverso ord. F.G. [n] ἀλλὰ] ἀλλ' ὃ G. [o] φησὶν accessit ex A.B.D.E.F.H.I. [p] ἐπιχειροίη B. D.E.F.G.H.I. et ex corr. A. Edebatur ἐπιχειρήσει. [q] ἀνελόντες A.B.D.F. G.H.I. ἀφελόντες Edd. [r] σώματι I. [s] καὶ om. H. Statim ἐν σχήματι G.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

λέγων· [11] "Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν." Μέγα γάρ τι περὶ ἑαυτῶν φαντασθέντες, καὶ οὐκ ἀνασχόμενοι ταύτην ἐλθεῖν, ἣν ὁ θεὸς ἐκέλευσεν αὐτοῖς, ἐβαπτίσθησαν τοῖς τῆς E
[t] ἀνοίας λογισμοῖς. Εἶτα δεικνὺς καὶ ὑπογράφων τὸ κλυδώνιον, πῶς χαλεπὸν καὶ συγγνώμης [u] ἀπάσης ἐστερημένον, ἐπήγαγε [w] λέγων· [12] "Καὶ [x] ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν." Πρῶτον ἔγκλημα, ὅτι θεὸν οὐχ εὗρον· δεύτερον, ὅτι καὶ ἀφορμὰς ἔχοντες μεγάλας καὶ σαφεῖς· τρίτον,
(21) ὅτι σοφοὶ λέγοντες εἶναι· τέταρτον, ὅτι οὐ μόνον οὐχ εὗρον, [y] ἀλλὰ καὶ εἰς δαίμονας κατήγαγον καὶ λίθους καὶ ξύλα τὸ σέβας ἐκεῖνο. Καθαιρεῖ μὲν οὖν αὐτῶν καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ τὸν τῦφον, ἀλλ' οὐχ ὁμοίως ἐκεῖ καὶ ἐνταῦθα. Ἐκεῖ μὲν γὰρ [z] ἀπὸ τοῦ σταυροῦ δίδωσιν αὐτοῖς [a] τὴν πληγὴν, λέγων ὅτι [13] "Τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων 451
ἐστίν·" ἐνταῦθα δὲ καὶ χωρὶς συγκρίσεως αὐτὴν καθ' ἑαυτὴν κωμῳδεῖ τὴν σοφίαν αὐτῶν, δεικνὺς μωρίαν οὖσαν, καὶ ἀλαζονείας ἐπίδειξιν μόνον. Εἶτα ἵνα μάθῃς, ὅτι ἔχοντες τὴν περὶ θεοῦ γνῶσιν, οὕτως αὐτὴν προύδωκαν, "ἤλλαξαν," εἶπεν· ὁ δὲ ἀλλάσσων [b] ὡς ἔχων ἀλλάσσει. Ἤθελον γάρ τι πλέον εὑρεῖν, καὶ οὐκ ἠνέσχοντο τῶν δοθέντων ὅρων· διὸ καὶ τούτων [c] ἐξέπεσον· καινοτομίας γὰρ ἦσαν ἐπιθυμηταί.

Καὶ γὰρ [d] τοιαῦτα πάντα τὰ Ἑλληνικά. Διὰ τοῦτο [e] καὶ κατ' ἀλλήλων ἔστησαν, καὶ Ἀριστοτέλης μὲν ἐπανέστη Πλά- B
τωνι, οἱ Στωϊκοὶ δὲ πρὸς τοῦτον [f] ἐφρυάξαντο, καὶ [g] ἄλλος ἄλλῳ πολέμιος γέγονεν· ὥστε οὐχ οὕτως αὐτοὺς χρὴ θαυμάζειν διὰ τὴν σοφίαν, ὡς ἀποστρέφεσθαι καὶ μισεῖν, ὅτι δι' αὐτὸ τοῦτο [h] μωροὶ γεγόνασιν. Εἰ γὰρ μὴ λογισμοῖς ἐπέτρεψαν καὶ συλλογισμοῖς καὶ σοφίσμασι τὰ καθ' ἑαυτοὺς, οὐκ ἂν ἔπαθον, [i] ἅπερ ἔπαθον. Εἶτα ἐπιτείνων αὐτῶν τὴν κατηγορίαν, κωμῳδεῖ τὴν εἰδωλολατρείαν [k] αὐτῶν ἅπασαν. Μάλιστα μὲν

[11] v. 22. [12] v. 23. [13] 1 Cor. i. 25.

[t] διανοίας E. [u] ἀπάσης pro πάσης A.B.D.E.G.I. [w] λέγων om. G. [x] ἠλλάξαντο H. Mosq. 3. [y] ἀλλὰ] ἀλλ' ὅτι G. Mox καὶ λίθοις καὶ ξύλοις τὸ πλᾶσμα ἐκεῖνο idem. [z] ἀπὸ] ἐπὶ G. [a] τὴν accessit ex A.B.D.E.F.G.H. [b] ὡς] + ἄλλο Edd. et Interpp. repugnantibus libris. Etiam ὡς om. G. [c] ἐξέπεσαν F.H.I. [d] τοιαῦτα π. τὰ] Sic A.B.D.E.F.G.H. τὰ τοιαῦτα πάντα Edd. [e] καὶ om. G. [f] ἐφράξαντο B.D.E.F.H.I. ἐφραξαντο (sic) A. *infremuerunt* Brix. Alter interpres verbum non expressit. [g] ἄλλων ἄλλος G. [h] μωροὶ] καὶ μωροὶ G. [i] ἅπερ pro ὅπερ A.D.E.F.H.I. [k] αὐτῶν] λοιπὸν D.E. αὐτῶν τὴν εἰδωλ. inverso ord. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[1] γὰρ καὶ τὸ ἀλλάξαι, καταγέλαστον· τὸ δὲ [m] καὶ εἰς τοιαῦτα ἀλλάξαι, πάσης ἀπολογίας [n] ἐκτός. Εἰς τίνα οὖν ἤλλαξαν, καὶ C [o] τίσι περιέθηκαν; Φανταςθῆναι ἔδει περὶ ἐκείνου, οἷον ὅτι θέος, ὅτι πάντων κύριος, ὅτι οὐκ ὄντας ἐποίησεν, ὅτι προνοεῖ, ὅτι κήδεται· ταῦτα γὰρ δόξα θεοῦ. [p] Τίσιν οὖν ταύτην ἀνέθηκαν; [q] Οὐδὲ ἀνθρώποις, ἀλλ' ὁμοιώματι [r] εἰκόνος ἀνθρώπου. Καὶ οὐδὲ ἐνταῦθα ἔστησαν, ἀλλὰ καὶ εἰς κνώδαλα κατηνέχθησαν, μᾶλλον δὲ καὶ εἰς τὰς τούτων εἰκόνας. Σὺ δέ μοι σκόπει τὴν σοφίαν [s] τοῦ Παύλου, πῶς τὰ δύο ἄκρα τέθεικε, θεὸν τὸν ἀνωτάτω, καὶ τὰ ἑρπετὰ τὰ [t] κατωτάτω· μᾶλλον δὲ [u] οὐδὲ τὰ ἑρπετὰ, ἀλλὰ [w] τὰ τούτων ὁμοιώματα, ἵνα σαφῶς δείξῃ τὴν D λαμπρὰν αὐτῶν μανίαν. Τὴν γὰρ γνῶσιν, ἣν ἔδει περὶ τοῦ πάντων ἀσυγκρίτως ὑπερέχοντος ἔχειν, ταύτην τῷ πάντων ἀσυγκρίτως εὐτελεστέρῳ περιέθηκαν. Καὶ τί ταῦτα πρὸς τοὺς φιλοσόφους, φησί; Πρὸς [x] τούτους μὲν οὖν μάλιστα [y] πάντων τὰ εἰρημένα. Καὶ γὰρ οὗτοι τοὺς ταῦτα ἐφευρόντας Αἰγυπτίους διδασκάλους ἔχουσι· καὶ Πλάτων ὁ δοκῶν εἶναι τῶν ἄλλων σεμνότερος, ἐγκαλλωπίζεται τούτοις, καὶ ὁ τούτου διδάσκαλος περὶ τὰ εἴδωλα ταῦτα [z] ἐπτόητο· τὸν γοῦν ἀλεκτρυόνα ὁ κελεύων τῷ Ἀσκληπιῷ θύειν, οὗτός ἐστιν, [a] ἔνθα τῶν κνωδάλων τούτων αἱ εἰκόνες καὶ τῶν ἑρπετῶν. Καὶ τὸν E Ἀπόλλωνα δὲ καὶ τὸν Διόνυσον μετὰ τούτων [b] θεραπευόμενον τῶν ἑρπετῶν ἴδοι τις ἄν. Τινὲς δὲ τῶν φιλοσόφων καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγον ταύρους καὶ σκορπίους καὶ δράκοντας καὶ τὸν ἄλλον ἅπαντα λῆρον. Πανταχοῦ γὰρ ὁ διάβολος ἐσπούδασεν εἰς τὰ τῶν ἑρπετῶν ὁμοιώματα τοὺς ἀνθρώπους καταγαγεῖν, καὶ ὑποτάξαι τοῖς πάντων ἀλογωτέροις [c] τοῦτον, ὃν ὁ θεὸς ὑπὲρ τὸν οὐρανὸν ἀναγαγεῖν ἠθέλησεν. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὄψει τὸν κορυφαῖον αὐτῶν ὑπεύθυνον τοῖς λεγομένοις ὄντα. Ὅταν γὰρ τοὺς ποιητὰς [d] συνάγῃ, καὶ λέγῃ χρῆναι 452 πιστεύειν αὐτοῖς ἐν τοῖς περὶ [e] θεῶν λόγοις, [f] ὡς ἀκριβῶς εἰδόσιν,

[1] γὰρ pro οὖν omnes. [m] καὶ accessit ex A.B.D.E.F.G.I. [n] ἐκτὸς] + ἐστιν Edd. ἐστὶν om. A.B.E.F.H.I. [o] τίσι περιέθηκαν] πότε; ὅτε D. Post περιέθηκαν vulgo addunt τὴν δόξαν σκόπει, repugnantibus libris. [p] τίσιν οὖν] καὶ τίσι δὲ D. [q] οὐδὲ pro οὐκ A.B.E.F.G.H.I. [r] εἰκόνος] + φθαρτοῦ Edd. φθαρτοῦ abest ab A.B.E.F.H.I. [s] τοῦ om. G. [t] κάτω G. [u] οὐδὲ pro οὐ omnes. Proximum τὰ om. G. [w] τὰ accessit ex A.B.D.E.F. G.H. [x] τούτους A.B.D.E.F.G.H. αὐτοὺς Edd. [y] πάντων] Sic B.E.F. G.H. Brix. πάντα Edd. πάντως corr. ex πάντα A. [z] ἐπτόητο omnes. Edebatur ἐπτόηται. [a] Vid. Annot. [b] θεραπευόμενον A.B.E.F.G.H.I. θεραπευομένους Edd. [c] τοῦτον ὃν (οὖν pro ὃν H.)] Sic omnes. αὐτοὺς οὓς Edd. [d] συναγάγῃ G. [e] θεῶν pro θεὸν A.D.E.F.H.I. [f] ὡς om. F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲν ἕτερον ἢ τὸν ὁρμαθὸν τῶν λήρων [g] εἰσάγει τούτων, καὶ τὸν πολὺν γέλωτα [h] τοῦτον ὅτι ἀληθῆ χρὴ νομίζειν εἶναί φησι.

14 "Διὸ [i] καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν [k] ἑαυτοῖς." Δείκνυσιν ἐντεῦθεν, ὅτι καὶ τῆς τῶν νόμων διαστροφῆς ἡ ἀσέβεια γέγονεν αἰτία. Τὸ δὲ, "παρέδωκεν," ἐνταῦθα εἴασέν ἐστιν. Ὥσπερ [l] γὰρ ἐάν τις στρατοπέδου προηγούμενος [m] τοῦ πολέμου βαρήσαντος ἀναχωρήσας [n] ἀπέλθῃ, παραδίδωσι τοῖς πολεμίοις τοὺς στρατιώτας, [o] οὐχὶ αὐτὸς ὠθῶν, B ἀλλὰ γυμνῶν τῆς ἑαυτοῦ βοηθείας· οὕτω καὶ ὁ θεὸς τοὺς οὐ βουληθέντας δέξασθαι τὰ παρ' αὐτοῦ, ἀλλὰ πρώτους ἀποπηδήσαντας, [p] ἀφῆκεν, αὐτὸς τὰ παρ' ἑαυτοῦ [q] πάντα πληρώσας. Σκόπει δέ. Προύθηκεν ἀντὶ διδασκαλίας [r] τὸν κόσμον εἰς μέσον· [s] ἔδωκε νοῦν καὶ διάνοιαν δυναμένην τὸ δέον [t] συνιδεῖν. Οὐδενὶ (22) τούτων [u] πρὸς σωτηρίαν ἐχρήσαντο οἱ τότε, ἀλλὰ καὶ εἰς τοὐναντίον [w] περιέτρεψαν, ὃ παρέλαβον. Τί οὖν ποιῆσαι ἐχρῆν; πρὸς ἀνάγκην [x] ἕλκειν καὶ βίαν; Ἀλλ' οὐκ ἔστι τοῦτο ποιεῖν ἐναρέτους. Ἐλείπετο [y] δὴ λοιπὸν ἀφεῖναι, ὅπερ καὶ ἐποίησεν, ἵνα κἂν οὕτω τῇ πείρᾳ μαθόντες, ὧν ἐπεθύμησαν, φύγωσι τὴν [z] αἰ- C σχύνην. Καὶ γὰρ εἴ τις βασιλέως [a] ὢν υἱὸς, τὸν πατέρα ἀτιμάσας ἕλοιτο εἶναι μετὰ λῃστῶν καὶ ἀνδροφόνων καὶ τυμβωρύχων, καὶ τὰ ἐκείνων προτιμήσειε τῆς πατρῴας οἰκίας, ἀφίησιν αὐτὸν ὁ πατὴρ, ὥστε διὰ τῆς πείρας αὐτῆς μαθεῖν τῆς οἰκείας ἀνοίας τὴν ὑπερβολήν. Διὰ τί δὲ μηδεμιᾶς ἄλλης ἐμνημόνευσεν ἁμαρτίας, οἷον φόνου, πλεονεξίας, [b] καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀλλ' ἀκολασίας; Τοὺς ἀκούοντας τότε μοι δοκεῖ, καὶ τοὺς τὴν ἐπιστολὴν δεχομένους αἰνίττεσθαι. "Εἰς ἀκαθαρσίαν, τοῦ ἀτι-

14 v. 24.

[g] εἰσάγει τούτων pro τούτων εἰσάγει A.B.D.E.F.G. εἰσάγει τοῦτον H. τούτων om. I. [h] τούτων G. Post γέλωτα haec exhibet D. πῶς γὰρ οὐ γέλωτος; ὅτι καὶ ἀληθῆ ταῦτα νομίζειν εἶναι διδάσκει. In vulgata ταῦτα pro χρὴ habet E. [i] καὶ] φησὶ D. Mox αὐτοὺς ὁ θ. pro ὁ θ. αὐτοὺς A.B.D.E.H.I. et Mosqq. [k] ἑαυτοῖς pro αὐτοῖς omnes; sed αὐτοῖς ante corr. B. [l] γὰρ ἐάν τις] Sic B.D.E. γὰρ om. A.F.H.I. γὰρ ἄν τις G. Edebatur ὥσπερ γὰρ ὁ στρατοπέδου. [m] τοῦ] ἂν τοῦ Edd. repugnantibus libris. Solus G. ἂν post βαρήσαντος infert. [n] ἀπέλθῃ pro ἀπέλθοι omnes. [o] οὐχὶ omnes. οὐκ Edd. [p] ἀφῆκεν, αὐτὸς] ἀφῆκε καὶ αὐτὸς G. ἀφῆκεν αὐτοὺς H. [q] πάντα om. G. [r] τὸν κ. εἰς μ. pro εἰς μ. τὸν κ. omnes. [s] ἔδωκε νοῦν] ἔδωκεν οὖν G. Mox δυναμένειν (sic) αὖ τὸ δ. σ. H. [t] συνορᾶν G. [u] πρὸς σ. ἐχρ. A.D.E.F.H.I. ἐχρ. πρὸς σ. Edd. [w] περιέτρεψαν pro περιέστρεψαν A.B.D.E.F.G.H. Statim ὃ παρέλαβον omnes, excepto G. ὅπερ ἔλαβον Edd. [x] ἑλθεῖν G. [y] δὴ pro δὲ A.B.D.E.F.I. δὲ (sic) G. Statim λοιπὸν accessit e libris omnibus. ἀφιέναι pro ἀφεῖναι G. [z] αἰσχύνην] + εἰκότως D.E. [a] ὢν υἱὸς pro υἱὸς ὢν omnes. [b] καὶ est in A.B.D.E.F.H.I. non in Editis.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

μάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς." Ὅρα τὴν ἔμφασιν
D πληκτικωτάτην οὖσαν. Οὐ γὰρ ἑτέρων [c] ἐδεήθησαν, φησὶ, τῶν ὑβριζόντων, ἀλλ' ἅπερ ἂν αὐτοὺς οἱ ἐχθροὶ διέθηκαν, ταῦτα ἑαυτοὺς κατειργάσαντο. Εἶτα πάλιν τὴν αἰτίαν ἀναλαβὼν, φησίν· [15] "Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα." [d] Ἃ μὲν ἦν σφόδρα καταγέλαστα, [d] κατ' εἶδος τίθησιν, ἃ δὲ δοκεῖ σεμνότερα εἶναι τῶν ἄλλων, καθολικῶς· καὶ διὰ πάντων δείκνυσιν, ὅτι τὸ τῇ κτίσει λατρεύειν, Ἑλληνικόν. Καὶ ὅρα πῶς τὸν λόγον [e] ἐδείνωσεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, "ἐλάτρευσαν τῇ κτίσει," ἀλλὰ, "παρὰ τὸν κτίσαντα·" παντα-
E χοῦ ταύτῃ τὸ ἔγκλημα ἐπαίρων, καὶ τῇ παραθέσει πάσης συγγνώμης αὐτοὺς ἀποστερῶν. "Ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν." Ἀλλ' οὐ διὰ τοῦτό τι παρεβλάβη, [f] φησίν· αὐτὸς γὰρ μένει εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἐνταῦθα δείκνυσιν, ὅτι οὐχ ἑαυτῷ ἀμύνων εἴασεν αὐτοὺς, ὅπου γε αὐτὸς οὐδὲν ἔπασχεν. Εἰ γὰρ καὶ [g] οὗτοι ὕβρισαν, ἀλλ' ἐκεῖνος οὐχ ὕβριστο, οὐδὲ ἠκρωτηριάσθη τὰ τῆς δόξης αὐτῷ, ἀλλὰ μένει διαπαντὸς εὐλογητός. Εἰ γὰρ ἄνθρωπος πολλάκις φιλοσοφῶν οὐδὲν [h] ἂν πάθοι παρὰ τῶν ὑβριζόντων, πολλῷ μᾶλλον ὁ θεὸς,
453 ἡ ἀνώλεθρος καὶ ἄτρεπτος φύσις, ἡ ἀναλλοίωτος καὶ ἀκίνητος δόξα.

[i] Καὶ γὰρ ἄνθρωποι [k] κατὰ τοῦτο ὁμοιοῦνται θεῷ, ὅταν μηδὲν πάσχωσι παρὰ τῶν ἐπηρεάζειν βουλομένων, μηδὲ ὑβριζόντων ὑβρίζωνται, μηδὲ τυπτόντων τύπτωνται, μηδὲ καταγελῶνται καταγελώντων [l] ἑτέρων αὐτούς. Καὶ πῶς ἔνι [m] τοῦτο γενέσθαι, φησίν; Ἔνι, καὶ σφόδρα ἔνι, ὅταν μὴ ἀλγῇς τοῖς γινομένοις. Καὶ πῶς ἔνι μὴ ἀλγεῖν, φησί; [n] Πῶς ἔνι μὲν οὖν ἀλγεῖν; Εἰπὲ γάρ μοι, εἰ τὸ [o] παιδίον ὑβρίσειέ σε τὸ σὸν, ἆρα ὕβριν [p] ἡγήσῃ τὴν ὕβριν; τί [q] δὲ, ἀλγήσεις; Οὐδαμῶς· ἂν δὲ ἀλγήσῃς, [r] οὐ τότε ἔσῃ καταγέλαστος; Οὕτω καὶ ἐπὶ τῶν

[15] v. 25.

[c] ἐδεήθησαν omnes. Edebatur ἐδέησαν. Mox ἂν om. G. [d] κατ' εἶδος τ. pro τίθησι κατ' εἶδος omnes. [e] ἐδείνωσεν D.F. ἐδηλοποίησεν G. Reliqui omnes cum Editis ἐδήλωσεν. [f] φησίν· αὐτὸς γὰρ μένει] Sic A.D.E.F.H.I. φησὶν αὐτός· μένει γὰρ G. Edebatur φησίν· αὐτὸς μὲν γὰρ (sine μένει). Statim εὖλ. εἰς τ. α. pro εἰς τ. α. εὐλογητὸς omnes. [g] αὐτοὶ G. [h] ἂν πάθοι] Sic A.B.D.E.F.G.I. πάθῃ ἄν Edd. [i] ΗΘΙΚΟΝ. Περὶ ἀνεξικακίας καὶ μακροθυμίας, καὶ ὅτι δεῖ πάντων κρατεῖν τῶν παθῶν. Veron. [k] κατὰ τοῦτο omnes. κατ' αὐτὸ Edd. [l] ἑτέρων om. A.D.E.G.H.I. [m] τοῦτο γ. pro γ. τοῦτο A. B.D.E.F.G.H. [n] πῶς] ὅλως D.E. Haec πῶς ἔνι μὲν οὖν ἀλγεῖν om. I. πῶς; ἔνι μὲν οὖν μὴ ἀλγεῖν G. [o] παιδίον pro παιδάριον omnes. Statim ἐνυβρίσειεν G. [p] ἡγῇ G. [q] δὲ] δαὶ D.E.G. et ante corr. A. [r] οὐ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλησίον [s] διακεώμεθα, καὶ οὐδὲν πεισόμεθα [t] ἀηδές· τῶν γὰρ B
παίδων οἱ ὑβρίζοντες ἀνοητότεροι· [v] μηδὲ ζητῶμεν μὴ ὑβρί-
ζεσθαι, ἀλλὰ ὑβριζόμενοι [w] φέρειν· αὕτη γάρ [x] ἐστιν ἡ βεβαία
τιμή. Τί δήποτε; Ὅτι σὺ κύριος τούτου, ἐκείνου δὲ ἕτερος.
Οὐχ ὁρᾷς τὸν ἀδάμαντα ἐν τῷ παίεσθαι πλήττοντα; Ἀλλ'
[y] ἡ φύσις, φησὶ, τοῦτο ἔχει. Ἀλλὰ καὶ σοὶ δυνατὸν ἐν τῇ
προαιρέσει γενέσθαι [z] τοιοῦτον, ὅπερ ἀπὸ φύσεως ἐκείνῳ συμ-
βαίνει. Τί [a] δέ; οὐκ εἶδες τοὺς παῖδας ἐν τῇ καμίνῳ μὴ
καιομένους; [b] καὶ τὸν Δανιὴλ ἐν τῷ λάκκῳ μηδὲν πάσχοντα
δεινόν; Ἔξεστι καὶ νῦν τοῦτο γενέσθαι· παρεστήκασι καὶ ἡμῖν
λέοντες, θυμὸς, ἐπιθυμία, χαλεποὺς ἔχοντες ὀδόντας, διασπῶν- C
τες τὸν ἐμπίπτοντα. Γενοῦ τοίνυν [c] κατ' ἐκεῖνον, καὶ μὴ δῷς
τοῖς πάθεσι τούτοις τοὺς ὀδόντας ἐμπῆξαί σου τῇ ψυχῇ. [d] Ἀλλ'
ἐκεῖνο τῆς χάριτος ὅλον, φησίν. Ἐπειδὴ τὰ τῆς προαιρέσεως
προηγήσατο. Ὥστε [e] ἂν ἐθέλωμεν καὶ ἡμεῖς τοιούτους ἑαυτοὺς
[f] παρασκευάσαι, πάρεστι καὶ νῦν ἡ χάρις· κἂν πεινᾷ τὰ θηρία,
οὐχ ἅψεταί σου τῆς πλευρᾶς. Εἰ γὰρ σῶμα δουλικὸν [g] ἰδόντες
ἠδέσθησαν, τὰ μέλη τοῦ Χριστοῦ θεασάμενοι· τοῦτο γάρ
ἐσμεν οἱ πιστοί· πῶς οὐχ ἡσυχάσουσιν; Εἰ δὲ οὐχ [h] ἡσυχα-
ζουσι, παρὰ τὴν τῶν [i] ἐμβληθέντων αἰτίαν. Καὶ γὰρ πολλοὶ D
τοῖς λέουσι τούτοις πολλὴν παρέχουσι δαπάνην, πόρνας τρέ-
φοντες, γάμους διορύττοντες, ἐχθροὺς ἀμυνόμενοι· διὸ πρὶν
(23) [k] πρὸς τὸ ἔδαφος ἐλθεῖν, διασπῶνται. Ἀλλ' οὐκ ἐπὶ τοῦ
Δανιὴλ τοῦτο γέγονεν, [l] οὐδὲ ἐφ' ἡμῶν, εἰ βουληθείημεν, τοῦτο
ἔσται, ἀλλὰ καὶ πλέον τι συμβήσεται τῶν γενομένων τότε.
[m] Ἐκεῖνον μὲν γὰρ οὐκ ἠδίκησαν οἱ λέοντες, ἡμᾶς δὲ, ἐὰν νήφω-
μεν, καὶ ὠφελήσουσιν οἱ ἀδικοῦντες. Οὕτω γοῦν ὁ Παῦλος λαμ-
πρὸς ἐγένετο ἀπὸ τῶν ἐπηρεαζόντων καὶ ἐπιβουλευόντων, οὕτως
ὁ Ἰὼβ ἀπὸ τῶν πολλῶν πληγῶν ἐκείνων, οὕτως ὁ Ἱερεμίας ἀπὸ E
τοῦ λάκκου τοῦ βορβόρου, οὕτως ὁ Νῶε ἀπὸ τοῦ κατακλυσμοῦ,
οὕτως ὁ [n] Ἄβελ ἀπὸ τῆς ἐπιβουλῆς, οὕτως ὁ Μωϋσῆς ἀπὸ [n] τῶν

[s] διακεώμεθα D.F. διακείμεθα A.E.I. διακείμενον (?) G. διακεισόμεθα B. Veron. διακεισώμεθα Sav. Mor. Ben. [t] ἀηδές] δεινὸν A. D. E. F. H. I. [v] μηδὲ] μὴ δὴ F.H.I. et ex corr. G. [w] φέρειν B.G. φέρομεν A.E. φέρωμεν Edd. et Interpp. Post h. v. vulgo addunt γενναίως, repugnantibus libris. [x] ἐστιν om. I. [y] ἡ φύσις] ἐκ φύσεως D.E. [z] τοῦτο G. [a] δέ] δαὶ D.E. G. et a pr. man. A. [b] καὶ accessit ex omnibus. [c] κατ' ἐκεῖνον] Sic omnes. κατὰ τὸν Δανιὴλ Edd. [d] Vid. Annot. [e] ἂν ἐθέλωμεν A.B.D.E.F. ἂν θέλωμεν H.I. ἐὰν θέλωμεν vulgo. [f] παρασκευάσαι pro κατασκ. omnes praeter B. Statim παρέστηκε pro πάρεστι καὶ G. [g] εἰδότες H. [h] ἡσυχάζουσι F.H.I. ἡσυχάσουσι Edd. [i] βληθέντων A.D.E.F.H. βουληθέντων I. [k] πρὸς] εἰς G. Veron. [l] ἀλλ' οὐδὲ Edd. ἀλλ' deest in omnibus. [m] ἐκεῖνον omnes. ἐκεῖ Edd. [n] τῶν φονώντων] τοῦ φθόνου τῶν ex corr. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φονώντων Ἰουδαίων, οὕτως [n]ὁ Ἐλισσαῖος, οὕτως ἕκαστος τῶν μεγάλων ἐκείνων, οὐκ ἀπὸ ἀνέσεως καὶ τρυφῆς, ἀλλ' ἀπὸ [o]θλίψεως καὶ πειρασμῶν λαμπροὺς ἀνεδήσαντο στεφάνους. Διὸ καὶ ὁ Χριστὸς ταύτην εἰδὼς τῆς εὐδοκιμήσεως [p]οὖσαν τὴν ὑπόθεσιν, τοῖς μαθηταῖς ἔλεγεν· [16]"Ἐν τῷ κόσμῳ θλῖψιν [q]ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον." Τί οὖν; φησίν· οὐ πολλοὶ [r]περι-
454 ετράπησαν ὑπὸ τῶν δεινῶν; Οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν ἑαυτῶν ῥᾳθυμίαν. Ὁ δὲ ποιῶν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, αὐτὸς παρασταίη [s]πᾶσιν ἡμῖν, καὶ χεῖρα ὀρέξειεν, ἵνα λαμπρῶς ἀνακηρυχθέντες, τῶν αἰωνίων ἐπιτύχωμεν [t]στεφάνων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

B

ΛΟΓΟΣ Ε.

[1]Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας. Αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· ὁμοίως [a]δὲ καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν [b]ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους.

ΠΑΝΤΑ μὲν [c]οὖν ἄτιμα τὰ πάθη, μάλιστα δὲ ἡ κατὰ τῶν ἀρρένων μανία. Καὶ γὰρ πάσχει ἐν τοῖς ἁμαρτήμασιν ἡ ψυχὴ
C μᾶλλον καὶ καταισχύνεται, ἢ τὸ σῶμα ἐν τοῖς νοσήμασι. Θέα δὲ πῶς αὐτοὺς καὶ ἐνταῦθα συγγνώμης ἀποστερεῖ, καθάπερ ἐπὶ τῶν δογμάτων, ἐπὶ μὲν τῶν θηλειῶν εἰπών, "μετήλλαξαν τὴν φυσικὴν [d]χρῆσιν." Οὐ γὰρ [e]ἔχει τις εἰπεῖν, φησὶν, ὅτι κωλυθεῖσαι τῆς κατὰ νόμον μίξεως, ἐπὶ τοῦτο ἦλθον, [f]οὐδ' ὅτι οὐκ ἔχουσαι τὴν ἐπιθυμίαν πληρῶσαι, πρὸς τὴν ἀλλόκοτον ταύτην λύσσαν ἐξώκειλαν· τὸ γὰρ μεταλλάξαι τῶν ἐχόντων ἐστίν· ὅπερ καὶ ἐπὶ τῶν δογμάτων διαλεγόμενος ἔλεγε· "Μετήλ-
D λαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει." Ἐπὶ δὲ τῶν ἀρρένων πάλιν ἑτέρως τὸ αὐτὸ ἐδήλωσεν, εἰπών, "ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας." Καὶ ὁμοίως [g]ἐκείναις καὶ τού-

16 Joan. xvi. 33. 1 Cap. I. v. 26, 27.

n ὁ accessit ex A.B.D.E.F. o θλίψεως pro θλίψεων G. Brix. p οὖσαν est in A.B.D.F.G.H.I. non in Edd. q ἕξετε G. Veron. r παρετράπησαν G. s πᾶσιν om. A.D.E.F.H.I. t στεφάνων] ἀγαθῶν καὶ στεφάνων G. Hom. V. a δὲ om. D.E. b ἐν τ. ὀ. α. εἰς ἀλλήλους om. E. c οὖν om. G.I. d χρῆσιν]+εἰς τὴν παρὰ φύσιν G. e ἔχει pro ἔχοι omnes. f οὐδ' pro οὔθ' habent A.B.D.E.H.I. g ἐκείνας Veron. κἀκείνας G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τους ἐκβάλλει πάσης ἀπολογίας, κατηγορῶν αὐτῶν, οὐ μόνον ὅτι εἶχον ἀπόλαυσιν, καὶ ἀφέντες ἣν εἶχον, ἐπ' ἄλλην ἦλθον, ἀλλ' ὅτι τὴν κατὰ φύσιν ἀτιμάσαντες, ἐπὶ τὴν παρὰ φύσιν ἔδραμον. Δυσκολώτερα δὲ τὰ παρὰ φύσιν καὶ ἀηδέστερα, ὥστε οὐδὲ ἡδονὴν [h]ἔχοιεν ἂν εἰπεῖν· ἡ γὰρ γνησία ἡδονὴ ἡ κατὰ φύσιν ἐστίν. Ἀλλ' ὅταν ὁ θεὸς ἐγκαταλίπῃ, πάντα ἄνω καὶ κάτω γίνεται. Διὰ τοῦτο οὐ [i]τὸ δόγμα αὐτοῖς Σατανικὸν μόνον ἦν, ἀλλὰ καὶ ὁ βίος διαβολικός. Ὅτε μὲν οὖν περὶ δογμάτων διελέγετο, τὸν κόσμον εἰς μέσον ἔθηκε καὶ τὴν διάνοιαν τὴν ἀνθρωπίνην, εἰπὼν, ὅτι τῇ συνέσει τῇ παρὰ [k]τοῦ θεοῦ δεδομένῃ διὰ τῶν ὁρωμένων ἠδύναντο χειραγωγηθῆναι πρὸς τὸν δημιουργὸν, [l]εἶτα μὴ βουληθέντες, ἔμειναν ἀσύγγνωστοι. Ἐνταῦθα δὲ ἀντὶ τοῦ κόσμου τὴν κατὰ φύσιν τέθεικεν ἡδονὴν, ἧς ἠδύναντο μετὰ ἀδείας πλείονος ἀπολαύοντες καὶ μείζονος τῆς εὐφροσύνης, ἀπηλλάχθαι αἰσχύνης. Ἀλλ' οὐκ ἠθέλησαν· ὅθεν καὶ συγγνώμης ἁπάσης εἰσὶν ἐκτὸς, [m]καὶ εἰς αὐτὴν τὴν φύσιν ὑβρίσαντες. [n]Καὶ τὸ δὴ τούτων ἀτιμότερον, ὅταν καὶ [o]γυναῖκες ταύτας ἐπιζητῶσι τὰς μίξεις, ἃς ἀνδρῶν μᾶλλον αἰδεῖσθαι ἐχρῆν. Ἄξιον δὲ θαυμάσαι καὶ ἐνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς εἰς δύο πράγματα ἐμπεσὼν ἐναντία, ἀμφότερα ἤνυσε μετὰ [p]πάσης ἀκριβείας. Ἐβούλετο γὰρ καὶ σεμνῶς εἰπεῖν, (24) καὶ [q]δακεῖν τὸν ἀκροατήν· [r]ταῦτα δὲ ἀμφότερα οὐκ ἐνῆν, ἀλλὰ θάτερον ἐμποδίζει θατέρῳ. [s]Ἂν μὲν γὰρ σεμνῶς εἴπῃς, οὐ δυνήσῃ καθικέσθαι τοῦ ἀκούοντος· ἐὰν δὲ βουληθῇς καθάψασθαι σφοδρῶς, ἀνάγκην ἔχεις [s]ἀπογυμνῶσαι σαφέστερον τὸ λεγόμενον. Ἀλλ' ἡ συνετὴ καὶ ἁγία ψυχὴ μετὰ ἀκριβείας ἀμφότερα [t]ἴσχυσε, τῷ τῆς φύσεως ὀνόματι καὶ τὴν κατηγορίαν [v]αὐξήσας, καὶ ὥσπερ παραπετάσματί [w]τινι χρησάμενος εἰς τὸ [x]σεμνὸν τῆς διηγήσεως.

Εἶτα τῶν γυναικῶν καθαψάμενος πρότερον, καὶ ἐπὶ τοὺς ἄνδρας πρόεισι, λέγων· "Ὁμοίως δὲ καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας·" ὅπερ ἐσχάτης ἐστὶν ἀπωλείας δεῖγμα, ὅταν ἑκάτερον ᾖ τὸ γένος διεφθαρμένον, καὶ ὅ τε διδάσκαλος τῆς γυναικὸς εἶναι ταχθεὶς, ἥ τε βοηθὸς τοῦ ἀνδρὸς

[h] ἔχοιεν ἄν pro ἂν ἔχοιεν omnes. [i] τὸ om. E. Mox ἦν om. ante corr. G. [k] τοῦ, quod aberat ante Montef. est in nostris omnibus. [l] εἶτα] ἀλλὰ D.E. [m] καὶ om. G. [n] καὶ——ὅταν καὶ] ἄτιμον μὲν οὖν καὶ τὸ τοὺς ἄνδρας τὴν ἄδικον ζητεῖν ἡδονήν· ὅταν δὲ καὶ D.E. [o] γυναῖκας et p.p. ἐπιζητήσειν G. [p] πάσης om. G. [q] δακεῖν] πλῆξαι G. [r] ταῦτα δὲ βουλομένῳ ἀμφότερα οὐκ ἐνὸν κατορθοῦν, ἀλλὰ θάτερον D.E. [s] ἀπογ. σαφέστερον] σαφῶς ἀπογ. G. Post σαφέστερον, ποιῶν add. E. [t] ἴσχυσε, τῷ] Sic omnes. Edebatur ἴσχυσεν, ἐν τῷ. [v] αὐξῆσαι F.G. [w] τινι]+ταύτῃ Edd. repugnantibus libris. [x] σεμνὸν] γυμνὸν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κελευσθεῖσα γενέσθαι, τὰ τῶν ἐχθρῶν [y] ἀλλήλους ἐργάζωνται.
C Σκόπει δὲ πῶς [z] καὶ ἐμφαντικῶς [a] κέχρηται ταῖς λέξεσιν. Οὐ γὰρ εἶπεν, ὅτι ἠράσθησαν καὶ ἐπεθύμησαν ἀλλήλων, ἀλλ', "ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους." Ὁρᾷς, ὅτι ἀπὸ πλεονεξίας τὸ πᾶν τῆς ἐπιθυμίας, οὐκ [b] ἀνασχομένης εἴσω τῶν οἰκείων μένειν ὅρων; Πᾶν γὰρ τὸ ὑπερβαῖνον τοὺς παρὰ [c] τοῦ θεοῦ τεθέντας νόμους, τῶν ἀλλοκότων ἐπιθυμεῖ, καὶ οὐχὶ τῶν νενομισμένων. Ὥσπερ γὰρ πολλοὶ πολλάκις τὴν τῶν σιτίων ἐπιθυμίαν ἀφέντες, γῆν σιτοῦνται καὶ λίθους [d] μικρὰς, καὶ [e] ἕτεροι ὑπὸ δίψους κατεχόμενοι σφοδροῦ, καὶ βορβόρου πολλάκις ἐπιθυμοῦσιν· οὕτω καὶ ἐκεῖνοι πρὸς τὸν παρανομον τοῦτον [f] ἐξεβράσθησαν ἔρωτα. Εἰ δὲ [g] λέγοις, καὶ πόθεν ἡ ἐπίτασις τῆς
D ἐπιθυμίας [h] αὕτη; ἀπὸ τῆς τοῦ θεοῦ [i] ἐγκαταλείψεως. Ἡ δὲ ἐγκατάλειψις τοῦ θεοῦ πόθεν; ἀπὸ τῆς τῶν ἀφέντων αὐτὸν [k] ἀνομίας. "Ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι." Μὴ [l] γὰρ ἐπειδὴ ἤκουσας, φησὶν, ὅτι ἐξεκαύθησαν, τῆς ἐπιθυμίας [m] μόνης εἶναι νομίσῃς τὸ νόσημα· καὶ γὰρ τὸ πλέον τῆς αὐτῶν ῥᾳθυμίας ἐστὶν, ἣ καὶ τὴν ἐπιθυμίαν ἀνῆψε. Διὰ τοῦτο οὐκ εἶπε, παρασυρέντες, ἢ [n] προληφθέντες, ὅπερ
E ἀλλαχοῦ φησιν, [o] ἀλλὰ τί; "Κατεργαζόμενοι." [p] Ἔργον ἔθεντο τὴν ἁμαρτίαν, καὶ οὐχ ἁπλῶς ἔργον, ἀλλὰ καὶ ἐσπουδασμένον. Καὶ οὐκ εἶπεν, ἐπιθυμίαν, ἀλλ' ἀσχημοσύνην, κυρίως· καὶ γὰρ καὶ τὴν φύσιν ᾔσχυναν, καὶ τοὺς νόμους ἐπάτησαν. Καὶ ὅρα πολλὴν τὴν σύγχυσιν ἐξ ἀμφοτέρου τοῦ μέρους γινομένην. Οὐ γὰρ ἡ κεφαλὴ [q] μόνον κάτω γέγονεν, ἀλλὰ καὶ οἱ πόδες ἄνω, καὶ πολέμιοι ἑαυτῶν καὶ ἀλλήλων ἐγένοντο, χαλεπήν τινα καὶ παντὸς ἐμφυλίου πολέμου παρανομωτέραν εἰσάγοντες μάχην, καὶ [r] πολυσχιδῆ καὶ ποικίλην. Καὶ γὰρ εἰς τέσσαρα [s] αὐτὴν διεῖλον εἴδη [t] καινὰ καὶ παράνομα· [v] οὐ γὰρ διπλοῦς καὶ

[y] ἀλλήλοις E.G. et ex corr. A. Legebatur εἰς ἀλλήλους, repugnantibus libris. Statim ἐργάζονται F.G. Ita tacite Montef. [z] καὶ om. G. Statim ἐμφατικῶς F. [a] κέχρηται pro χρῆται A.D.E.F.G.H.I. [b] ἀνεχομένης F. G.I. Mox μένειν ὅρων pro ὅρων μένειν A.D.E.F.G.H.I. μένειν om. a pr. man. B. [c] τοῦ accessit ex A.B.D.E.G.H.I. [d] μικρὰς pro μικροὺς A.B. D.E.H. [e] ἕτεροι]+δὲ A.H.I. [f] ἐξεκαύθησαν libri omnes excepto G. [g] λέγοις B.F.G.H.I. λέγεις vulgo. [h] αὕτη] ταύτης B.D.G. [i] ἐγκαταλείψεως]+εἴποιμι ἂν ἐγὼ D.E. Iidem pergunt: εἰ δὲ καὶ (+αὐτὴ D.) ἡ ἐγκ. (+αὐτὴ E.) τοῦ θεοῦ ζητεῖς πόθεν. [k] ἀνομίας] ἀνοίας B.D. ἀλογίας E. Post h. v. πάλιν ἀποκρινοῦμαί σοι add. D.E. [l] γὰρ accessit ex omnibus. Statim φησὶν ἤκουσας inverso ord. A.D.E.F.H.I. [m] μόνης om. A.E.F.H.I. [n] παραληφθέντες A.B.D.E.F.H.I. Sed vid. Gal. vi. 1. [o] ἀλλὰ τί] ἀλλ' ὅτι G. [p] ἔργον] δηλῶν ὅτι ἔργον D.E. [q] μόνη A.F.H.I. [r] πολυσχεδῆ A.E.F.H. Haec καὶ πολυσχ. καὶ ποικίλην om. a pr. man. G. [s] αὐτὴν pro ταύτην omnes. [t] καινὰ B.D.E.F.G. Brix. κενὰ vulgo. [v] οὐ γὰρ] ὅθεν οὐ D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τριπλοῦς, ἀλλὰ καὶ τετραπλοῦς οὗτος ὁ πόλεμος ἦν. Σκόπει 456
δέ. [w]Ἔδει τοὺς δύο ἕνα εἶναι, γυναῖκα καὶ ἄνδρα λέγω· [2]"Ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν." Ἐποίει δὲ τοῦτο ἡ τῆς ὁμιλίας ἐπιθυμία, καὶ συνῆπτε τὰ γένη πρὸς ἄλληλα. Ταύτην ἀνελὼν ὁ διάβολος τὴν ἐπιθυμίαν, καὶ ἐφ' ἕτερον μετοχετεύσας τρόπον, ἀπέσχισεν οὕτως ἀπ' ἀλλήλων τὰ γένη, καὶ ἐποίησε τὸ ἓν δύο γενέσθαι μέρη, ἀπεναντίας τῷ τοῦ θεοῦ νόμῳ. Ὁ μὲν γάρ φησιν, "[x]Οἱ δύο ἔσονται εἰς σάρκα μίαν" ὁ δὲ τὴν μίαν εἰς δύο διεῖλεν. Ἰδοὺ πόλεμος εἶς. Πάλιν αὐτὰ τὰ δύο μέρη ταῦτα καὶ πρὸς [y]ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ἐξεπο- B
λέμωσεν· αἵ τε γὰρ γυναῖκες [z]γυναῖκας ὕβριζον πάλιν, οὐκ ἄνδρας μόνον, οἵ τε ἄνδρες [a]κατά τε ἀλλήλων ἵσταντο, καὶ κατὰ τοῦ γυναικείου [b]γένους, καθάπερ ἐν νυκτομαχίᾳ τινί. Εἶδες δεύτερον καὶ τρίτον πόλεμον, καὶ τέταρτον καὶ πέμπτον; [c]Ἔστι καὶ ἕτερος· μετὰ γὰρ τῶν εἰρημένων καὶ εἰς τὴν φύσιν αὐτὴν παρηνόμησαν. Ἐπειδὴ γὰρ [d]εἶδεν ὁ διάβολος, ὅτι [e]αὕτη μάλιστα συνάγει τὰ γένη ἡ ἐπιθυμία, τὸν δεσμὸν ἐσπούδασε διακόψαι, ὥστε οὐ [f]τῷ μὴ σπείρεσθαι μόνον κατὰ νόμον τὸ γένος [g]διαλῦσαι, ἀλλὰ καὶ [h]τῷ πρὸς ἀλλήλους [i]ἐκπεπολεμῶσθαι [k]καὶ στασιάζειν. "Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς C
πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες." Ὅρα πῶς πάλιν ἐπὶ τὴν πηγὴν ἔρχεται τοῦ κακοῦ, τὴν [l]ἀσέβειαν τὴν ἀπὸ τῶν δογμάτων, καὶ μισθὸν τοῦτον εἶναί φησι [m]τῆς παρανομίας ἐκείνης.

[n]Ἐπειδὴ [o]γὰρ περὶ γεέννης καὶ κολάσεως λέγων, νῦν οὐκ ἐδόκει πιστὸς εἶναι τοῖς ἀσεβέσι καὶ οὕτω ζῆν προαιρουμένοις,
(25) ἀλλὰ καὶ καταγέλαστος, δείκνυσιν ἐν αὐτῇ τῇ ἡδονῇ [p]ταύτῃ τὴν κόλασιν οὖσαν. Εἰ δὲ οὐκ αἰσθάνονται, ἀλλ' ἥδονται, μὴ θαυμάσῃς· καὶ γὰρ [q]καὶ οἱ μαινόμενοι καὶ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ πολλὰ ἑαυτοὺς ἀδικοῦντες, καὶ ἐλεεινὰ [r]πράσ- D
σοντες, ἐφ' οἷς αὐτοὺς ἕτεροι δακρύουσι, γελῶσι καὶ ἐντρυφῶσι

2 Gen. ii. 24.

[w] ἔδει om. G. [x] οἱ δύο ἔσονται omnes. ἔσονται οἱ δύο Edd. [y] ἑαυτοὺς pro αὐτοὺς A.B.D.E.G.H.I. [z] γυναῖκας ὕβρ.] ὕβρ. ἀλλήλας I. [a] κατά τε] κατ' A.E.F.H.I. [b] γένους] μέρους H. [c] ἔστι]+γὰρ A.F.H.I. [d] οἶδεν H. [e] αὕτη A.D.E.F. et ex corr. B. Edebatur αὐτή. [f] τῷ] τὸ G.H.I. [g] διελυσεν D.E. [h] τῷ] τὸ G.H. τῷ om. I. [i] ἐκπολεμῶσθαι ante corr. B. ἐκπολεμῶσαι G. Post h. v. vulgo addunt τὸ γένος, quod abesse jubent B.D.G.H. [k] καὶ] ποιῆσαι καὶ D.E. [l] ἀσέβειαν]+λέγω D.E. [m] τῆς] τὸν ἀπὸ τῆς H. [n] ΗΘΙΚΟΝ. Περὶ παιδεραστῶν, μαλακῶν, καὶ πόσων ἄξιοι κακῶν, καὶ περὶ τῶν κακῶς βιούντων ἀνδρῶν τε καὶ γυναικῶν, καὶ περὶ γεέννης καὶ κρίσεως, καὶ ἀπόδειξις ἐκ τῶν ἐν Σοδόμοις, καὶ ὅτι δεῖ μὴ τρυφᾶν, ἀλλὰ κατὰ νοῦν ἔχειν ἀεὶ τὸν τοῦ θεοῦ φόβον. Veron. [o] γὰρ om. G. [p] ταύτῃ pro ταύτην A.D.E.F. Musc. [q] καὶ om. E.G. [r] πράσσοντες om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς γινομένοις αὐτοί. Ἀλλ' οὐ διὰ τοῦτό φαμεν αὐτοὺς ἀπηλλάχθαι κολάσεως, ἀλλὰ [s]καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἐν χαλεπωτέρᾳ εἶναι τιμωρίᾳ, ὅτι [t]μηδὲ ἴσασιν ἐν οἷς εἰσιν. Οὐ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων δεῖ φέρειν τὰς ψήφους. Ἐπεὶ τό γε παλαιὸν καὶ νόμος εἶναι τὸ πρᾶγμα ἐδόκει, καὶ νομοθέτης τις παρ' αὐτοῖς οἰκέτας ἐκέλευσε [v]μήτε ξηραλοιφεῖν μήτε παιδεραστεῖν, [w]τοῖς ἐλευθέροις τῆς προεδρίας παραχωρήσας
E ταύτης, μᾶλλον δὲ τῆς ἀσχημοσύνης. Ἀλλ' ὅμως οὐκ ἐνόμισαν [x]ἀσχημοσύνην εἶναι τὸ πρᾶγμα, ἀλλ' ὡς σεμνὸν καὶ μεῖζον ἢ κατ' οἰκετῶν ἀξίωμα, τοῖς ἐλευθέροις [y]ἐπέτρεψεν ὁ σοφώτατος τῶν Ἀθηναίων δῆμος, καὶ ὁ μέγας παρ' αὐτοῖς Σόλων. Καὶ ἕτερα δὲ πολλὰ τῶν φιλοσόφων βιβλία ταύτης ἄν τις εὕροι γέμοντα τῆς νόσου. Ἀλλ' οὐ διὰ τοῦτο νενομισμένον εἶναι τὸ πρᾶγμά φαμεν, ἀλλὰ καὶ τοὺς τὸν νόμον δεξαμένους τοῦτον ἐλεεινοὺς καὶ δακρύων ἀξίους εἶναι πολλῶν. [a]Ἃ γὰρ αἱ πορνευόμεναι πάσχουσι γυναῖκες, ταῦτα καὶ οὗτοι· μᾶλλον δὲ ἐκείνων
457 ἀθλιώτερα. Ταῖς μὲν γὰρ εἰ καὶ παράνομος, [z]ἀλλὰ κατὰ φύσιν ἡ μίξις· αὕτη δὲ [a]καὶ παρὰ νόμον, καὶ παρὰ φύσιν. Εἰ γὰρ [b]καὶ μὴ γέεννα ἦν, μηδὲ κόλασις [c]ἠπείλητο, τοῦτο πάσης κολάσεως χεῖρον ἦν. Εἰ δὲ ἥδονται, τὴν προσθήκην μοι λέγεις τῆς τιμωρίας. Οὐδὲ γὰρ εἴ τινα εἶδον γυμνὸν τρέχοντα, βορβόρῳ τὸ σῶμα ἀνακεχρωσμένον ἅπαν, εἶτα οὐκ ἐγκαλυπτόμενον, [d]ἀλλὰ καὶ ἐγκαλλωπιζόμενον, συνήσθην [e]ἂν αὐτῷ, ἀλλὰ καὶ μᾶλλον ἂν αὐτὸν ἐθρήνησα, ὅτι οὐδὲ αἰσθάνεται ἀσχημονῶν. [f]Ἵνα δὲ καὶ [f]σαφέστερον δείξω τὴν ὕβριν, ἀνάσχεσθέ μου καὶ ἑτέρου παραδείγματος. Εἰ γὰρ παρθένον τις κατεδίκασε
B θαλαμευομένην ἀλόγοις μιγῆναι ζώοις, εἶτα ἥδετο ἐκείνη τῇ μίξει, οὐ διὰ τοῦτο μάλιστα δακρύων ἦν ἀξία, ὅτι οὐδὲ ἀπαλλαγῆναι τῆς νόσου ταύτης ἠδύνατο τῷ μηδὲ αἰσθάνεσθαι τῆς νόσου; Παντί που [g]δῆλον. Εἰ δὲ ἐκεῖνο χαλεπὸν, οὐδὲ τοῦτο ἔλαττον ἐκείνου· τὸ γὰρ ὑπὸ τῶν οἰκείων ὑβρίζεσθαι ἐλεεινότερον τοῦ [h]παρὰ τῶν ἀλλοτρίων. Τούτους ἐγὼ καὶ ἀνδρο-

[s] καὶ om. D.I. Mox οὖν om. B. [t] μηδὲ A.B.D.E.G.I. et ex corr. H Legebatur οὐδέ. [v] μήτε . . . μήτε] μὴ . . . μηδὲ A.D.E.F.H.I. [w] τοῖς ἐλευθέροις om. H. Mox προεδρίας pro προεδρείας A.B.D.E.I. fortasse alii [x] αἰσχύνην A.D.E.F.H. Haec ἀλλ' ὅμως οὐκ ἐν. ἀσχημοσύνην om. G. [y] ἐπέτρεψεν ὁ σοφ.] Sic omnes. ἐπέτρεψαν· καὶ τοῦτο ὁ σοφ. Edd. et Interpp. [z] ἀλλὰ] ἀλλ' οὖν D.E. Mox αἱ μίξεις H. [a] καὶ om. E. Statim παρὰ νόμον pro παράνομος A.B.D.E.F.H. [b] καὶ μὴ] μὴ καὶ G. καὶ excidit apud Benedictinam utramque. [c] ἠπειλεῖτο F.G. [d] ἀλλ' ἐγκαλ. A.F.H.I. ἀλλὰ ἐγκαλ. E. [e] ἂν om. I. Mox ἂν αὐτὸν om. D.E. [f] σαφέστερον A.B.D.E.G.H.I. σαφεστέραν Edd. Statim ἐπιδείξω G. [g] δῆλον] + ἐστιν Edd. repugnantibus libris. [h] παρὰ pro ὑπὸ A.B.D.E.G.H.I.

φόνων χείρους εἶναί [i]φημι· καὶ γὰρ βέλτιον ἀποθανεῖν, ἢ ζῆν ὑβριζόμενον οὕτως. Ὁ μὲν γὰρ ἀνδροφόνος τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διέρρηξεν, οὗτος δὲ τὴν ψυχὴν μετὰ τοῦ σώματος ἀπώλεσε. [k]Καὶ ὅπερ ἂν εἴπῃς ἁμάρτημα, οὐδὲν ἴσον ἐρεῖς τῆς C
παρανομίας ταύτης· καὶ [l]εἴγε ᾔσθάνοντο τῶν γινομένων οἱ πάσχοντες, μυρίους ἂν κατεδέξαντο θανάτους, ὥστε μὴ τοῦτο παθεῖν.

Οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης τῆς [m]ὕβρεως χαλεπώτερον. Εἰ γὰρ περὶ πορνείας διαλεγόμενος ὁ Παῦλος [n]ἔλεγεν, ὅτι [3]"Πᾶν ἁμάρτημα, ὃ [o]ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει·" τί ἂν εἴποιμεν περὶ τῆς [p]μανίας ταύτης, ἢ τοσοῦτον πορνείας χείρων D
ἐστὶν, ὅσον οὐδὲ ἔστιν εἰπεῖν; Οὐδὲ γὰρ τοῦτο λέγω μόνον, ὅτι γέγονας γυνὴ, ἀλλ' ὅτι ἀπώλεσας καὶ τὸ εἶναι ἀνὴρ, καὶ οὔτε εἰς ταύτην μετέστης τὴν φύσιν, οὔτε ἣν εἶχες διετήρησας, ἀλλὰ κοινὸς ἑκατέρας ἐγένου προδότης, καὶ παρὰ ἀνδρῶν καὶ γυναικῶν ἄξιος ἐλαύνεσθαι καὶ καταλεύεσθαι, ἅτε ἑκάτερον ἀδικήσας τὸ γένος. Καὶ ἵνα μάθῃς ἡλίκον τοῦτό ἐστιν, εἴ τις ἐλθὼν [q]ἐπηγγέλλετο ἐξ ἀνθρώπων [r]σε κύνα ποιεῖν, ἆρα οὐκ ἂν ὡς λυμεῶνα ἔφυγες; Ἀλλ' ἰδοὺ [s]οὐ κύνα ἐξ ἀνθρώπων σαυτὸν [t]πεποίηκας, ἀλλὰ [v]τὸ τούτου ζῶον ἀτιμότερον· ἐκεῖνο μὲν γὰρ εἰς χρῆσιν ἐπιτήδειον, ὁ δὲ ἡταιρηκὼς οὐδαμοῦ χρήσιμος. Τί E
[w]δὲ, εἰπέ μοι, εἴ τις ἠπείλει ποιεῖν τίκτειν ἄνδρας καὶ λοχεύεσθαι, οὐκ ἂν ἐπλήσθημεν θυμοῦ; Ἀλλ' ἰδοὺ νῦν χαλεπώτερα ἑαυτοὺς κατειργάσαντο οἱ [x]τὰ τοιαῦτα λυττῶντες· οὐ γάρ ἐστιν ἴσον εἰς γυναικείαν μεταβαλεῖν φύσιν, καὶ μένοντα ἄνδρα γενέσθαι γυναῖκα, μᾶλλον δὲ [y]μηδὲ τοῦτο μηδὲ ἐκεῖνο. Εἰ δὲ βούλει καὶ ἑτέρωθεν μαθεῖν τοῦ κακοῦ τὴν ὑπερβολὴν, ἐρώτησον τίνος ἕνεκεν τοὺς εὐνούχους ποιοῦντας κολάζουσιν οἱ νομοθέται, καὶ εἴσῃ, ὅτι [z]δι' οὐδὲν ἕτερον, ἢ ὅτι τὴν φύσιν ἀκρωτηριάζουσι. 458
(26) Καίτοιγε οὐδὲν ἀδικοῦσιν ἐκεῖνοι τοσοῦτον· ἐγένοντο [a]γὰρ καὶ

3 1 Cor. vi. 18.

[i] φημι] νομίζω A.D.E.H.I. [k] καὶ om. I. Statim εἴπῃς pro εἴποις dant B.E.H.I. et ex corr. A. [l] εἴγε ᾔσθάνοντο omnes. εἰ ἐπῃσθάνοντο Edd. [m] ὕβρεως] +ἀλογώτερόν τε καὶ Edd. et Interpp. repugnantibus libris excepto D. Statim χαλεπωτέρα G. [n] ἔλεγεν om. H. [o] ἂν B.D.E. [p] μανίας] ἁμαρτίας B. [q] ἐπηγγείλατο A.D.E.F.H.I. [r] σε κύνα π. A.B.D.E.F.H.I. κύνα σε π. G. κύνα π. σε Edd. [s] οὐ] ὡς E. [t] πεποίηκας pro ἐποίησας omnes. [v] τὸ om. G. ἀλλὰ τούτου τοῦ ζώου ex corr. pro ἀλλὰ τοῦ τούτου ζώου I. [w] δὲ] δαὶ D.E.G. [x] τὰ τοιαῦτα] ταῦτα G. [y] μήτε bis Edd. repugnantibus libris. [z] δι' om. E. superscriptum manu eadem in A. Post ἕτερον vulgo addunt πάντως, invitis libris. [a] γὰρ]+οἱ ἀκρωτηριασθέντες Edd. Mox verba οἱ ἀποτμηθέντες, quae vulgo desunt, leguntur in nostris omnibus. Solus I. in textu οἱ εὐνοῦχοι, in marg. οἱ ἀποτμηθέντες habet.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τὸν ἀκρωτηριασμὸν πολλαχοῦ χρήσιμοι οἱ ἀποτμηθέντες· ἀνθρώπου δὲ [b]πεπορνευμένου οὐδὲν ἀχρηστότερον γένοιτ' ἄν. [c]Οὐδὲ γὰρ ἡ ψυχὴ μόνον, ἀλλὰ καὶ τὸ σῶμα τοῦ τὰ τοιαῦτα [d]παθόντος ἄτιμον καὶ ἄξιον ἐλαύνεσθαι πανταχόθεν. Πόσαι γέενναι τούτοις ἀρκέσουσιν; Εἰ δὲ [e]καταγελᾷς γεέννης ἀκούων, καὶ ἀπιστεῖς ἐκείνῳ τῷ πυρὶ, ἀναμνήσθητι τῶν Σοδόμων. Εἴδομεν γὰρ, εἴδομεν καὶ ἐν τῷ παρόντι βίῳ γεέννης εἰκόνα. Ἐπειδὴ γὰρ πολλοὶ τοῖς μετὰ τὴν ἀνάστασιν ἔμελλον διαπιστεῖν, [f]νῦν ἀκούοντες [g]πῦρ ἄσβεστον, ἀπὸ τῶν παρόντων αὐτοὺς ἐσωφρόνισεν ὁ θεός. Τοιοῦτος [h]γάρ ἐστιν ὁ Σοδόμων ἐμπρησμὸς καὶ ἡ πυρπόλησις ἐκείνη· καὶ ἴσασιν οἱ παραγενόμενοι, καὶ τῇ θέᾳ τὴν πληγὴν ἐκείνην τὴν θεήλατον καὶ τῶν ἄνωθεν κεραυνῶν τὸ ἔργον [i]ἰδόντες. Ἐννόησον ἡλίκον ἐστὶ τὸ ἁμάρτημα, ὡς βιάσασθαι καὶ πρὸ καιροῦ τὴν γέενναν φανῆναι. Ἐπειδὴ γὰρ πολλοὶ τῶν λόγων κατεφρόνουν, διὰ τῶν ἔργων αὐτοῖς τὴν ἐκείνης εἰκόνα ἐπέδειξεν ὁ θεὸς [k]καινῷ τινι τρόπῳ. Καὶ γὰρ παράδοξος ἦν ὁ ὑετὸς ἐκεῖνος, ἐπειδὴ καὶ παρὰ φύσιν ἡ μίξις· καὶ [l]κατέκλυσε τὴν γῆν, ἐπειδὴ καὶ τὰς ἐκείνων ψυχὰς ἡ ἐπιθυμία. Διὸ καὶ ἀπεναντίας ἦν ὁ ὑετὸς τῷ συνήθει· οὐ γὰρ μόνον οὐ διήγειρε τὴν γαστέρα τῆς γῆς πρὸς τὴν τῶν καρπῶν γένεσιν, ἀλλὰ καὶ πρὸς τὴν ὑποδοχὴν [m]αὐτὴν τῶν σπερμάτων ἄχρηστον ἐποίει. Τοιαύτη γὰρ ἦν [n]καὶ ἡ μίξις τῶν [o]ἀνδρῶν τῆς γῆς Σοδόμων, τὸ τοιοῦτον σῶμα ἀχρηστότερον ἀποφαίνουσα. Τί γὰρ ἀνδρὸς πεπορνευμένου μυσαρώτερον; τί δὲ ἐναγέστερον; Ὦ τῆς μανίας, ὦ τῆς παραπληξίας· πόθεν εἰσεκώμασεν ἡ ἐπιθυμία αὕτη, τὰ τῶν πολεμίων [p]διατιθεῖσα τὴν φύσιν τὴν ἀνθρωπίνην, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερα, ὅσῳ καὶ ψυχὴ σώματος ἀμείνων; [q]Ὦ καὶ ἀλόγων ὑμεῖς ἀνοητότεροι, καὶ κυνῶν ἀναιδέστεροι. Οὐδαμοῦ γὰρ τοιαύτη μίξις παρ' ἐκείνοις, ἀλλ' ἐπιγινώσκει τοὺς ἰδίους ὅρους ἡ φύσις· ὑμεῖς δὲ [q]καὶ τῶν ἀλόγων ἀτιμότερον τὸ γένος εἰργάσασθε τὸ [r]ἡμέτερον, καὶ ὑβρίζοντες τοιαῦτα, καὶ δι' ἀλλήλων ὑβρίζοντες.

[b] *πορνευομένου* G. [c] *οὐδὲ* pro *οὐ* A.D.E.F.H.I. [d] *παθόντος*] *ποιοῦντος* G. Mox *πάντοθεν* idem. [e] *καταγ. γεέννης* pro *γεέννης καταγ.* omnes. Mox edebatur *ἀπιστεῖς, ἐκεῖνο τὸ πῦρ ἀναμν.* Quod dedimus est in Sav. marg. et nostris omnibus, nisi quod *ἐκεῖνο τῷ πυρὶ* habet H. et *ἐκείνου τοῦ πυρὸς* correctum a prima manu ex *ἐκεῖνο τὸ πῦρ* G. [f] *νῦν* om. D.E. [g] *πῦρ ἄσβ. εἶναι* Edd. *εἶναι πῦρ ἄσβ.* B.G. In ceteris *εἶναι* deest. [h] *γὰρ* pro *γοῦν* A. D.E.F.H. *πάρεστιν* (sic) pro *γάρ ἐστιν* I. [i] *εἰδότες* H. [k] *καινῷ τ. τρόπῳ* om. F. [l] *κατέκαυσε* B. Brix. [m] *αὐτὴν*] *αὐτῶν* G. [n] *καὶ* accessit ex omnibus. [o] *ἀνδρῶν τ. γ. Σ.*] *Σοδομιτῶν* G. [p] *διαθεῖσα* G. Statim *τὴν φ. τὴν ἀνθ.* pro *τὴν ἀνθ. φύσιν* omnes. [q] *καὶ* om. G. Mox *ἀτιμότερον* om. I. [r] *ἡμέτερον* pro *ὑμέτερον* A.B.D.E.F.H. Mox verba *τοιαῦτα καὶ δι' ἀλλήλων ὑβρίζοντες* exciderunt in H. propter homoeoteleuton. Idem vitium in

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόθεν οὖν ταῦτα ἐτέχθη τὰ κακά; Ἀπὸ τρυφῆς, ἀπὸ τοῦ μὴ εἰδέναι [s]τὸν θεόν. Ὅταν γὰρ [t]ἐκβάλωσιν αὐτοῦ τινες τὸν φόβον, πάντα οἴχεται λοιπὸν τὰ καλά. Ἵν' οὖν μὴ τοῦτο γένηται, ἔχωμεν πρὸ ὀφθαλμῶν [v]ἀκριβῆ τὸν τοῦ θεοῦ φόβον. Οὐδὲν γὰρ, οὐδὲν οὕτως ἀπόλλυσιν ἄνθρωπον, ὡς τὸ ταύτης E
ἐκπεσεῖν τῆς ἀγκύρας· [w]ὥσπερ οὖν οὐδὲ σώζει, ὡς τὸ διηνεκῶς ἐκεῖ βλέπειν. Εἰ γὰρ ἄνθρωπον ἔχοντες πρὸ ὀφθαλμῶν, ὀκνηρότεροι γινόμεθα περὶ τὰ ἁμαρτήματα, πολλάκις δὲ καὶ οἰκέτας ἐρυθριάσαντες ἐπιεικεστέρους, οὐδὲν πράττομεν ἄτοπον, ἐννόησον πόσης [x]ἀπολαυσόμεθα ἀσφαλείας, τὸν θεὸν πρὸ ὀφθαλμῶν ἔχοντες. Οὐδαμοῦ γὰρ ὁ διάβολος ἡμῖν οὕτω διακειμένοις ἐπιθήσεται, ἅτε ἀόνητα ποιῶν· ἂν δὲ πλανωμένους ἔξω, καὶ χωρὶς χαλινοῦ περιϊόντας ἴδῃ, παρ' ἡμῶν λαβὼν τὴν ἀρχὴν, πανταχοῦ λοιπὸν [y]ἡμᾶς ἀποβουκολῆσαι δυνήσεται. Καὶ ὅπερ
οἱ ῥᾴθυμοι τῶν οἰκετῶν πάσχουσιν ἐπ' ἀγορᾶς, τὰς μὲν ἀναγ- 459
καίας ἀφέντες διακονίας, ἐφ' [z]ἃς εἰσιν ἀπεσταλμένοι παρὰ τῶν δεσποτῶν, ἁπλῶς δὲ καὶ εἰκῇ τοῖς παρεμπίπτουσι προσηλούμενοι, καὶ τὴν [a]σχολὴν ἐκεῖ καταναλίσκοντες, τοῦτο καὶ ἡμεῖς ὑπομένομεν, ὅταν ἀποστῶμεν τῶν ἐπιταγμάτων τοῦ θεοῦ. Ἑστήκαμεν γὰρ λοιπὸν πλοῦτον θαυμάζοντες, καὶ κάλλος σώματος, καὶ [b]τὰ ἄλλα τὰ μηδὲν πρὸς ἡμᾶς, ὥσπερ ἐκεῖνοι οἱ οἰκέται τῶν ἐπαιτῶν τοῖς θαυματοποιοῦσι προσέχουσιν, εἶτα ἐλθόντες βραδέως, οἴκοι τὰς ἐσχάτας ὑπομένουσι πληγάς. Πολλοὶ δὲ καὶ τὴν ὁδὸν τὴν προκειμένην παρῆλθον, ἑτέροις τοιαῦτα ἀσχημονοῦσιν ἀκολουθοῦντες. Ἀλλὰ μὴ ἡμεῖς [c]τοῦτο B
ποιῶμεν· καὶ γὰρ ἀπεστάλμεθα ἀνύσαι πολλὰ τῶν κατεπειγόντων· [d]κἂν ἀφέντες ἐκεῖνα στῶμεν κεχηνότες πρὸς τὰ ἀόνητα ταῦτα, ἀναλωθέντος ἡμῖν τοῦ καιροῦ παντὸς εἰκῇ καὶ μάτην, τὴν ἐσχάτην δώσομεν δίκην. Εἰ [e]γὰρ καὶ ἀσχολεῖν βούλει σαυτὸν, ἔχεις ἃ θαυμάζειν ὀφείλεις, [f]καὶ περὶ ἃ κεχηνέναι πάντα τὸν χρόνον· ἅπερ οὐ γέλωτός ἐστιν ἄξια, ἀλλὰ θαύματος καὶ ἐπαίνων πολλῶν· ὡς ὅ γε τὰ καταγέλαστα θαυμάζων, καὶ αὐτὸς ἔσται [g]πολλάκις τοιοῦτος, καὶ τοῦ γελωτο-

Editis apparet, qui et *καθυβρίζοντες* pro *καὶ ὑβρίζοντες* exhibent. Cum nostris conspirat Sav. marg. [s] *τὸν* accessit ex A.D.E.F.G.H.I. [t] *ἐκβάλλωσιν* D.E. Statim *αὐτοῦ τινες* pro *τινες αὐτοῦ* A.D.E.F.H.I. [v] *ἀκριβῆ* om. G. [w] *ὥσπερ οὖν οὐδὲ*] Sic A.B.D.E.F.H.I. *ὥσπερ οὐδὲν* Edd. In G. legitur, *ὡσπερεῖν καὶ σώζει τὸ διηνεκῶς ἐ. β.* [x] *ἀπολαυσόμεθα* D.F.H.I. *ἀπολαυσώμεθα* E. et ante corr. A. *ἀπολαύσομεν* Edd. [y] *ἡμᾶς* om. G. [z] *ἅπερ* E. Statim *ἀπεσταλμένοι* om. F.H.I. [a] *σχολὴν*]+*αὐτοῖς* G. [b] *τὰ* om. G. [c] *ταῦτα* G. [d] *κἂν* pro *καὶ εἰ* omnes. [e] *γὰρ*] *δὲ* D.E. [f] *καὶ περὶ ἃ κεχ.*] *καὶ περικεχηνέναι* B. *περὶ ἃ καὶ κεχ.* D.E. Hi autem post *χρόνον* addunt *προσῆκεν.* [g] *πολλάκις*, quod aberat, est in libris omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

C ποιοῦντος χείρων. Ὅπερ ἵνα μὴ πάθῃς, ἀποπήδησον ταχέως. Τί γὰρ [b]καὶ ἔστηκας, εἰπέ μοι, πρὸς τὸν πλοῦτον κεχηνὼς καὶ (27)
[i]ἀνεπτερωμένος; τί θαυμαστὸν ὁρᾷς καὶ ἱκανόν σου τοὺς ὀφθαλμοὺς κατασχεῖν; Τοὺς χρυσοφορουῦντας ἵππους, καὶ τοὺς οἰκέτας τοὺς μὲν βαρβάρους, τοὺς δὲ εὐνούχους, καὶ τὰ ἱμάτια τὰ πολυτελῆ, καὶ τὴν [k]καταμαλακιζομένην ἐν τούτοις ψυχήν, καὶ τὴν ἀνεσπασμένην ὀφρῦν, καὶ τὰς περιδρομὰς, καὶ τοὺς θορύβους; Καὶ ποῦ ταῦτα [l]θαύματος ἄξια; τί δὲ οὗτοι τῶν ἐπαιτῶν διεστήκασι τῶν ὀρχουμένων καὶ συριζόντων ἐπὶ τῆς ἀγορᾶς; Καὶ γὰρ καὶ οὗτοι πολλῷ τῷ λιμῷ τῆς ἀρετῆς
D κατεχόμενοι, χορεύουσιν ἐκείνων χορείαν καταγελαστοτέραν, ἀγόμενοι καὶ περιαγόμενοι, νῦν μὲν εἰς [m]τραπέζας πολυτελεῖς, νῦν δὲ εἰς ἑταιριζομένων γυναικῶν [n]καταγώγιον, νῦν δὲ εἰς κολάκων [o]ἐσμὸν καὶ παρασίτων πλῆθος. Εἰ δὲ χρυσοφοροῦσι, διὰ τοῦτο μάλιστα ἐλεεινοὶ, ὅτι τὰ μηδὲν πρὸς αὐτοὺς περισπούδαστα [p]μάλιστα αὐτοῖς. Μὴ γάρ μοι τὰ ἱμάτια ἴδῃς, ἀλλὰ ἀνακάλυψον αὐτῶν τὴν ψυχὴν, καὶ σκόπησον εἰ μὴ μυρίων γέμει τραυμάτων, καὶ ῥάκια περιβέβληται, καὶ ἔστιν ἔρημος καὶ ἀπροστάτευτος. Τί οὖν ὄφελος τῆς [q]ἔξω μανίας; Καὶ
E γὰρ πολλῷ βέλτιον πένητα εἶναι ἐν ἀρετῇ ζῶντα, ἢ [r]βασιλέα μετὰ πονηρίας. Ὁ μὲν γὰρ [s]πένης πάσης ἀπολαύει τῆς κατὰ ψυχὴν τρυφῆς, [t]οὐδὲ τῆς ἔξωθεν αἰσθανόμενος πενίας διὰ τὸν ἔνδον πλοῦτον· ὁ δὲ βασιλεὺς τρυφῶν ἐν τοῖς οὐδὲν [v]αὐτῷ προσήκουσιν, ἐν τοῖς μάλιστα αὐτῷ διαφέρουσι κολάζεται, ἐν ψυχῇ καὶ λογισμοῖς [w]καὶ συνειδότι, τοῖς ἐκεῖ συναποδημοῦσιν αὐτῷ. Ταῦτ' οὖν εἰδότες, τὰ μὲν ἱμάτια ἀποθώμεθα τὰ χρυσᾶ, [x]ἀνελώμεθα δὲ ἀρετὴν καὶ τὴν ἐκ ταύτης ἡδονήν. Οὕτω γὰρ καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλῆς [y]ἀπολαυσόμεθα τῆς [z]τρυφῆς,
460 χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[b] καὶ om. E. [i] ἐπτοημένος I. [k] μαλακιζομένην A.E.F.G.I. [l] θαύματος ἄξια pro ἄξια θ. A.B.D.E.F.H.I. [m] τράπεζαν πολυτελῆ G. [n] καταγώγια E. [o] ἐσμὸν pro ἐσμοὺς B.G. δῆμον Veron. [p] μάλιστα αὐτοῖς] Sic A.E.F.H.I. μᾶλλον αὐτοῖς G. μάλιστα αὐτοῖς εἶσι B.D. αὐτοῖς μᾶλλόν εἶσι Edd. [q] ἔξωθεν B.G. [r] βασιλέα]+ὄντα Edd. repugnantibus libris. [s] πένης]+παρ' ἑαυτῷ Edd. contra fidem librorum. Statim πάσης ἀπολαύει pro ἀπολαύει πάσης B.D.G. ἀπολαύει post τρυφῆς transp. I. [t] οὐδὲ] οὐδὲν I. καὶ οὐδὲ Edd. reclamantibus libris. Mox αἰσθανόμενος πενίας B.G. πενίας αἰσθανόμενος ceteri. Edebatur αἰσθάνεται πενίας. [v] αὐτῷ om. A.D.E.F.H.I. [w] καὶ τῷ συνειδότι Edd. τῷ damnant omnes. Sequentia τοῖς ἐ. σ. αὐτῷ om. ante corr. G. [x] ἑλώμεθα I. [y] ἀπολαυσόμεθα A.B.D.E.F.I. ἀπολαυσώμεθα H. ἀπολαύσωμεν Edd. [z] τρυφῆς] καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν Edd. invitis libris.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΛΟΓΟΣ Ε.

[1a]Καὶ *καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν* [b]*ἐν ἐπιγνώσει, παρέδωκεν* [c]*αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα.*

Ἵνα μὴ δόξῃ αὐτοὺς αἰνίττεσθαι, ἐπὶ πολὺ τῷ τῆς παιδε- B *ραστίας ἐνδιατρίβων λόγῳ, μετέβη λοιπὸν* [d]*καὶ ἐφ' ἕτερα ἁμαρτημάτων εἴδη· διὸ καὶ ἐφ' ἑτέρων προσώπων προάγει τὸν λόγον ἅπαντα. Καὶ ὥσπερ ἀεὶ τοῖς πιστοῖς διαλεγόμενος περὶ ἁμαρτημάτων, καὶ βουλόμενος ταῦτα δεῖξαι φευκτὰ, παράγει εἰς μέσον τὰ ἔθνη, λέγων·* [2] *"Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεόν·" καὶ πάλιν, "Μὴ λυπεῖσθε,* [e]*ὥσπερ καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα·" οὕτω καὶ ἐνταῦθα δείκνυσιν ἐκείνων τὰ ἁμαρτήματα ὄντα, καὶ πάσης αὐτοὺς* C *ἀποστερεῖ συγγνώμης· οὐ γὰρ ἀγνοίας, ἀλλὰ μελέτης εἶναί φησι τὰ τολμήματα. Διόπερ οὐκ εἶπε, καὶ καθὼς οὐκ ἔγνωσαν* [f]*τὸν θεὸν, ἀλλὰ, "καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει" κρίσεως διεφθαρμένης καὶ φιλονεικίας μᾶλλον, οὐ* [g]*συναρπαγῆς λέγων εἶναι τὸ ἁμάρτημα, καὶ* [h]*δεικνὺς οὐχὶ τῆς σαρκὸς, καθώς τινες τῶν αἱρετικῶν φασιν, ἀλλὰ τῆς διανοίας ὄντα τῆς πονηρᾶς* [i]*ἐπιθυμίας τὰ ἁμαρτήματα, καὶ τὴν πηγὴν ἐκεῖθεν οὖσαν τῶν κακῶν. Ἐπειδὴ γὰρ ὁ νοῦς ἀδόκιμος γέγονε,* *πάντα παρεσύρη λοιπὸν καὶ* [k]*ἀνετράπη, τοῦ ἡνιόχου διαφθα-* D *ρέντος.* [3] *"Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονεξίᾳ,* [l]*κακίᾳ." Ὅρα πάντα μετ' ἐπιτάσεως· καὶ γὰρ πεπληρωμένους εἶναί φησι, καὶ,* [m] *"πάσῃ." Ὀνομάσας δὲ γενικῶς τὴν κακίαν, καὶ τοῖς* [n]*μέρεσιν ἐπεξέρχεται, καὶ τούτοις μεθ' ὑπερβολῆς, λέγων, "Μεστοὺς φθόνου, φόνου." Τοῦτο γὰρ ἐξ ἐκείνου, ὥσπερ ἐπὶ τοῦ Ἄβελ καὶ τοῦ Ἰωσὴφ ἐδείχθη. Εἶτα εἰπὼν,* *"Ἔριδος, δόλου, κακοηθείας,* [4]*ψιθυριστὰς, καταλάλους, θεο-* (28) *στυγεῖς, ὑβριστὰς," καὶ τὰ δοκοῦντα ἀδιάφορα εἶναι πολλοῖς ἐν τάξει θεὶς ἐγκλημάτων, αὔξει πάλιν τὴν κατηγορίαν, ἐπὶ τὴν ἀκρόπολιν ἀναβὰς τῶν κακῶν, καὶ εἰπὼν, "Ἀλαζόνας." Τοῦ* E

[1] Cap. I. v. 28. [2] 1 Thess. iv. 5, 13. [3] v. 29. [4] v. 30.

Hom. VI. [a] *καὶ*, quod aberat, est in A.D.E.F.G.H.I. [b] *ἐν ἐπιγνώσει* om. G. [c] *αὐτοὺς ὁ θ.* pro *ὁ θ. αὐτοὺς* F.G.H.I. et Mosqq. [d] *καὶ* accessit ex omnibus. Statim *ἁμ. εἴδη* pro *εἴδη ἁμ.* F.G.H.I. [e] *ὥσπερ*] *καθὼς* A.D.E.F.H.I. Statim *καὶ* accessit ex omnibus. [f] *τὸν θεὸν* addi jubent A.B.D.G.H.I. In E. locus sic legitur: *διόπερ καὶ εἶπε, καὶ καθὼς οὐκ ἐδοκίμασαν.* [g] *συναρπαγῆς*] *δι' ἁρπαγῆς* G. [h] *δεικνὺς*]+*ὅτι* H. *δείκνυσιν* est in G. [i] *ἐπιθυμίας*] *καὶ ῥαθυμίας* D.E. [k] *παρετράπη* A.B.D.E.F.H.I. [l] *καὶ κακίᾳ* G. [m] *πάσῃ*] + *ἀδικίᾳ* G. [n] *μέρεσιν*]+ *ταύτης* D. Statim *ὑπεξέρχεται* G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ ἁμαρτάνειν τὸ καὶ ἁμαρτάνοντα [o]μέγα φρονεῖν, χαλεπώτερον· διὸ καὶ Κορινθίοις αὐτὸ ἐγκαλεῖ λέγων, [5]"Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ." Εἰ γὰρ ἐπὶ κατορθώματί τις [p]φυσώμενος τὸ πᾶν ἀπώλεσεν, ὁ μετὰ ἁμαρτημάτων τοῦτο ποιῶν, πόσης οὐκ ἂν εἴη τιμωρίας ἄξιος; οὐδὲ γὰρ μεταγνῶναι δυνήσεται λοιπὸν ὁ τοιοῦτος. Εἶτά [q]φησιν, "Ἐφευρετὰς κακῶν" [r]δηλῶν ὅτι οὐδὲ τοῖς ἤδη οὖσιν ἠρκέσθησαν, ἀλλὰ καὶ ἐφεῦρον ἕτερα· ὅπερ [s]πάλιν μελετώντων ἦν καὶ σπουδαζόντων, οὐχὶ συναρπαζομένων καὶ παρασυρομένων. Εἰπὼν δὲ [t]καὶ κατὰ μέρος τὴν
461 κακίαν, καὶ δείξας, ὅτι καὶ πρὸς αὐτὴν πάλιν τὴν φύσιν ἔστησαν· [v]"Γονεῦσι γάρ, φησὶν, ἀπειθεῖς" ἐπὶ τὴν ῥίζαν λοιπὸν πρόεισι τῆς [w]τοσαύτης λύμης, [6]"Ἀστόργους [x]καὶ ἀσπόνδους," καλῶν. Ταύτην γὰρ καὶ ὁ Χριστὸς τὴν αἰτίαν εἶναί φησι τῆς πονηρίας, [y]οὕτω λέγων· [7]"Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη." Τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει ὁ Παῦλος, "Ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας," καλῶν, καὶ δηλῶν ὅτι [z]καὶ αὐτὸ τὸ ἀπὸ τῆς φύσεως προύδωκαν δῶρον. Ἔχομεν
B [a]γὰρ καὶ φυσικήν τινα πρὸς ἀλλήλους οἰκείωσιν, ἣν καὶ θηρία πρὸς ἄλληλα [b]κέκτηνται. [8]"Πᾶν γὰρ ζῶον, φησὶν, ἀγαπᾷ τὸ ὅμοιον [c]αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ." Ἀλλ' οὗτοι κἀκείνων κατέστησαν ἀγριώτεροι.

[d]Τὴν μὲν οὖν νόσον τὴν ἀπὸ τῶν πονηρῶν δογμάτων τῇ οἰκουμένῃ [e]γενομένην διὰ τούτων ἡμῖν παρέστησε, καὶ σαφῶς ἔδειξε τῆς τῶν νοσούντων ῥαθυμίας τὴν ἀῤῥωστίαν οὖσαν ἑκατέραν. Δείκνυσι δὲ λοιπὸν, ὅπερ ἐπὶ τῶν δογμάτων ἐποίησε, καὶ ἐνταῦθα συγγνώμης αὐτοὺς ἀπεστερημένους. Διό φησιν· [9]"Οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσον-
C τες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον [f]αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι." Δύο [g]θεὶς ἀντιθέσεις ἐνταῦθα, ἀνεῖλεν ἀμφοτέρας αὐτὰς προηγουμένως. Τί γὰρ ἂν εἴποις, φησὶν, ὅτι οὐκ οἶδας τὰ πρακτέα; Μάλιστα μὲν εἰ καὶ μὴ ἤδεις,

[5] 1 Cor. v. 2. [6] v. 31. [7] Matth. xxiv. 12. [8] Sirac. xiii. 15. [9] v. 32.

[o] *μέγα φρονεῖν* pro *φρ. μέγα* omnes. [p] *φυσῶν* ex corr. F. *φυσσώμενος* mendose Veron. Sav. Mor. [q] *φησὶν* om. I. Mox *ἤδη* om. idem. [r] *δῆλον* G. Mox *ἐφευρεῖν* idem. [s] *πάλαι* I. [t] *καὶ* accessit ex A.B.D.E.F.G.I. [v] *γονεῦσι γ. φ. ἀ.*] *γονεῦσιν ἀπειθεῖς, φησίν* G. *γονεῦσι γὰρ ἀπειθεῖς* H. I. [w] *τοιαύτης* F.G. [x] *καὶ* om. G. [y] *οὕτω* accessit ex A. D. E. F. G. H. I. [z] *καὶ αὐτὸ* om. A.D.E.F.H. Statim *ἀπὸ*, quod vulgo abest, habent A. D. E. F. G. H. I. [a] *γὰρ καὶ φ. τινα*] *δέ τινα φ.* G. [b] *κέκτηται* A.E.F.I. [c] *αὐτῷ* D. et ex corr. G. Tenuem pro aspirata hic et infra dant A. B. D. E. fortasse alii. Clausula *καὶ ἄνθρωπος τ. π. αὐτοῦ* deest in H. [d] *τὴν μὲν οὖν*] *ταύτην οὖν τὴν* G. [e] *γεγενημένην* H. [f] *αὐτὰ* omnes. Edebatur *αὐτοί*. [g] *τιθεὶς* G. Mox *ἀμφοτέρας* om. idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὺ αἴτιος, [h]ἀφεὶς τὸν γνωρίζοντά σοι θεόν· [i]νῦν δὲ καὶ διὰ πολλῶν σε δείκνυμεν εἰδότα, καὶ [k]ἑκόντα πλημμελοῦντα. Ἀλλ' ὑπὸ τοῦ πάθους ἔλκῃ; Τί οὖν καὶ συμπράττεις καὶ ἐπαινεῖς; "Οὐ γὰρ μόνον αὐτὰ [l]ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι." Τὴν οὖν χαλεπωτέραν πρότερον θεὶς καὶ ἀσύγγνωστον, ἵνα ἕλῃ· καὶ γὰρ τοῦ πλημμελοῦντος ὁ τὴν ἁμαρτίαν D ἐπαινῶν [m]πολὺ χαλεπώτερος· τοῦτο οὖν πρῶτον εἰπὼν, διὰ [n]τούτου σφοδρότερον πάλιν ἐν τοῖς ἑξῆς αὐτὸν χειροῦται, [o]οὕτω λέγων· [10]"Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, [p]σεαυτὸν κατακρίνεις." Ταῦτα πρὸς τοὺς ἄρχοντας ἀποτεινόμενος ἔλεγεν, ἐπειδὴ καὶ ἡ πόλις τότε ἐκείνη τὴν ἀρχὴν ἦν ἐγκεχειρισμένη τῆς οἰκουμένης. Προλαβὼν οὖν φησι· σαυτοῦ ἀφαιρῇ τὴν ἀπολογίαν [q]πᾶς ὅστις ἂν ᾖς· ὅταν γὰρ κατακρίνῃς [r]μὲν τὸν μοιχὸν, μοιχεύῃς δὲ [s]αὐτὸς, κἂν μηδεὶς ἀνθρώπων σοι δικάζῃ, ἐν τῇ [t]περὶ τοῦ ὑπευθύνου ψήφῳ καὶ κατὰ σαυτοῦ τὴν ἀπόφασιν ἤνεγκας. [11]"Οἴδαμεν E [v]γὰρ, ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας." Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι τέως [w]διέφυγον, φοβῶν φησιν, ὅτι οὐχ οὕτως ἐστὶ παρὰ τῷ θεῷ ὥσπερ ἐνταῦθα. Ἐνταῦθα [x]μὲν γὰρ ὁ μὲν κολάζεται, ὁ δὲ διαφεύγει τὰ αὐτὰ ποιῶν· ἐκεῖ δὲ οὐχ οὕτως. Ὅτι μὲν οὖν οἶδε τὸ δίκαιον [y]ὁ κρίνων, εἶπε· πόθεν δὲ οἶδεν, οὐκέτι προσέθηκε· περιττὸν γὰρ ἦν. Ἐπὶ μὲν [z]γὰρ τῆς ἀσεβείας ἀμφότερα δείκνυσι, [a]καὶ ὅτι τὸν θεὸν εἰδὼς, ἠσέβει, καὶ πόθεν εἰδὼς, ἀπὸ τῆς [b]κτίσεως. Ἐπειδὴ γὰρ οὐκ ἦν δῆλον ἅπασιν, εἶπε καὶ τὴν αἰτίαν· ἐνταῦθα δὲ ὡς [c]ὁμολογημένον παρίησιν. Ὅταν δὲ [d]εἴπῃ, "πᾶς ὁ κρίνων," οὐ τοῖς ἄρχουσι διαλέγεται μόνον, ἀλλὰ καὶ ἰδιώταις καὶ ἀρχομένοις. Καὶ γὰρ [e]ἅπαντες ἄνθρωποι, κἂν 462

[10] Cap. II. v. 1. [11] v. 2.

[h] ὁ ἀφεὶς A.D.E.F.H.I. Statim γνωρίζοντα A.B.D.E.F.G.H. γνωρίσαντα Edd. [i] νυνὶ δὲ δ. π. δείκνυμί σε εἰδότα G. [k] ἑκόντα pro ἑκοντὶ omnes. [l] ποιοῦσιν] Sic A.B.D.E.H.I. ποιοῦσι, φησὶν Edd. Post ποιοῦσιν sequentia usque ad πράσσουσι desunt in F. Post πράσσουσι, φησὶν add. D.E. [m] πολὺ (πολλῷ G.) χαλ. pro χαλ. πολὺ omnes. [n] τούτου pro τοῦτο A.B.D.F.H.I. ταύτῃ (?) E. [o] οὕτω λ. pro λ. οὕτω omnes. [p] σαυτὸν D.E.H.I. et ex corr. A. [q] πᾶς om. G. [r] μὲν accessit ex omnibus. [s] αὐτὸς, κἂν] Sic omnes. καὶ αὐτὸς, καὶ Edd. Mox σοι pro σε omnes. [t] περὶ om. B. περὶ τοὺς ὑπευθύνους G. [v] γὰρ] + φησιν G. [w] διέφυγον, φοβῶν] διέφυγον φόβον A.B.F.H. διέφυγον τὸν φόβον D.E. Vulgatam verterunt Interpretes. [x] μὲν accessit ex omnibus. [y] ὁ κρίνων om. E. Mox οἶδεν om. H. [z] γὰρ] οὖν D.E.G. [a] καὶ ὅτι—ἠσέβει] καὶ ὅτι ἠσέβει καὶ ὅτι τὸν θεὸν εἰδὼς D.E. [b] κτίσεως]+φησιν D.E. [c] ὁμολογημένον A.B.D.E.G.H. ὁμολογούμενον I. ὁμολογημένου Edd. [d] εἴπῃ pro εἴποι omnes. [e] πάντες A.D.E.F.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ θρόνον ἔχωσι, μηδὲ δημίους καὶ ξύλον, [f]ἀλλ' ὅμως καὶ αὐτοὶ κρίνουσι τοὺς ἁμαρτάνοντας, ἐν [g]διαλέξεσι καὶ κοινοῖς συλλόγοις, καὶ τῇ τοῦ συνειδότος ψήφῳ· καὶ οὐδεὶς [h]ἂν τολμήσειεν (2
εἰπεῖν, ὅτι οὐκ ἄξιος κολάσεως ὁ μοιχός. Ἀλλ' ἑτέρους, φησὶ, καταδικάζουσιν, οὐχ ἑαυτούς. Διὰ γὰρ τοῦτο αὐτῶν καὶ σφοδρῶς κατεξανίσταται, λέγων· [12]"Λογίζῃ δὲ [i]τοῦτο, ὦ ἄνθρωπε,
ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;" Ἐπειδὴ [k]γὰρ πολλὴν ἔδειξε τῆς
B οἰκουμένης τὴν ἁμαρτίαν, ἀπὸ τῶν δογμάτων, ἀπὸ τῶν πραγμάτων, καὶ ὅτι σοφοὶ ὄντες, καὶ ὅτι τὴν κτίσιν ἔχοντες χειραγωγοῦσαν, καὶ ὅτι οὐ [l]τῷ τὸν θεὸν ἀφεῖναι μόνον, ἀλλὰ καὶ τῷ ἐλέσθαι τὰ ὁμοιώματα τῶν ἑρπετῶν, καὶ τῷ τὴν [m]ἀρετὴν ἀτιμάσαι, [n]καὶ τῷ τῆς φύσεως ἀνθελκούσης ἐπὶ τὴν κακίαν αὐτομολῆσαι, [o]καίτοι παρὰ φύσιν οὖσαν, πρόεισι λοιπὸν εἰς τὸ δεῖξαι, ὅτι καὶ κολάζονται οἱ τὰ τοιαῦτα πράσσοντες. [v]Ἔδειξε μὲν οὖν [p]ἤδη τιμωρίαν, εἰπὼν τὴν πρᾶξιν αὐτήν· "Τὴν γὰρ ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν [q]ἑαυτοῖς ἀπολαμβάνουσι," φησίν· ἀλλ' ἐπειδὴ οὐκ αἰσθάνονται ἐκείνης, εἶπε καὶ
C ἑτέραν, ἣν μαλίστα δεδοίκασι. Μάλιστα [r]μὲν ἤδη καὶ ταύτην ἔδειξεν· ὅταν γὰρ λέγῃ, ὅτι τὸ κρίμα τοῦ θεοῦ κατὰ ἀλήθειάν ἐστιν, οὐδὲν ἕτερον ἢ τοῦτο λέγει· πλὴν ἀλλὰ καὶ [s]ἐφ' ἑτέρων αὐτὸ πλειόνων κατασκευάζει πάλιν, οὕτω λέγων· "Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;" Τὸ σὸν οὐκ ἐξέφυγες κρίμα, καὶ τὸ τοῦ θεοῦ διαφεύξῃ; καὶ τίς ἂν τοῦτο εἴποι; Καίτοιγε σὺ σαυτὸν [t]ἔκρινας· ἀλλ' ἐπειδὴ τοσαύτη ἦν ἡ περιουσία τοῦ δικαστηρίου, [v]οὐδὲ σαυτοῦ φείσασθαι ἠδυνήθης. Πῶς [w]οὖν ὁ θεὸς, ὁ ἀναμάρτητος, [x]ὁ μεθ' ὑπερβολῆς
D δίκαιος, οὐ πολλῷ μᾶλλον τοῦτο ποιήσει; ἀλλὰ σὺ μὲν [y]σαυτοῦ κατέγνως, ὁ δὲ θεὸς ἀποδέξεται καὶ [z]ἐπαινέσει; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Καίτοιγε ἐκείνου τοῦ παρὰ σοῦ καταδικαζομένου κολάσεως [a]μείζονος σὺ ἄξιος. Οὐ γάρ ἐστι ταὐτὸν

[12] v. 3.

[f] ἀλλ' om. E. [g] διαλέξει G.H. [h] ἂν]+αὐτῶν G. [i] τοῦτο om. A.E. F.H. δὲ τοῦτο om. I. [k] γὰρ om. D.E. In A. desunt omnia ab ἐπειδὴ γὰρ usque ad τὸ σὸν οὐκ ἐξέφυγες C. lin. 6. [l] τῷ] τὸ ter G. [m] ἀρετὴν] φύσιν G. [n] καὶ τῷ] καίτοι G. [o] καίτοι π. φ. οὖσαν] Sic omnes. καὶ τῷ π. φ. εἶναι Edd. [p] ἤδη] καὶ ἤδη D. E. [q] ἑαυτοῖς pro αὐτοῖς B. D. E. F. H. I. ἐν ἑαυτοῖς om. G. [r] μὲν]+οὖν D.E. [s] ἐφ'] ἀφ' F. [t] ἔκρινες G.H. Post ἔκρινας addunt καὶ οὐ διέφυγες D.E. [v] καὶ οὐδὲ Edd. καὶ deest in omnibus. [w] οὖν accessit ex omnibus. [x] ὁ] καὶ G. [y] ἑαυτοῦ G. [z] ἐπαινέσεται A.E. [a] Edebatur μείζονος σὺ ἀξιώτατος. Lectio ἄξιος pro ἀξιώτατος est in libris omnibus. σὺ om. A. F. H. I. σὺ μείζονος inverso ord. G. Post ἄξιος, ὧν add. A.F. εἰ add. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμαρτάνειν ἁπλῶς, καὶ ἕτερον [b]ἁμαρτόντα κολάσαντα τοῖς αὐτοῖς περιπεσεῖν πάλιν.

Ὁρᾷς πῶς τὸ ἔγκλημα ἠῦξησεν; Εἰ γὰρ σὺ, φησὶ, τὸν [c]ἐλάττονα ἁμαρτόντα κολάζεις, καίτοιγε μέλλων αἰσχύνειν σαυτὸν, πῶς ὁ θεὸς τὸν μεῖζονα πλημμελήσαντά σε, καὶ ταῦτα οὐ μέλλων ἑαυτὸν αἰσχύνειν, οὐ καταδικάσει καὶ κατακρινεῖ μειζόνως, ἤδη κατακεκριμένον ἀπὸ τῶν [d]οἰκείων λογισμῶν; Εἰ δὲ [e]λέγοις, ὅτι οἶδα μὲν, ὅτι ἄξιός εἰμι κολάσεως, διὰ δὲ τὴν μα- E
κροθυμίαν καταφρονεῖς, καὶ διὰ τὸ μὴ δοῦναι παρὰ πόδας δίκην, θαρρεῖς· δεδοικέναι μὲν [f]οὖν καὶ τρέμειν διὰ τοῦτο ἂν εἴης δίκαιος. [g]Οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ [h]μένοις ἀδιόρθωτος ὤν, τὸ μηδέπω δοῦναι συμβήσεταί σοι. Διὸ καὶ ἐπάγει λέγων· 13 "Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας [i]καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει;" Ἐπαινέσας [k]γὰρ τοῦ θεοῦ τὴν μακροθυμίαν, καὶ δείξας [l]αὐτῆς τὸ κέρδος 463
μέγιστον τοῖς προσέχουσι· τοῦτο δὲ ἦν τὸ εἰς μετάνοιαν ἕλκειν τοὺς ἁμαρτάνοντας· [m]αὔξει τὸν φόβον. Ὥσπερ γὰρ τοῖς εἰς δέον χρησαμένοις σωτηρίας ἐστὶν ὑπόθεσις, οὕτω τοῖς καταφρονήσασιν ἐφόδιον μείζονος τιμωρίας. Τοῦτο γὰρ τὸ περιφερόμενον, ὅτι χρηστὸς καὶ μακρόθυμος ὢν ὁ θεὸς οὐκ ἀπαιτεῖ δίκην, [n]ὅταν εἴπῃς, φησὶν, οὐδὲν ἄλλο λέγεις, ἢ τὴν τῆς τιμωρίας ἐπίτασιν. Τὴν γὰρ χρηστότητα ὁ θεὸς ἐπιδείκνυται, ἵνα ἀπαλλαγῇς ἁμαρτημάτων, οὐχ ἵνα προσθῇς· ἂν τοίνυν [o]τοῦτο B
μὴ ποιῇς, φοβερωτέρα ἡ δίκη. Διὸ μάλιστα ἁμαρτάνειν οὐ χρὴ, ἐπειδὴ μακρόθυμος ὁ θεὸς, οὐδὲ τὴν εὐεργεσίαν ὑπόθεσιν ἀγνωμοσύνης ποιεῖσθαι· εἰ γὰρ μακρόθυμος, καὶ κολάζει πάντως. Πόθεν δῆλον; Ἀπὸ τῶν ἑξῆς εἰρημένων. Εἰ γὰρ πολλὴ ἡ κακία, οὐκ ἀπέλαβον δὲ οἱ κακοὶ, ἀνάγκη πάντως ἀπολαβεῖν. Εἰ γὰρ ἄνθρωποι ταῦτα οὐ περιορῶσι, πῶς ὁ θεὸς [p]περιόψεται; Ὥστε ἐντεῦθεν καὶ τὸν περὶ τῆς κρίσεως εἰσήγαγε λόγον. [q]Τὸ γὰρ δεῖξαι πολλοὺς ὄντας ὑπευθύνους, εἰ μὴ

13 v. 4.

[b] ἁμαρτόντα A.B.D.E.F.I. ἁμαρτάνοντα Edd. Statim καὶ κολάσαντα A.B. D.E.H. [c] ἔλαττον D.E. Statim ἁμαρτάνοντα G.I. [d] οἰκείων] ἰδίων G. [e] λέγοις pro λέγεις A.B.F.G.H.I. [f] οὖν accessit ex omnibus. Mox ᾖς pro εἶης I. [g] οὐ γὰρ μὴ δοῦναι χαλεπώτεραν, quibusdam omissis B. [h] μένοις B.G. ut e libris edidit Montef. μένεις vulgo. De sequentibus vid. Annot. [i] Sic omnes. καταφρονεῖς non hic, sed supra post αὐτοῦ vulgo legitur. [k] γὰρ om. D.E. [l] αὐτοῖς I. [m] αὔξει]+πάλιν D.E. [n] ὅταν εἴπῃς] Sic omnes. Edebatur ὅταν δὲ εἴπῃς τοῦτο. Mox τὴν τῆς τ. ἐπίτασιν (ὑπόθεσιν in textu I.) pro τῆς τ. τὴν ἐπίτασιν A.D.E.F.G.H.I. [o] τοῦτο μὴ pro μὴ τοῦτο A.D. E. F. H. I. [p] οὐ περιόψεται G. [q] τὰ] τῷ A. F.

Δημόσιο Κέντρο Βιβλιοθήκης Βέροιας

[r] μετανοήσαιεν, εἶτα οὐ κολασθέντας ἐνταῦθα, τὴν κρίσιν [s] συνεισάγει πάντως, καὶ μετ' ἐπιτάσεως. Διό φησι· [14] "Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν."
C Ὅταν γὰρ μήτε χρηστότητι μαλάσσηται, μήτε φόβῳ κάμπτηται, τί τοῦ τοιούτου σκληρότερον γένοιτ' ἄν; Ἐπειδὴ [t] γὰρ (3
ἔδειξε τοῦ θεοῦ τὴν φιλανθρωπίαν, [v] τότε δείκνυσι τὴν τιμωρίαν, ὅτι ἐστὶν ἀφόρητος τῷ μηδὲ οὕτως [w] ἐπιστρέφοντι. Καὶ ὅρα πῶς κυρίως ταῖς λέξεσι κέχρηται. "Θησαυρίζεις γάρ, φησὶ, σεαυτῷ ὀργήν," τὸ πάντως ἀποκείμενον δηλῶν, καὶ δεικνὺς οὐ τὸν δικάζοντα, ἀλλὰ τὸν κρινόμενον αἴτιον τούτου. Σεαυτῷ γάρ, φησὶ, [x] θησαυρίζεις, καὶ οὐχ ὁ θεός σοι. Ἐκεῖνος γὰρ πάντα ἐποίησεν ὅσα ἐχρῆν, [y] καὶ διαγνωστικόν σε τῶν καλῶν καὶ τῶν οὐ τοιούτων
D κατεσκεύασε, καὶ μακροθυμίαν ἐπεδείξατο, καὶ εἰς μετάνοιαν ἐκάλεσε, καὶ ἡμέραν ὑπείλησε φοβερὰν, διὰ πάντων σε ἐπὶ τὴν μετάνοιαν ἕλκων· εἰ δὲ [z] μένοις ἀνένδοτος, "σεαυτῷ θησαυρίζεις ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως [a] καὶ δικαιοκρισίας τοῦ θεοῦ." Ἵνα γὰρ μὴ, ἀκούσας ὀργὴν, νομίσῃς πάθος, ἐπήγαγε, "δικαιοκρισίας τοῦ θεοῦ." Καὶ καλῶς εἶπεν, "ἀποκαλύψεως·" τότε γὰρ ἀποκαλύπτεται τοῦτο, ὅταν [b] τὰ κατ' ἀξίαν ἕκαστος ἀπολαμβάνῃ. Ἐνταῦθα [c] γὰρ πολλοὶ πολλάκις ἐπηρεάζουσι
[d] παρὰ τὸ δίκαιον καὶ ἐπιβουλεύουσιν· ἐκεῖ δὲ οὐχ οὕτως.
E [15] "[a] Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς [e] μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ." [f] Ἐπειδὴ φοβερὸς ἐγένετο καὶ βαρὺς, περὶ κρίσεως καὶ τῆς μελλούσης διαλεγόμενος κολάσεως, εὐθέως οὐκ εἰς τὸ προσδοκώμενον ἐνέβαλε τὴν τιμωρίαν, ἀλλ' ἐπὶ τὸ ἡδύτερον ἔτρεψε τὸν λόγον, τὴν τῶν ἀγαθῶν ἀντίδοσιν, οὕτω λέγων· [16] "Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον."
Ἐνταῦθα καὶ τοὺς [g] ἀναπεπτωκότας ἐν τοῖς πειρασμοῖς [h] διανίστησι, καὶ δείκνυσιν, ὅτι οὐ [i] χρὴ τῇ πίστει θαρρεῖν μόνον·
464 καὶ γὰρ [k] καὶ πράξεών ἐστι τὸ δικαστήριον ἐκεῖνο ἐξεταστικόν.
Ὅρα δὲ αὐτὸν, ὅταν περὶ τῶν μελλόντων [l] διαλέγηται, μὴ

[14] v. 5. [15] v. 6. [16] v. 7.

[r] μετανοήσαιεν A.B.D.E.G.H.I. receptum a Montef. Edebatur μετανοήσειεν. [s] συνεισάγει pro συνάγει A.B.D.E.F.I. [t] γὰρ om. D.E. [v] τότε] λοιπὸν D.E. Statim verba δείκνυσι τὴν τιμωρίαν ὅτι om. B.D.E.G.H.I. In Veron. haec τότε δ. τὴν τιμωρίαν desunt. [w] ἐπιστρέφοντι B.D.E.F.H.I. ἀποστρέφοντι A. ὑποστρέφοντι G. Edebatur ἐπιστραφέντι. [x] θησαυρίζεις om. B. Statim καὶ accessit ex A.B.D.E.F.H.I. [y] καὶ δ.] καὶ γὰρ δ. D. καὶ δ. γὰρ E. [z] μένοις pro μένεις omnes. [a] καὶ om. H.I. [b] τὰ] τὸ G.I. [c] γὰρ om. F.G. δὲ pro γὰρ habet I. [d] παρὰ om. I. [e] μὲν]+γὰρ B. [f] ἐπειδὴ] +γὰρ A.D.F.H.I.+καὶ E. Mox περὶ κρ. διαλεγόμενος καὶ τ. μ. κ. hoc ordine D.E. [g] ἀναπεπτωκότας]+πιστοὺς D.E.I. [h] ἀνίστησι A.D.E.H. [i] χρὴ] δεῖ D.E. [k] καὶ om F.I. [l] διαλέγηται]+ἀγαθῶν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δυνάμενον τρανῶς εἰπεῖν τὰ ἀγαθὰ, [m] ἀλλὰ δόξαν καὶ τιμὴν λέγοντα. Ἐπειδὴ γὰρ πάντα ὑπερβαίνει τὰ ἀνθρώπινα, οὐκ ἔχει εἰκόνα αὐτῶν ἐντεῦθεν δεῖξαι, ἀλλ' ἀπὸ τῶν δοκούντων εἶναι λαμπρῶν παρ' ἡμῖν, ἀπὸ τούτων [n] αὐτὰ, ὡς ἐγχωρεῖ, παρίστησιν, ἀπὸ τῆς δόξης, ἀπὸ τῆς τιμῆς, ἀπὸ τῆς ζωῆς· ταῦτα γάρ ἐστι τὰ ἀνθρώποις περισπούδαστα. Ἀλλ' οὐ τοιαῦτα ἐκεῖνα, ἀλλὰ πολλῷ βελτίω τούτων, ὅσῳ καὶ ἄφθαρτα καὶ ἀθάνατα. Εἶδες πῶς καὶ [o] τὰς B
περὶ τῆς ἀναστάσεως τῶν σωμάτων ἡμῖν θύρας ἀνέῳξεν, ἀφθαρσίαν εἰπών; [p] ἡ γὰρ ἀφθαρσία τοῦ φθειρομένου σώματός ἐστιν. Εἶτα, ἐπειδὴ οὐκ ἤρκει τοῦτο, [q] προσέθηκε, "δόξαν καὶ τιμήν." Πάντες [r] μὲν γὰρ ἀναστησόμεθα ἄφθαρτοι, ἀλλ' οὐ πάντες εἰς δόξαν, ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς [s] ζωήν. [17] "Τοῖς δὲ ἐξ ἐριθείας," φησί. [t] Πάλιν ἀποστερεῖ συγγνώμης τοὺς ἐν κακίᾳ ζῶντας· [v] δείκνυσι γὰρ ἀπὸ φιλονεικίας τινὸς καὶ ῥᾳθυμίας ἐπὶ τὴν πονηρίαν πίπτοντας. "Καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ." Ἰδοὺ καὶ ἑτέρα κατηγορία πάλιν. Ποίαν γὰρ [w] ἀπολογίαν ἂν ἔχοι ὁ [x] τὸ φῶς φεύγων, καὶ τὸ σκότος αἱρούμενος; Καὶ οὐκ εἶπε [y] βιαζομένους καὶ τυραννου- C
μένους, ἀλλὰ πειθομένους τῇ ἀδικίᾳ· ἵνα μάθῃς, ὅτι προαιρέσεως τὸ πτῶμα, [z] οὐκ ἀνάγκης τὸ ἔγκλημα. [18] [a] "Θυμὸς καὶ ὀργὴ, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν" τουτέστι, κἂν εὔπορός τις ᾖ, κἂν ὕπατος, κἂν [b] αὐτοβασιλεὺς, οὐδένα ὁ τῆς κρίσεως δυσωπεῖται λόγος· οὐδεμίαν γὰρ ἐνταῦθα χώραν τὰ ἀξιώματα ἔχει. Δείξας τοίνυν τὴν ὑπερβολὴν τῆς νόσου, καὶ τὴν αἰτίαν προσθεὶς, ὅτι ἀπὸ ῥᾳθυμίας τῶν ἀρρωστούντων, καὶ τὸ τέλος, ὅτι ἀπώλεια αὐτοὺς διαδέξεται, καὶ τὸ εὔκολον τῆς διορθώσεως, [c] βαρεῖ πάλιν καὶ ἐν τῇ D
κολάσει τὸν [d] Ἰουδαῖον. Ὁ γὰρ πλείονος ἀπολαύσας τῆς διδασκαλίας, [e] μείζονα ἂν εἴη καὶ τιμωρίαν ἄξιος ὑπομεῖναι παρανομῶν. Ὥστε ὅσῳ ἂν συνετώτεροι ὦμεν [f] ἢ δυνατώτεροι, [g] τοσούτῳ

17 v. 8. 18 v. 9.

[m] ἀλλὰ καὶ δόξαν Edd. καὶ deest in omnibus. [n] αὐτὰ] ταῦτα G. [o] τὰς] τὰ G. Idem infra τὰς θύρας ἡμῖν pro ἡμῖν θύρας habet. [p] ἡ γὰρ ἀφθ.] ἢ γὰρ ἂν G. [q] προσέθηκε]+τοῦτο εἰς G. [r] μὲν accessit ex A.B.D.E.G.H.I. [s] ζωὴν] Sic A. D. E. F. G. H. I. et ex corr. eadem manu B. δόξαν Edd. et Interpp. [t] πάλιν]+γὰρ Edd. repugnantibus libris. [v] δείκνυσι γὰρ] Sic omnes. καὶ δείκνυσιν Edd. [w] ἀπολ. ἂν] ἂν ἀπολ. D. E. ἂν om. B. G. H. [x] τὸ φῶς]τοῦ φωτὸς G. [y] βιαζομένους etc. I. [z] οὐκ] καὶ οὐκ H. ἀλλ' οὐκ I. [a] Verba θυμὸς καὶ ὀργὴ, quae aberant, sunt in nostris A. B. D. E. F. H. et Mosqq. ὀργὴ καὶ θυμὸς καὶ θλῖψις κ. τ. ἑ. G. [b] αὐτοβασιλεὺς] αὐτὸς ὁ βασιλεὺς B. D. E. H. I. et ex corr. A. G. [c] βαρύνει B. [d] Ἰουδαῖον]+Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος Sav. Mor. Ben. Haec absunt a nostris A.B. D.E.F.G.H. et Mosqq. [e] μείζονος et τιμωρίας G. [f] ἢ] καὶ H.I. [g] τοσούτῳ pro τοσοῦτον A.B.D.E.G.H. Statim καὶ κολαζ. E.G.

κολαζόμεθα μᾶλλον ἁμαρτάνοντες. Καὶ γὰρ εἰ πλούσιος εἶ, πλείονα ἀπαιτηθήσῃ χρήματα τοῦ πένητος, καὶ εἰ συνετώτερος, μείζονα ὑπακοήν, καὶ εἰ δυναστείαν περιβέβλησαι, λαμπρότερα κατορθώματα· καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων οὕτω πρὸς
E τὴν δύναμιν καὶ τὰ [h]μέτρα εἰσοίσεις.

18 "Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι." Ποῖον Ἰουδαῖον ἐνταῦθά φησιν, ἢ περὶ ποίων Ἑλλήνων διαλέγεται; [i]Τῶν πρὸ τῆς [k]τοῦ Χριστοῦ παρουσίας. Οὔπω γὰρ εἰς τοὺς τῆς χάριτος ἔφθασε χρόνους ὁ λόγος, ἀλλ' ἔτι τοῖς ἀνωτέρω χρόνοις ἐνδιατρίβει, [l]προκαθαιρῶν πόρρωθεν καὶ ἀναιρῶν τὸ μέσον τοῦ Ἕλληνος [m]καὶ Ἰουδαίου, ἵν', ὅταν ἐν τῇ χάριτι τοῦτο ποιῇ, μηκέτι δόξῃ καινόν τι καὶ [n]φορτικὸν ἐπινοεῖν. Εἰ γὰρ ἐν τοῖς [o]ἀνωτέρω χρόνοις, ὅτε οὔπω ἡ χάρις ἦν ἐκλάμψασα ἡ [p]τοσαύτη, ὅτε [q]τὰ τῶν Ἰουδαίων σεμνὰ καὶ περιβόητα καὶ λαμπρὰ παρὰ
465 πᾶσιν ἦν, οὐδὲν ἦν τὸ μέσον, τίνα ἂν ἔχοιεν [r]λόγον λοιπὸν εἰπεῖν μετὰ τὴν τοσαύτην τῆς χάριτος ἐπίδειξιν; Διά [s]τοι τοῦτο καὶ μετὰ πολλῆς αὐτὸ κατασκευάζει τῆς σπουδῆς. Καὶ γὰρ ὁ ἀκροατὴς τοῦτο μαθὼν ἐν τοῖς ἀνωτέρω χρόνοις [t]κρατοῦν, πολλῷ μᾶλλον μετὰ τὴν πίστιν αὐτὸ [v]καταδέξεται. Ἕλληνας δὲ ἐνταῦθά φησιν, οὐ τοὺς εἰδωλολατροῦντας, ἀλλὰ τοὺς θεοσεβοῦντας, τοὺς τῷ φυσικῷ πειθομένους νόμῳ, τοὺς πλὴν τῶν Ἰουδαϊκῶν παρατηρήσεων πάντα τὰ πρὸς εὐσέβειαν συντελοῦντα διατηροῦντας· οἷοι ἦσαν οἱ περὶ τὸν Μελχισεδέχ, οἷος ἦν ὁ Ἰώβ, οἷοι ἦσαν οἱ Νινευῖται, οἷος ἦν ὁ Κορνήλιος. Ἤδη τοίνυν προδιορύττει
B τῆς περιτομῆς καὶ τῆς ἀκροβυστίας τὸ μέσον, καὶ πόρρωθεν ταύτην προκαταλύει τὴν διαφοράν, ὥστε καὶ ἀνυπόπτως αὐτὸ ποιῆσαι, καὶ ἐξ ἑτέρας ἀνάγκης εἰς τοῦτο ἐμβαλεῖν· ὅπερ ἀεὶ τῆς συνέσεώς ἐστιν ἴδιον τῆς ἀποστολικῆς. Εἰ μὲν γὰρ ἐπὶ τῶν καιρῶν [w]αὐτὸ τῆς χάριτος ἔδειξεν, ἔδοξεν ἂν πολλὴν ὑποψίαν ἔχειν ὁ λόγος· τὸ δὲ διηγούμενον τὴν κατέχουσαν [x]τὸν κόσμον κακίαν, καὶ [y]οἳ τελευτᾷ τὰ τῆς πονηρίας, ἐκ τῆς

18 v. 10.

[h] *μέτρα*] ἡμέτερα B. Haec οὕτω——εἰσοίσεις desunt in H. [i] *τῶν*] τὸν H. [k] *τοῦ* om. A.D.E.F.H.I. [l] *προκαθαίρων* F.H. [m] *καὶ τοῦ Ἰουδαίου* Edd. *τοῦ* om. A.B.D.E.G.H.I. [n] *φθαρτικὸν* H. [o] *ἀνωτέρω* pro *ἀνωτέροις* A.B.D.E.H.I. *ἄνωθεν* G. [p] *τοιαύτη* G. [q] *τὰ*] *παρὰ* G. [r] *λόγον λοιπὸν εἰπεῖν*] Sic A.D. E.F.H.I. *εἰπεῖν λοιπὸν λόγον* B. *εἰπεῖν λόγον* Veron. *λοιπὸν εἰπεῖν λόγον* Sav. cet. *λοιπὸν εἰπεῖν* om. G. insertum ex corr. post *λόγον*. [s] *τοι* accessit ex A.G.H.I. [t] *κρατεῖν* H. *ἐκράτει* G. [v] *καταδέξεται* omnes. Edebatur *παραδέξεται*. [w] *αὐτὸ*] *αὐτῶν* G. Mox *πολλὴν τὴν ὑποψ.* B. [x] *τοῦ κόσμου* H. Statim *κακίαν* om. ante corr. G. [y] *οἳ* (vel *οἵ*)] Sic F.H.I. *οἷον* A.B.D.E.G. *τὰ* post *τελευτᾷ* om. G. In Editis locus sic legitur: *τὴν κατέχουσαν τὸν κόσμον κακίαν καὶ πονηρίαν, ἐκ τῆς ἀκολουθίας κ. τ. ἑ.* renitentibus libris.

ἀκολουθίας ἐκείνης εἰς τὸν περὶ τούτων ἐμβῆναι λόγον, ἀνύποπτον ἐποίει τὴν διδασκαλίαν. Καὶ ὅτι τοῦτο βούλεται, καὶ διὰ τοῦτο C
[z]τοῦτο οὕτω συνέθηκε, δῆλον ἐκεῖθεν. Εἰ μὴ γὰρ τοῦτο ἐσπούδαζε κατασκευάσαι, ἤρκει εἰπόντα, ὅτι "κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν [a]ἐν ἡμέρᾳ ὀργῆς," παύσασθαι τῆς ὑποθέσεως ταύτης· καὶ γὰρ [b]ἀπηρτισμένη ἦν. Ἀλλ' ἐπειδὴ οὐ τοῦτο ἦν αὐτῷ τὸ ζητούμενον, περὶ κρίσεως [c]μόνον εἰπεῖν τῆς μελλούσης, ἀλλὰ καὶ δεῖξαι οὐδὲν πλέον ἔχοντα τὸν Ἰουδαῖον τοῦ τοιούτου Ἕλληνος, [d]ἵνα μὴ μέγα φρονῇ, πρόεισι περαιτέρω, καὶ τάξει κέχρηται. Σκόπει δέ. Ἐφόβησε τὸν ἀκροατὴν, [e]ἐπετείχισεν αὐτῷ τὴν ἡμέραν τὴν φοβερὰν, [f]εἶπεν ὅσον κακὸν [g]τὸ πονηρίᾳ συζῆν, ἔδειξεν οὐδένα ἐξ ἀγνοίας ἁμαρ- D
τάνοντα, [h]οὐδὲ ἀτιμωρητὶ, ἀλλὰ, κἂν μὴ νῦν δῷ δίκην, [i]δώσοντα πάντως· [k]ἐντεῦθεν λοιπὸν βούλεται κατασκευάσαι, ὅτι ἡ τοῦ νόμου διδασκαλία οὐ σφόδρα τῶν κατεπειγόντων ἦν. Ἐν γὰρ τοῖς ἔργοις [l]καὶ ἡ κόλασις καὶ ἡ τιμὴ, οὐκ ἐν περιτομῇ καὶ ἀκροβυστίᾳ. Ἐπεὶ οὖν εἶπεν [m]ὅτι πάντως κολασθήσεται ὁ Ἕλλην, καὶ ἔλαβεν ὡμολογημένον τοῦτο, καὶ ἀπ' αὐτοῦ κατεσκεύασεν, ὅτι καὶ τιμηθήσεται, περιττὸν λοιπὸν ἐδήλωσε τὸν νόμον καὶ τὴν περιτομήν. Μάλιστα γὰρ Ἰουδαίοις ἐνταῦθα μάχεται. Ἐπειδὴ γὰρ ἐκεῖνοι φιλονεικότερον διέκειντο, πρῶ- E
τον μὲν ὑπὸ [n]τύφου οὐκ ἀξιοῦντες μετὰ τῶν ἐξ ἐθνῶν [o]ἀριθμεῖσθαι· [p]δεύτερον καταγελῶντες, εἰ [q]ἡ πίστις πάντα ἀφανίζει τὰ ἁμαρτήματα, διὰ τοῦτο πρότερον κατηγόρησε τῶν Ἑλλήνων, [r]ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ἵνα ἀνυπόπτως καὶ μετὰ παρρησίας τῶν Ἰουδαίων καθίκηται· εἶτα εἰς [s]τὴν περὶ τῆς κολάσεως ἐξέτασιν ἐλθὼν, δείκνυσιν οὐ μόνον οὐδὲν ὠφελούμενον [t]ἀπὸ τοῦ νόμου τὸν Ἰουδαῖον, ἀλλὰ καὶ βαρούμενον· καὶ τοῦτο ἄνωθεν κατασκευάζει. Εἰ γὰρ ὁ Ἕλλην διὰ τοῦτο ἀναπολόγητος, ὅτι τῆς κτίσεως αὐτὸν ἐναγούσης καὶ τῶν λογισμῶν, οὐκ ἐγένετο βελτίων· πολλῷ μᾶλλον ὁ Ἰουδαῖος, μετὰ τούτων καὶ τὴν ἀπὸ 466
τοῦ νόμου διδασκαλίαν λαβών. Πείσας τοίνυν αὐτὸν εὐκόλως δέξασθαι τὸν λογισμὸν τοῦτον ἐν τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ ἄκοντα ἀναγκάζει λοιπὸν ἐν τοῖς περὶ [v]ἑαυτοῦ τοῦτο ποιῆσαι.

[z] Alterum τοῦτο, quod aberat, est in A.D.E.F.H. [a] ἐν ἡμέρᾳ ὀργῆς om. B.G. [b] ἀπηρτισμένον G. [c] μόνον om. G. [d] ἵνα μὴ μ. φρονῇ] ἀλλὰ μὴ μ. φρονεῖν G. [e] ἐπετείχισεν omnes. ἐπήχησεν vulgo. [f] εἶπε πόσον A.D.E.F.I. [g] τὸ pro τῇ omnes. [h] οὐδὲ] οὐδένα G. [i] δώσουσι I. [k] ἐντεῦθεν]+δὲ G. [l] καὶ accessit ex A.B.D.E.F.H.I. [m] ὅτι]+οὐ G. [n] τύφου] τοῦ φόβου H. [o] ἀριθμεῖσθαι pro συναριθμεῖσθαι A. B. D. E. G. I. [p] δεύτερον]+δὲ D.E.I. [q] ἡ om. F.G.H.I. et a pr. man. A. Mox τὰ om. G. [r] ὑπὲρ ὧν] καὶ ὑπὲρ τούτων G. [s] τὴν . . . ἐξέτασιν] τὸν . . . λόγον G. [t] Sic omnes. τὸν Ἰουδ. ἀπὸ τοῦ νόμου inverso ord. Edd. [v] αὐτοῦ H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ ἐπὶ τῶν χρηστοτέρων αὐτὸν προάγει, λέγων οὕτω· "Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι." [w]Ἐνταῦθα μὲν γὰρ, ὅσα ἄν τις ἔχῃ καλὰ, B [x]μετὰ πολέμων ἔχει, κἂν πλούσιος ᾖ, κἂν δυνάστης, κἂν βασιλεύς· [y]κἂν μὴ πρὸς ἕτερον, πρὸς γοῦν ἑαυτὸν διαστασιάζει πολλάκις, καὶ [z]πολὺν ἐν τοῖς λογισμοῖς ἔχει πόλεμον· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ πάντα γαληνὰ καὶ ταραχῆς ἀπηλλαγμένα, καὶ γνησίαν ἔχοντα τὴν εἰρήνην.

Κατασκευάσας [a]τοίνυν ἐκ τῶν ἄνωθεν εἰρημένων, ὅτι καὶ οἱ μὴ νόμον ἔχοντες τῶν αὐτῶν ἀπολαύσονται, ἐπάγει καὶ λογισμὸν, οὕτω λέγων· [19]" Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ." Ὅταν μὲν γὰρ λέγῃ, ὅτι κολάζεται καὶ ὁ Ἰουδαῖος καὶ ὁ Ἕλλην [b]ἁμαρτάνων, οὐ δεῖται [c]λογισμῶν· ὅταν δὲ, ὅτι καὶ τιμᾶται [d]ὁ Ἕλλην, συστῆσαι [e]βούληται, καὶ κατασκευῆς δεῖται C λοιπόν. Καὶ γὰρ ἐδόκει θαυμαστὸν εἶναι καὶ παράδοξον, εἰ ὁ [f]μὴ νόμου μηδὲ προφητῶν ἀκούσας, τιμᾶται τὰ ἀγαθὰ ἐργαζόμενος. Διὰ τοῦτο, [g]ὅπερ καὶ ἔμπροσθεν εἶπον, ἐν τοῖς πρὸ τῆς χάριτος χρόνοις γυμνάζει αὐτῶν τὰς ἀκοὰς, ἵνα εὐκολώτερον [h]ἐπεισαγάγῃ λοιπὸν μετὰ τῆς πίστεως καὶ τὴν ἐν τούτοις συγκατάθεσιν. Ἐνταῦθα γὰρ ἀνύποπτος μάλιστα γίνεται, ἅτε οὐ τὸ ἑαυτοῦ κατασκευάζων. Εἰπὼν [i]τοίνυν, " Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι," ἐπήγαγεν· " Οὐ γάρ ἐστι προσωποληψία D παρὰ τῷ θεῷ." Βαβαὶ, ἐξ ὅσης ἐνίκησε τῆς περιουσίας. Δείκνυσι γὰρ, εἰς ἄτοπον τὸν λόγον [k]ἀπαγαγὼν, ὅτι οὐ κατὰ θεὸν τὸ μὴ οὕτω γενέσθαι· καὶ γὰρ προσωποληψίας τὸ πρᾶγμα· ὁ δὲ θεὸς οὐ τοιοῦτος. Καὶ οὐκ εἶπεν, εἰ δὲ μὴ τοῦτο [l]γένοιτο, προσωπολήπτης ὁ θεὸς, ἀλλὰ σεμνότερον· " Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ·" τουτέστιν, οὐ προσώπων [m]ποιότητα, ἀλλὰ πραγμάτων ἐξετάζει διαφοράν. Τοῦτο εἰπὼν, ἐδήλωσεν οὐκ ἐν πράγμασιν, ἀλλ' ἐν προσώποις μόνον δια-

[19] v. 11.

[w] ἐνταῦθα μὲν γὰρ usque ad ἐπήγαγεν C. lin. ult. Haec omnia om. in textu, refert in marg. F. [x] μετὰ πολέμων ἔχει] Sic libri omnes et Interpp. Editi, μετὰ πολλῶν ἔχει ταραχῶν. [y] κἂν μὴ] κἂν γὰρ μὴ D.E. κἂν μή γε F. [z] πολλοὺς et πολέμους F. [a] τοίνυν] οὖν I. [b] ἁμαρτάνων pro ἁμαρτάνοντες A.B.D.E.H.I. [c] λογισμοῦ I. Sequentia ὅταν δὲ—λοιπὸν om. idem. [d] ὁ accessit ex A.B.D.E.G.H. [e] βούληται D.E. βούλεται vulgo. Statim καὶ accessit ex A.B.D.E.F.G.H. [f] μὴ] μηδὲ G.I. [g] ὅπερ] ὥσπερ H. [h] ἐπεισάγῃ H. et ante corr. I. [i] τοίνυν] δὲ D.E. Statim δόξα δὲ καὶ τ. F.H.I. [k] ἀπάγων G. Post θεὸν add. ἐστι idem. [l] γένηται A.D.E.F.H.I. ἵνα μὴ γένοιτο pro εἰ δὲ μὴ τοῦτο γένοιτο habet G. [m] πιότητα mendose E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέροντα τὸν Ἰουδαῖον τοῦ Ἕλληνος. Τούτοις ἀκόλουθον ἦν εἰπεῖν· οὐ γὰρ, ἐπειδὴ ὁ μὲν Ἰουδαῖος, ὁ δὲ Ἕλλην, διὰ τοῦτο E ὁ μὲν τιμᾶται, ὁ δὲ ὑβρίζεται· [n]ἀλλ' ἀπὸ τῶν ἔργων ἑκάτερα γίνεται. Ἀλλ' οὐκ εἶπεν οὕτω· διήγειρε γὰρ ἂν τὸν θυμὸν τοῦ Ἰουδαίου· ἀλλ' ἕτερόν τι [o]πλέον τίθησι, κατασπῶν αὐτῶν [p]κατωτέρω τὸ φρόνημα καὶ καταστέλλων, ὥστε [q]καταδέξασθαι ἐκεῖνο. Τί δέ ἐστι τοῦτο; Τὸ ἑξῆς κείμενον. [20] "Ὅσοι γὰρ ἀνόμως, φησὶν, ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται." Ἐνταῦθα γὰρ, ὅπερ ἔφθην εἰπὼν, οὐ μόνον ἰσοτιμίαν [r]δείκνυσιν Ἰουδαίου καὶ Ἕλληνος, ἀλλὰ [s]καὶ πολὺ τὸν Ἰουδαῖον βαρούμενον ἀπὸ τῆς τοῦ νόμου δόσεως. Ὁ μὲν γὰρ Ἕλλην ἀνόμως κρίνεται· τὸ δὲ, "ἀνόμως," ἐνταῦθα οὐ τὸ χαλεπώτερον, ἀλλὰ τὸ ἡμερώτερον λέγει· τουτέστιν, οὐκ ἔχει κατηγοροῦντα τὸν νόμον. 467
Τὸ γὰρ, "ἀνόμως," τοῦτ' ἔστι, χωρὶς τῆς [t]ἐξ ἐκείνου κατακρίσεως, φησὶν, ἀπὸ τῶν τῆς φύσεως λογισμῶν καταδικάζεται [v]μόνων. Ὁ δὲ Ἰουδαῖος ἐννόμως, τουτέστι, μετὰ τῆς φύσεως καὶ τοῦ νόμου κατηγοροῦντος. [w]Ὅσῳ γὰρ πλείονος [x]ἀπήλαυσεν ἐπιμελείας, τοσούτῳ [x]μείζονα δώσει δίκην. Ὁρᾷς πῶς μείζονα τοῖς Ἰουδαίοις τὴν ἀνάγκην ἐπέστησε τοῦ τῇ χάριτι προσδραμεῖν; Ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐ [y]δέονται τῆς χάριτος, [z]διὰ νόμου δικαιούμενοι, δείκνυσιν, ὅτι αὐτοὶ μᾶλλον [a]δέονται τῶν Ἑλλήνων, εἴγε μᾶλλον μέλλουσι κολάζεσθαι. Εἶτα πά- B
λιν ἐπάγει λογισμὸν ἕτερον, τοῖς εἰρημένοις ἐπαγωνιζόμενος. [21] "Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ." Καλῶς [b]προσέθηκε, "παρὰ τῷ θεῷ·" παρὰ μὲν [c]γὰρ ἀνθρώποις ἴσως σεμνοὶ δύνανται φαίνεσθαι καὶ [d]μεγάλα κομπάζειν, παρὰ δὲ τῷ θεῷ τοὐναντίον ἅπαν, "Οἱ ποιηταὶ τοῦ νόμου [e]δικαιοῦνται μόνον." Εἶδες πόσῃ τῇ περιουσίᾳ κέχρηται εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον; Εἰ γὰρ διὰ τὸν νόμον ἀξιοῖς σωθῆναι, φησὶ, πρῶτός σου ταύτῃ ὁ Ἕλλην στήσεται, C ποιητὴς φανεὶς τῶν [f]ἐγγεγραμμένων. Καὶ πῶς ἕνι, φησὶν, ἀκροατὴν μὴ γενόμενον, ποιητὴν γενέσθαι; Ἕνι, φησὶν, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ τούτου πολλῷ πλέον. Οὐ γὰρ

[20] v. 12. [21] v. 13.

[n] ἀλλ' om. G. [o] πλέον om. H. [p] κατώτερον G. [q] καταδ. ἐκεῖνο pro ἐκεῖνο καταδ. A.D.E.F.H.I. [r] ἐνδείκνυσιν G. [s] καὶ om. G. [t] ἐξ] μετ' B. [v] μόνον G. [w] ἀπήλαυσεν ἐπιμ. pro ἀπήλαυσε τῆς ἐπιμ. A.E.F.G. H.I. [x] μειζόνως G. [y] δεόμεθα D.E. [z] διὰ μόνου τοῦ νόμου Edd. μόνου τοῦ deest in omnibus. [a] δέονται τῶν Ἑ. pro τῶν Ἑ. δέονται omnes. [b] προσέθηκε]+τὸ G. [c] γὰρ om. G. [d] μέγα H. καὶ μ. κομπάζειν om. G. [e] δικαιωθήσονται μόνοι G. [f] γεγραμμένων A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνον χωρὶς ἀκροάσεως ἔστι γενέσθαι ποιητὴν, ἀλλὰ καὶ μετὰ ἀκροάσεως μὴ εἶναι τοῦτο· ὅπερ ὕστερον [g]τίθησι σαφέστερον λέγων, καὶ μετὰ πλείονος τῆς περιουσίας· "Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;" Ἐνταῦθα δὲ τέως τὸ πρότερον [h]κατασκευάζει. 22"Ὅταν γὰρ ἔθνη, φησὶ, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου [i]ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος." Οὐκ ἐκβάλλω τὸν νόμον, φησὶν, ἀλλὰ καὶ [k]ἐντεῦθεν δικαιῶ τὰ ἔθνη. Εἶδες πῶς ὑπορύττων τοῦ Ἰουδαϊσμοῦ τὴν δόξαν, οὐδεμίαν καθ' ἑαυτοῦ δίδωσι λαβὴν, ὡς ἀτιμάζων τὸν νόμον, ἀλλὰ [l]καὶ τοὐναντίου, ὡς ἐπαίρων καὶ [m]μέγαν δεικνὺς, οὕτω κατασκευάζει τὸ πᾶν; Φύσει δὲ ὅταν [n]εἴπῃ, τοῖς ἐκ φύσεως λέγει λογισμοῖς. Καὶ δείκνυσιν ἑτέρους ὄντας αὐτῶν βελτίους, [o]καὶ τὸ μεῖζον, διὰ τοῦτο βελτίους, ἐπειδὴ μὴ νόμον ἔλαβον, μηδὲ ἔχουσι τοῦτον, ᾧ δοκοῦσιν αὐτῶν πλεονεκτεῖν οἱ Ἰουδαῖοι. Διὰ τοῦτο [p]γὰρ, φησὶν, εἰσὶ θαυμαστοὶ, ὅτι [q]νόμου οὐκ ἐδεήθησαν, καὶ τὰ τοῦ νόμου πάντα ἐπεδείξαντο, [r]τὰ ἔργα, οὐ τὰ γράμματα, ταῖς διανοίαις αὐτῶν ἐγκολάψαντες. Τοῦτο γάρ [s]φησιν· 23"Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης [t]αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων [v]τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ."

[w]"Ὁρα πῶς πάλιν παρέστησε τὴν ἡμέραν ἐκείνην καὶ ἐγγὺς ἤγαγε, κατασείων αὐτῶν τὴν διάνοιαν, καὶ δεικνὺς, ὅτι τούτους δεῖ τιμᾶσθαι μᾶλλον τοὺς χωρὶς νόμου τὰ τοῦ νόμου κατορθοῦν ἐσπουδακότας; [d]Ὁ δὲ μάλιστά ἐστι θαυμάσαι τῆς συνέσεως τῆς ἀποστολικῆς, τοῦτο ἄξιον εἰπεῖν νῦν. Ἀπὸ γὰρ τῆς κατα-
468 σκευῆς δείξας, ὅτι [x]μείζων ὁ "Ελλην τοῦ Ἰουδαίου, ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ συμπεράσματι τῶν [y]λογισμῶν οὐ τίθησιν αὐτὸ, ὥστε μὴ τραχῦναι τὸν Ἰουδαῖον. Ἵνα δὲ καὶ σαφέστερον ὅπερ εἶπον ποιήσω, αὐτὰ ἐρῶ τὰ ῥήματα τὰ ἀποστολικά. Ἐπειδὴ

22 v. 14. 23 v. 15, 16.

[g] *τίθ. σαφέστερον* pro *σαφ. τίθησι* omnes. Statim *οὕτω λέγων* D.E. [h] *κατασκευάζει* om. I. [i] *ποιῶσιν* G. hic et semel infra. [k] *ἐνταῦθα* F.I. [l] *καὶ* accessit ex omnibus. [m] *μέγαν* B.D.E.G. *μέγα* Sav. Mor. [n] *εἴπῃ* omnes. *εἴποι* vulgo. Statim *τοὺς . . . λογισμοὺς* B. [o] *καὶ τὸ μ. δ. τ. βελτίους* om. G.H. [p] *γὰρ* om. G. [q] *τοῦ νόμου* A.D.E.F.H. *νόμου* deest in I. [r] *τὰ* om. A.B.D.E.F.H.I. erasum in G. [s] *φησὶν*] *φησὶ τὸ* D.E. [t] *αὐτῶν* pro *αὐτοῖς* omnes. [v] *τὸν λογισμὸν* H. etiam Mosqq. [w] *ὅρα* pro *ὁρᾷς* omnes. [x] *μείζων*]+*ἐστιν* I. *μεῖζον* pro *μείζων* dant B.E. [y] *συλλογισμῶν* D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[z]γὰρ εἶπεν, " Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ [a]ποιηταὶ δικαιωθήσονται," ἀκόλουθον ἦν εἰπεῖν· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, τούτων πολλῷ [b]βελτίους εἰσὶ τῶν ἀπὸ νόμου διδασκομένων. Ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' ἵσταται μέχρι τοῦ ἐγκωμίου τῶν Ἑλλήνων, καὶ οὐ προ- B
άγει τὸν λόγον κατὰ σύγκρισιν τέως, ἵνα [c]κἂν οὕτως ὁ Ἰουδαῖος δέξηται τὸ λεγόμενον. Διόπερ οὐχ οὕτως εἶπεν, ὡς εἶπον, ἀλλὰ πῶς; " Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως." Ἀρκεῖ [d]γὰρ ἀντὶ τοῦ νόμου τὸ συνειδὸς καὶ [e]ὁ λογισμός. Διὰ [f]τούτων ἔδειξε πάλιν, ὅτι αὐτάρκη τὸν ἄνθρωπον ἐποίησεν ὁ θεὸς πρὸς τὴν τῆς ἀρετῆς αἵρεσιν καὶ τὴν τῆς κακίας φυγήν. Καὶ μὴ θαυμάσῃς, εἰ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις αὐτὸ κατασκευάζει. C
Σφόδρα γὰρ [g]ἀναγκαῖον ἦν αὐτῷ τὸ κεφάλαιον τοῦτο διὰ τοὺς λέγοντας, τί δήποτε νῦν ὁ Χριστὸς παρεγένετο; καὶ ποῦ τὸν ἔμπροσθεν χρόνον τὰ [h]τῆς προνοίας ἦν; [i]Καὶ πρὸς τούτους οὖν ἐν παρέργῳ νῦν ἀπομαχόμενος, δείκνυσιν, ὅτι καὶ ἐν τοῖς [k]ἄνωθεν χρόνοις, καὶ πρὸ τῆς τοῦ νόμου δόσεως πάσης [l]ἀπέλαυε προνοίας ἡ τῶν ἀνθρώπων φύσις. Καὶ γὰρ τὸ γνωστὸν τοῦ θεοῦ φανερὸν ἦν ἐν αὐτοῖς, καὶ τί μὲν καλὸν, τί δὲ κακὸν ᾔδεσαν, δι' ὧν τοὺς ἄλλους [m]ἔκριναν· ὅπερ ὀνειδίζων αὐτοῖς, ἔλεγεν, ὅτι " Ἐν ᾧ κρίνεις τὸν ἕτερον, [n]σεαυτὸν κατα- D
κρίνεις." Ἐπὶ δὲ τῶν Ἰουδαίων, μετὰ τῶν εἰρημένων καὶ [o]ὁ νόμος ἕστηκεν, οὐχὶ λογισμὸς [p]μόνον οὐδὲ συνείδησις. Τίνος δὲ ἕνεκεν [q]τίθησι τὸ, " κατηγορούντων ἢ καὶ ἀπολογουμένων;" Εἰ γὰρ νόμον ἔχουσι γραπτὸν καὶ τὸ ἔργον [r]ἐνδείκνυνται, τί ἔχει κατηγορῆσαι λοιπὸν ὁ λογισμός; Ἀλλ' οὐκέτι περὶ ἐκείνων φησὶ [s]τῶν κατορθούντων μόνον, ἀλλὰ καὶ περὶ τῆς φύσεως ἁπάσης. Τότε γὰρ ἐστήκασιν ἡμῶν [t]οἱ λογισμοὶ, οἱ μὲν κατηγοροῦντες, οἱ δὲ ἀπολογούμενοι· καὶ οὐ δεῖται ἑτέρου

[z] γὰρ om. H. [a] ποιηταὶ]+τοῦ νόμου Edd. τοῦ νόμου om. A.D.E.F.G. H.I. [b] βελτίους (sic) F. [c] κἂν οὕτως] οὕτως καὶ G. [d] γὰρ om. G. [e] ὁ accessit ex omnibus. ὁ λ. καὶ τὸ σ. inverso ord. G. [f] τοῦτο G. [g] ἀν. ἦν pro ἦν ἀν. D.E.F.G.H. et ex corr. I. [h] τῆς]+τοσαύτης A.B.D.E.F.H.I. receptum a Sav. cet. [i] καὶ om. D.E. τούτοις pro τούτους G. Statim οὖν om. B.G. Veron. [k] ἄνω B. [l] ἀπέλαυε (vel ἀπήλαυε) A.B.D.F.G.H.I. ἀπήλαυσε Edd. [m] ἔκρινον D.E. [n] σαυτὸν A.D.E. [o] ὁ om. B. [p] μόνος B.F.I. [q] ἔθηκε G. [r] ἐνδείκνυται H. [s] τῶν κατορθούντων] Sic A.F.G.H.I. τῶν κατηγορούντων D.E. et a pr. man. B. τὸ κατηγορουμένων Veron. Statim νόμον pro μόνον habent D.I. [t] καὶ οἱ λ. Edd. καὶ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατηγόρου ἄνθρωπος ἐπ' ἐκείνου τοῦ δικαστηρίου. Εἶτα αὔξων τὸν φόβον, οὐκ εἶπε, τὰ ἁμαρτήματα τῶν ἀνθρώπων, ἀλλὰ,
E "τὰ κρυπτὰ τῶν ἀνθρώπων." Ἐπειδὴ γὰρ εἶπε, "[v]Λογίζῃ ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι [w]σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;" ἵνα μὴ τοιαύτην ἐκδέξῃ ψῆφον, οἵαν καὶ αὐτὸς φέρεις, [x]ἀλλ' εἰδῇς, ὅτι πολλῷ [y]τῆς σῆς ἀκριβεστέρα ἡ τοῦ θεοῦ, ἐπήγαγε· "τὰ κρυπτὰ τῶν ἀνθρώπων," καὶ προσέθηκε· "κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ." [z]Ἄνθρωποι γὰρ τῶν φανερῶν κάθηνται δικασταὶ [z]μόνων. Καίτοιγε ἄνω περὶ τοῦ πατρὸς ἔλεγε μόνου, ἀλλ' ἐπειδὴ λοιπὸν αὐτοὺς κατελέανε τῷ φόβῳ, ἐπήγαγε καὶ τὸν περὶ τοῦ Χριστοῦ λόγον· καὶ οὐδὲ [a]τοῦτον ἁπλῶς, ἀλλὰ καὶ ἐνταῦθα τοῦ πατρὸς μνημονεύσας, οὕτως αὐτὸν [b]ἐπεισήγαγε. Καὶ τοῦ
469 κηρύγματος δὲ τὸ ἀξίωμα [c]διὰ τῶν αὐτῶν ἐπαίρει. Τοῦτο γὰρ, φησὶ, τὸ κήρυγμα ταῦτα προαναφωνεῖ, ἃ προλαβοῦσα ἡ φύσις [d]ἐδίδαξεν. Εἶδες πῶς συνετῶς καὶ τῷ εὐαγγελίῳ καὶ τῷ Χριστῷ φέρων αὐτοὺς προσέδησε, καὶ ἀπέδειξεν, ὅτι οὐ μέχρι τῶν ἐνταῦθα τὰ ἡμέτερα ἵσταται, ἀλλὰ ὀδεύει περαιτέρω; [A]Ὃ καὶ [e]ἀνωτέρω κατεσκεύασεν εἰπὼν, "Θησαυρίζεις [f]σεαυτῷ ὀρ-
B γὴν ἐν ἡμέρᾳ [g]ὀργῆς," καὶ ἐνταῦθα πάλιν, "Κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων."

[h]"Εκαστος τοίνυν εἰς τὸ ἑαυτοῦ συνειδὸς [i]εἰσελθὼν, καὶ [k]ἀναλογιζόμενος τὰ πεπλημμελημένα, ἀπαιτείτω τὰς εὐθύνας ἑαυτὸν [l]ἀκριβεῖς, ἵνα [m]μὴ τότε κατακριθῶμεν μετὰ τῆς οἰκουμένης. Φοβερὸν γὰρ ἐκεῖνο τὸ δικαστήριον, φρικτὸν τὸ βῆμα, [n]τρόμου γέμουσιν αἱ εὐθῦναι, πυρὸς ἕλκεται ποταμός. [24]"Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;" Ἀναμνήσθητι [o]γὰρ τῶν ἐν τῷ εὐαγγελίῳ λεγομένων, τῶν ἀγγέλων τῶν περιτρεχόντων, τοῦ νυμφῶνος τοῦ [p]ἀποκλειομένου, τῶν λαμπάδων [q]τῶν σβεννυμένων, τῶν δυνάμεων τῶν εἰς τὰς καμίνους

[24] Ps. xlviii. 8.

[v] λογίζῃ]+δὲ A.D.E.F.H.I. [w] σὺ accessit ex omnibus. [x] ἀλλ']+ἵνα G. Statim εἰδῇς vel εἴδῃς omnes. Edebatur ἴδῃς. [y] τῆς σῆς] πάσης G. ἀκριβεστέρα τῆς σῆς inverso ord. A.D.E.F.H.I. [z] μόνον F.G.I. [a] τοῦτο G. [b] ἐπήγαγε I. [c] διὰ τῶν αὐτῶν omnes. δι' αὐτῶν vulgo. [d] ἐδίδαξεν pro ἔδειξεν A.B.D.E.F.H.I. [e] ἀνωτέρω pro ἄνω A.D.E.F.H.I.et ante corr. B. [f] ἑαυτῷ H.I. [g] ὀργῆς]+καὶ ἀποκαλύψεως G. [h] ΗΘΙΚΟΝ. Περὶ κρίσεως καὶ κολάσεως, καὶ περὶ τῆς τούτων ἀπαλλαγῆς· καὶ περὶ τῆς εἰς τὸν θεὸν ἀγάπης. Veron. [i] εἰσελθὼν pro ἐλθὼν omnes. [k] ἀναλογισάμενος G. Statim τὰ πεπλημμελημένα omnes. Editi τὰ πλημμελήματα. [l] ἀκριβεῖς pro ἀκριβῶς A.D.E.F.G.H.I. [m] μὴ τότε B.D.G. μήποτε A.E.F.H.I. τότε μὴ Edd. [n] τρόμου] φόβου G. [o] γὰρ om. D.E. [p] ἀποκεκλεισμένου G. [q] τῶν μὴ σβεν. Edd. μὴ, inclusum a Savilio, abest a libris omnibus et Interpp.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλκουσῶν. Κἀκεῖνο λόγισαι, [r]ὅτι εἴ τινος ἡμῶν πρᾶγμα κρυπτὸν εἰς μέσον [s]ἠνέχθη τήμερον ἐπὶ τῆς ἐκκλησίας μόνης, πῶς [t]ἂν C οὐκ ἀπολέσθαι καὶ τὴν γῆν αὐτῷ διαστῆναι ἠύξατο μᾶλλον [v]ἄν, ἢ τοσούτους μάρτυρας τῆς κακίας [w]ἔχειν; Τί οὖν τότε πεισόμεθα, ὅταν ἐπὶ τῆς οἰκουμένης [x]εἰς μέσον ἅπαντα φέρηται ἐν [y]οὕτω θεάτρῳ λαμπρῷ καὶ περιφανεῖ, καὶ τῶν γνωρίμων καὶ τῶν ἀγνώστων ἡμῖν ἅπαντα κατοπτευόντων; Ἀλλ' οἴμοι, πόθεν [z]ὑμᾶς ἀναγκάζομαι φοβεῖν; ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, δέον ἀπὸ τοῦ φόβου τοῦ θεοῦ, καὶ τῆς [a]αὐτοῦ καταγνώσεως τοῦτο ποιεῖν; Τίνες γὰρ ἐσόμεθα, [b]εἰπέ μοι, τότε, ὅταν δεθέντες, τῶν ὀδόντων βρυχόντων, εἰς τὸ ἐξώτερον [c]ἀπαγώμεθα σκότος; μᾶλλον δὲ τί [d]ποιήσομεν, ὃ πάντων ἐστὶ D φοβερώτερον, ὅταν τῷ θεῷ προσκρούσωμεν; Εἰ γάρ τις αἴσθησιν ἔχει καὶ νοῦν, ἤδη [e]καὶ τὴν γέενναν ὑπέμεινεν, ὅταν ἐξ ὄψεως γένηται τοῦ θεοῦ· ἀλλ' ἐπειδὴ τοῦτο [f]οὐκ ὀδυνᾷ, διὰ τοῦτο [g]ἠπείληται πῦρ. Καὶ γὰρ ἐχρῆν, οὐχ ὅταν κολαζώμεθα, ἀλγεῖν, ἀλλ' ὅταν [h]ἁμαρτάνωμεν. Ἄκουσον γοῦν τοῦ Παύλου θρηνοῦντος καὶ ἀποδυρομένου ὑπὲρ ἁμαρτημάτων, ὧν οὐκ ἔμελλε δώσειν δίκην. [25]" Οὐ γάρ εἰμι [i]ἱκανὸς, φησὶ, καλεῖσθαι ἀπόστολος, [k]ὅτι ἐδίωξα τὴν ἐκκλησίαν." Ἄκουσον [l]καὶ τοῦ Δαυὶδ τῆς μὲν κολάσεως ἀπηλλαγμένου, ἐπειδὴ δὲ ἐνόμισε τῷ θεῷ E προσκεκρουκέναι, τὴν τιμωρίαν καθ' ἑαυτοῦ καλοῦντος, καὶ λέγοντος· [26]" Γενέσθω ἡ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου." Τὸ γὰρ προσκροῦσαι τῷ θεῷ, τοῦ κολασθῆναι χαλεπώτερον. Νῦν δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς εἰ μὴ γεέννης φόβος ἦν, [m]μηδὲ ἂν ἐλέσθαι ταχέως ποιῆσαί τι καλόν. Διόπερ εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου, τούτου γε ἕνεκεν γεέννης ἂν [n]εἴημεν ἄξιοι, τὴν γέενναν μᾶλλον τοῦ [o]Χριστοῦ φοβούμενοι. Ἀλλ' οὐχ ὁ μακάριος Παῦλος οὕτως, ἀλλ' ἀντιστρόφως. Ἐ-

25 1 Cor. xv. 9. 26 2 Reg. xxiv. 17.

[r] ὅτι om. G. Mox ἡμῶν om. I. [s] ἠνέχθη pro ἐνήχθη A.B.D.E.F.H.I. ἐνεχθῆ εἰς τὸ μέσον σήμερον G. [t] ἂν οὐκ ἀπολέσθαι] Sic D.E. ἂν οὐκ ἀπώλετο B. ἂν ἀπώλετο A.F.G.H.I. ἂν ἀπολέσθαι Edd. [v] ἄν accessit ex omnibus. [w] ἔχειν pro σχεῖν A.E.F.G.H.I. [x] εἰς om. A.D.E.F.I. [y] οὕτω pro τοιούτῳ omnes. [z] ὑμᾶς ἀν. φ. hoc ord. A.E.F.G.H.I. φ. ὑμᾶς ἀν. D. ἀν. φ. ὑμᾶς Edd. [a] αὐτοῦ pro ἑαυτοῦ omnes. Statim γνώσεως G. [b] εἰπέ μοι——βρυχόντων] τότε, εἰπέ μοι, ὅταν δεθέντες χεῖρας καὶ πόδας, βρύχοντες τοὺς ὀδόντας D.E. Verba τῶν ὀδόντων βρυχόντων om. I. [c] ἀπαγώμεθα A. D.I. ἀπαγόμεθα E.F.H. et ex corr. B. Edebatur ἀγώμεθα. [d] ποιήσωμεν F.H. et ante corr. A. Statim ὅταν ὃ (om. mox ὅταν) D.E. [e] καὶ om. B.G. [f] οὐκ ἀδυνᾷ] οὐκ ἔνι δυνατὸν G. [g] ἠπείληται omnes. ἠπείλει Edd. [h] ἁμάρτωμεν G. [i] ἱκανὸς, φησὶ] φησὶν, ἱκανὸς A.E.F.H. [k] ὅτι] διότι G. [l] καὶ] γοῦν καὶ Edd. γοῦν deest in omnibus. [m] μηδ' ἂν E. μὴ ἂν I. [n] εἴημεν pro ἦμεν A.D.E.F.G.H.I. [o] Χριστοῦ] θεοῦ A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

πειδὴ δὲ ἡμεῖς ἑτέρως, διὰ τοῦτο τῇ γεέννῃ καταδικαζόμεθα· ὡς εἴγε τὸν Χριστὸν ἐφιλοῦμεν, ὡς φιλεῖν ἐχρῆν, ἔγνωμεν ἂν, ὅτι γεέννης χαλεπώτερον τὸ προσκροῦσαι τῷ φιλουμένῳ. Ἐπειδὴ δὲ οὐ φιλοῦμεν, οὐκ ἴσμεν τῆς κολάσεως ταύτης τὸ μέγεθος. [p]Καὶ τοῦτό ἐστιν, ὃ μάλιστα ὀδύρομαι καὶ θρηνῶ. Καίτοι τί οὐκ ἐποίησεν ὁ θεὸς, ὥστε φιληθῆναι παρ' ἡμῶν; τί [q]δὲ οὐκ ἐμηχανήσατο; τί δὲ παρέλιπεν; Ὑβρίσαμεν αὐτὸν [r]οὐδὲν ἠδικηκότα, ἀλλὰ καὶ εὐεργετήσαντα [s]μυρία καὶ ἀπόρρητα ἀγαθά· ἀπεστράφημεν καλοῦντα καὶ πανταχόθεν ἐφελκόμενον, καὶ οὐδὲ οὕτως ἡμᾶς ἐκόλασεν, [t]ἀλλὰ προσέδραμεν αὐτὸς, καὶ κατέσχε φεύγοντας, καὶ ἀπετιναξάμεθα, [v]καὶ πρὸς τὸν διάβολον ἀπεπηδήσαμεν· καὶ οὐδὲ οὕτως ἀπέστη, [w]ἀλλ' (3
B ἔπεμψε μυρίους παρακαλοῦντας πάλιν, προφήτας, ἀγγέλους, πατριάρχας· ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐδεξάμεθα τὴν πρεσβείαν, ἀλλὰ καὶ ὑβρίσαμεν τοὺς ἐλθόντας. Ὁ δὲ [x]οὐδὲ ἐπὶ τούτοις ἡμᾶς διέπτυσεν, ἀλλ' ὥσπερ οἱ σφοδροὶ τῶν ἐραστῶν [y]τῶν καταφρονουμένων, περιήει πᾶσιν ἐντυγχάνων, τῷ οὐρανῷ, τῇ γῇ, τῷ Ἱερεμίᾳ, τῷ Μιχαίᾳ, οὐχ ἵνα βαρήσῃ, ἀλλ' ἵνα ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσηται· καὶ μετὰ τῶν προφητῶν καὶ [z]αὐτὸς προσήει τοῖς ἀποστρεφομένοις αὐτὸν, εὐθύνας ἕτοιμος ὢν παρασχεῖν, καὶ [a]εἰς λόγον ἀξιῶν [b]καθεῖναι, καὶ πρὸς ἅπαντα
C [c]κεκωφωμένους εἰς τὴν πρὸς αὐτὸν διάλεξιν ἔλκων. [27]"Λαός γάρ μου, φησὶ, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι." Μετὰ ταῦτα [d]πάντα ἀπεκτείναμεν τοὺς προφήτας, ἐλιθάσαμεν, μυρία ἕτερα εἰργασάμεθα [e]κακά. Τί οὖν ἀντὶ τούτων; Οὐκέτι προφήτας, οὐκέτι ἀγγέλους, οὐκέτι πατριάρχας, ἀλλ' αὐτὸν ἔπεμψε τὸν υἱόν. Ἀνῃρέθη καὶ [f]οὗτος ἐλθὼν, καὶ οὐδὲ οὕτως ἔσβεσε τὸν ἔρωτα, ἀλλ' ἀνῆψε μειζόνως, καὶ ἐπιμένει [g]παρακαλῶν καὶ μετὰ τὸ τὸν υἱὸν ἀναιρεθῆναι τὸν αὐτοῦ, καὶ δεόμενος, καὶ πάντα ποιῶν ὑπὲρ τοῦ πρὸς αὐτὸν
D ἐπιστρέψαι. Καὶ βοᾷ Παῦλος λέγων· [28]"Ὑπὲρ Χριστοῦ

27 Mich. vi. 3. 28 2 Cor. v. 20.

[p] καὶ om. D.E. Mox ὁ ἐγὼ μάλιστα iidem. [q] δὲ] δαὶ bis E.G. et a pr. man. A. Mox τί δὲ οὐ παρέλιπεν I. [r] οὐδὲν pro μηδὲν omnes. [s] μυρία] καὶ μυρία παρασχόμενον D.E. [t] ἀλλὰ om. D.I. Mox καὶ κατ. φεύγοντας om. H. [v] καὶ om. D.E. [w] ἀλλ' om. D.E. [x] οὐδὲ] οὐκ H. [y] τῶν καταφ.] καταφρονούμενοι G. Mox πάλιν pro πᾶσιν idem. [z] αὐτὸς] αὐτοῖς F.G.I. [a] εἰς τὸν λόγον Edd. τὸν om. A.B.D.E.G.H.I. [b] κατιέναι G. [c] κεκωφευμένους B.F.H.I. [d] ἅπαντα A.F.H.I. [e] κακὰ] δεινὰ A.D.E.F. H.I. [f] οὗτος] Sic A.D.E.F.H.I. αὐτὸς G. ὁ υἱὸς Edd. [g] παρακαλῶν καὶ] Sic A.B.F.I. καὶ aberat. παρακαλῶν καὶ δεόμενος D. π. καὶ δεόμενος καὶ E. Hi autem mox om. καὶ δεόμενος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος [h]δι' ἡμῶν· καταλλάγητε τῷ θεῷ." Ἀλλ' οὐδὲν τούτων ἡμᾶς κατήλλαξεν. [i]Ὁ δὲ οὐδὲ οὕτως ἡμᾶς κατέλιπεν, ἀλλὰ μένει καὶ γέενναν ἀπειλῶν, καὶ βασιλείαν ἐπαγγελλόμενος, ἵνα κἂν οὕτως [k]ἡμᾶς ἐφελκύσηται· ἡμεῖς δὲ ἀναλγήτως ἔτι διακείμεθα. Τί ταύτης τῆς θηριωδίας χεῖρον γένοιτ' ἄν; Εἰ γὰρ ἄνθρωπος ταῦτα ἐποίησεν, οὐκ ἂν [l]αὐτῷ πολλάκις ἐγενόμεθα δοῦλοι; τὸν δὲ θεὸν ποιοῦντα ἀποστρεφόμεθα; [a]Ὢ τῆς ῥᾳθυμίας, ὦ τῆς ἀγνωμοσύνης· οἳ διαπαντὸς μὲν ἐν ἁμαρτίαις καὶ πονηρίαις [m]ζῶμεν, ἂν δέ ποτέ τι καὶ ποιήσωμεν μικρὸν ἀγαθὸν, [n]κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν μετὰ πολλῆς τῆς καπηλείας ἐξετάζομεν καὶ
35) ἀκριβολογούμεθα περὶ τῆς ἀντιδόσεως, εἴγε ἔχει μισθόν τινα τὸ γινόμενον. Καὶ μὴν [o]μεῖζον ὁ μισθὸς, ἐὰν μὴ ἐπ' ἐλπίδι [p]μισθῶν ποιῇς· τὸ γὰρ ταῦτα λέγειν καὶ ἀκριβολογεῖσθαι, μισθωτοῦ μᾶλλον ῥήματά [q]ἐστιν, ἢ εὐγνώμονος οἰκέτου. Δεῖ γὰρ πάντα διὰ τὸν [r]Χριστὸν ποιεῖν, οὐ διὰ τὸν μισθὸν, [s]ἀλλὰ δι' αὐτόν. Καὶ γὰρ καὶ γέενναν διὰ τοῦτο ἠπείλησε, καὶ βασιλείαν ἐπηγγείλατο, ἵνα φιλῆται παρ' ἡμῶν.

Φιλήσωμεν τοίνυν αὐτὸν, ὡς φιλεῖν χρή. Τοῦτο γὰρ ὁ μέγας μισθὸς, τοῦτο βασιλεία καὶ ἡδονὴ, τοῦτο τρυφὴ καὶ δόξα καὶ τιμὴ, τοῦτο φῶς, τοῦτο ἡ [t]μυριομακαριότης, ἣν οὐ 471
λόγος παραστῆσαι δύναται, οὐ νοῦς καταλαβεῖν. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τούτους [v]προήχθην τοὺς λόγους, ἀνθρώποις μηδὲ ἀρχῆς καὶ δόξης καταφρονοῦσι τῆς παρούσης διὰ τὸν Χριστὸν, βασιλείας κελεύων καταφρονεῖν. Καίτοιγε οἱ μεγάλοι καὶ γενναῖοι ἄνδρες ἐκεῖνοι καὶ εἰς τοῦτο τὸ μέτρον τῆς ἀγάπης ἔφθασαν. [w]Ἄκουσον γοῦν πῶς ὁ Πέτρος [w]αὐτοῦ περικαίεται, καὶ ψυχῆς καὶ ζωῆς καὶ πάντων αὐτὸν προτιθείς· καὶ ἡνίκα δὲ [x]αὐτὸν ἠρνήσατο, οὐ διὰ τὴν κόλασιν ἐπένθει, ἀλλ' Β
ἐπειδὴ τὸν ποθούμενον ἠρνήσατο, ὃ πάσης [y]αὐτῷ κολάσεως πικρότερον ἦν. Καὶ ταῦτα [z]ἅπαντα πρὸ τῆς τοῦ [a]πνεύματος χάριτος ἐπεδείκνυτο, καὶ συνεχῶς ἐπέκειτο [b]λέγων· [29] "Ποῦ

[29] Joan. xiii. 36. vi. 68. Luc. xxii. 33?

[h] δι'] ὑπὲρ I. Post ἡμῶν add. δεόμεθα ὑπὲρ Χριστοῦ G. [i] ὁ δὲ] καὶ G. [k] ἡμᾶς om. G.I. [l] αὐτῷ pro αὐτοῦ A.B.D.E.F.G.H. [m] ζῶντες G. Statim ἂν δὲ καί ποτέ τι π. idem. καὶ om. B. [n] κατὰ τ. ἀ. τ. ο. om. G. [o] μεῖζον F.H. [p] μισθὸν E.G.I. μισθοῦ H. [q] ἐστιν om. G. [r] Χριστὸν] κύριον G. [s] Verba ἀλλὰ δι' αὐτὸν sunt in libris omnibus, non in Edd. [t] μυριομακαριότης] Sic Edd. μεγάλη μακαριότης A.B.D.E.F.H.I. μυρία μακαριότης G. [v] προήχθην A.B.D.E.F.G.I. προσήχθην H. Edebatur παρήχθην. [w] αὐτοῦ] περὶ αὐτοῦ Edd. περὶ deest in omnibus. [x] αὐτὸν om. B.G. et ante corr. I. [y] αὐτῷ κολ. pro κολ. αὐτῷ omnes. [z] πάντα A.D.E.H.I. [a] πνεύματος] Χριστοῦ A.F.H.I. [b] λέγων om. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπάγεις;" καὶ πρὸ τούτου, "Πρὸς τίνα ἀπελευσόμεθα;" καὶ πάλιν, "Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ." Πάντα γὰρ αὐτὸς ἦν αὐτοῖς, καὶ οὔτε οὐρανὸν οὔτε βασιλείαν οὐρανῶν πρὸ τοῦ ποθουμένου [c]ἦγον. [d]Σὺ γάρ μοι πάντα ἐκεῖνα, φησί. Καὶ τί θαυμάζεις, εἰ Πέτρος οὕτω διέκειτο; Καὶ γὰρ [e]ὁ προφήτης ἄκουσον τί φησι· 30 "Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; C καὶ παρὰ [f]σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;" [g]Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ τῶν ἄνω, οὐ τῶν κάτω οὐδενὸς ἐφίεμαι ἑτέρου, [g]ἀλλ' ἢ σοῦ μόνου. Τοῦτό ἐστιν ἔρως, [h]τοῦτο φιλία. [k]Ἂν οὕτω φιλήσωμεν, οὐ τὰ παρόντα μόνον, ἀλλ' οὐδὲ τὰ μέλλοντά [i]τι πρὸς τὸ φίλτρον ἐκεῖνο ἡγησόμεθα εἶναι, καὶ τὴν βασιλείαν ἐντεῦθεν καρπωσόμεθα, ἐντρυφῶντες αὐτοῦ τῇ ἀγάπῃ. Καὶ πῶς ἔσται τοῦτο, φησίν; [k]Ἐννοήσωμεν [l]ποσάκις αὐτὸν ὑβρίζομεν μετὰ μυρία ἀγαθὰ, αὐτὸς δὲ [m]ἔστηκε παρακαλῶν· [n]ποσάκις αὐτὸν παρατρέχομεν, αὐτὸς δὲ οὐ παρορᾷ, ἀλλ' ἐπιτρέχει καὶ ἐφέλκεται καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται. [o]Ἂν γὰρ ταῦτα καὶ D τὰ τοιαῦτα λογισώμεθα, δυνησόμεθα τὸν πόθον ἀνάψαι τοῦτον. Εἰ γὰρ ἄνθρωπος εὐτελὴς ἦν ὁ οὕτω φιλῶν, βασιλεὺς δὲ ὁ οὕτω (3 φιλούμενος, οὐκ ἂν ἠδέσθη [o]τὸ τοῦ ἔρωτος μέγεθος; Σφόδρα μὲν οὖν. [p]Ὅταν δὲ [p]τοὐναντίον ᾖ, καὶ [q]ἄφατον μὲν ἐκείνου τὸ κάλλος καὶ ἡ δόξα καὶ ὁ πλοῦτος τοῦ φιλοῦντος ἡμᾶς, ἡμῶν δὲ πολλὴ ἡ εὐτέλεια, πῶς οὐχὶ μυρίας ἐσμὲν κολάσεως ἄξιοι οἱ οὕτως εὐτελεῖς καὶ ἀπερριμμένοι, παρὰ τοιούτου [r]μεγάλου καὶ θαυμαστοῦ φιλούμενοι μεθ' ὑπερβολῆς ἀπάσης, καὶ καταστρηνιῶντες αὐτοῦ τῆς ἀγάπης; Οὐδενὸς δεῖται ἐκεῖνος τῶν ἡμετέ- E ρων, [s]καὶ οὐδὲ οὕτω παύεται ἡμῶν ἐρῶν· [t]ἡμεῖς σφόδρα δεόμεθα τῶν αὐτοῦ, καὶ οὐδὲ οὕτως ἀντεχόμεθα αὐτοῦ τῆς ἀγάπης, ἀλλὰ χρήματα [v]αὐτοῦ προτιμῶμεν, καὶ φιλίας ἀνθρώπων, καὶ σώματος ἄνεσιν, καὶ δυναστείαν καὶ δόξαν, τοῦ μηδὲν ἡμῶν προτι-

30 Ps. lxxii. 25.

[c] ἦγον] Sic Edd. ἡγοῦντο A.B.F.G.H.I. ἐποιοῦντο D.E. Vid. Annot. [d] σὺ] τί G. [e] ὁ προφ.] ὁ Δαβὶδ E. καὶ Δαβὶδ ὁ προφ. D. [f] σοῦ] σοὶ F.H. et a pr. man. I. σε E. et corr. I. [g] ἀλλ' ἢ] ἀλλὰ G. [h] τοῦτο]+ ἐστι Edd. ἐστι om. A.D.E.F.G.H.I. [i] Sic nostri omnes. τι vulgo post ἡγησόμεθα legitur. [k] Editi εἰ ἐννοήσομεν. εἰ om. A.B.F.H.I. εἰ erasum in G. ἂν pro εἰ est in D.E. Deinde ἐννοήσωμεν dant nostri omnes et Sav. marg. [l] ποσάκις] πῶς D.E. [m] ἔστηκε]+καὶ οὕτω D.E. [n] ποσάκις pro ὁσάκις D.E.G. et ex corr. A.B. [o] τὸ τ. ἔ. μέγεθος] Sic omnes. Edebatur τῷ τ. ἔ. μεγέθει. Statim σφόδρα μὲν οὖν om. I. [p] τοὐναντίον]+τι Edd. repugnantibus libris. Statim ᾖ pro ᾖ G.H. [q] ἀφόρητον G. Statim ἐκείνου pro ἐκεῖνο edidimus ex nostris omnibus. In D.E. locus sic legitur: καὶ ἄφατον μὲν τὸ κάλλος ἐκείνου τοῦ φιλοῦντος ἡμᾶς, καὶ ὁ πλοῦτος ἄπειρος καὶ ἡ δόξα, ἡμῶν δὲ κ. τ. ἑ. [r] τοῦ μεγάλου G. [s] καὶ]+ὅμως D.E. Haec καὶ—ἐρῶν desunt in G. [t] ἡμεῖς]+δὲ A.F.H.I. [v] αὐτοῦ om. D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μῶντος. Ἕνα γὰρ εἶχεν υἱὸν μονογενῆ καὶ γνήσιον, καὶ οὐδὲ τούτου ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ αὐτοῦ πολλὰ προτιμῶμεν. [c]Ἆρ' οὖν οὐκ εἰκότως γέεννα καὶ κόλασις, [w]εἰ καὶ διπλῆ καὶ τριπλῆ ἦν, καὶ μυριάκις τοσαύτη; Τί γὰρ ἂν ἔχοιμεν εἰπεῖν, ὅταν τοῦ Σατανᾶ τὰ ἐπιτάγματα προτιμῶμεν τῶν τοῦ Χριστοῦ νόμων, [x]καὶ τῆς σωτηρίας τῆς ἡμετέρας ἀφειδῶμεν, ἵνα προτιμήσωμεν τὰ τῆς πονηρίας ἔργα τοῦ πάντα ὑπὲρ ἡμῶν 472
παθόντος; [y]Ποίας ταῦτα συγγνώμης ἄξια; ποίας ἀπολογίας; Οὐδεμιᾶς. Στῶμεν οὖν λοιπὸν [z]κατὰ κρημνῶν φερόμενοι, καὶ ἀνανήψωμεν, [a]καὶ πάντα ἀναλογισάμενοι ταῦτα, δόξαν ἀναπέμψωμεν αὐτῷ διὰ τῶν ἔργων· οὐ γὰρ ἀρκεῖ διὰ τῶν ῥημάτων· ἵνα καὶ τῆς δόξης ἀπολαύσωμεν τῆς [b]παρ' αὐτοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν. B

ΛΟΓΟΣ Ζ.

36) [1]"Ἰδε, σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ [a]τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου.

ΕΙΠΩΝ ὅτι οὐδὲν [b]λείπει τῷ Ἕλληνι πρὸς τὸ σωθῆναι, ἐὰν [c]ᾖ τοῦ νόμου ποιητής, καὶ τὴν θαυμαστὴν σύγκρισιν ποιη- C
σάμενος ἐκείνην, τίθησι λοιπὸν καὶ τὰ σεμνὰ τῶν Ἰουδαίων, ἀφ' ὧν κατὰ τῶν Ἑλλήνων ἐφρόνουν. Καὶ πρῶτον αὐτὸ τὸ ὄνομα, [d]ὃ σφόδρα σεμνὸν ἦν, ὥσπερ [e]νῦν ὁ Χριστιανός· καὶ γὰρ ἀπὸ τῆς προσηγορίας πολλὴ ἦν ἡ διαφορὰ [f]καὶ τότε· διὸ καὶ ἐντεῦθεν ἄρχεται. Καὶ ὅρα πῶς αὐτὸ καθαιρεῖ. Οὐ γὰρ [g]εἶπεν, "ἴδε, σὺ Ἰουδαῖος εἶ, ἀλλ', " ἐπονομάζῃ," καὶ, " καυχᾶσαι ἐν

[1] Cap. II. v. 17, 18.

[w] εἰ καὶ διπλῆ——ἐπιτάγματα] ἡμῖν ἠπείληται; εἰ γὰρ καὶ μυριάκις τοσαύτη, τί ἂν ἔχοιμεν εἰπεῖν. ὅταν τὰ τοῦ Σ. ἐπιτάγματα G. [x] καὶ τῆς σωτηρίας——παθόντος] ἵνα γὰρ προτιμήσωμεν τὰ τ. π. ἔργα, καὶ τοῦ πάντα ὑ. ἡ. παθόντος ὑπερορῶμεν, καὶ τῆς σωτηρίας ἀφειδοῦμεν τῆς ἡμέτερας E. Sic, sed inversis clausulis καὶ τοῦ——ὑπερορῶμεν, et καὶ τῆς——ἡμετέρας, D. [y] καὶ ποίας Edd. καὶ om. A.B.F.G.H.I. Deinde ποίας ταῦτα σ. ἄξια omnes. Edebatur ποίας σ. τὰ τοιαῦτα ἄξια. [z] μὴ κατὰ κρ. Edd. μὴ deest in omnibus. [a] καὶ πάντα] ἅπαντα A.F.H. πάντα I. Mox καὶ δόξαν A.F.H.I. [b] παρ' om. D.E. Statim ἧς—ἐπιτυχεῖν om. iidem. Hom. VII. [a] τῷ om. B.F. H.I. Mosq. 3. [b] λείπεται G. [c] ᾖ τοῦ ν. pro τοῦ ν. ᾖ A.E.F.G.H.I. [d] ὃ (ὃ καὶ I.) accessit ex A.B.D.E.F.H.I. [e] νῦν] οὖν G. Statim ὁ Χριστιανὸς B.D.E.F.H.I. ὁ Χριστιανισμὸς Edd. [f] καὶ om. G. [g] εἶπεν, ἴδε, σὺ] Sic A.B.D.E.G.H.I. εἶπε, σὺ vulgo.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεῷ·" τουτέστιν, ὡς φιληθεὶς παρ' αὐτοῦ, καὶ προτιμηθεὶς τῶν ἄλλων ἀνθρώπων. Ἐνταῦθα δέ μοι ἠρέμα δοκεῖ εἰς ἀπόνοιάν τε αὐτοὺς σκώπτειν, καὶ εἰς πολλὴν τὴν δοξομανίαν, ὅτι τῷ
D δώρῳ τούτῳ οὐκ [h]εἰς σωτηρίαν τὴν ἑαυτῶν, ἀλλ' εἰς τὸ τῶν ἄλλων κατεξανίστασθαι καὶ ὑπερορᾶν [i]ἀπεκέχρηντο. "Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα." Καὶ μὴν [k]τοῦτο ἐλάττωμα χωρὶς ἔργου· ἀλλ' ὅμως [l]ἐδόκει πλεονέκτημα εἶναι· διὸ καὶ μετὰ ἀκριβείας αὐτὸ τίθησιν. Οὐ γὰρ εἶπε, πράττεις, ἀλλὰ, "γινώσκεις καὶ δοκιμάζεις," οὐ μετέρχῃ καὶ ποιεῖς. [2]"Πέποιθάς τε [m]σεαυτόν." Πάλιν ἐνταῦθα οὐκ εἶπεν, ὅτι εἶ ὁδηγὸς τυφλῶν, ἀλλὰ, "πέποιθας," οὕτω κομπάζεις, φησί· πολλὴ γὰρ ἦν ἡ ἀπόνοια τῶν Ἰουδαίων. Διὸ καὶ
E σχεδὸν αὐτὰ φθέγγεται τὰ ῥήματα, ἅπερ ἐκεῖνοι κομπάζοντες ἔλεγον. Ὅρα γοῦν ἐν τοῖς εὐαγγελίοις τί λέγουσιν· [3]"Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης [n]ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;" καὶ μέγα ἐφρόνουν κατὰ πάντων. Ὅπερ ἐλέγχων ὁ Παῦλος [o]ἐπέμενε τούτους μὲν ἐπαίρων, ἐκείνους δὲ καθαιρῶν, ἵνα [p]οὕτω μᾶλλον αὐτῶν καθάψηται, καὶ [q]βαρυτέραν ποιήσῃ τὴν κατηγορίαν. Διὸ [r]καὶ πρόεισιν αὔξων τὸ [s]τοιοῦτο, καὶ πλεονάζων
[t]τῷ διαφόρως ἀπαγγέλλειν. "Πέποιθας γὰρ σεαυτὸν, [v]φησὶν, ὁδηγὸν εἶναι [w]τυφλῶν, [4]παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ." Οὐκ εἶπε πάλιν, ἐν τῷ συνειδότι καὶ ἐν ταῖς
473 πράξεσι καὶ ἐν τοῖς κατορθώμασιν, ἀλλ', "ἐν τῷ νόμῳ." Καὶ (3
ταῦτα εἰπὼν, ὅπερ καὶ ἐπὶ τῶν ἐθνικῶν ἐποίησε, τοῦτο καὶ [x]ἐνταῦθα. Ὥσπερ γὰρ ἐκεῖ φησιν, "Ἐν ᾧ [y]γὰρ κρίνεις τὸν ἕτερον, [z]σεαυτὸν κατακρίνεις" οὕτω καὶ ἐνταῦθα λέγει, [5]"Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;" Ἀλλ' ἐκεῖ μὲν ἀποτομώτερον, ἐνταῦθα δὲ ἡμερώτερον κέχρηται τῷ λόγῳ. [a]Οὐ γὰρ εἶπε, καὶ [b]μὴν διὰ τοῦτο μείζονος εἶ κολάσεως ἄξιος, ὅτι τοσαῦτα ἐγχειρισθεὶς, οὐδενὶ τούτων εἰς δέον κέχρησαι· ἀλλὰ κατ' ἐρώτησιν προάγει τὸν λόγον, ἐντρέπων καὶ λέγων·
B "Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;" Σκόπει δέ

2 v. 19. 3 Joan. ix. 34. 4 v. 20. 5 v. 21.

[h] εἰς τὴν σ. Edd. τὴν om. A.B.D.E.F.G.I. [i] ἀπεκέχρηντο pro κατεκέχρηντο omnes. [k] καὶ τοῦτο Edd. καὶ om. A.D.E.F.G.H.I. [l] δοκεῖ A.D.E.F.H.I. [m] σεαυτὸν]+ὁδηγὸν εἶναι τυφλῶν Edd. repugnantibus libris. [n] ὅλως A.D.E.I. [o] ἐπέμενε] ἔλεγεν I. [p] οὕτω] ἐν τούτῳ G. [q] βαρυτέραν]+αὐτῶν I. [r] καὶ accessit ex omnibus. [s] τοιοῦτον A.E.H.I. [t] τῷ] τὸ F.H. et ante corr. B.G. [v] φησὶν, quod aberat, est in A.B.D.F.G. H.I. [w] τυφλῶν]+φῶς τῶν ἐν σκότει Edd. Haec desunt in A.D.E.F.H.I. et Mosqq. [x] ἐνταῦθα]+ποιεῖ D.E. [y] γὰρ om. G. [z] σαυτὸν A.E.H.I. [a] οὐ]οὐδὲ A.E.H.I. [b] μὴν]+καὶ B.D.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μοι καὶ ἑτέρωθεν τοῦ Παύλου τὴν σύνεσιν. Τὰ γὰρ πλεονεκτήματα τίθησι τῶν Ἰουδαίων ταῦτα, ἅπερ οὐ τῆς αὐτῶν σπουδῆς ἦν, ἀλλὰ τῆς ἄνωθεν δωρεᾶς, καὶ δείκνυσιν, οὐ μόνον [c] περιττὰ ὄντα ἀμελοῦσιν αὐτοῖς, ἀλλὰ καὶ προσθήκην κολάσεως φέροντα. [d] Οὐδὲ γὰρ τὸ Ἰουδαῖον καλεῖσθαι, [e] αὐτῶν κατόρθωμα, οὐδὲ τὸ νόμον λαβεῖν, οὐδὲ τὰ ἄλλα, ἅπερ ἀπηριθμήσατο νῦν, ἀλλὰ τῆς ἄνωθεν χάριτος. Καὶ παρὰ μὲν τὴν ἀρχὴν ἔλεγεν, ὅτι οὐδὲν ὠφελεῖ ἡ ἀκρόασις τοῦ νόμου, ἐὰν μὴ [f] ἡ πρᾶξις προσῇ· "Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησὶ, δίκαιοι παρὰ τῷ [g] θεῷ" νῦν C δὲ πολλῷ μᾶλλον δείκνυσιν, ὅτι οὐ μόνον [h] ἡ ἀκρόασις, ἀλλὰ καὶ ὃ πλέον [i] ἦν τῆς ἀκροάσεως, ἡ διδασκαλία, οὐδὲ αὐτὴ προστῆναι δυνήσεται τοῦ διδάσκοντος, [k] μὴ πράττοντος ἅπερ φησί· [l] καὶ οὐ μόνον οὐ προστήσεται, ἀλλὰ καὶ κολάσει μειζόνως. Καλῶς δὲ καὶ ταῖς λέξεσι κέχρηται· οὐ γὰρ [m] εἶπεν, ἔλαβες νόμον, ἀλλ', "ἐπαναπαύῃ νόμῳ." Καὶ γὰρ οὐκ [n] ἔκαμεν ὁ Ἰουδαῖος περιϊὼν καὶ ζητῶν τὰ πρακτέα, ἀλλ' ἐξ εὐκολίας εἶχε τὸν νόμον δεικνύντα τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. Εἰ γὰρ καὶ τὰ ἔθνη [o] ἔχει τὸν τῆς φύσεως λογισμὸν, ὅθεν [p] αὐτῶν καὶ πλεονεκτεῖ, χωρὶς ἀκροάσεως [q] ποιοῦντα ἅπαντα, ἀλλ' ὅμως D ἐκεῖ μείζων [r] ἡ εὐκολία ἦν. Εἰ δὲ λέγεις, ὅτι οὐκ ἀκούω μόνον, ἀλλὰ καὶ διδάσκω· καὶ τοῦτο [s] αὐτὸ προσθήκη τιμωρίας. Ἐπειδὴ γὰρ [t] τούτῳ μέγα ἐφρόνουν, ἐντεῦθεν [v] μάλιστα δείκνυσιν ὄντας καταγελάστους. Ὅταν δὲ λέγῃ, "ὁδηγὸν τυφλῶν, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων," τὸν ἐκείνων λέγει τῦφον· σφόδρα γὰρ ἀπεκέχρηντο τοῖς προσηλύτοις, καὶ ἀπὸ τούτων ἐκάλουν τῶν ὀνομάτων αὐτούς. Διὸ καὶ ἐπιδαψιλεύεται τοῖς δοκοῦσιν αὐτῶν εἶναι ἐγκωμίοις, εἰδὼς ὅτι μείζονος κατηγορίας ὑπόθεσις τὰ λεγόμενα. "Ἔχοντα τὴν μόρφωσιν τῆς E γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ." [w] Ὥσπερ ἂν εἴ τις [x] τὴν βασιλικὴν εἰκόνα ἔχων, μηδὲν πρὸς ἐκείνην γράφοι· οἱ δὲ μὴ πιστευθέντες αὐτὴν, καὶ χωρὶς τοῦ πρωτοτύπου μετὰ ἀκρι-

[c] περιττὰ] περὶ τὰ G. Statim ὄντα om. B. [d] οὐδὲ pro οὐ A.B.D.E.F. H.I. [e] αὐτῶν] αὐτὸ G. [f] ἡ πρᾶξις cum artic. A.D.E.F.H. [g] θεῷ]+ ἀλλ' οἱ ποιηταὶ G. Statim νυνὶ δὲ A.E.F.H.I. [h] ἡ om. A.B.D.F.G. [i] ἦν τῆς ἀκρ. pro τῆς ἀκρ. ἦν A.B.E.H.I. Aut sic, aut ἦν om. F.G. Mox προστῆναι δυνήσεται pro δυν. προστῆναι A.B.E.F.G.H.I. [k] ἅπερ φησὶ] Sic A.D.E.F.G.I. Edebatur ἅπερ, φησὶ, διδάσκει. [l] καὶ οὐ μ.] οὐ μ. δὲ I. [m] εἶπεν ἔ. ν.] ἔ. ν. φησὶν I. [n] ἔκαμνεν A.H.I. [o] ἔχει] λέγει H. [p] αὐτὸν I. [q] ποιοῦντα] ποιοῦντες A.F.H.I. ὡς ποιοῦντα Edd. ὡς deest in omnibus. [r] ἡ accessit ex A.D.E.F.G.I. [s] αὐτὸ om. G. καὶ τοῦτο αὐτὸ om. I. Idem pergit, προσθήκην τιμωρίας λέγεις. [t] τούτῳ] καὶ τούτῳ I. [v] μάλιστα]+αὐτοὺς Edd. repugnantibus libris. [w] ὥσπερ ἂν εἴ τις D.E. ὥσπερ γὰρ ἂν εἴ τις A.F.I. ὥσπερ γὰρ εἴ τις H. ὥσπερ ἄν τις G. ὥσπερ ἐάν τις Edd. [x] τὴν om. B.G.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βείας αὐτὴν [y]μιμοῖντο. Εἶτα εἰπὼν τὰ πλεονεκτήματα, ἅπερ [z]ἔσχον παρὰ τοῦ θεοῦ, λέγει αὐτῶν [a]τὰ ἐλαττώματα, ἅπερ οἱ προφῆται κατηγόρουν, ταῦτα εἰς μέσον φέρων. "Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; [6]ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;" Καὶ γὰρ σφόδρα ἦν ἀπηγορευμένον
474 τῶν ἐν τοῖς [b]εἰδώλοις ἅπτεσθαι χρημάτων διὰ τὸ βδελυρόν· ἡ δὲ τῆς φιλοχρηματίας τυραννὶς, φησὶ, καὶ τοῦτον [c]ὑμᾶς ἔπεισε καταπατῆσαι τὸν νόμον. Εἶτα τὸ πολὺ βαρύτερον ὕστερον ἐπάγει, λέγων· [7]"Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις;" Δύο τέθεικεν ἐγκλήματα, μᾶλλον δὲ τρία· ὅτι τε ἀτιμάζουσι, καὶ ὅτι δι' ὧν ἐτιμήθησαν, καὶ ὅτι τὸν τιμήσαντα ἀτιμάζουσιν, ὅπερ ἦν ἐσχάτης ἀγνωμοσύνης ὑπερβολή. Εἶτα ἵνα μὴ δόξῃ κατηγορεῖν οἴκοθεν, τὸν προφήτην [d]ἐπήγαγεν αὐτῶν κατήγορον, νῦν μὲν ἐν βραχεῖ καὶ
B συντόμως καὶ ὡς ἐν κεφαλαίῳ, ὕστερον δὲ καὶ κατὰ μέρος, καὶ νῦν μὲν τὸν Ἡσαΐαν, μετὰ δὲ ταῦτα τὸν Δαυΐδ, ὅτε καὶ πλείονας ἐπεδείξατο τοὺς ἐλέγχους. Ὅτι γὰρ, φησὶν, οὐκ ἐγὼ λοιδορούμενος ὑμῖν ταῦτα λέγω, ἄκουσον τί φησιν [e]Ἡσαΐας, ὅτι [8]"Τὸ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν." Ἰδοὺ καὶ [f]ἑτέρα πάλιν διπλῆ κατηγορία. Οὐ γὰρ μόνον αὐτοὶ, φησὶν, ὑβρίζουσιν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο παρασκευάζουσι. Τί τοίνυν τῆς διδασκαλίας ὄφελος, ὅταν (38)
ἑαυτοὺς μὴ διδάσκητε; Ἀλλ' ἀνωτέρω [g]μὲν τοῦτο εἶπε μόνον,
C ἐνταῦθα δὲ καὶ εἰς τὸ ἐναντίον περιέτρεψεν. Οὐδὲ γὰρ μόνον ἑαυτοὺς, ἀλλ' οὐδὲ ἑτέρους διδάσκετε τὰ πρακτέα· καὶ τὸ πολλῷ χαλεπώτερον, ὅτι οὐ μόνον οὐ διδάσκετε τὰ τοῦ νόμου, ἀλλὰ καὶ τὰ ἐναντία διδάσκετε, βλασφημεῖν τὸν θεὸν, ὅπερ ἐναντίον ἐστὶ τῷ νόμῳ.

Ἀλλ' ἡ περιτομὴ μέγα, φησίν. Ὁμολογῶ κἀγὼ, ἀλλὰ [h]πότε; ὅταν ἔχῃ τὴν ἔνδον περιτομήν. Καὶ σκόπει σύνεσιν, πῶς εὐκαίρως τὸν περὶ αὐτῆς εἰσήγαγε λόγον. Οὐ γὰρ εὐθέως ἀπ' αὐτῆς ἤρξατο, ἐπειδὴ πολλὴ ἦν αὐτῆς ἡ ὑπόληψις· ἀλλ' ἡνίκα ἔδειξεν αὐτοὺς ἀπὸ τοῦ μείζονος προσκεκρουκότας, καὶ τῆς [i]εἰς

6 v. 22. 7 v. 23. 8 v. 24.

[y] μιμοῦντο A.D.E.F.G.H.I. μιμοῦνται Edd. μιμῶνται ex corr. B. [z] ἔσχον π. τ. θεοῦ] εἶχον παρ' αὐτοῦ G. [a] τὰ] καὶ τὰ D.E.I. [b] εἰδώλοις omnes. εἰδωλείοις Sav. Mor. Ben. [c] ἡμᾶς A.E.F.H. [d] ἐπήγ. αὐτῶν] αὐτῶν ἐπήγ. A.D.F.I. αὐτὸν ἐπηγ. E.H. [e] ὁ Ἡσαΐας A.D.E.F.H.I. [f] ἑ. πάλιν δ. κ. A.B.E.F.G.H. ἑ. πάλιν καὶ δ. κ. I. πάλιν ἑ. δ. κ. D. ἑ. δ. κ. πάλιν Edd. [g] μὲν om. F.H.I. [h] πότε; ὅταν] Sic omnes. τότε, ὅταν Edd. et Interpp. [i] εἰς τὸν θ. Edd. τὸν om. A.E.F.G.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεὸν βλασφημίας αἰτίους, τότε λοιπὸν λαβὼν τὸν ἀκροατὴν [k]κα- D
τεγνωκότα αὐτῶν, καὶ γυμνώσας τῆς προεδρίας, [l]εἰσάγει τὸν περὶ
τῆς περιτομῆς λόγον, θαρρῶν, ὅτι οὐδεὶς [m]αὐτῇ ψηφιεῖται
λοιπόν, καί φησι· [9]" Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον
πράσσῃς." Καίτοιγε ἐνῆν ἄλλως αὐτὴν ἐκβαλεῖν, καὶ εἰπεῖν,
τί γάρ ἐστιν ἡ περιτομή; μὴ γὰρ κατόρθωμά ἐστι τοῦ
ἔχοντος; μὴ γὰρ προαιρέσεως ἀγαθῆς ἐπίδειξις; Καὶ γὰρ ἐν
ἀώρῳ γίνεται ἡλικίᾳ, καὶ οἱ ἐν τῇ [n]ἐρήμῳ δὲ πάντες ἔμειναν
ἀπερίτμητοι χρόνον πολύν· καὶ ἑτέρωθεν [o]δὲ πολλαχόθεν ἴδοι
τις ἂν αὐτὴν [p]οὐ σφόδρα ἀναγκαίαν οὖσαν. Ἀλλ' ὅμως οὐκ
ἐντεῦθεν αὐτὴν ἐκβάλλει, ἀλλ' ὅθεν μάλιστα ἐχρῆν, ἀπὸ τοῦ E
Ἀβραάμ. Ἡ γὰρ ὑπερβολὴ τῆς νίκης αὕτη, δεῖξαι ἐντεῦθεν
αὐτὴν οὖσαν εὐκαταφρόνητον, ὅθεν αὐτοῖς αἰδέσιμος ἦν. Καί-
τοιγε ἠδύνατο λέγειν, ὅτι καὶ οἱ προφῆται ἀπεριτμήτους [q]κα-
λοῦσιν Ἰουδαίους· ἀλλ' οὔπω τοῦτο τῆς περιτομῆς ἐστιν ἐλάτ-
τωμα, ἀλλὰ τῶν κακῶς αὐτὴν μετιόντων. Τὸ δὲ ζητούμενον,
δεῖξαι ὅτι [r]καὶ ἐν ἀρίστῳ βίῳ οὐδεμίαν ἰσχὺν ἔχει· τοῦτο [s]δὴ
κατασκευάζει λοιπόν. Καὶ ἐνταῦθα μὲν οὐ παράγει τὸν πα-
τριάρχην, ἀλλὰ πρότερον [t]ἑτέρωθεν αὐτὴν προκαταβαλών,
ὕστερον ἐκεῖνον τηρεῖ, [v]ὅταν τὸν [w]περὶ τῆς πίστεως [x]εἰσάγῃ
λόγον, οὕτω λέγων· [10]" Πῶς οὖν [y]ἐλογίσθη τῷ Ἀβραάμ; ἐν
περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ;" Ἕως μὲν γὰρ ἂν πρὸς τὸν 475
ἐθνικὸν [z]αὕτη καὶ τὸν ἀκρόβυστον ἀγωνίζηται, οὐδὲν βούλεται
τούτων εἰπεῖν, ἵνα μὴ σφόδρα φορτικὸς ᾖ· ὅταν δὲ πρὸς τὴν
πίστιν ἀπομάχηται, τότε μειζόνως πρὸς αὐτὴν ἀποδύεται.
Τέως μέντοι πρὸς τὴν ἀκροβυστίαν ἡ μάχη· διὸ καὶ ὑφειμένως
προάγει τὸν λόγον, καί φησι· " Περιτομὴ μὲν γὰρ ὠφελεῖ,
ἐὰν [a]νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή
σου ἀκροβυστία γέγονε." Δύο γὰρ ἐνταῦθα ἀκροβυστίας καὶ
δύο περιτομὰς φησιν, ὥσπερ [b]καὶ δύο νόμους. Ἔστι γὰρ
νόμος [c]ὁ φυσικὸς, καὶ ἔστιν ὁ γραπτός· ἀλλὰ καὶ [d]μέσος τού- B

[9] v. 25. [10] Rom. iv. 10.

[k] κατεγ. αὐτῶν om. G. [l] προσάγει G. [m] αὐτὴν B. [n] ἐρήμῳ] Ῥώμῃ absurde G. [o] δὲ accessit ex omnibus. [p] οὐ σφ. ἀν.] ἀναγκαίαν σφ. I. [q] καλοῦσι τοὺς Ἰουδ. D.E. [r] καὶ accessit ex A.B.D.E.F.G.I. [s] δὴ] δὲ G. [t] ἑτέρωθεν om. F.H.I. Statim αὐτῶν προκαταλαβὼν G. [v] ὅταν] ὅτε D.E. [w] περὶ om. B. Statim τῆς om. D.E. [x] εἰσάγει D.E. εἰσαγάγῃ A.F. [y] ἐλογίσθη]+ἡ πίστις Edd. repugnantibus libris. [z] αὕτη (ταύτη ex corr. B.) καὶ τὸν ἀκρόβυστον] Sic A.B.E.F.H. (Edd. καὶ τὸν ἀκρόβυστον αὕτη, sed καὶ excidit apud Mor. Montef.) καὶ πρὸς τὸν ἀκρόβυστον (om. αὕτη) G. καὶ τὸν ἀκρόβυστον (om. αὕτη) I. Statim ἀγωνίζηται pro ἀγωνίζεται A.B.D.E. [a] νόμον πράσσῃς pro πράσσῃς τὸν νόμον omnes. [b] καὶ om. E. [c] ὁ om. G. [d] ὁ μέσος Edd. ὁ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των ὁ διὰ τῶν ἔργων. Καὶ σκόπει πῶς τοὺς τρεῖς [e]δείκνυσι τούτους, καὶ εἰς μέσον ἄγει. "Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα," φησί. [f]Ποῖον νόμον, εἰπέ μοι; Τὸν γραπτόν. "Φύσει τὰ τοῦ νόμου ποιῇ." [g]Ποίου; Τοῦ διὰ τῶν ἔργων. "Οὗτοι νόμον μὴ ἔχοντες." Ποῖον; Τὸν γραπτόν. "Ἑαυτοῖς εἰσι νόμος." Πῶς; Τῷ φυσικῷ κεχρημένοι. "Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου." Ποίου; Τοῦ διὰ τῶν πράξεων. Ἐκεῖνος [h]μὲν γὰρ ἔξω κεῖται ὁ διὰ τῶν γραμμάτων, οὗτος δὲ [i]ἔνδον ὁ διὰ τῆς φύσεως, ὁ [k]δὲ ἐν ταῖς πράξεσι· καὶ
C τὸν μὲν τὰ γράμματα ὑπαγορεύει, τὸν δὲ ἡ φύσις, τὸν δὲ [l]αἱ πράξεις. Τούτου δὴ τοῦ τρίτου χρεία, δι' ὃν καὶ ἐκεῖνοι οἱ δύο, ὅ τε [m]ἀπὸ φύσεως, ὅ τε [n]ἀπὸ τῶν γραμμάτων· κἂν οὗτος μὴ παρῇ, οὐδὲν ὄφελος ἐκείνων, ἀλλὰ καὶ βλάβος μέγιστον. Καὶ τοῦτο [o]δεικνὺς ἐπὶ τοῦ φυσικοῦ μὲν ἔλεγεν· "Ἐν ᾧ [p]γὰρ κρίνεις τὸν ἕτερον, [q]σεαυτὸν κατακρίνεις·" ἐπὶ δὲ τοῦ [r]γραπτοῦ, "Ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;" Οὕτω καὶ ἀκροβυστίαι δύο, μία μὲν [s]ἡ φυσικὴ, [t]δευτέρα δὲ ἡ ἀπὸ πράξεως· καὶ περιτομὴ μία μὲν ἡ ἐν τῇ σαρκὶ, [v]δευτέρα δὲ ἡ ἀπὸ προαιρέσεως. Οἷόν τι λέγω· περιετμήθη τις ὀκταήμερος· αὕτη [w]σαρκὸς περιτομή· ἔπραξέ τις τὰ νόμιμα [x]ἅπαντα· αὕτη
D διανοίας περιτομὴ, ἣν μάλιστα ὁ Παῦλος ζητεῖ, μᾶλλον δὲ καὶ ὁ νόμος. Ὅρα τοίνυν πῶς συγχωρήσας αὐτὴν τῷ λόγῳ, καθεῖλε τῷ πράγματι. Οὐ γὰρ εἶπε, περιττὸν ἡ περιτομὴ, (39)
ἀνόνητον [y]ἡ περιτομὴ, ἄχρηστον· ἀλλὰ τί; "Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς." Κατεδέξατο [z]τέως αὐτὴν λέγων, ὁμολογῶ καὶ οὐκ ἀντιλέγω, ὅτι [a]καλὸν ἡ περιτομή· ἀλλὰ πότε; Ὅταν καὶ τὴν τοῦ νόμου φυλακὴν ἔχῃ. "Ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν."
E Οὐκ εἶπεν, οὐκέτι ὠφελεῖ, ἵνα μὴ [b]δοκῇ αὐτὴν ὑβρίζειν· ἀλλὰ γυμνώσας αὐτῆς τὸν Ἰουδαῖον, τότε [c]αὐτὸν βάλλει λοιπόν· ὅπερ οὐκέτι τῆς περιτομῆς ἦν [d]ὕβρις, ἀλλὰ τοῦ διὰ τῆς ῥαθυμίας αὐτὴν ἀπολέσαντος. Ὥσπερ οὖν τοὺς ἐν ἀξιώμασιν ὄντας,

[e] *δείκνυσι τούτους* pro *τούτους δείκνυσι* omnes. [f] *ποῖον*] + *δὴ* Edd. repugnantibus libris. [g] *ποίου* om. B. [h] *μὲν*, quod aberat, est in nostris omnibus. [i] *ἔνδοθεν* E. [k] *δὲ* om. I. *δὲ* (sic) G. [l] *αἱ πράξεις* A.B.D.E.F.G.H. *ἡ πρᾶξις* Edd. [m] *ἀπὸ τῆς φ.* A.D.E. [n] *ἀπὸ* accessit ex omnibus. [o] *δεικνὺς . . . ἔλεγεν*] Sic nostri omnes. Edebatur *δείκνυσι . . . λέγων*. [p] *γὰρ* om. G. [q] *σαυτὸν* A.E.H.I. [r] *γραπτοῦ*] *πνικοῦ* H. [s] *ἡ* om. G. [t] *ἑτέρα* E. [v] *ἑτέρα* A.E. [w] *σαρκὸς* pro *σαρκικὴ* A.E.F.G.H.I. [x] *πάντα* A.E.F.I. *ἅπαντα* om. G. [y] *ἡ περιτομὴ*, quod vulgo abest, est in A.B.D.E.F.H.I. Verba *ἀνόνητον ἡ π.* om. a pr. man. G. *ἀνόνητον* add. ex corr. [z] *τέως αὐτὴν* pro *αὐτὴν τέως* A.E.F.G.H.I. [a] *καλὸν* pro *καλὴ* omnes. [b] *δοκῇ* pro *δόξῃ* A.B.D.E.F.G.H. [c] *αὐτὸν* om. B. *λοιπὸν β. αὐτὸν* hoc ord. G. [d] *ἡ ὕβρις* A.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶτα ἁλισκομένους ἐπὶ μεγίστοις ἐγκλήμασιν, οἱ δικάζοντες ἀφελόμενοι τῆς τῶν ἀξιωμάτων τιμῆς, τότε κολάζουσιν· οὕτω καὶ Παῦλος ἐποίησεν. Εἰπὼν γὰρ, "Ἐὰν [e]δὲ παραβάτης νόμου ᾖς," ἐπήγαγεν, "ἡ περιτομή σου ἀκροβυστία γέγονε·" καὶ δείξας ἀπερίτμητον, καταδικάζει λοιπὸν ἀδεῶς.

11 "Ὅταν οὖν ἡ ἀκροβυστία τὰ [f]δικαιώματα τοῦ νόμου φυλάττῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν [g]μετατραπή- 476
σεται;" Ὅρα τί ποιεῖ. Οὐ λέγει, ὅτι ἡ ἀκροβυστία [h]τὴν περιτομὴν νικᾷ· τοῦτο γὰρ σφόδρα ἦν ἐπαχθὲς τοῖς τότε ἀκούουσιν· ἀλλ' ὅτι [i]ἡ ἀκροβυστία περιτομὴ γέγονε. Καὶ ζητεῖ [k]τί ἐστι λοιπὸν περιτομὴ, καὶ [l]τί ἀκροβυστία· καὶ λέγει, ὅτι περιτομὴ πρᾶξίς ἐστιν ἀγαθὴ, [m]καὶ ἀκροβυστία πρᾶξις πονηρά. Καὶ πρότερον μεταστήσας εἰς τὴν περιτομὴν τὸν ἀκρόβυστον τὸν πράξεις ἔχοντα χρηστὰς, καὶ τὸν [n]ἐμπερίτομον τὸν ἐν διεφθαρμένῳ βίῳ εἰς τὴν ἀκροβυστίαν ἐξωθήσας, [o]οὕτω τὴν νίκην δίδωσι τῷ ἀκροβύστῳ. Καὶ οὐ λέγει, τῷ ἀκροβύστῳ, B
ἀλλ' ἐπὶ τὸ πρᾶγμα μέτεισιν οὕτω λέγων· "οὐχὶ ἡ ἀκροβυστία [p]αὐτοῦ εἰς περιτομὴν μετατραπήσεται;" Καὶ οὐκ εἶπε, λογισθήσεται, ἀλλὰ, [q]"τραπήσεται," ὅπερ ἐμφαντικώτερον ἦν· ὥσπερ καὶ ἀνωτέρω οὐκ εἶπεν, ἡ περιτομή σου ἀκροβυστία λογίζεται, ἀλλὰ, "γέγονε." 12 "Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία." Ὁρᾷς, ὅτι δύο οἶδεν ἀκροβυστίας, τὴν μὲν ἐκ φύσεως, τὴν δὲ ἐκ προαιρέσεως; Ἐνταῦθα μέντοι [r]τὴν ἐκ φύσεως λέγει. Ἀλλ' οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπάγει· C
"Τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;" Ὅρα τὴν λεπτοτάτην αὐτοῦ σύνεσιν. Οὐκ εἶπεν, [s]ἡ ἐκ φύσεως ἀκροβυστία [t]τὴν περιτομὴν κρινεῖ, ἀλλὰ, ἔνθα μὲν [v]ἡ νίκη ἦν, τὴν ἀκροβυστίαν εἰσάγει· ἔνθα δὲ [w]ἡ ἧττα ἦν, οὐκέτι τὴν περιτομὴν δείκνυσιν ἡττωμένην, ἀλλὰ τὸν αὐτὴν ἔχοντα Ἰουδαῖον, φειδόμενος διὰ τῶν ῥημάτων πλῆξαι τὸν ἀκροατήν. Καὶ οὐκ εἶπε, σὲ τὸν νόμον ἔχοντα καὶ περιτομὴν, ἀλλ' [x]ἔτι ἡμερώτερον, "σὲ τὸν διὰ γράμματος καὶ

11 v. 26. 12 v. 27.

[e] δὲ om. G. [f] δίκαια I. [g] μετατραπήσεται B.D.E. Mosq. 8. λογισθήσεται A.F.G.H.I. περιτραπήσεται Edd. [h] τὴν om. G. [i] ἡ περιτομὴ ἀκροβυστία omnes. ἡ ἀκρ. περιτομὴ Edd. [k] τί ἐστι λοιπὸν pro λοιπὸν τί ἐστι A.B.E.F.H.I. Statim ἡ περιτομὴ A.H.I. [l] τί]+ἐστιν G. Statim ἡ ἀκρ. et p.p. ἡ περιτ. A. [m] καὶ ἡ ἀκρ. Edd. ἡ om. B.D.E.F.G.H.I. et ante corr. A. [n] ἐμπερίτομον] ἐν περιτομῇ G. Statim τῷ ἐν δ. idem. [o] οὕτω om. G. [p] αὐτοῦ omnes. σου Edd. [q] μετατραπήσεται B.D.E. Mosq. 8. Vid. Annot. [r] τὴν]+ἐκ πίστεως καὶ G. [s] ἡ] ὅτι ἡ Edd. ὅτι om. B.F. G.H.I. [t] τὴν om. E. [v] ἡ om. G. [w] ἡ om. A.F.G.H.I. Statim ἦν om. B.D.E. [x] ἔτι om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περιτομῆς παραβάτην νόμου" τουτέστι, καὶ ἀμύνει [y]τῇ περι-
D τομῇ ἡ τοιαύτη ἀκροβυστία, ἠδίκηται γάρ· καὶ βοηθεῖ τῷ νόμῳ, ἐπηρέασται γάρ· καὶ περιφανὲς ἵστησι [z]τρόπαιον. Ἡ γὰρ νίκη τότε [a]ἐστὶ λαμπρά, ὅταν μὴ παρὰ [b]Ἰουδαίου Ἰουδαῖος, ἀλλὰ παρὰ [c]ἀκροβύστου κρίνηται· ὥσπερ ὅταν λέγῃ, [13]"Ἄνδρες Νινευῖται ἐγερθήσονται, καὶ [d]κατακρινοῦσι τὴν γενεὰν ταύτην." Οὐκοῦν οὐ τὸν νόμον ἀτιμάζει· σφόδρα γὰρ αὐτὸν αἰδεῖται· ἀλλὰ τὸν εἰς τὸν νόμον ὑβρίζοντα. Εἶτα [e]ὅτε κατεσκεύασε ταῦτα σαφῶς, θαρρῶν λοιπὸν ὁρίζεται τί ποτέ ἐστιν [f]ὁ Ἰουδαῖος· καὶ δείκνυσιν, ὅτι οὐχὶ τὸν Ἰουδαῖον οὐδὲ τὴν περιτομὴν, ἀλλὰ τὸν [g]οὐκ Ἰουδαῖον καὶ [h]τὸν ἀπερίτμητον ἐκβάλλει. Καὶ δοκεῖ μὲν ἀμύνειν αὐτῇ, καταλύει δὲ αὐτῆς τὴν
E ὑπόληψιν, ἀπὸ τοῦ συμβαίνοντος ἔχων τὰς ψήφους. Δείκνυσι γὰρ οὐ μόνον οὐδὲν μέσον Ἰουδαίου καὶ ἀκροβύστου, ἀλλὰ καὶ ἀνώτερον ὄντα τὸν ἀκρόβυστον, ἐὰν [i]ἑαυτῷ προσέχῃ, καὶ τοῦτον ὄντα ἀκριβῶς [k]τὸν Ἰουδαῖον. Διό φησι· [14]"Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός [l]ἐστιν." Ἐνταῦθα αὐτοὺς πλήττει, ὡς πρὸς ἐπίδειξιν ἅπαντα πράττοντας. [15]"Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι." Τοῦτο δὲ εἰπὼν, ἐξέβαλε τὰ σωματικὰ ἅπαντα. Καὶ γὰρ ἡ περιτομὴ [m]ἐν τῷ φανερῷ, καὶ τὰ σάββατα καὶ αἱ θυσίαι καὶ οἱ (40)
477 [n]καθαρισμοί· ἅπερ ἅπαντα δι' ἑνὸς ῥήματος εἰπὼν, "Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν." Ἀλλ' ἐπειδὴ τῆς περιτομῆς πολὺς ἦν ὁ λόγος, ὅπου γε καὶ τὸ σάββατον αὐτῇ παρεχώρει, εἰκότως τὰ πλείονα πρὸς αὐτὴν ἀποτείνεται. Εἰπὼν δὲ, "ἐν πνεύματι," προοδοποιεῖ λοιπὸν [o]τῇ τῆς ἐκκλησίας πολιτείᾳ, καὶ τὴν πίστιν εἰσάγει· καὶ γὰρ [p]καὶ αὐτὴ [q]ἐν καρδίᾳ καὶ πνεύματι, [r]καὶ τὸν ἔπαινον ἀπὸ θεοῦ ἔχει. Καὶ διὰ τί μὴ ἔδειξεν, ὅτι [s]κατορθῶν Ἕλλην Ἰουδαίου κατορθοῦντος οὐκ ἔστιν ἐλάττων· ἀλλ' ὅτι κατορθῶν Ἕλλην Ἰουδαίου παραβαίνοντος κρείττων ἐστίν; [t]Ἵνα ἀναμφίβολον ποιήσῃ τὴν

[13] Matth. xii. 41. [14] v. 28. [15] v. 29.

[y] τὴν περιτομὴν G. [z] τὸ τρόπαιον G. [a] ἔσται F. [b] Ἰουδαίοις A.B. D.E.F.H.I. Ἰουδαίων G. Ἰουδαίου Edd. Statim ὁ Ἰουδαῖος A.F.H.I. [c] ἀκροβύστων G. ἀκροβύστῳ ex corr. B. Statim κρίνηται pro κρίνεται A.D.E. F.H.I. et ex corr. G. [d] κρινοῦσι F.H. I. [e] ὅτε] ὅταν A.E.F.H. [f] ὁ om. G. [g] οὐκ] οὐχὶ A.F.H. et ante corr. G. [h] τὸν om. G. [i] αὐτῷ Veron. Sav. Mor. repugnantibus libris. [k] τὸν expunxit corr. G. [l] ἐστιν om. G. [m] ἐν] ἢ ἐν G. [n] καθαρμοὶ B.D.I. [o] τὴν τῆς ἐ. πολιτείαν A.D. H.I. λοιπὸν om. I. [p] καὶ accessit ex A.B.D.F.G.H.I. Statim αὐτὴ vel αὐτῇ omnes. αὕτη Edd. [q] ἐν] καὶ ἐν I. Mox καὶ ἐν πνεύματι A.B.D.F.H.I. [r] καὶ accessit ex B.D.E.G.H.I. Mox ἀπὸ τοῦ θεοῦ Edd. τοῦ om. A.B.D.E. H.I. [s] ὁ κατορθῶν Edd. ὁ deest in omnibus. κατορθῶν ὁ Ἕλλην B. [t] ἵν' ἀναμφ. Edd. invitis libris. ἵνα ἀμφίβολον E.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίκην. Τούτου γὰρ ὁμολογηθέντος, ἐξ ἀνάγκης ἡ περιτομὴ τῆς σαρκὸς ἐκβάλλεται, καὶ δείκνυται, ὅτι πανταχοῦ βίου χρεία. B
"Οταν γὰρ ὁ μὲν "Ελλην χωρὶς [v]τούτων σώζηται, ὁ δὲ Ἰουδαῖος μετὰ τούτων κολάζηται, ἔστηκεν ἀργῶν ὁ Ἰουδαϊσμός. "Ελληνα δὲ πάλιν οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν θεοσεβῆ καὶ ἐνάρετον καὶ τῶν νομικῶν [w]παρατηρήσεων ἀπηλλαγμένον φησί.
16 "Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;" Ἐπειδὴ πάντα ἐξέβαλε, τὴν ἀκρόασιν, τὴν διδασκαλίαν, τὸ ὄνομα [x]τοῦ Ἰουδαίου, τὴν περιτομὴν, τὰ ἄλλα πάντα, διὰ [y]τοῦ λέγειν, ὅτι ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος οὐκ ἔστιν, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, ὁρᾷ λοιπὸν ἀντίθεσιν ἀνακύπτουσαν, καὶ πρὸς αὐτὴν ἵσταται. Τίς δὲ [z]ἦν ἡ ἀντίθεσις; Εἰ μηδὲν, φησὶν, ὠφελεῖ ταῦτα, τίνος C
ἕνεκεν καὶ ἐκλήθη τὸ ἔθνος, καὶ περιτομὴ ἐδόθη; Τί οὖν ποιεῖ, καὶ πῶς αὐτὴν λύει; Δι' [a]ὧν ἔλυσε καὶ ἀνωτέρω. [b]"Ωσπερ γὰρ ἐκεῖ οὐ τὰ ἐγκώμια αὐτῶν εἶπεν, ἀλλὰ τοῦ θεοῦ τὰς εὐεργεσίας, οὐ τὰ αὐτῶν κατορθώματα· τὸ γὰρ Ἰουδαῖον ὀνομάζεσθαι, καὶ γινώσκειν [c]τὸ θέλημα, καὶ δοκιμάζειν τὰ διαφέροντα, οὐκ αὐτῶν ἦν [d]κατόρθωμα, ἀλλὰ τῆς τοῦ θεοῦ χάριτος· ὅπερ καὶ ὀνειδίζων αὐτοῖς ὁ προφήτης ἔλεγεν· 17 "Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς·" καὶ ὁ Μωϋσῆς πάλιν, "Ἐρωτήσατε, εἰ γέγονε [e]κατὰ τὸ ῥῆμα τοῦτο, φησὶν, εἰ ἤκουσεν ἔθνος φωνὴν θεοῦ ζῶντος ἐκ μέσου D
[f]τοῦ πυρὸς, καὶ ἔζησε·" τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. "Ωσπερ γὰρ, ὅτε ἔλεγε περὶ τῆς περιτομῆς, οὐκ εἶπεν, [g]ὅτι ἡ δὲ περιτομὴ οὐδὲν ὠφελεῖ χωρὶς βίου, ἀλλὰ, περιτομὴ [h]ὠφελεῖ μετὰ βίου, τὸ αὐτὸ μὲν δηλῶν, ἡμερώτερον δέ· καὶ πάλιν, "Ἐὰν δὲ παραβάτης νόμου ᾖς," οὐκ εἶπεν, [i]οὐδὲν ὠφελῇ σὺ ὁ ἐμπερίτομος, ἀλλ', "ἡ περιτομή σου ἀκροβυστία γέγονε·" καὶ μετ' ἐκεῖνο δὲ πάλιν, "Κρινεῖ, φησὶν, ἡ ἀκροβυστία," οὐχὶ τὴν περιτομὴν, ἀλλὰ, "σὲ τὸν παραβάτην νόμου," [k]τῶν μὲν νομίμων φειδόμενος, τοὺς δὲ ἀνθρώπους βάλλων· οὕτω καὶ ἐν- E
ταῦθα ποιεῖ. [l]Ἀντιθεὶς γὰρ ἑαυτῷ τοῦτο, καὶ εἰπὼν, "Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;" οὐκ εἶπεν, [m]ὅτι οὐδὲν, ἀλλὰ

16 Cap. III. v. 1. 17 Ps. cxlvii. 9. Deut. v. 26.

[v] τούτου E. [w] παραβάσεων G. [x] τοῦ] τὸ τοῦ B. [y] τοῦ λέγειν] τοῦτο λέγει E. Post λέγειν pergit G. οὐ γὰρ ὁ ἐν τ. φ. Ἰουδαῖός ἐστιν. [z] ἦν pro ἐστιν A.B.F.H.I. Neutrum habent E.G. [a] ὧν] οὗ G. Statim καὶ τὰ ἀνωτέρω Edd. τὰ deest in omnibus. [b] ὥσπερ γὰρ] ὅπερ G. [c] τὰ θελήματα H. [d] κατορθώματα G. τὸ κατόρθωμα B.D. [e] κατὰ τὸ ῥῆμα] κατόρθωμα G. [f] τοῦ, quod aberat ante Montef. est in A.B.D.E.F.H.I. [g] ὅτι om. I. δὲ om. G. [h] ὠφελεῖ om. G. [i] οὐδὲν] ὅτι οὐδὲν D.E. Statim ὠφελεῖ F.H. ὠφελεῖς σὺ ὁ ἐν περιτομῇ G. [k] τοῦ μὲν νόμου φ. I. [l] ἀντιτιθεὶς G. γὰρ om. I. [m] ὅτι om. A.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[n]συνέδραμε τῷ λόγῳ, καὶ διὰ τῶν ἑξῆς [o]αὐτὸ πάλιν ἀνεῖλε, καὶ ἔδειξε [p]καὶ κολαζομένους ἀπὸ ταύτης τῆς προεδρίας. Καὶ πῶς, ἐγὼ λέγω, τὴν ἀντίθεσιν εἰς μέσον ἀγαγών. "Τί [q]γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου, φησὶν, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; [18]Πολὺ κατὰ πάντα τρόπον. Πρῶτον [r]μὲν, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ." Εἶδες, ὅπερ ἔφθην εἰπὼν, οὐδαμοῦ τὰ κατορθώματα αὐτῶν, ἀλλὰ τοῦ θεοῦ τὰς εὐεργεσίας [s]ἀριθμοῦντα; Τί δέ ἐστιν, "ἐπιστεύθησαν;" Ὅτι αὐτοὶ ἐνεχειρί-
478 σθησαν [t]τὸν νόμον, ὅτι [v]τοσούτου ἀξίους [w]εἶναι ἐνόμισεν, [x]ὡς πιστεῦσαι χρησμοὺς αὐτοῖς ἄνωθεν κατενεχθέντας. Καὶ οἶδα μὲν, ὅτι τινὲς τὸ, "ἐπιστεύθησαν," οὐκ ἐπὶ τῶν Ἰουδαίων λέγουσιν, ἀλλ' ἐπὶ τῶν λογίων, τουτέστιν, [y]ὅτι ἐπιστεύθη ὁ νόμος· ἀλλὰ τὸ ἑξῆς οὐκ ἀφίησι [z]τοῦτο νομίζεσθαι. Πρῶτον μὲν γὰρ κατηγορῶν αὐτῶν [a]ταῦτα λέγει, καὶ δεικνὺς πολλῆς μὲν ἄνωθεν ἀπολαύσαντας εὐεργεσίας, πολλὴν δὲ ἐπιδειξαμένους ἀγνωμοσύνην. [b]Ἔπειτα δὲ καὶ [c]τὰ ἑξῆς τοῦτο δηλοῖ· ἐπήγαγε γάρ· [19]"Τί γὰρ, εἰ ἠπίστησάν τινες;" Εἰ δὲ ἠπίστησαν, πῶς τινές φασιν, ὅτι ἐπιστεύθησαν τὰ λόγια; Τί οὖν φησιν; Ὅτι
B ὁ θεὸς [d]αὐτοῖς ταῦτα ἐπίστευσεν, οὐχ ὅτι αὐτοὶ τοῖς λόγοις ἐπίστευσαν· ἐπεὶ πῶς ἔχει λόγον [e]τὸ ἑξῆς; καὶ γὰρ ἐπήγαγε· "Τί γὰρ, εἰ ἠπίστησάν τινες;" Καὶ [f]τὸ μετὰ τοῦτο δὲ [g]τὸ αὐτὸ δηλοῖ· προσέθηκε γὰρ πάλιν λέγων· "[g]Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ [h]καταργήσει; [20]Μὴ γένοιτο." [i]Τὸ τοίνυν, "ἐπιστεύθησαν," τοῦ θεοῦ τὴν δωρεὰν ἀνακηρύττει. Σὺ δέ μοι σκόπει [k]καὶ ἐνταῦθα σύνεσιν. Τὴν γὰρ κατηγορίαν (41
αὐτῶν οὐ παρ' ἑαυτοῦ πάλιν εἰσάγει, ἀλλ' ὡς ἐξ ἀντιθέσεως· ὡς ἂν εἰ ἔλεγεν, ἀλλ' ἴσως [l]ἐρεῖς, καὶ τί τὸ ὄφελος τῆς περιτομῆς
C ταύτης; οὐ γὰρ ἐχρήσαντο αὐτῇ εἰς δέον· ἐπιστεύθησαν γὰρ τὸν νόμον, καὶ ἠπίστησαν. Καὶ τέως οὐ σφοδρός ἐστι κατήγορος, ἀλλ' ὡς τὸν θεὸν ἀπαλλάττων ἐγκλημάτων, οὕτω περι-

18 v. 2. 19 v. 3. 20 v. 4.

[n] *συνέδραμε*]+*μὲν* I. [o] *αὐτὸ πάλιν* pro *πάλιν αὐτὸ* A.D.F.G.H.I. *αὐτῷ π.* E. *αὐτὸν π.* B. [p] *καὶ* om. G. [q] *γὰρ*] *οὖν* A.E.F.H.I. [r] *μὲν* accessit ex omnibus. [s] *ἀριθμοῦντα* omnes. *ἀπαριθμοῦντα* Edd. [t] *τῷ νόμῳ* G. [v] *τοσούτων* A.F.G.H.I. *τοσοῦτον* D.E. *τοσούτου* Edd. [w] *εἶναι* est in libris omnibus (sed in I. superscript. manu eadem) non in Edd. Statim *ἐνόμισεν* pro *ἐνόμιζεν* omnes. [x] *ὥστε* G. [y] *ὅτι* om. I. [z] *τοῦτο νομίζεσθαι*] *τοῦ λογίζεσθαι* G. [a] *ταῦτα* om. G.I. Statim *ἔλεγε* D.E. [b] *τὸ ἑξῆς* G. [c] *αὐτοῖς* om. I. Mox *οὐχ ὅτι—ἐπίστευσαν* om. idem. [d] *τὰ ἑξῆς* G. [e] *τὸ* om. I. [f] *τὸ αὐτὸ* A.B.D.E.F.G.I. *αὐτὸ* H. *τοῦτο* Edd. [g] *μὴ*]+*γὰρ* Edd. repugnantibus libris. [h] *καταργεῖ* F.H.I. [i] *τὸ* (*τί* pro *τὸ* H.) *τοίνυν ἐπιστ.*] Sic nostri omnes. Edebatur *τοῦτο τοίνυν ὃ ἐπιστ.* [k] *κἀνταῦθα* A.E.F.H.I. [l] *ἐρεῖς*] *ἐρεῖ τις* A.D.E.F.H.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τρέπει εἰς αὐτοὺς τὴν κατηγορίαν ἅπασαν. Τί γὰρ ἐγκαλεῖς, φησὶν, ὅτι ἠπίστησαν; καὶ τί τοῦτο πρὸς τὸν θεόν; Μὴ γὰρ τὴν εὐεργεσίαν αὐτοῦ ἀνατρέπει τῶν εὐεργετηθέντων ἡ ἀγνωμοσύνη; ἢ τὴν τιμὴν ποιεῖ μὴ εἶναι τιμήν; Τοῦτο γάρ ἐστι [m]τὸ, "Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; Μὴ γένοιτο." Ὡς ἂν εἰ ἔλεγέ τις· ἐγὼ τὸν δεῖνα ἐτίμησα· εἰ δὲ μὴ προσήκατο τὴν τιμὴν ἐκεῖνος, τοῦτο ἐμοὶ κατηγορίαν οὐ φέρει, οὐδὲ λυμαίνεταί μου [n]τὴν φιλανθρωπίαν, ἀλλ' ἐκείνου D δείκνυσι τὴν ἀναισθησίαν. Ὁ δὲ Παῦλος οὐ τοῦτο μόνον λέγει, ἀλλὰ καὶ τὸ πολλῷ πλέον· ὅτι οὐ μόνον οὐ προστρίβεται ἔγκλημα τῷ θεῷ ἡ ἀπιστία [o]ἐκείνων, ἀλλὰ καὶ μείζονα [p]δείκνυσιν αὐτοῦ τὴν τιμὴν καὶ τὴν φιλανθρωπίαν, ὅταν καὶ τὸν μέλλοντα αὐτὸν ἀτιμάζειν φαίνηται τιμῶν. Εἶδες πῶς αὐτοὺς [q]ἐποίησεν ὑπευθύνους ἐγκλημάτων, ἀφ' ὧν [r]ἐκαλλωπίζοντο; [s]εἴγε ὁ μὲν θεὸς τοσαύτῃ περὶ αὐτοὺς ἐχρήσατο [t]τιμῇ, ὡς μηδὲ τὸ μέλλον προορῶν ἀποσχέσθαι τῆς περὶ αὐτοὺς εὐνοίας· αὐτοὶ δὲ τὸν τιμήσαντα, δι' ὧν ἐτιμήθησαν, ὕβρισαν. Εἶτα [v]ἐπειδὴ εἶπε, E "Τί γὰρ, εἰ ἠπίστησάν τινες;" [w]φαίνονται δὲ ἅπαντες ἠπιστηκότες· ἵνα μὴ πάλιν κατὰ τὴν ἱστορίαν λέγων, δόξῃ σφοδρὸς αὐτῶν εἶναι κατήγορος ὡς ἐχθρὸς, ἐν τάξει λογισμοῦ [x]καὶ συλλογισμοῦ τίθησι τὸ ἐπὶ τῆς ἀληθείας [y]γεγενημένον, οὕτω λέγων· "[z]Γινέσθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης." [d]Ὁ δὲ λέγει, [a]τοιοῦτόν ἐστιν· οὐ λέγω, φησὶν, ὅτι τινὲς ἠπίστησαν, ἀλλ', εἰ βούλει, τίθει πάντας ἠπιστηκέναι· τὸ [b]ἀληθῶς γεγενημένον κατὰ συνδρομὴν συγχωρῶν, ἵνα ἀνεπαχθὴς εἶναι δόξῃ καὶ ἀνύποπτος. Καὶ γὰρ οὕτω μᾶλλον δικαιοῦται, φησὶν, ὁ θεός. Τί ἐστι, δικαιοῦται; Εἰ κρίσις [c]γένοιτο καὶ 479
ἐξέτασις τῶν ὑπηργμένων τοῖς Ἰουδαίοις παρ' αὐτοῦ, καὶ τῶν παρ' αὐτῶν εἰς αὐτὸν γεγενημένων, τὰ νικητήρια ἔσται παρὰ τῷ θεῷ, καὶ τὰ δικαιώματα αὐτοῦ πάντα. Καὶ δείξας τοῦτο σαφῶς ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τότε [d]καὶ τὸν προφήτην εἰσήγαγε τούτοις ψηφιζόμενον καὶ λέγοντα· "Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε."

[m] τὸ om. G. [n] τῇ φιλανθρωπίᾳ A.B.D.E.F. et ex corr. H.I. [o] ἐκείνων om. A.D.E.F.H.I. [p] δείκνυσιν αὐτοῦ] αὐτοῦ δίδωσι G. [q] ἐποίησεν]+οὗτος G. [r] ἐνεκαλλωπίζοντο B.D.E. [s] εἴγε B.D.E.G. εἴπερ Edd. [t] τῇ τιμῇ Edd. τῇ om. A.B.D.E.F.I. [v] ἐπειδὴ]+τοῦτο G. [w] φαίνονται] φανέντες G. Statim ἅπαντες pro πάντες A.E.F.G.H.I. [x] καὶ συλλ. om. G. [y] γενόμενον A.D.E.F.H.I. Post γεγενημένον, αὐτῷ add. G. [z] γινέσθω pro γενέσθω A.E.F.G.H.I. et ex corr. B. [a] τοιοῦτον] τοῦτο E. τοῦτ' A. [b] ἀληθῶς A.B.D.E.G.H.I. ἀληθὲς Edd. [c] γένοιτο] γένοιτ' ἂν F.H.I. [d] καὶ om. F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὐτὸς μὲν γὰρ τὰ παρ' ἑαυτοῦ πάντα ἐποίησεν, ἐκεῖνοι δὲ οὐδὲ οὕτως ἐγένοντο βελτίους.

Εἶτα ἐκ τούτου πάλιν ἀντίθεσιν [e]ἑτέραν ἀνακύπτουσαν εἰς
B μέσον ἄγει, καί φησιν· [21] "Εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην [f]συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. Μὴ γένοιτο." Ἄτοπον ἀτόπῳ λύει λοιπόν. Ἐπειδὴ δὲ τοῦτο ἀσαφὲς, ἀναγκαῖον αὐτὸ σαφέστερον εἰπεῖν. [g]Τί οὖν ἐστιν, ὅ φησιν; Ἐτίμησε τοὺς Ἰουδαίους ὁ θεὸς, ὕβρισαν αὐτὸν ἐκεῖνοι. Τοῦτο [h]αὐτὸν ποιεῖ νικῆσαι, καὶ πολλὴν αὐτοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ὅτι καὶ τοιούτους ὄντας ἐτίμησεν. Οὐκοῦν [i]ἐπειδὴ ὑβρίσαμεν, φησὶν, ἡμεῖς καὶ ἠδικήσαμεν, διὰ τοῦτο ὁ θεὸς ἐνίκησε, καὶ ἡ δικαιοσύνη αὐτοῦ λαμπρὰ ἐφάνη. Τίνος [k]οὖν ἕνεκεν κολάζομαι, φησὶν,
C αἴτιος αὐτῷ τοῦ νικῆσαι γενόμενος δι' ὧν ὕβρισα; Πῶς οὖν αὐτὸ λύει; Ἑτέρῳ, ὅπερ ἔφην, ἀτόπῳ πάλιν. Εἰ γὰρ αἴτιος, φησὶ, σὺ τῆς νίκης [l]ἐγένου, καὶ μετὰ ταῦτα [m]κολάζῃ, ἀδικία τὸ [n]γινόμενον· εἰ δὲ οὐκ ἄδικος, [o]κολάζῃ δὲ, οὐκέτι αἴτιος αὐτῷ τῆς νίκης γέγονας. Καὶ ὅρα τὴν εὐλάβειαν τὴν ἀποστολικήν. Εἰπὼν γὰρ, "Μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν;" ἐπήγαγε, "κατὰ ἄνθρωπον λέγω·" [p]ὡς ἄν τις, φησὶ, κατὰ ἀνθρώπινον [q]διαλεχθείη λογισμόν. Πολὺ [r]γὰρ καὶ τὰ παρ' ἡμῖν δοκοῦντα εἶναι δίκαια ὑπερβαίνει τοῦ θεοῦ ἡ δικαιοκρισία, καὶ ἔχει τινὰς καὶ ἑτέρους ἀπορρήτους λόγους. Εἶτα ἐπειδὴ ἀσα-
D φὲς ἦν, καὶ ἐκ δευτέρου τὸ αὐτὸ λέγει πάλιν. [22] "Εἰ [s]γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ [t]ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;" Εἰ γὰρ ὁ θεὸς, φησὶ, φιλάνθρωπος καὶ δίκαιος ἐφάνη καὶ ἀγαθὸς, ἐξ ὧν σὺ παρήκουσας, οὐ μόνον οὐκ ὀφείλεις κολάζεσθαι, ἀλλὰ καὶ εὐεργετεῖσθαι. Εἰ δὲ τοῦτο, εὑρεθήσεται τὸ ἄτοπον ἐκεῖνο, (42)
καὶ παρὰ πολλῶν περιφερόμενον, τὸ ἐκ τῶν κακῶν εἶναι τὰ καλὰ, καὶ αἴτια τῶν καλῶν τὰ κακά· [v]καὶ ἀνάγκη δυοῖν θάτερον,
E ἢ κολάζοντα ἄδικον φαίνεσθαι, ἢ μὴ κολάζοντα ἀπὸ τῶν ἡμετέρων κακῶν [w]ἔχειν τὰ νικητήρια· ἅπερ ἀμφότερα μεθ' ὑπερβολῆς

21 v. 5, 6. 22 v. 7.

[e] ἑτέραν] εὐρὼν G. [f] ἵστησι G. Statim τί ἔτι ἐρ. idem. [g] τί οὖν] Sic nostri omnes. Edebatur τοῦτο δέ. Neque aliter Interpretes. [h] αὐτὸ G. [i] ἐπειδὴ, ὅτι ὑβρίσαμεν Edd. Sed ὅτι deest in libris omnibus. [k] οὖν accessit ex A.F.H.I. Mox φησὶν om. E. [l] ἐγένου] ἐκείνου G. [m] κολάζει H. [n] γινόμ. pro γενόμ. A.E.G.I. γιγνόμ. H. [o] κολάζει A.I. [p] ὡς] τουτέστιν ὡς (et om. φησὶ) D.E. [q] διαλεχθῇ G.I. [r] γὰρ om. G. Mox παρ' ἡμῶν A.E.F.I. [s] γὰρ ἡ] δὲ G. [t] ψεύσματι A.E.F.G.H.I. et Mosqq. ψεύδει vulgo. [v] καὶ ἀνάγκη] ἀνάγκη γὰρ E. καὶ ἀνάγκη δὲ Edd. δὲ deest in omnibus. [w] ἔχειν] ἄγειν H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄτοπα. [w]Ὅπερ δεικνὺς καὶ [x]αὐτὸς, τοὺς πατέρας τῶν τοιούτων ἐπεισήγαγε δογμάτων Ἕλληνας, [y]ἀρκεῖν ἡγούμενος εἰς κατηγορίαν τῶν εἰρημένων, τὴν ποιότητα τῶν προσώπων τῶν ταῦτα λεγόντων. [z]Τότε γὰρ ἡμᾶς κωμῳδοῦντες ἔλεγον, ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα [a]ἔλθῃ τὰ ἀγαθά. Διὸ καὶ τέθεικεν αὐτὸ σαφῶς οὕτω λέγων· [23]" [b]Εἰ μὴ καθώς [c]φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά· ὧν τὸ κρίμα ἔνδικόν ἐστιν." Ἐπειδὴ [d]γὰρ ἔλεγεν ὁ Παῦλος, [24]"[w]Ὅπου 480
ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις," κωμῳδοῦντες αὐτὸν, καὶ ἑτέρᾳ γνώμῃ διαστρέφοντες τὸ εἰρημένον, ἔλεγον, ὅτι δεῖ κακίας [e]ἔχεσθαι, ἵνα ἀπολαύσωμεν ἀγαθῶν. Ὁ δὲ Παῦλος οὐχ οὕτως ἔλεγε· διορθούμενος γοῦν [f]αὐτό φησι, " Τί οὖν; [g]ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; [25]Μὴ γένοιτο." Ὑπὲρ [h]γὰρ τῶν παρελθόντων, [i]φησὶν, εἴρηκα χρόνων, οὐχ ἵνα μελέτην τοῦτο [k]ποιώμεθα. Ταύτης γοῦν ἀπάγων τῆς ὑπονοίας, ἔφησεν αὐτὸ [l]καὶ ἀδύνατον εἶναι λοιπόν. " Οἵτινες γὰρ, φησὶν, ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι [m]ζήσομεν B
ἐν αὐτῇ;" Τῶν μὲν οὖν Ἑλλήνων εὐκόλως κατέδραμεν· ὁ γὰρ βίος [n]αὐτῶν σφόδρα διέφθαρτο· τῶν δὲ Ἰουδαίων εἰ καὶ ὁ βίος ἐδόκει παρημελῆσθαι, ἀλλ' ἦν προκαλύμματα [o]τούτων μεγάλα, νόμος καὶ περιτομὴ, [p]καὶ τὸ τὸν θεὸν αὐτοῖς ὡμιληκέναι, καὶ τὸ πάντων εἶναι διδασκάλους. Διὰ τοῦτο καὶ τούτων αὐτοὺς ἐγύμνωσε, καὶ μᾶλλον ἔδειξεν ἐκ τούτων κολαζομένους, εἰς ὃ καὶ ἐνταῦθα τὸν λόγον συνέκλεισεν. [q]Ἂν γὰρ μὴ κολάζωνται, φησὶ, τοιαῦτα ποιοῦντες, ἀνάγκη τὸν βλάσφημον ἐκεῖνον περιφέρεσθαι λόγον, τὸ, " Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ C
ἀγαθά." Εἰ δὲ τοῦτο ἀσεβὲς, καὶ οἱ λέγοντες αὐτὸ δίκην δώσουσι· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, " ὧν τὸ κρίμα ἔνδικόν ἐστιν" εὔδηλον ὅτι κολάζονται. Εἰ γὰρ οἱ λέγοντες τιμωρίας ἄξιοι, πολλῷ μᾶλλον οἱ πράσσοντες· εἰ δὲ ἄξιοι τιμωρίας, ὡς ἡμαρτηκότες ἄξιοι. Οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ κολάζων, ἵνα καί τις ὑποπτεύσῃ τὴν ψῆφον, [r]ἀλλ' ὁ θεὸς ὁ δικαίως πάντα

[23] v. 8. [24] Rom. v. 20. [25] Ibid. vi. 1, 2.

[w] ὅπερ G. [x] αὐτοὺς G. [y] ἀρκοῦν F.G.H. [z] τότε] οὕτως G. Brix. [a] ἔλθῃ hic et infra omnes. ἔλθοι Veron. Sav. Statim τὰ καλὰ I. [b] εἰ] καὶ G. Post εἰ μὴ verba καθὼς βλασφημούμεθα καὶ, quae vulgo leguntur, desunt in A.B.D. E.F.H.I. et Mosqq. Vertit ea Brix. non Musc. [c] φησὶ H. Mosqq. [d] γὰρ om. I. [e] ἄγεσθαι H. Idem mox τῶν ἀγαθῶν. [f] αὐτοὺς I. [g] ἐπιμείνωμεν G. [h] γὰρ om. G. [i] φησὶν accessit ex omnibus. [k] ποιώμεθα A.B.D.E.F.H.I. ποιησώμεθα G. ποιῶμεν Edd. [l] καὶ om. I. [m] ζήσωμεν F.H. [n] αὐτῶν om. B. [o] τούτων] αὐτῶν G. [p] καὶ om. G. [q] ἂν γὰρ] Sic omnes. εἰ γὰρ Edd. Statim κολάζωνται pro κολάζονται B.D.F. G.I. et ex corr. A. [r] ἀλλ' ὁ] ἀλλὰ G. Mox τὰ πάντα idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιῶν. Εἰ δὲ δικαίως τιμωροῦνται, ἀδίκως ἐκεῖνα ἔλεγον, ἅπερ ἔλεγον, οἱ κωμῳδοῦντες ἡμᾶς. Πάντα γὰρ ὁ θεὸς ἔπραξε καὶ πράττει, ὥστε τὴν πολιτείαν ἡμῶν διαλάμπειν καὶ ὀρθοῦσθαι πάντοθεν.

D [s]Μὴ τοίνυν ῥᾳθυμῶμεν· οὕτω γὰρ καὶ τοὺς Ἕλληνας ἀποστῆσαι δυνησόμεθα τῆς πλάνης. Ὅταν [t]δὲ ἐν μὲν ῥήμασι φιλοσοφῶμεν, ἐν δὲ ἔργοις ἀσχημονῶμεν, ποίοις ὀφθαλμοῖς αὐτοὺς ὀψόμεθα; ποίοις στόμασι [v]διαλεξόμεθα περὶ δογμάτων; Ἐρεῖ γὰρ [w]πρὸς ἕκαστον ἡμῶν· ὁ τὸ ἔλαττον μὴ κατωρθωκὼς, πῶς ἀξιοῖς περὶ τοῦ μείζονός [x]με διδάσκειν; ὁ μηδέπω μαθὼν, ὅτι πλεονεξία κακὸν, πῶς περὶ τῶν ἐν [y]τοῖς οὐρανοῖς φιλοσοφεῖς πραγμάτων; Ἀλλ' οἶδας, ὅτι κακόν; Οὐκοῦν μεῖζον τὸ ἔγκλημα, ὅτι καὶ εἰδὼς πλημμελεῖς. Καὶ τί
E λέγω τὸν Ἕλληνα; Οὐδὲ [z]γὰρ οἱ παρ' ἡμῖν νόμοι συγχωροῦσιν ἡμῖν ταύτης ἀπολαύειν τῆς παρρησίας, ὅταν ὁ βίος [a]ἡμῶν διεφθαρμένος ᾖ. [26]" Τῷ γὰρ ἁμαρτωλῷ, φησὶν, εἶπεν ὁ θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;" Ἀπηνέχθησάν ποτε αἰχμάλωτοι [b]Ἰουδαῖοι, καὶ τῶν Περσῶν ἐπικειμένων καὶ ἀξιούντων ᾄδειν αὐτοῖς [c]τὰς θείας ᾠδὰς ἐκείνας, ἔλεγον· [27]" Πῶς [d]ᾄσομεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας;" [e]Εἰ δὲ ἐν βαρβάρῳ γῇ τὰ λόγια [f]τοῦ θεοῦ θέμις οὐκ ἦν ᾄδειν, πολλῷ μᾶλλον τὴν βάρβαρον ψυχήν· [g]βάρβαρος γὰρ ἡ ἀνηλεής. [h]Εἰ τοὺς αἰχμαλώτους ὄντας, καὶ δούλους ἀνθρώπων ἐν [i]ἀλλοτρίᾳ γε-
481 νομένους ὁ νόμος ἐκάθισεν [k]ἐν σιγῇ, πολλῷ μᾶλλον τοὺς δούλους ὄντας τῆς ἁμαρτίας καὶ ἐν ἀλλοτρίᾳ [l]γενομένους πολιτείᾳ ἐπιστομίζεσθαι δίκαιον. Καίτοι καὶ τὰ ὄργανα εἶχον τότε ἐκεῖνοι· [28]" Ἐν γὰρ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, [m]φησὶν, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν" ἀλλ' οὐδὲ οὕτως ἐξῆν. Οὐκοῦν οὐδὲ ἡμῖν, κἂν στόμα ἔχωμεν [n]καὶ γλῶτταν, ἅπερ ἐστὶν ὄργανα (43)
τοῦ λόγου, θέμις παρρησιάζεσθαι, ἕως ἂν τῇ πάντων βαρβάρων

[26] Ps. xlix. 16. [27] Ps. cxxxvi. 4. [28] Ps. cxxxvi. 2.

[s] ΗΘΙΚΟΝ. Περὶ διδασκάλων, ὅτι δεῖ μετὰ τοῦ λόγου καὶ ἀρετῆς ἐπιμελεῖσθαι. Veron. [t] δὲ pro γὰρ A.E.F.G.H.I. [v] διαλεχθῶμεν G. [w] πρὸς]+ἕνα B.D. [x] με accessit ex omnibus. [y] τοῖς om. G. Statim φιλ. πραγμάτων pro πραγμάτων φιλ. omnes. [z] γὰρ om. E. [a] ἡμῶν om. F.H.I. Statim ᾖ (vel ἦν H.) διεφθ. pro διεφθ. ᾖ H.I. ᾖ om. G. [b] οἱ Ἰουδαῖοι G. [c] τὰς θ. ᾠ. ἐκείνας omnes. Ante Montef. edebatur ἐκείνας τὰς θ. ᾠ. [d] ᾄσομεν E.F.H.I. et ante corr. A.G. Post ᾄσομεν add. ὑμῖν B. [e] εἰ δὲ] εἴδες E. [f] τοῦ θεοῦ] κυρίου G.I. [g] Edebatur βάρβαρος γὰρ ἐστιν ἡ ἀνηλεὴς ψυχή. Ubi ἐστιν om. A.B.E.F.G. γὰρ ἐστιν om. I. ψυχὴ autem deest in omnibus. ἀνελεὴς pro ἀνηλεὴς habent A.E.F.G. [h] εἰ γὰρ τοὺς Edd. γὰρ deest in omnibus. [i] ἀλλοτρίᾳ]+γῇ Edd. γῇ om. A.B.E.F.G. H.I. Statim γινομένους A.F.H.I. [k] ἐν om. G. [l] γινομένους E. γ. πολιτείᾳ pro πολιτείᾳ γ. omnes. [m] φησὶν om. F.G. [n] καὶ] κἂν A.E.F.G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τυραννικωτέρᾳ δουλεύωμεν ἁμαρτίᾳ. Εἰπὲ γάρ μοι, τί πρὸς τὸν Ἕλληνα ἐρεῖς ἁρπάζων καὶ πλεονεκτῶν; ἀπόστηθι τῆς [o]εἰδωλολατρείας; ἐπίγνωθι τὸν θεὸν, [p]μηδὲ ἀργύρῳ καὶ χρυσῷ πρόσιθι; [q]Ἆρ' οὖν οὐ γελάσεται καὶ ἐρεῖ, σαυτῷ ταῦτα διαB λέγου πρότερον; Οὐ γάρ ἐστιν ἴσον Ἕλληνα ὄντα εἰδωλολατρεῖν, καὶ Χριστιανὸν ὄντα [q]τὸ αὐτὸ τοῦτο πλημμελεῖν. Πῶς γὰρ δυνησόμεθα ἑτέρους [r]ἀπάγειν τῆς εἰδωλολατρείας ἐκείνης, ἑαυτοὺς ταύτης οὐκ ἀπάγοντες; τοῦ γὰρ πλησίον ἡμεῖς ἐγγύτεροι ἑαυτοῖς. Ὅταν οὖν ἑαυτοὺς μὴ πείθωμεν, πῶς ἑτέρους [s]πείσομεν; [t]Εἰ γὰρ ὁ τῆς οἰκίας τῆς ἑαυτοῦ μὴ προεστὼς καλῶς, οὐδὲ ἐκκλησίας ἐπιμελήσεται· πῶς ὁ μηδὲ τῆς ἑαυτοῦ ψυχῆς προεστὼς, ἑτέρους διορθῶσαι δυνήσεται; Μὴ γάρ μοι τοῦτο [v]εἴπῃς, ὅτι οὐ προσκυνεῖς εἴδωλον χρυσοῦν· ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι μὴ ποιεῖς ταῦτα, ἅπερ ὁ χρυσὸς κελεύει. ΚαὶC γὰρ διάφοροι εἰδωλολατρείας τρόποι· καὶ ὁ μὲν τὸν [w]μαμωνᾶν ἡγεῖται κύριον, ὁ δὲ τὴν κοιλίαν θεὸν, ὁ δὲ ἑτέραν ἐπιθυμίαν χαλεπωτάτην. Ἀλλ' οὐ [x]καταθύεις αὐτοῖς βόας, καθάπερ οἱ Ἕλληνες; Ἀλλὰ τὸ πολλῷ χαλεπώτερον τὴν σαυτοῦ [y]κατασφάττεις ψυχήν. Ἀλλ' οὐ κάμπτεις τὰ γόνατα καὶ προσκυνεῖς; Ἀλλὰ μετὰ πλείονος ὑπακοῆς ποιεῖς πάντα, ἅπερ ἂν ἐπιτάξωσι καὶ ἡ γαστὴρ, καὶ τὸ χρυσίον, καὶ ἡ τῆς ἐπιθυμίας τυραννίς. Ἐπεὶ καὶ [z]Ἕλληνες διὰ τοῦτό εἰσι βδελυκτοὶ, ὅτι τὰ πάθη [a]ἡμῶν ἐθεοποίησαν, τὴν μὲν ἐπιθυμίαν Ἀφροδίτην, τὸν δὲ θυμὸν [b]Ἄρεα, τὴν δὲ μέθην Διόνυσον προσειπόντες. DΕἰ δὲ οὐ γλύφεις [c]εἴδωλα σὺ, καθάπερ ἐκεῖνοι, ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας τοῖς αὐτοῖς ὑποκύπτεις [d]πάθεσι, τὰ μέλη τοῦ Χριστοῦ [e]πόρνης ποιῶν μέλη, καὶ ταῖς [f]ἄλλαις σαυτὸν πλύνων παρανομίαις. Διὸ παρακαλῶ, τῆς ἀτοπίας τὴν ὑπερβολὴν ἐννοήσαντας, φεύγειν τὴν εἰδωλολατρείαν· οὕτω γὰρ ὁ Παῦλος καλεῖ τὴν πλεονεξίαν· [g]φεύγειν δὲ μὴ τὴν ἐν χρήμασι πλεονεξίαν μόνον, ἀλλὰ καὶ τὴν ἐν ἐπιθυμίᾳ πονηρᾷ, καὶ τὴν ἐν ἱματίοις, καὶ τὴν ἐν [h]τραπέζῃ, καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασι.

[o] εἰδωλολατρίας saepius A.B.D.I. [p] μηδὲ] μὴ D.E. [q] τὸ αὐτὸ om. A.E.F.H. favente I. [r] ἀπαγαγεῖν et mox ἀπαγαγόντες G. [s] πείσωμεν E. F.H. et ante corr. G. [t] εἰ γὰρ ὁ] ὁ γὰρ A.H. εἰ γὰρ τῆς ο. τῆς ἑ. ὁ μὴ πρ. E. [v] εἴπῃς A.B.D.G.H.I. et ex corr. E. Edebatur εἴποις. [w] μαμωνᾶν pro μαμμωνᾶν A.B.D.E.F.G.H. [x] κατασφάττεις I. [y] κατασφάττεις A. D.E.F.H. κατασφάξεις G. κατασφάζεις Edd. [z] οἱ Ἕλληνες Edd. οἱ om. A.B.E.G.H.I. [a] ἡμῶν, quod aberat, est in A.B.D.E.F.H. Pro ἡμῶν, τῶν ἀνων habet G. Statim ἐθεοποίησαν pro ἐθεοποίουν omnes. [b] Ἄρεα A. D.E.F.G.H. Ἄρην Edd. [c] σὺ εἴδωλα inverso ord. B.F.G. [d] παθήμασι G. [e] πόρνης ποιῶν μέλη pro μέλη πόρνης ποιῶν omnes. [f] ἄλλαις] αὐταῖς G. Statim σαυτὸν A.E.H.I. ἑαυτὸν B.D. σεαυτὸν Edd. [g] φεύγειν δὲ——πονηρᾷ] καὶ τὴν πονηρὰν ἐπιθυμίαν I. [h] τραπέζαις A.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

E Καὶ γὰρ πολλῷ χαλεπωτέραν δώσομεν δίκην ἡμεῖς μὴ πειθόμενοι τοῖς τοῦ [i]θεοῦ νόμοις. [29]"Ο [k]γὰρ δοῦλος, φησὶν, ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου [l]αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται [m]πολλάς." Ἵν' οὖν καὶ τὴν κόλασιν [n]διαφύγωμεν ταύτην, καὶ ἑτέροις καὶ ἑαυτοῖς γενώμεθα χρήσιμοι, πᾶσαν κακίαν ἀπὸ τῆς ψυχῆς [o]ἐκβαλόντες, ἐλώμεθα τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τῶν μελλόντων [p]τευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [q]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

482

ΛΟΓΟΣ Η.

1 [a]Τί οὖν προκατέχομεν περισσόν; Ἡτιασάμεθα [b]γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι· καθὼς γέγραπται· Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις
B αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.

ΚΑΤΗΓΟΡΗΣΕΝ Ἑλλήνων, κατηγόρησεν Ἰουδαίων· (44)
ἀκόλουθον ἦν εἰπεῖν τὴν δικαιοσύνην λοιπὸν τὴν διὰ τῆς πί-
C στεως. Εἰ γὰρ μήτε ὁ τῆς φύσεως ὤνησε νόμος, μήτε ὁ γραπτὸς ἐποίησέ τι πλέον, ἀλλ' ἀμφότεροι τοὺς οὐκ εἰς δέον αὐτοῖς χρησαμένους ἐβάρησαν, καὶ μείζονος ἔδειξαν κολάσεως ὄντας ἀξίους, ἀναγκαία λοιπὸν ἡ διὰ τῆς χάριτος σωτηρία. Εἰπὲ τοίνυν αὐτὴν, ὦ Παῦλε, καὶ δεῖξον. Ἀλλ' οὐδέπω θαρρεῖ, τὸ ἰταμὸν τῶν Ἰουδαίων ὑφορώμενος, ἀλλ' ἐπὶ τὴν κατηγορίαν αὐτῶν πάλιν ἄγει τὸν λόγον. Καὶ πρότερον εἰσάγει κατήγορον τὸν Δαυὶδ [c]τὰ αὐτὰ λέγοντα διὰ πολλῶν, ἅπερ ἐν βραχεῖ πάντα εἶπεν Ἡσαΐας, ἰσχυρὸν κατασκευάζων αὐτοῖς

[29] Luc. xii. 47. [1] Cap. III. v. 9—18.

[i] θεοῦ A.B.D.E.F.H.I. κυρίου Edd. [k] γὰρ] γοῦν G. [l] αὐτοῦ om. G. Idem post ποιήσας add. αὐτό. [m] πολλὰ F.H. [n] διαφ. ταύτην pro ταύτην διαφ. omnes. [o] ἐκβάλλοντες E.G. [p] τευξόμεθα A.B.F.G.H.I. ἐπιτευξόμεθα vulgo. [q] ἀξιωθῆναι D.E. Hom. VIII. [a] Vid. Annot. [b] γὰρ om. E. [c] τὰ αὐτὰ A.D.E.F.H.I. ταῦτα vulgo.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαλινὸν, ὥστε μὴ ἀποπηδῆσαι, [d]μηδὲ τῶν περὶ τῆς πίστεως D
γυμναζομένων λόγων λοιπὸν [e]σκιρτῆσαί τινα τῶν ἀκουόντων,
ἱκανῶς ταῖς τῶν προφητῶν [f]προκατειλημμένον κατηγορίαις.
Καὶ γὰρ τρεῖς τίθησιν ὑπερβολὰς ὁ προφήτης, ὅτι [g]τε πάντες
ὁμοῦ τὰ κακὰ ἔπραττον, λέγων, καὶ ὅτι οὐκ [h]ἀναμὶξ τὰ καλὰ
τοῖς κακοῖς, ἀλλὰ τὴν πονηρίαν [i]μόνην μετήεσαν, καὶ ὅτι μετ'
ἐπιτάσεως ταύτην ἀπάσης. Εἶτα ἵνα μὴ λέγωσι, τί οὖν, εἰ
πρὸς ἑτέρους ταῦτα εἴρηται; ἐπήγαγεν· [2]" Οἴδαμεν δὲ, ὅτι
ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ." Διά τοι τοῦτο
μετὰ τὸν Ἡσαΐαν τὸν ὡμολογημένως πρὸς αὐτοὺς ἀποτεινό-
μενον, ἐπεισήγαγε τὸν Δαυὶδ, ἵνα δείξῃ καὶ ταῦτα τῆς αὐτῆς
ὄντα ἀκολουθίας. Ποία γὰρ [k]ἦν ἀνάγκη, φησὶν, ἑτέρων κατη- E
γορεῖν τὸν εἰς τὴν [l]ὑμετέραν διόρθωσιν ἀποσταλέντα προφή-
την; [m]οὐδὲ γὰρ [n]ὁ νόμος ἑτέροις ἐδόθη, ἀλλ' ὑμῖν. Τίνος δὲ
ἕνεκεν οὐκ εἶπεν, οἴδαμεν [o]δὲ, ὅτι ὅσα ὁ προφήτης λέγει, ἀλλ',
" ὅσα ὁ νόμος [p]λαλεῖ;" Ὅτι τὴν παλαιὰν [q]ἅπασαν νόμον
καλεῖν εἴωθεν ὁ Παῦλος. Καὶ γὰρ ἀλλαχοῦ φησι· [3]" Τὸν
νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχε;" καὶ ἐνταῦθα
τοὺς ψαλμοὺς νόμον ἐκάλεσεν, εἰπών· " Οἴδαμεν, ὅτι ὅσα ὁ
νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ." Εἶτα δείκνυσιν [r]οὐδὲ
ἁπλῶς ταῦτα λεγόμενα κατηγορίας ἕνεκεν, ἀλλ' ἵνα τῇ πίστει
προοδοποιήσῃ [s]πάλιν. Τοσαύτη τῆς παλαιᾶς πρὸς τὴν καινὴν 483
[t]ἡ συγγένεια, ὅτι καὶ αἱ κατηγορίαι καὶ οἱ ἔλεγχοι διὰ τοῦτο
[v]πάντες ἐγίνοντο, ἵνα λαμπρὰ παρὰ τοῖς ἀκούουσιν ἀνοιγῇ τῆς
πίστεως ἡ θύρα. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα Ἰουδαίους ἀπώ-
λεσε τὸ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς· ὅπερ οὖν καὶ προϊὼν ἔλεγεν,
ὅτι [4]" Ἀγνοοῦντες τοῦ θεοῦ τὴν δικαιοσύνην, καὶ τὴν ἰδίαν
[w]δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ
ὑπετάγησαν" προλαβὼν καὶ ὁ νόμος καὶ ὁ προφήτης [x]προ- B
κατέβαλον αὐτῶν τὰ φρονήματα, [y]καὶ κατέστειλαν αὐτῶν τὸ

2 v. 19. 3 Gal. iv. 21, 22. 4 Rom. x. 3.

[d] *μήτε τοῦ . . . γυμναζομένου λόγου* I. [e] *σκιρτῆσαι* pro *ἀποσκιρτῆσαι* A.F. G.H.I. *ἀποσκιρτῆσαι* ex *λοιπὸν σκιρτῆσαι* fecit corrector B. [f] *προκατειλημμένων* F.G. [g] *τε* om. H. Statim *πάντα* G. [h] *ἀναμὶξ*] Sic omnes. Edebatur *ἀνέμιξαν*. [i] *μόνον* A.D.E.F.H.I. Statim *μετίεσαν* E.F. [k] *ἦν* om. G. [l] *ἡμετέραν* F.H. et ante corr. B. *ἡμετέραν* et mox *ἡμῖν* habet Veron. [m] *οὐδὲ*] *οὐ* F.H.I. [n] *ὁ* om. A.F.G.H.I. [o] *δὲ* accessit ex A.E.F.H.I. *γὰρ* pro *δὲ* G. [p] *λέγει* G. [q] *ἅπασαν* pro *πᾶσαν* omnes. [r] *οὐδὲ*] *οὐχ* G. [s] *πάλιν*]+*ὁ λόγος* A.B.G.H.I. +*ὁ νόμος* F. cum Edd. et Interpp. Neutrum agnoscunt D.E. [t] *ἡ* om. F.H.I. Statim *συγγένεια* omnes. *συμφωνία* Edd. [v] *πάντες* pro *πάντως* omnes. Statim *ἐγίνοντο* A.B.D.E.F.G.H. *ἐγένοντο* vulgo. [w] *δικαιοσύνην* om. G. *ζητοῦντες* om. I. [x] *προκατέβαλεν* A.G. *προκατέλαβον* ante corr. B. Mox *κατέστειλεν* A.G. et ante corr. B. [y] *καὶ* om. F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φύσημα, ἵνα εἰς ἔννοιαν [z]ἐλθόντες τῶν οἰκείων ἁμαρτημάτων, καὶ τὴν ἀπόνοιαν πᾶσαν [a]κενώσαντες, καὶ [b]ἰδόντες ἑαυτοὺς περὶ τῶν ἐσχάτων κινδυνεύοντας, μετὰ πολλῆς [c]τῆς προθυμίας προσδράμωσι τῷ τὴν ἄφεσιν αὐτοῖς τῶν [d]ἁμαρτημάτων παρέχοντι, καὶ τὴν χάριν διὰ τῆς πίστεως καταδέξωνται. Τοῦτο [e]γοῦν καὶ ἐνταῦθα [f]αἰνιττόμενος ὁ Παῦλος ἔλεγεν· "[g]Οἴδαμεν δὲ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα C φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ." [h]Ἐνταῦθα δείκνυσιν αὐτοὺς τῆς μὲν [i]ἀπὸ τῶν ἔργων παρρησίας ἐρήμους ὄντας, ἐν δὲ τοῖς ῥήμασιν ἀλαζονευομένους μόνον καὶ ἀναισχυντοῦντας. Διὸ [k]καὶ κυρίως ἐχρήσατο τῇ λέξει, εἰπὼν, "ἵνα πᾶν στόμα φραγῇ," τήν [l]τε ἀναίσχυντον αὐτῶν καὶ δυσκάθεκτον μεγαληγορίαν δηλῶν, καὶ τὴν μετὰ ἀκριβείας ἐπιστομιζομένην αὐτῶν γλῶτταν. Καθάπερ γὰρ ῥεῦμα ἀφόρητον, οὕτως [m]αὕτη ἐφέρετο· ἀλλ' ἐνέφραξεν αὐτὴν ὁ προφήτης. Ὅταν δὲ λέγῃ Παῦλος, "ἵνα πᾶν στόμα φραγῇ," οὐ τοῦτό φησιν, ὅτι διὰ τοῦτο ἥμαρτον, ἵνα φραγῇ αὐτῶν [n]τὸ στόμα, ἀλλὰ διὰ τοῦτο ἠλέγχοντο, ἵνα μὴ ἀγνοῶσιν ἁμαρτάνοντες D [o]τοῦτο αὐτό. "Καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ." Οὐκ εἶπεν, [p]ὁ Ἰουδαῖος, ἀλλὰ, πᾶσα ἡ φύσις. Τὸ μὲν γὰρ, (45)
"ἵνα πᾶν στόμα φραγῇ," ἐκείνους ἐστὶν [q]αἰνιττομένου, εἰ καὶ μὴ φανερῶς αὐτὸ [r]τέθεικεν, ὥστε μὴ τραχύτερον γενέσθαι τὸν λόγον· τὸ δὲ, "ἵνα ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ," ὁμοῦ καὶ περὶ Ἰουδαίων καὶ [s]περὶ Ἑλλήνων εἴρηται. Οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ καταστεῖλαι τὴν ἐκείνων ἀπόνοιαν, ὅταν καὶ ἐνταῦθα μηδὲν [t]πλέον ἔχωσι τῶν Ἑλλήνων, ἀλλ' ὁμοίως ὦσι [v]προδεδομένοι κατὰ τὸν τῆς σωτηρίας λόγον. Ὁ γὰρ ὑπόδικος κυρίως ἂν ἐκεῖνος λέγοιτο, ὁ μὴ δυνάμενος ἀρκεῖν ἑαυτῷ E πρὸς ἀπολογίαν, ἀλλὰ τῆς ἑτέρου δεόμενος βοηθείας· οἷα ἦν καὶ τὰ ἡμέτερα πάντα, ἀπολωλεκότων ἡμῶν τὰ πρὸς σωτηρίαν συντείνοντα. [5]"Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας." Πάλιν

[5] v. 20.

[z] ἐλθόντες τ. ο. pro τ. ο. ἐλθόντες A.D.E.F.G.H.I. [a] Sic omnes. κατακενώσαντες Edd. [b] εἰδότες F.G. [c] τῆς accessit ex A.D.E.F.G.H.I. [d] παραπτωμάτων G. [e] οὖν G. [f] αἰνίττεται ὁ Π. (om. ἔλεγεν) G. [g] οἴδαμεν δὲ ὅτι] Sic A.D.E.G. δὲ vulgo abest. ὅτι οἴδαμεν δὲ B.H. ὅτι εἴδομεν δὲ ὅτι F. [h] ἐνταῦθα γὰρ Edd. γὰρ om. D.E.G. [i] ἀπὸ om. I. [k] καὶ om. G. [l] τε accessit ex omnibus. [m] αὐτὴ vel αὐτῇ H. et a pr. man. B. [n] τὰ στόματα B. Statim ἀλλ' ἵνα διὰ τοῦτο ἐλέγχωνται G. [o] τὸ αὐτὸ τοῦτο I. [p] ὁ accessit ex omnibus. [q] αἰνιττομένου D.E. et corr. ex αἰνιττόμενον F. αἰνιττόμενος A.G.H.I. αἰνιττόμενον Edd. [r] τέθεικεν pro τέθειται omnes. [s] περὶ est in A.D.E.F.G.H.I. non in Edd. Statim εἴρηκεν G. [t] πλέον ἔχωσι pro ἔχωσι πλέον omnes. [v] προσδεδεμένοι G.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφήλατο τῷ νόμῳ, μετὰ φειδοῦς μέν· οὐ γὰρ αὐτοῦ κατηγορία
τὸ εἰρημένον, ἀλλὰ τῆς τῶν Ἰουδαίων ῥᾳθυμίας· πλὴν ἀλλ'
ὅμως ἐσπούδακεν ἐνταῦθα, ἐπειδὴ μέλλει τὸν περὶ [w]τῆς πίστεως
εἰσάγειν λόγον, δεῖξαι αὐτὸν σφόδρα ἠσθενηκότα. [x]Εἰ γὰρ
αὐχεῖς ἐπὶ τῷ νόμῳ, φησὶν, [y]οὗτός σε καταισχύνει μᾶλλον·
οὗτός σου τὰς ἁμαρτίας ἐκπομπεύει. Ἀλλ' οὐκ εἶπεν οὕτω
ταχέως, ἀλλ' ὑφειμένως πάλιν· "Διὰ γὰρ νόμου ἐπίγνωσις
ἁμαρτίας." Οὐκοῦν καὶ ἡ κόλασις [z]μείζων, ἀλλὰ [a]παρὰ τὸν
Ἰουδαῖον. Ὁ μὲν γὰρ νόμος ἤννε τὸ [b]φανεράν σοι ποιῆσαι
τὴν ἁμαρτίαν, σὸν δὲ ἦν λοιπὸν τὸ φυγεῖν· μὴ φυγὼν τοίνυν,
μᾶλλον ἐπεσπάσω τὴν κόλασιν, καὶ [c]τὸ τοῦ νόμου κατόρθωμα 484
γέγονέ σοι μείζονος ἐφόδιον τιμωρίας.

Ὅτε τοίνυν τὸν φόβον ἤυξησε, τότε λοιπὸν ἐπάγει τὰ τῆς
χάριτος, ἐν πολλῇ καταστήσας ἐπιθυμίᾳ τῆς τῶν ἁμαρτιῶν
ἀφέσεως, καί φησι· [6]"[d]Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ
πεφανέρωται." Μέγα ἐνταῦθα ἐφθέγξατο, καὶ πολλῆς δεό-
μενον τῆς κατασκευῆς. Εἰ γὰρ οἱ ἐν νόμῳ ζῶντες οὐ μόνον οὐκ
ἔφυγον κόλασιν, ἀλλὰ καὶ [e]πλέον ἐβαρήθησαν, πῶς ἔστι χωρὶς
νόμου μὴ μόνον τιμωρίαν φυγεῖν, ἀλλὰ καὶ δικαιωθῆναι; Δύο
γὰρ ἄκρα ἐνταῦθα τέθεικε, καὶ τὸ δικαιοῦσθαι, καὶ τὸ χωρὶς B
νόμου τούτων τυγχάνειν τῶν ἀγαθῶν. Διὰ τοῦτο οὐχ ἁπλῶς
εἶπε [f]δικαιοσύνην, ἀλλὰ δικαιοσύνην θεοῦ, ἀπὸ τῆς ἀξίας τοῦ
προσώπου [g]μείζονα δείξας τὴν δωρεὰν καὶ δυνατὴν τὴν ὑπό-
σχεσιν· πάντα γὰρ αὐτῷ δυνατά. Καὶ οὐκ εἶπεν, ἐδόθη, ἀλλὰ,
"πεφανέρωται," τὸ τῆς καινοτομίας ὑποτεμνόμενος ἔγκλημα·
τὸ γὰρ πεφανερωμένον, ὡς παλαιὸν καὶ [h]κρυπτὸν φανεροῦται.
Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ [i]τὸ ἐξῆς δείκνυσιν [k]οὐκ ὂν πρόσ-
φατον τοῦτο. Εἰπὼν γάρ, "πεφανέρωται," ἐπήγαγε, "Μαρ-
τυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν." Μὴ γάρ, C
ἐπειδὴ νῦν ἐδόθη, θορυβηθῇς, φησὶ, μηδὲ [l]ὡς πρὸς καινὸν καὶ
ξένον πρᾶγμα ταραχθῇς· ἄνωθεν γὰρ αὐτὸ καὶ ὁ νόμος καὶ οἱ

[6] v. 21.

[w] τῆς om. E. [x] εἰ] τί E. [y] οὗτος A.B.D.E.F.H.I. αὐτὸς vulgo. Statim καταισχ. μᾶλλον pro μᾶλλον καταισχ. F.G.H.I. [z] μείζων] + ἀλλ' οὐ παρὰ τὴν τοῦ νόμου ἀσθένειαν D.E. [a] παρὰ τὸν Ἰουδαῖον] Sic A.F.G.H. et ex corr. I. Edebatur παρὰ τῶν Ἰουδαίων. Diversa lectio παρὰ τὴν τῶν Ἰουδαίων ῥᾳθυμίαν est in D.E. [b] φανερὸν H. [c] τὰ τ. ν. κατορθώματα I. [d] νυνὶ pro νῦν A.D.E.F.G. et Mosqq. [e] πλεῖον A.E.H.I. [f] δικαιοσύνην bis A.E.F.G.H.I. δικαιοσύνη Edd. [g] μείζονα] καὶ μείζονα A.F.H.I. Statim ἐπιδείξας G. [h] κρυπτὸν pro κρυπτόμενον A.D.E.F.H.I. [i] τὸ pro τὰ A.B.D.E.G.I. [k] οὐκ ὂν πρόσφατον] Sic A.B.D.E.F.G.I. οὐκ οὖν πρ. H. οὐ πρόσφατον ὂν Edd. [l] ὡς πρὸς καινὸν] Sic B.D.E. ut edidit Montef. pro vitioso ὡς πρόσκαιρον. ὡς καινὸν A.H.I. ὡς πρὸς καινὸν (sic) F.G.

προφῆται προελεγον. Καὶ τὰ μὲν ἔδειξε διὰ τῆς κατασκευῆς ταύτης, τὰ δὲ μέλλει, ἐν μὲν τοῖς ἔμπροσθεν τὸν [m]Ἀμβακοὺμ παραγαγὼν λέγοντα· "[n]Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται·" ἐν δὲ τοῖς μετὰ ταῦτα τὸν Ἀβραὰμ, τὸν Δαυὶδ, καὶ αὐτοὺς περὶ τούτων διαλεγομένους ἡμῖν. Καὶ γὰρ πολὺς τῶν προσώπων τούτων ὁ λόγος ἦν παρ' αὐτοῖς· ὁ μὲν γὰρ ἦν πατριάρχης καὶ προφήτης, [o]ὁ δὲ βασιλεὺς καὶ προφήτης· καὶ αἱ ἐπαγγελίαι δὲ
D αἱ περὶ τούτων πρὸς ἀμφοτέρους [p]τούτους ἦσαν γεγενημέναι. Διὸ καὶ ὁ Ματθαῖος ἀρχόμενος τοῦ εὐαγγελίου, ἀμφοτέρων τούτων μέμνηται πρῶτον, καὶ τότε κατὰ ἀκολουθίαν παράγει τοὺς προγόνους. Εἰπὼν γὰρ, [7]"Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ," οὐκ ἀνέμεινεν [q]εἰπεῖν μετὰ τὸν Ἀβραὰμ [r]τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ, ἀλλὰ μετὰ [s]τοῦ Ἀβραὰμ τοῦ Δαυὶδ ἐμνημόνευσε. Καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ πρὸ τοῦ Ἀβραὰμ τὸν Δαυὶδ τέθεικεν, οὕτω λέγων· "υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ·" καὶ τότε ἤρξατο καταλέγειν τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ καὶ τοὺς ἑξῆς ἅπαντας. Διὸ καὶ ὁ ἀπόστολος ἐνταῦθα αὐτοὺς περιστρέφει συνεχῶς, καί φησι· "Δικαιοσύνη δὲ θεοῦ, μαρτυ-
E ρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν." [t]Εἶτα ἵνα μή τις εἴπῃ, καὶ πῶς [v]αὐτοὶ μηδὲν συντελοῦντες εἰς τὸ προκείμενον, σῳζόμεθα; δείκνυσι καὶ ἡμᾶς εἰσφέροντας οὐ μικρὸν [w]εἰς τοῦτο, (46)
τὴν πίστιν [x]λέγω. Εἰπὼν γοῦν, [8]"Δικαιοσύνη θεοῦ," ἐπήγαγε, "Διὰ τῆς πίστεως, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας." Πάλιν ἐνταῦθα θορυβεῖται ὁ Ἰουδαῖος, οὐδὲν ἐξαίρετον παρὰ τοὺς λοιποὺς ἔχων, [y]καὶ μετὰ τῆς οἰκουμένης ἀριθμούμενος ἁπάσης. Ἵν' οὖν μὴ τοῦτο [z]πάθῃ, συστέλλει πάλιν αὐτὸν τῷ φόβῳ, ἐπάγων [a]καὶ λέγων· "Οὐ γάρ ἐστι
485 διαστολή· [9]πάντες γὰρ ἥμαρτον." Μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ δεῖνα [b]ὁ Ἕλλην, ὁ δεῖνα ὁ Σκύθης, ὁ δεῖνα ὁ Θρᾴξ· ἐν γὰρ τοῖς αὐτοῖς [c]ἅπαντες. Εἰ γὰρ καὶ νόμον ἔλαβες, ἓν μόνον ἔμαθες ἀπὸ τοῦ νόμου, τὸ εἰδέναι τὴν ἁμαρτίαν, οὐ τὸ φεύγειν αὐτήν.

7 Matth. i. 1. 8 v. 22. 9 v. 23.

[m] Ἀμβακοὺμ pro Ἀββακοὺμ A.B.E.F.G.H.I. τὸν Ἀ. παραγαγὼν pro παραγαγὼν τὸν Ἀ. omnes. [n] ὁ δὲ δίκαιος] Sic A.E.F.H.I. ὁ δίκαιός μου G. ὁ δίκαιος Edd. Post πίστεως add. νόμου F. [o] Ab ὁ δὲ βασιλεὺς evulsum ex G. folium unum usque ad διὰ τῆς ἀπολυτρώσεως p. 485 B. [p] τούτους om. E. [q] εἰπεῖν pro εἰπὼν omnes. [r] καὶ τὸν Ἰσαὰκ Edd. καὶ om. A.B.D.E.F.I. [s] τοῦ] τὸν D.E.F.H.I. Statim τὸν Δαυὶδ H.I. [t] εἶτα ἵνα] Sic omnes. ἵνα δὲ Edd. [v] αὐτοὶ μηδὲν] μηδὲν αὐτοὶ A.E.F.I. μηδὲν αὐτοῖς H. [w] εἰς τοῦτο om. H. [x] λέγων A.D.E.F.I. Mox δικαιοσύνη δὲ θεοῦ A.E. [y] καὶ om. A.H.I. [z] πάθῃ omnes. πάθοι Veron. Sav. Correxit Morell. [a] Verba καὶ λέγων, quae aberant, sunt in nostris omnibus. [b] ὁ ante Ἕλλην, Σκύθης et Θρᾴξ om. B.D.E.I. (sed ὁ Ἕλλην a pr. man. I.) [c] πάντες A.E.F.H.I.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι εἰ καὶ [d]ἡμάρτομεν, ἀλλ' οὐχ οὕτως ὡς ἐκεῖνοι, ἐπήγαγε· "Καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ." Ὥστε εἰ καὶ μὴ τὰ αὐτὰ τοῖς ἄλλοις ἥμαρτες, ἀλλὰ τῆς δόξης ὁμοίως [e]ἀπεστέρησαι· τῶν γὰρ προσκεκρουκότων εἶ· ὁ δὲ προσκεκρουκὼς [f]τῶν κατησχυμμένων, οὐ τῶν δοξαζομένων. [g]Ἀλλὰ μὴ φοβηθῇς· διὰ γὰρ τοῦτο ταῦτα εἶπον, οὐχ ἵνα σε εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ' ἵνα δείξω τοῦ δεσπότου τὴν φιλανθρωπίαν. Διὸ καὶ ἐπήγαγε· [10]"Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ θεὸς [h]ἱλαστήριον ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης [i]αὐτοῦ." Ὅρα διὰ πόσων κατασκευάζει τὸ εἰρημένον. Πρῶτον ἀπὸ τῆς ἀξίας τοῦ προσώπου· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ἐργαζόμενος ταῦτα, ἵνα ἀτονήσῃ, [k]ἀλλὰ θεὸς [l]ὁ πάντα δυνάμενος· θεοῦ γάρ ἐστιν ἡ δικαιοσύνη, φησί. Δεύτερον ἀπὸ τοῦ νόμου καὶ τῶν [m]προφητῶν. Μὴ γὰρ, ἐπειδὴ, "χωρὶς νόμου," ἤκουσας, φοβηθῇς· καὶ γὰρ αὐτῷ τῷ νόμῳ τοῦτο δοκεῖ. Τρίτον ἀπὸ τῶν θυσιῶν τῶν ἐν τῇ παλαιᾷ. Διὰ γὰρ τοῦτο εἶπεν, "ἐν τῷ αὐτοῦ αἵματι," ἀναμιμνήσκων αὐτοὺς τῶν προβάτων ἐκείνων καὶ τῶν μόσχων. Εἰ γὰρ ἀλόγων σφαγαὶ, φησὶν, ἁμαρτίας ἔλυον, πολλῷ μᾶλλον τὸ αἷμα τοῦτο. Καὶ οὐχ ἁπλῶς εἶπε, λυτρώσεως, ἀλλ', "ἀπολυτρώσεως," [n]ὡς μηκέτι ἡμᾶς ἐπανελθεῖν πάλιν [o]ἐπὶ τὴν αὐτὴν δουλείαν. Καὶ ἱλαστήριον [p]δι' αὐτὸ τοῦτο καλεῖ, δεικνὺς, ὅτι εἰ ὁ τύπος τοσαύτην [q]εἶχεν ἰσχὺν, πολλῷ μᾶλλον ἡ ἀλήθεια [r]τὸ αὐτῆς ἐπιδείξεται. Δηλῶν δὲ πάλιν οὐ νεώτερον τοῦτο ὂν, οὐδὲ καινὸν, φησὶ, "προέθετο." Καὶ εἰπὼν, "προέθετο [s]ὁ θεὸς," καὶ δείξας τοῦ πατρὸς τὸ κατόρθωμα, τὸ αὐτὸ δείκνυσι καὶ τοῦ υἱοῦ [t]ὄν· ὁ μὲν γὰρ πατὴρ προέθετο, ὁ δὲ [v]Χριστὸς ἐν τῷ αὐτοῦ αἵματι τὸ πᾶν κατώρθωσεν. "Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ." Τί ἐστιν [w]ἔνδειξις τῆς δικαιοσύνης; [x]Ὥσπερ ἔνδειξις πλούτου, τὸ μὴ μόνον αὐτὸν εἶναι πλούσιον, ἀλλὰ καὶ

[10] v. 24, 25.

[d] ἡμάρτωμεν E.F.H. [e] ἀπεστέρησαι omnes. ἀποστερῇ Edd. [f] τῶν κατησχυμμένων (καταισχυμ. F.H.), οὐ τῶν δοξαζομένων] Sic nostri omnes. Edebatur οὐ τῶν δοξ. ἀλλὰ τῶν κατησχ. [g] ἀλλὰ] ἀλλ' ἵνα B. [h] ἱλαστήριον]+διὰ πίστεως G. +διὰ τῆς πίστεως Sav. Mor. Ben. contra fidem Codicum et Ed. Veron. [i] αὐτοῦ]+ἐν τῷ νῦν καιρῷ D.E. [k] ἀλλὰ] Sic B.D.E. ἀλλ' ὁ Edd. [l] ὁ τὰ π. δ. G. ὁ παντοδύναμος A.F.H.I. [m] προφητῶν]+μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν G. [n] ὡς] δηλῶν οὕτω γενέσθαι τοῦτο ὡς D.E. [o] ἐπὶ] εἰς A.D.E.H.I. [p] δι' αὐτὸ] διὰ G.H. [q] ἔσχεν A.E.F.H. [r] τὸ αὐτῆς omnes. τὸ αὐτὸ Edd. [s] ὁ θεὸς om. B. [t] ὂν om. G. [v] Χριστὸς] υἱὸς G. [w] ἔνδειξις] εἰς ἔνδειξιν B.D.E.G. Post δικαιοσύνης add. αὐτοῦ G. [x] ὥσπερ] ὅπερ G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑτέρους πλουσίους ποιεῖν· καὶ ζωῆς, τὸ μὴ μόνον αὐτὸν εἶναι ζῶντα, ἀλλὰ καὶ [y] νεκροὺς ζωοποιεῖν· καὶ δυνάμεως, τὸ μὴ μόνον αὐτὸν εἶναι δυνατὸν, ἀλλὰ καὶ τοὺς ἀσθενεῖς δυναμοῦν· οὕτω καὶ
E δικαιοσύνης ἔνδειξις, τὸ μὴ μόνον αὐτὸν εἶναι δίκαιον, ἀλλὰ [z] καὶ ἑτέρους ἐν [a] ἁμαρτίᾳ κατασαπέντας ἐξαίφνης δικαίους ποιεῖν. Τοῦτο οὖν καὶ αὐτὸς ἑρμηνεύων ἐπήγαγε, [b] τί ἐστιν ἔνδειξις· "[c] Εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ." Μὴ τοίνυν ἀμφίβαλλε· οὐ γὰρ ἐξ ἔργων, [d] ἀλλ' ἀπὸ πίστεως· μηδὲ φεῦγε τὴν τοῦ θεοῦ δικαιοσύνην· διπλοῦν γὰρ αὐτῆς τὸ ἀγαθὸν, [e] ὅτι καὶ κοῦφόν ἐστι, καὶ πᾶσι προκείμενον· μηδὲ αἰσχύνου [f] καὶ ἐρυθρία· εἰ γὰρ [g] αὐτὸς ἐνδείκνυται τοῦτο ποιῶν, [h] καὶ ὡς ἂν εἴποι τις, [i] ἐναβρύνεται καὶ ἐγκαλλωπίζεται,
486 πῶς σὺ καταδύῃ καὶ ἐγκαλύπτῃ, ἐφ' ᾧ ὁ δεσπότης σου δοξάζεται; Ἐπάρας τοίνυν τὸν ἀκροατὴν διὰ [k] τοῦ εἰπεῖν, ὅτι ἔνδειξις τῆς τοῦ θεοῦ δικαιοσύνης ἐστὶ τὰ γινόμενα, πάλιν τῷ φόβῳ ὠθεῖ τὸν ὀκνοῦντα καὶ ἀναδυόμενον προσελθεῖν, οὕτω λέγων· "Διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων." Ὁρᾷς πῶς συνεχῶς ἀναμιμνήσκει τῶν πλημμελημάτων αὐτούς; ἀνωτέρω μὲν λέγων, "Διὰ [l] γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας," μετὰ [m] ταῦτα δὲ, ὅτι πάντες ἥμαρτον, ἐνταῦθα δὲ σφοδρότερον. Οὐδὲ γὰρ εἶπε, διὰ τὰ ἁμαρτήματα, ἀλλὰ, "διὰ τὴν πάρεσιν," τουτέστι, τὴν νέκρωσιν. Οὐκέτι γὰρ ὑγείας ἐλπὶς ἦν, ἀλλ'
B ὥσπερ [n] σῶμα παραλυθὲν τῆς ἄνωθεν ἐδεῖτο χειρὸς, οὕτω καὶ [o] ἡ ψυχὴ νεκρωθεῖσα. [p] Καὶ τὸ δὴ χαλεπώτερον, [q] ὅπερ ἐν τάξει (47)
θεὶς αἰτίας, δείκνυσι μεῖζον ὂν κατηγόρημα. Τί δὲ τοῦτό ἐστι; [11] Τὸ ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ τὴν πάρεσιν γεγενῆσθαι. Οὐδὲ γὰρ ἂν ἔχοιτε εἰπεῖν, φησὶν, ὅτι οὐκ ἀπελαύσατε πολλῆς ἀνοχῆς καὶ χρηστότητος. Τὸ δὲ, "ἐν τῷ νῦν καιρῷ," τὴν πολλὴν δεικνύντος ἐστὶ [r] δύναμιν καὶ φιλανθρωπίαν. "Ὅτε γὰρ ἀπεγνώσθημεν, φησὶ, καὶ καιρὸς ἀποφάσεως ἦν, καὶ ἠξίωθη τὰ κακὰ, καὶ ἐπληρώθησαν αἱ ἁμαρτίαι, τότε τὴν ἑαυτοῦ δύναμιν
C ἐπεδείξατο, ἵνα μάθῃς πόση παρ' αὐτῷ τῆς δικαιοσύνης ἡ περι-

11 v. 26.

[y] τοὺς νεκροὺς B. [z] καὶ]+τὸ Edd. τὸ om. A.D.E.F.G.H.I. [a] ἁμαρτίᾳ] Sic D.E.F.G.H. et Veron. ἁμαρτίαις vulgo. Statim κατασαπέσντας H. Veron. [b] τί pro τίς A.B.F.G.H. ἑρμηνεύων, τὸ τί ἐστιν ἔνδειξις ἐπήγαγεν D.E. [c] εἰς accessit ex A.D.E.F.G.H.I. [d] ἀλλ' ἀπὸ] ἀλλὰ ἐκ G. [e] ὅτι —πᾶσι] καὶ ὅτι κοῦφον καὶ ὅτι πᾶσι D.E. [f] καὶ] μηδὲ G. [g] οὗτος F.H.I. [h] καὶ accessit ex A.B.D.E.F.H.I. [i] καὶ ἐναβρ. Edd. καὶ deest in omnibus. [k] τοῦ A.B.D.E.F.G.I. Legebatur τὸ ante Montef. [l] γὰρ om. G. [m] ταῦτα δὲ] δὲ ταῦτα G.I. [n] τὸ σῶμα D.E. [o] ἡ om. G. [p] καὶ om. G. [q] ὅπερ]+καὶ D.E. Mox τιθεὶς F.I. τίθεισιν G. [r] δύναμιν omnes. Edebatur ἀνοχήν. Pro δεικνύντος ἐστὶ δύναμιν, G. habet δύναμιν δηλοῦντός ἐστι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ουσία. Οὐδὲ γὰρ ἐν ἀρχῇ γενόμενον τοῦτο οὕτω θαυμαστὸν ἂν ἐφάνη καὶ παράδοξον, ὡς νῦν, ὅτε [s]*πᾶς ἰατρείας* [t]*ἐξηλέγχθη τρόπος.*

12 "*Ποῦ οὖν ἡ καύχησις; Ἐξεκλείσθη, φησί. Διὰ ποίου νόμου; τῶν ἔργων; Οὐχὶ, ἀλλὰ διὰ νόμου πίστεως.*" *Πολὺς* [v]*ὁ ἀγὼν τῷ Παύλῳ δεῖξαι, ὅτι τοσοῦτον ἡ πίστις ἴσχυσεν, ὅσον οὐδὲ ἐφαντάσθη ποτὲ ὁ νόμος. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι δικαιοῖ ὁ θεὸς τὸν ἄνθρωπον ἀπὸ τῆς πίστεως, ἐπιλαμβάνεται τοῦ νόμου πάλιν. Καὶ οὐ λέγει, ποῦ οὖν τὰ κατορθώματα τῶν Ἰουδαίων; ποῦ ἡ δικαιοπραγία; ἀλλὰ,* "*ποῦ ἡ καύχησις;*" D *πανταχοῦ δεικνὺς* [w]*μεγαληγοροῦντας μόνον ὡς πλέον τι τῶν ἄλλων ἔχοντας, καὶ μηδὲν ἐπιδεικνυμένους ἔργον. Καὶ εἰπὼν,* "*Ποῦ οὖν ἡ καύχησις;*" *οὐκ εἶπεν, ἠφανίσθη καὶ ἀπώλετο, ἀλλ',* "*ἐξεκλείσθη,*" *ὅπερ ἀκαιρίας μᾶλλόν ἐστιν· οὐκέτι γὰρ ἔχει καιρόν. Ὥσπερ* [x]*γὰρ τῆς κρίσεως ἐπιστάσης, οὐκέτι καιρὸν ἔχουσιν οἱ* [y]*μετανοεῖν βουλόμενοι· οὕτω καὶ τῆς ἀποφάσεως* [z]*ἐξενεχθείσης λοιπὸν, καὶ πάντων μελλόντων ἀπόλλυσθαι,* [a]*καὶ παραγενομένου τοῦ ταῦτα χάριτι λύοντος τὰ* E *δεινὰ, οὐκέτι καιρὸν εἶχον ἐκεῖνοι* [b]*προβάλλεσθαι τὴν ἀπὸ τοῦ νόμου διόρθωσιν. Εἰ γὰρ ἐχρῆν ἰσχυρίζεσθαι* [c]*τούτοις, πρὸ τῆς παρουσίας ἐχρῆν· ἐλθόντος δὲ τοῦ διὰ τῆς πίστεως σώζοντος,* [d]*ἀνῄρηται λοιπὸν ὁ* [e]*τῶν ἀγώνων καιρός· ὡς γὰρ ἐληλεγμένων ἁπάντων, οὕτω τῇ χάριτι σώζει. Διὸ καὶ νῦν ἦλθεν, ἵνα μὴ λέγωσιν, ἐν ἀρχῇ παραγενομένου, ὅτι δυνατὸν ἦν διὰ νόμου σωθῆναι, καὶ πόνοις οἰκείοις καὶ κατορθώμασι. Ταύτην οὖν ἐπιστομίζων αὐτῶν τὴν ἀναισχυντίαν,* [f]*ἔμεινε χρόνον πολὺν,* 487
ὥστε μετὰ τὸ διὰ πάντων ἐλεγχθῆναι σαφῶς οὐκ ἀρκοῦντας ἑαυτοῖς, τότε σῶσαι διὰ τῆς αὐτοῦ χάριτος. Διὸ καὶ ἀνωτέρω λέγων, "*εἰς ἔνδειξιν τῆς δικαιοσύνης,*" *ἐπήγαγεν,* "*ἐν τῷ νῦν καιρῷ.*" *Εἰ δὲ ἀντιλέγοιέν* [g]*τινες, ταὐτὸν* [h]*ποιοῦσιν, ὥσπερ ἂν εἴ τις* [i]*μεγάλα ἡμαρτηκὼς, καὶ μὴ δυνηθεὶς ἀπολογήσασθαι* [k]*ἐν δικαστηρίῳ, ἀλλὰ κατακριθεὶς καὶ κολάζεσθαι μέλλων, εἶτα ἀπὸ δωρεᾶς βασιλικῆς ἀφεθεὶς, ἀναισχυντοίη μετὰ τὴν ἄφεσιν*

12 v. 27.

[s] *πᾶς* pro *πάσης* omnes. [t] *ἐξεχύθη* H. [v] *ὁ*, quod aberat ante Montef. est in libris omnibus. [w] *μεγαλορρημονοῦντας* D. *μεγαλορημονοῦντας* A.E. F.H.I. [x] *γὰρ* deest in Edd. ante Ben. repugnantibus libris. [y] *μετανοεῖν* pro *μετανοῆσαι* omnes. [z] *ἐξενεχθείσης* pro *ἐνεχθείσης* omnes. Recepit etiam Montef. [a] *καὶ* om. D.E. [b] *προβάλλεσθαι* A.D.E.F.G.H.I. et ante corr. B. *προβαλέσθαι* Edd. [c] *τούτους* A.E.I. [d] *ἀνῄρηται* B.D.E.G.H. *ἀνῄρητο* Edd. [e] *τοῦ ἀγῶνος* G. [f] *ἀνέμεινε* G. [g] *τινες*]+*ἔτι* D.E. [h] *περιοῦσιν* H. [i] *μέγα* G. [k] *ἐν*]*ἐν τῷ* (sic) G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καυχώμενος, καὶ λέγων μηδὲν ἡμαρτηκέναι. Πρὶν ἢ γὰρ ἐλθεῖν
τὴν δωρεὰν, ἀποδεῖξαι ἔδει· ἐλθούσης δὲ, οὐκ ἂν ἔχοι καιρὸν
B [1]καυχᾶσθαι λοιπόν. [m]Ὁ δὴ καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν.
Ἐπειδὴ γὰρ οἴκοθεν ἦσαν προδεδομένοι, διὰ τοῦτο παραγέ-
γονεν, αὐτῷ τῷ παραγενέσθαι τὴν καύχησιν ἀναιρῶν. Ὁ γὰρ
λέγων διδάσκαλος εἶναι νηπίων, καὶ ἐν τῷ νόμῳ καυχώμενος, καὶ
παιδευτὴν ἀφρόνων ἑαυτὸν ὀνομάζων, ὁμοίως ἐκείνοις δεηθεὶς
τοῦ [n]διδάξαντος καὶ σώσαντος, [o]οὐκέτ' ἂν ἔχοι τοῦ καυχᾶσθαι
πρόφασιν. Εἰ γὰρ καὶ πρὸ τούτου ἡ περιτομὴ ἀκροβυστία
[p]ἐγένετο, πολλῷ μᾶλλον νῦν· καὶ γὰρ [q]ἐξ ἑκατέρων βέβληται
τῶν καιρῶν. Εἰπὼν δὲ, ὅτι ἐξεκλείσθη, δείκνυσι καὶ πῶς. Πῶς
οὖν ἐξεκλείσθη, φησί; "Διὰ ποίου νόμου; τῶν ἔργων; Οὐχὶ,
C ἀλλὰ διὰ νόμου πίστεως." Ἰδοὺ καὶ τὴν πίστιν νόμον ἐκά-
λεσεν, ἐμφιλοχωρῶν τοῖς ὀνόμασιν, ὥστε παραμυθεῖσθαι τὴν
δοκοῦσαν εἶναι καινοτομίαν. Τίς δὲ ὁ τῆς πίστεως νόμος; Διὰ
χάριτος σώζεσθαι. Ἐνταῦθα τὸ δυνατὸν δείκνυσι τοῦ θεοῦ,
ὅτι οὐ μόνον ἔσωσεν, ἀλλὰ καὶ ἐδικαίωσε καὶ εἰς καύχησιν
ἤγαγε, καὶ οὐδὲ ἔργων δεηθεὶς, ἀλλὰ πίστιν ζητήσας μόνον.
Ταῦτα δὲ λέγει, καὶ τὸν [r]πιστεύσαντα Ἰουδαῖον μετριάζειν
παρασκευάζων, καὶ τὸν μὴ πιστεύσαντα καταστέλλων, [s]ὥστε
αὐτὸν ἐφελκύσασθαι. Ὁ μὲν γὰρ σωθεὶς, ἂν [t]μέγα φρονῇ τῷ
D νόμῳ προσέχων, ἀκούσεται ὅτι αὐτὸς αὐτοῦ τὸ στόμα ἐνέ-
φραξεν, αὐτὸς αὐτοῦ κατηγόρησεν, αὐτὸς αὐτοῦ τὴν σωτηρίαν
ἀπηγόρευσε, καὶ τὸ καύχημα ἐξέκλεισεν· ὁ δὲ μὴ πιστεύσας
πάλιν διὰ [v]τῶν αὐτῶν τούτων ταπεινωθεὶς, προσαχθῆναι τῇ (48)
πίστει δυνήσεται. Εἶδες πόση τῆς πίστεως ἡ περιουσία; πῶς
ἀπέστησε τῶν προτέρων, μηδὲ καυχᾶσθαι ἐπ' αὐτοῖς ἀφεῖσα;
[13]"Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων
νόμου." Ὅτε ἔδειξεν ἀνωτέρους ὄντας ἀπὸ τῆς πίστεως τῶν
Ἰουδαίων, τότε λοιπὸν μετὰ πολλῆς [w]τῆς παρρησίας καὶ περὶ
E αὐτῆς διαλέγεται, καὶ τὸ δοκοῦν ἐνταῦθα θορυβεῖν πάλιν ἰᾶται.
Καὶ γὰρ δύο ταῦτα [x]τὰ ταράττοντα ἦν Ἰουδαίους, ἓν μὲν, εἰ
τοὺς μετ' ἔργων μὴ σωθέντας δυνατὸν χωρὶς ἔργων σωθῆναι·
ἕτερον δὲ, εἰ τοὺς ἀκροβύστους δίκαιον τῶν αὐτῶν ἀπολαῦσαι
τοῖς ἐν τοσούτῳ χρόνῳ συντραφεῖσι τῷ νόμῳ· ὃ πολλῷ τοῦ

13 v. 28.

[1] καυχήσασθαι G. [m] ὃ δὴ] τοῦτο D.E. [n] διδάξοντος καὶ σώσοντος A.D. [o] οὐκέτ' ἂν pro οὐκ ἂν B.E.F.G.H.I. et ante corr. A. οὐκέτι ἂν D. [p] ἐγίνετο B. γέγονε E. [q] ἐξ om. D.E. Statim ἐκβέβληται iidem, receptum a Montef. [r] πιστεύοντα B.H. [s] ὥστε pro ὡς A.B.D.E.F.I. et ex corr. G. Recepit Montef. [t] μέγα pro μεγάλα A.B.D.E.F.H.I. Ita etiam Montef. [v] τῶν om. I. [w] τῆς om. G. [x] τὰ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προτέρου μᾶλλον αὐτοὺς ἐξετάραττε. Διὰ τοῦτο ἐκεῖνο κατασκευάσας, ἐπὶ τοῦτο λοιπὸν ἔξεισιν· ὅπερ οὕτως [y] ἐθορύβει τοὺς Ἰουδαίους, ὡς καὶ Πέτρῳ μετὰ τὴν πίστιν ταύτης ἕνεκεν ἐγκαλέσαι τῆς [z] ὑποθέσεως. Τί οὖν φησι; "Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι [a] ἄνθρωπον." Οὐκ εἶπεν Ἰουδαῖον, ἢ τὸν 488
ὑπὸ [b] τὸν νόμον ὄντα, ἀλλ' ἐξαγαγὼν τὸν [c] λόγον εἰς εὐρυχωρίαν, καὶ τῇ οἰκουμένῃ τὰς θύρας ἀνοίξας τῆς σωτηρίας, φησὶν, "ἄνθρωπον," τὸ κοινὸν τῆς φύσεως [d] ὄνομα.

Εἶτα ἀπὸ [e] τούτου λαβὼν ἀφορμὴν, μὴ τεθεῖσαν ἀντίθεσιν λύει. Ἐπειδὴ [f] γὰρ εἰκὸς ἦν Ἰουδαίους [g] ἀκούσαντας, ὅτι πάντα ἄνθρωπον ἡ πίστις δικαιοῖ, δυσχεραίνειν καὶ σκανδαλίζεσθαι, Β
ἐπήγαγεν· [14] "Ἢ Ἰουδαίων ὁ θεὸς [h] μόνον;" ὡς ἂν εἰ ἔλεγε, διὰ τί γάρ σοι τοῦτο ἄτοπον εἶναι δοκεῖ, τὸ πάντα ἄνθρωπον σώζεσθαι; μὴ γὰρ μερικός ἐστιν ὁ θεός; ἐκ τούτου δεικνὺς, ὅτι βουλόμενοι τοῖς ἔθνεσιν ἐπηρεάζειν, τοῦ θεοῦ τὴν δόξαν λυμαίνονται μᾶλλον, εἴγε μὴ συγχωροῖεν αὐτὸν πάντων εἶναι θεόν. Εἰ [i] δὲ πάντων ἐστὶ, καὶ [k] προνοεῖ πάντων· εἰ δὲ προνοεῖ πάντων, πάντας ὁμοίως σώζει διὰ τῆς πίστεως. Διὰ τοῦτό φησιν· "Ἢ Ἰουδαίων [l] ὁ θεὸς μόνον, οὐχὶ [m] δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν." Οὐ γάρ ἐστι μερικὸς, οἷοι οἱ Ἑλλήνων [n] μῦθοι, ἀλλὰ κοινὸς ἁπάντων καὶ εἷς. Διὸ καὶ ἐπάγει· [15] "Ἐπείπερ εἷς ὁ θεός" τουτέστιν, ὁ αὐτὸς [o] καὶ τούτων κἀκείνων δεσπότης. Εἰ δὲ [p] τὰ παλαιά μοι [q] λέγεις, καὶ τότε κοινὰ τὰ τῆς προνοίας ἦν, [r] εἰ καὶ διαφόρως. [s] Καὶ γὰρ σοὶ νόμος ἐδόθη γραπτὸς, κἀ- C
κείνοις νόμος φυσικὸς, καὶ οὐδὲν ἔλαττον εἶχον, εἴγε ἐβούλοντο, ἀλλὰ καὶ νικᾶν ἠδύναντο. Διὸ καὶ ἐπήγαγε, [t] τοῦτο αὐτὸ αἰνιττόμενος· "Ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως" τῶν ἔμπροσθεν περὶ ἀκροβυστίας

[14] v. 29. [15] v. 30.

[y] *θορυβεῖ* A.B.E.H. *οὕτω* pro *οὕτως* A.E. [z] *ὑποθέσεως*] +*Κορινθίου καὶ τῶν κατ' αὐτὸν ἕνεκεν πραγμάτων* Edd. Delevimus, auctoribus D.E. Statim *τί οὖν φησι* om. G. [a] *ἄνθρωπον*] +*χωρὶς ἔργων νόμου* Edd. Haec desunt in A.B.E.F.G.H.I. [b] *τὸν* om. G.I. [c] *λόγον*] *νόμον* H. [d] *ὄνομα*] +*θεὶς* Edd. *θεὶς* deest in omnibus. [e] *τούτων* I. [f] *γὰρ*, quod aberat, est in libris omnibus. Admisit etiam Montef. [g] *ἀκούοντας* A.D.E.F.H. [h] *μόνον* B.E.F. G.H.I. et ante corr. A. *μόνων* Edd. ante Montef. [i] *δὲ*] *γὰρ* E. *γε* H. [k] *προνοεῖ* bis pro *προνοεῖται* omnes. [l] *ὁ θεὸς* om. H. Statim *μόνων* D.E.I. et ex corr. A. [m] *δὲ* om. Veron. Sav. Mor. repugnantibus libris. [n] *μῦθοι*] *θεοὶ* A.D.E. [o] *καὶ ἐκείνων καὶ τούτων* inverso ord. G. [p] *τὰ* om. G. Statim *πολέμια* pro *παλαιὰ* H. [q] *λέγεις, καὶ τότε*] *εἶπης, κἀγώ σοι ἐρῶ ὅτι* D.E. Statim *τὰ κοινὰ* pro *κοινὰ τὰ* G. *τὰ* om. I. Veron. [r] *εἰ καὶ*] *κἂν* B. *ἤ καὶ* G. [s] *καὶ γὰρ σοὶ——καὶ οὐδὲν*] *καὶ ὥσπερ ἐκείνοις νόμος ὁ φυσικὸς, οὕτω καί σοι μετὰ τούτου καὶ νόμος ὁ γραπτὸς ἐδόθη· ὥστε οὐδὲν* D.E. [t] *τοῦτο αὐτὸ*] *τὸ αὐτὸ τοῦτο* I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ περιτομῆς εἰρημένων [v]αὐτοὺς ἀναμνήσας, δι' ὧν ἔδειξεν οὐδεμίαν [w]οὖσαν διαφοράν. Εἰ δὲ [x]τότε, πολλῷ μᾶλλον νῦν. Ὅπερ [y]οὖν καὶ σαφέστερον κατασκευάζων νῦν, ἀπέδειξεν ὁμοίως ἑκάτερον τῆς πίστεως δεόμενον. [16] "Νόμον οὖν καταργοῦμεν, [z]φησὶ, διὰ τῆς πίστεως; Μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν." D Εἶδες σύνεσιν ποικίλην καὶ ἄφατον; [a]Αὐτὸ γὰρ τὸ εἰπεῖν, "ἱστῶμεν," ἔδειξεν οὐχ ἑστῶτα, ἀλλὰ καταλελυμένον. Καὶ ὅρα τῆς Παύλου [b]δυνάμεως τὴν ὑπερβολὴν, καὶ μεθ' ὅσης [c]κατασκευάζει περιουσίας ἃ βούλεται. Δείκνυσι γὰρ ἐνταῦθα οὐ μόνον [d]οὐ λυμαινομένην τῷ νόμῳ τὴν πίστιν, ἀλλὰ καὶ βοηθοῦσαν αὐτῷ, ὡσπερεῖν καὶ αὐτὸν τῇ πίστει προοδοποιοῦντα. Καθάπερ γὰρ αὐτὸς προλαβὼν [e]αὐτῇ ἐμαρτύρησε· "Μαρτυρουμένη γὰρ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν," φη- E σίν· οὕτω καὶ [f]αὐτὴ αὐτὸν ἀτονοῦντα ἔστησε. Καὶ πῶς ἔστησε, [g]φησί; Τί [h]ἦν τοῦ νόμου τὸ ἔργον, καὶ τίνος ἕνεκεν ἅπαντα ἔπραττεν; Ὥστε δίκαιον ποιῆσαι τὸν [i]ἄνθρωπον. Ἀλλ' ἐκεῖνος μὲν τοῦτο οὐκ ἴσχυσε· "Πάντες γὰρ, [k]φησὶν, ἥμαρτον·" ἡ πίστις δὲ ἐλθοῦσα αὐτὸ κατώρθωσεν· ὁμοῦ γάρ τις ἐπίστευσε καὶ ἐδικαιώθη. Οὐκοῦν ἔστησε τοῦ νόμου τὸ θέλημα, καὶ [l]δι' ὃ πάντα ἔπραττεν ἐκεῖνος, τοῦτο αὕτη εἰς τέλος ἤγαγεν. Οὐκ ἄρα αὐτὸν κατήργησεν, ἀλλ' ἀπήρτισε. Τρία τοίνυν ἐνταῦθα ἀπέδειξε, καὶ ὅτι χωρὶς νόμου δυνατὸν δικαιωθῆναι, καὶ ὅτι τοῦτο οὐκ ἴσχυσεν ὁ νόμος, καὶ ὅτι ἡ πίστις αὐτῷ οὐ μάχεται. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα τοὺς Ἰουδαίους ἐθο- (49)
489 ρύβει, τὸ δοκεῖν ἀπεναντίας αὐτῷ τὴν πίστιν εἶναι, δείκνυσι πλέον οὗ βούλεται ὁ Ἰουδαῖος, οὐ μόνον οὐκ οὖσαν ἐναντίαν, ἀλλὰ καὶ σφόδρα σύμμαχόν τε καὶ [m]συνεργὸν οὖσαν· ὃ μάλιστα ἐπόθουν ἀκοῦσαι.

[n]Ἀλλ' ἐπειδὴ μετὰ τὴν χάριν ταύτην, δι' ἧς ἐδικαιώθημεν, καὶ πολιτείας χρεία, ἀξίαν ἐπιδειξώμεθα τῆς δωρεᾶς τὴν σπουδήν· ἐπιδειξόμεθα δὲ, ἂν τὴν μητέρα τῶν ἀγαθῶν [o]ἀγάπην

16 v. 31.

[v] αὐτοὺς deerat ante Montef. invitis libris. [w] οὖσαν] εἶναι G. [x] τότε]+οὐδεμία ἦν διαφορὰ A.B.D.E.F.H.I. receptum a Sav. cet. [y] οὖν accessit ex omnibus. [z] φησὶ om. G. [a] αὐτῷ γὰρ τῷ εἰπεῖν I. et ex corr. A. [b] δυνάμεως] συνέσεως D.E. [c] παρασκευάζει G. [d] οὐ om. F.I. Mox τὸν νόμον F. Ab ὥσπερ οὖν ad καὶ ὁ παρὰ σοῦ p. 490 A. duo folia desunt in G. [e] αὐτὴν B.E.H. [f] αὐτὴ pro αὕτη A.B.D.E.F.H. Statim ἀτονοῦντα αὐτὸν hoc ord. A.D.E. [g] φησὶ]+πῶς; ἄκουε D. +πῶς; μάνθανε E. [h] ἦν] οὖν I. ἦν post ἔργον transp. D.E. [i] ἄνθρωπον]+πάντως ἐρεῖς D.E. [k] φησὶν om. I. [l] δι' ὃ πάντα] διὰ πάντα ἃ A.F. διὰ ταῦτα ἃ H. [m] συνεργὸν οὖσαν] συνεργοῦσαν I. [n] ΗΘΙΚΟΝ. Περὶ ἀγάπης, καὶ ὅτι οὐ δεῖ βασκαίνειν καὶ φθονεῖν εὐδοκιμοῦντι τῷ ἀδελφῷ, καὶ περὶ ἐλεημοσύνης. Veron. [o] τὴν ἀγάπην Edd. τὴν om. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ πολλῆς φυλάττωμεν τῆς σπουδῆς. Ἀγάπη δέ ἐστιν, οὐ ψιλὰ ῥήματα οὐδὲ [p]προσρήσεις ἁπλῶς, ἀλλὰ προστασία καὶ δι' ἔργων ἐπίδειξις· οἷον, τὸ πενίαν λύειν, τὸ [q]νοσοῦσιν ἀμύνειν, B τὸ κινδύνων ἀπαλλάττειν, τὸ ἐν περιστάσεσιν οὖσι παρίστασθαι, τὸ κλαίειν μετὰ κλαιόντων, [r]τὸ χαίρειν μετὰ χαιρόντων· καὶ γὰρ καὶ τοῦτο ἀγάπης. [s]Καίτοι δοκεῖ μικρὸν εἶναι τοῦτο, τὸ χαίρειν μετὰ χαιρόντων· σφόδρα [t]μέντοι μέγα ἐστὶ, καὶ φιλοσόφου δεόμενον γνώμης· καὶ πολλοὺς ἂν εὕροιμεν τὸ μὲν [v]πικρότερον ἀνύοντας, πρὸς τοῦτο δὲ ἀτονοῦντας. Πολλοὶ γὰρ κλαίουσι μὲν μετὰ κλαιόντων, οὐκέτι [w]δὲ μετὰ χαιρόντων χαίρουσιν, ἀλλὰ δακρύουσιν ἑτέρων χαιρόντων· ὅπερ ἐστὶ βασκανία καὶ φθόνος. Οὐ τοίνυν μικρὸν κατόρθωμα, τοῦ C ἀδελφοῦ χαίροντος χαίρειν, ἀλλὰ καὶ θατέρου μεῖζον· τάχα δὲ οὐ τοῦ κλαίειν μόνον μετὰ κλαιόντων, ἀλλὰ καὶ τοῦ παραστῆναι ἐν κινδύνοις μεῖζον. Πολλοὶ γοῦν κινδυνεύουσι μὲν συνεκινδύνευσαν, εὐδοκιμούντων δὲ ἐδήχθησαν· τοσαύτη ἡ τῆς βασκανίας τυραννίς. Καίτοι τὸ μὲν πόνων ἐστὶ καὶ ἱδρώτων, τοῦτο δὲ προαιρέσεως καὶ γνώμης μόνον· ἀλλ' ὅμως τὸ χαλεπώτερον ὑπομείναντες πολλοὶ, τὸ εὐκολώτερον [x]τούτου οὐκ ἤνυσαν, ἀλλὰ τήκονται καὶ ἀπόλλυνται, ὅταν ἑτέρους εὐδοκι- D μοῦντας ἴδωσιν, ὅταν ἐκκλησίαν ὠφελουμένην ὁλόκληρον, ἢ λόγῳ ἢ [y]καὶ ἑτέρῳ τινὶ τρόπῳ· οὗ τί χεῖρον γένοιτ' ἄν; Οὐδὲ γὰρ τῷ ἀδελφῷ λοιπὸν, ἀλλὰ καὶ τῷ θελήματι τοῦ θεοῦ ὁ τοιοῦτος μάχεται. Τοῦτο οὖν ἐννοήσας παῦσαι τῆς νόσου, καὶ εἰ μὴ τὸν πλησίον βούλει, σαυτὸν γοῦν ἀπάλλαξον τῶν μυρίων κακῶν. Τί πόλεμον ἐπεισάγεις σου τοῖς λογισμοῖς; τί θορύβου τὴν ψυχὴν πληροῖς; τί χειμῶνα ἐργάζῃ; τί [z]τὰ ἄνω κάτω ποιεῖς; πῶς δυνήσῃ διακείμενος οὕτως, [a]ἁμαρτιῶν ἄφεσιν E αἰτῆσαι; Εἰ γὰρ τοῖς τὰ εἰς αὐτοὺς μὴ συγχωροῦσιν οὐδὲ αὐτὸς ἀφίησι τὰ ἁμαρτήματα, τοῖς τοὺς οὐδὲν ἠδικηκότας ἀδικεῖν ἐπιχειροῦσι ποίαν ἄφεσιν δώσει; Ἐσχάτης γὰρ τοῦτο πονηρίας ἀπόδειξις. Οἱ τοιοῦτοι μετὰ τοῦ διαβόλου πολεμοῦσι τὴν ἐκκλησίαν· τάχα δὲ καὶ πολλῷ χεῖρον· τὸν μὲν γὰρ καὶ φυλάσσεσθαι δυνατὸν, οὗτοι [b]δὲ προσωπεῖον φιλίας ὑποδύντες, λάθρα τὴν πυρὰν ἀνάπτουσιν, [c]ἑαυτοὺς προτέρους εἰς

[p] πρόσρησις F.I. [q] νοσοῦσιν ἀμύνειν] Sic omnes. [illegible]atur νοσοῦσι συναμύνειν. [r] τὸ pro καὶ A.B.E.F.H. Ita tacite Montef. [illegible]m. I. [s] καίτοιγε et mox μέντοιγε I. [t] μέντοι] δὲ D.E. [v] μικρότερον [illegible]et ante corr. B. [w] δὲ]+καὶ Edd. καὶ deest in omnibus. [x] τοῦτο H. [illegible] καὶ om. [illegible] [z] τὰ ἄνω κάτω] Sic omnes. Ante Montef. edebatur ἄνω κα[illegible]τω. [illegible]σιν ἁμαρτιῶν inverso ord. A.E.F.H.I. [b] δὲ]+καὶ F.H.I. Stat[illegible] φιλίας [illegible]οσωπεῖον inverso ord. A.D.E.F.I. [c] αὐτοὺς B.F.H.I. Statim [illegible]τερον I.

τὴν κάμινον ἐμβάλλοντες, καὶ νοσοῦντες νόσον οὐ μόνον ἐλεηθῆναι μὴ δυναμένην, ἀλλὰ καὶ πολὺν τὸν γέλωτα ἔχουσαν. Τί
490 γὰρ ὠχριᾷς, εἰπέ μοι, [d]καὶ τρέμεις, καὶ περιδεὴς ἕστηκας; τί γέγονε δεινόν; ὅτι λαμπρὸς ὁ ἀδελφὸς καὶ περιφανὴς καὶ [e]εὐδόκιμος; Οὐκοῦν στεφανοῦσθαί [f]σε ἔδει καὶ χαίρειν καὶ τὸν θεὸν δοξάζειν, ὅτι τὸ μέλος, τὸ σὸν λαμπρὸν καὶ περιφανές. Ἀλλὰ ἀλγεῖς, ὅτι ὁ θεὸς [g]δοξάζεται; Ὁρᾷς ποῦ τείνει ὁ πόλεμος; Ἀλλ' οὐχ ὅτι ὁ θεὸς, φησὶν, ἀλλ' [h]ὅτι ὁ ἀδελφός. Ἀλλὰ διὰ τούτου [i]ἀναβαίνει πρὸς τὸν θεὸν ἡ δόξα· οὐκοῦν καὶ ὁ παρὰ σοῦ πόλεμος. Ἀλλ' οὐ τοῦτό με λυπεῖ, φησὶν, ἀλλὰ δι' ἐμοῦ τὸν θεὸν ἐβουλόμην δοξάζεσθαι. [k]Οὐκοῦν χαῖρε
B εὐδοκιμοῦντος τοῦ ἀδελφοῦ, καὶ δοξάζεται [l]καὶ διὰ σοῦ πάλιν ὁ θεὸς, [m]καὶ πάντες ἐροῦσιν, εὐλογητὸς ὁ θεὸς ὁ τοιούτους ἔχων οἰκέτας, φθόνου παντὸς ἀπηλλαγμένους, τοῖς [n]ἀλλήλων συνηδομένους καλοῖς. Καὶ τί λέγω τὸν ἀδελφόν; Εἰ γὰρ καὶ πολέμιος ἦν καὶ ἐχθρὸς, ὁ δὲ θεὸς δι' αὐτοῦ ἐδοξάζετο, φίλον ἔδει [o]ποιήσασθαι διὰ τοῦτο· σὺ δὲ τὸν φίλον ἐχθρὸν ποιεῖς, ἐπειδὴ ὁ θεὸς δοξάζεται διὰ τῆς εὐδοκιμήσεως [p]ἐκείνου. Κἂν μὲν τὸ σῶμά [q]τις θεραπεύσῃ τὸ σὸν κακῶς ἔχον, κἂν ἐχθρὸς ᾖ,
C [r]τῶν πρώτων αὐτὸν ἡγήσῃ φίλων εἶναι λοιπόν· τὸν δὲ τοῦ Χριστοῦ τὸ σῶμα καλλωπίζοντα, τουτέστι, τὴν ἐκκλησίαν, καὶ φίλον ὄντα, ἐχθρὸν ἡγῇ; Καὶ πῶς ἂν ἑτέρως τὸν πρὸς [s]τὸν Χριστὸν ἐπεδείξω πόλεμον; Διὰ τοῦτο κἂν σημεῖά τις ποιῇ, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν χαμευνίαν ἐπιδείξηται, καὶ πρὸς τοὺς ἀγγέλους διὰ ταύτης [t]φθάσῃ τῆς ἀρετῆς, πάντων (50)
ἔσται ἐναγέστερος, τοῦτο ἔχων τὸ ἐλάττωμα, καὶ μοιχοῦ καὶ πόρνου καὶ λῃστοῦ καὶ τυμβωρύχου παρανομώτερος. Καὶ ἵνα μή τις ὑπερβολὴν καταγνῷ τοῦ λόγου, ἐκεῖνο ἂν ἡδέως ἐροίμην ὑμᾶς· εἰ πῦρ καὶ δικελλάν τις λαβὼν, τοῦτον καθῄρει καὶ
D ἐνεπίμπρα τὸν οἶκον, καὶ τοῦτ' κατέσκαπτε τὸ θυσιαστήριον, οὐκ ἂν λίθοις [v]αὐτὸν ἕκαστος ἔβαλλε τῶν παρόντων, ὡς ἐναγῆ

[d] καὶ τρέμεις om. A.E.H.I. Leguntur in Flor. p. 242. (Tom. xii. p. 544 B.) [e] εὐδόκιμος A.D.E.F.H.I. Flor. δόκιμος Edd. [f] σε ἔδει] Sic libri omnes cum Flor. δεῖ (om. σε) Veron. Sav. Mor. σε δεῖ Ben. Statim καὶ χαίρειν om. I. [g] δοξάζεται]+καὶ ποίας οὐχὶ μανίας τοῦτο ὑπερβολή; D.E. [h] ὅτι, quod aberat ante Montef. est in A.B.D.E.F.I. Post ἀδελφὸς vulgo addunt δοξάζεται, damnantibus libris. [i] ἀναβαίνει πρὸς τ. θ. pro πρὸς τ. θ. ἀναβαίνει A.B.E.F.H.I. [k] οὐκοῦν]+καὶ G. [l] καὶ om. F.H.I. Flor. [m] καὶ πάντες] ὅταν γὰρ ᾖς οὕτως ἐπὶ τῷ ἀδελφῷ διακείμενος, πάντες D.E. [n] ἄλλων G. Statim ἡδομένους A.D.E.F.H.I. [o] ποιῆσαι G. [p] τῆς ἐκείνου D.E. [q] θεραπεύσῃ τις inverso ord. A.F.H.I. κἂν μὲν——τὸ σὸν] καὶ τὸ μὲν σὸν εἰ θεραπεύσοι τις σῶμα D.E. [r] τὸν πρῶτον αὐτὸν ἡγῇ σὺ φίλον εἶναι λ. G. [s] τὸν om. A.E. Flor. [t] φθάσῃ τῆς ἀρ. pro τῆς ἀρ. φθάσῃ libri omnes et Flor. [v] αὐτὸν ἕκαστος pro ἕκαστος αὐτὸν A.E.F.G.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παρανομίαν; Τί οὖν, ἂν τοῦ πυρὸς τούτου [w]δαπανητικωτέραν τις φέρῃ φλόγα, τὴν βασκανίαν λέγω, οὐχὶ λίθων οἰκοδομὰς καθαιρήσαν, οὐδὲ χρυσοῦν θυσιαστήριον κατασβέσαι δύναται, ἀλλὰ τὸ πολὺ καὶ τῶν [x]τοίχων καὶ τοῦ θυσιαστηρίου τὸ μεταξὺ τῶν διδασκάλων τὴν οἰκοδομὴν ἀνατρέπουσαν καὶ λωβαινομένην, ποίας ἂν εἴη συγγνώμης ἄξιος; Μὴ γάρ μοι λεγέτω τις, ὅτι κἀλλάκις [y]ἐπιχειρήσας οὐκ ἴσχυσεν· ἀπὸ γὰρ τῆς γνώμης τὰ πράγματα [z]κρίνεται· ἐπεὶ καὶ ὁ Σαοὺλ ἀπέκτεινε τὸν Δαυίδ, εἰ καὶ μὴ [a]ἐπέτυχεν. Οὐκ ἐννοεῖς, εἰπέ μοι, Ε ὅτι τοῖς προβάτοις [b]ἐπιβουλεύεις τοῦ Χριστοῦ, τῷ ποιμένι πολεμῶν; [c]τοῖς προβάτοις, ὑπὲρ ὧν καὶ τὸ αἷμα ἐξέχεεν ὁ Χριστὸς, [d]καὶ πάντα καὶ ποιεῖν καὶ πάσχειν ἡμᾶς ἐκέλευσεν; Οὐκ ἀναμιμνήσκεις [e]σαυτὸν, ὅτι ὁ μὲν δεσπότης σου τὴν δόξαν [f]τὴν σὴν ἐζήτησε, καὶ οὐχὶ τὴν ἑαυτοῦ, σὺ δὲ [g]οὐ τὴν τοῦ δεσπότου ζητεῖς, ἀλλὰ τὴν [h]ἑαυτοῦ; Καίτοι εἰ τὴν ἐκείνου ἐζήτεις, τότε ἂν καὶ τῆς σῆς ἐπέτυχες· τὴν δὲ σὴν ζητῶν πρὸ τῆς ἐκείνου, οὐδὲ ταύτης ἀπολαύσῃ ποτέ.

Τίς οὖν ἔσται θεραπεία τούτου; Κοινῇ πάντες εὐξώμεθα, καὶ μίαν ὑπὲρ αὐτῶν ἀνενέγκωμεν φωνὴν, ὡς ὑπὲρ τῶν ἐνεργουμένων. Καὶ γὰρ [i]οὗτοι ἀθλιώτερον ἐκείνων διάκεινται, ὅσῳ 491 καὶ προαιρέσεώς ἐστιν ἡ μανία. Εὐχῆς γὰρ δεῖται τὸ νόσημα τοῦτο, καὶ πολλῆς τῆς δεήσεως. Εἰ [k]γὰρ ὁ μὴ φιλῶν τὸν ἀδελφὸν, [l]κἂν χρήματα κενώσῃ, [m]κἂν ἐν μαρτυρίῳ διαλάμψῃ, οὐδὲν ἀνύει πλέον· ὁ καὶ πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐννόησον πόσης ἂν [n]εἴη τιμωρίας ἄξιος. Οὗτος καὶ Ἑλλήνων χείρων. [o]Εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας οὐδὲν πλέον ἡμᾶς ἀφίησιν ἐκείνων ἔχειν, ὁ τοῖς φιλοῦσι βασκαίνων ποῦ στήσεται, εἰπέ μοι; Καὶ γὰρ τοῦ πολεμεῖν χεῖρόν ἐστι τὸ βασκαίνειν. Ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰτίας λυθείσης δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν· ὁ δὲ βάσκανος οὐδέποτε ἂν γένοιτο φίλος. Καὶ ὁ μὲν [p]φανερὰν τὴν μάχην ἐπιδείκνυται, ὁ δὲ συνεσκιασμέ- Β νην· καὶ ὁ μὲν αἰτίαν [q]πολλάκις ἔχει εἰπεῖν εὔλογον τοῦ πολέμου, ὁ δὲ οὐδὲν ἕτερον ἢ μανίαν καὶ γνώμην Σατανικήν.

[w] δαπανητικώτερον F.G.H. [x] τοίχων] λίθων G. [y] ἐπηρεάσας I. [z] κρίνονται F.H.I. [a] ἔτυχεν G. [b] ἐπιβουλευῃ H. Statim τοῖς τοῦ Χρ. I. [c] καὶ τοῖς Edd. καὶ om. A.B.D.E.F.I. Post προβάτοις, in marg. habet πολεμεῖς F. [d] καὶ πάντα ποιεῖν ἡμᾶς καὶ πάσχειν ἐκέλευσεν G. [e] ἑαυτὸν F.G.H. [f] ἐζήτησε τὴν σὴν inverso ord. A.E.F.H.I. [g] οὐ] οὐχὶ B.D. οὐδὲ A.E. [h] σεαυτοῦ D.E.G. [i] οὗτοι] οὕτως A.F.H. Mox ἐκείνων διάκεινται pro διάκεινται ἐκείνων omnes. [k] γὰρ] δὲ D.E. [l] κἂν] Sic D.E.G. Flor. p. 261. (Tom. xii. p. 552 A.) Statim διακενώσῃ A.F.H. [m] κἂν] καὶ F.H.I. [n] εἴη om. G. [o] εἰ] καὶ G. [p] φαν. τὴν μ. pro τὴν μ. φαν. omnes. [q] πολλάκις] ἀπολογίας G. ἔχει πολλάκις inverso ord. A.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τίνι οὖν ἄν τις τὴν τοιαύτην παραβάλοι ψυχήν; ποίᾳ ἐχίδνῃ; ποίᾳ ἀσπίδι; ποίῳ σκώληκι; τίνι κανθάρῳ; Οὔτε γὰρ ἐναγέστερον, οὔτε πονηρότερόν τι τῆς τοιαύτης ψυχῆς. Τοῦτο γὰρ, τοῦτο τὰς ἐκκλησίας ἀνέτρεψε, τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο ἀδελφικὴν ὥπλισε χεῖρα, καὶ αἵματι δικαίου δεξιὰν βαπτισθῆ-
C ναι ἐποίησε, καὶ νόμους ἀνέσπασε φύσεως, καὶ τῷ θανάτῳ τὰς θύρας ἀνέῳξε, καὶ τὴν [r]ἀρὰν ἐκείνην εἰς ἔργον ἤγαγε, καὶ οὔτε ὠδίνων οὔτε γονέων οὔτε ἄλλου [s]τινὸς ἀναμνησθῆναι τὸν ἄθλιον εἴασεν ἐκεῖνον, ἀλλ' οὕτως αὐτὸν ἐξεβάκχευσε, καὶ εἰς τοσοῦτον ἤγαγεν οἶστρον, ὡς καὶ τοῦ θεοῦ παρακαλοῦντος καὶ λέγοντος, [17] "Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ," μηδὲ οὕτως ἐνδοῦναι. [t]Καίτοι καὶ τοῦ ἐγκλήματος αὐτὸν ἀφῆκε, καὶ τὸν ἀδελφὸν ὑπέταξεν· ἀλλ' ὅμως οὕτως ἀνίατον τὸ νόσημα τοῦτο, [v]ὡς καὶ μυρίων φαρμάκων ἐπικειμένων, τὴν οἰκείαν [w]ἀναβλύζειν σηπεδόνα. Τίνος γὰρ ἕνεκεν ἀλγεῖς, ὦ [x]πάντων
D ἀθλιώτερε σύ; ὅτι ἐτιμήθη ὁ [y]θεός; Ἀλλὰ τοῦτο γνώμης Σατανικῆς. Ἀλλ' ὅτι παρευδοκίμησεν ὁ ἀδελφός; Ἀλλ' ἔξεστι καὶ σοὶ πάλιν αὐτὸν παραδραμεῖν. Ὥστε εἰ βούλει νικῆσαι, μὴ σφάξῃς μηδὲ ἀνέλῃς, ἀλλ' ἄφες μένειν, ἵνα τηρῆται τῶν παλαισμάτων ἡ ὑπόθεσις, καὶ νίκησον ζῶντα· οὕτω γάρ σοι λαμπρὸς ὁ στέφανος ἔμελλεν ἔσεσθαι· [z]νυνὶ δὲ ἀνελὼν, [a]μείζονα κατὰ σαυτοῦ τῆς ἥττης ἐκφέρεις τὴν ψῆφον. Ἀλλ' οὐδὲν [b]τούτων ἡ βασκανία [c]οἶδε. Τίνος δὲ ἕνεκεν καὶ δόξης ἐρᾷς ἐν ἐρημίᾳ τοσαύτῃ; [d]αὐτοὶ γὰρ μόνοι τότε τὴν γῆν ᾤκουν.
E Ἀλλ' οὐδὲ τοῦτο αὐτὸν ἐπέσχεν, ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας, ἵστατο μετὰ τοῦ διαβόλου καὶ παρετάττετο· καὶ γὰρ ἐκεῖνος ἦν ὁ στρατηγῶν τότε μετὰ τοῦ Κάϊν. Ἐπειδὴ γὰρ οὐκ ἤρκεσεν αὐτῷ τὸ γενέσθαι θνητὸν τὸν ἄνθρωπον, καὶ τῷ (51)
τρόπῳ τοῦ θανάτου μείζονα τὴν τραγῳδίαν ἐπεχείρει ποιῆσαι, καὶ ἀνέπειθεν ἀδελφοκτόνον γενέσθαι. Ἠπείγετο γὰρ καὶ ὤδινεν ἰδεῖν τὴν ἀπόφασιν εἰς ἔργον ἐκφερομένην ὁ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενος κακῶν. Ὥσπερ [e]ἂν εἴ τις δεσμώτην ἔχων ἐχθρὸν, [f]ἀπόφασιν δεξάμενον [g]ἰδὼν, πρὶν ἢ τὴν πόλιν

17 Gen. iv. 7.

[r] ἀρὰν] ἀπόφασιν E. [s] τινὸς] οὐδενὸς A.D.E.F.H. [t] καίτοι pro καίτοιγε A.B.E.F.H.I. [v] ὡς καὶ] ὥστε G. [w] ἀναβλύζειν omnes, ut tacite edidit Montef. ἀναβλύζει (ἴσ. ἀναβλύζειν Sav. marg.) Veron. Sav. Mor. [x] παντὸς G. [y] θεὸς]+ἀλγεῖς G. [z] νῦν A.D.E.I. [a] μείζονα—τῆς ἥττης] καὶ μείζονα κατὰ τῆς ἑαυτοῦ ἥττης G. Statim ἐκφ. τ. ψ. pro τ. ψ. ἐκφ. omnes. [b] τούτων om. E. [c] εἶδεν F.G. [d] αὐτοὶ pro οὗτοι A.D.E.F.G.H.I. [e] ἂν] οὖν D.E. εἰ om. G. [f] ἀπόφασιν] εἶτα ἀπόφ. D.E. ἴσ. καὶ ἀπόφ. Sav. marg. [g] ἰδὼν] ἤδη ἂν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξελθεῖν, ἐπείγοιτο καὶ ἔνδον σφαττόμενον ἰδεῖν, καὶ μηδὲ τὸν προσήκοντα [b]ἀναμένοι καιρόν· οὕτω δὴ καὶ ὁ διάβολος τότε, καίτοιγε ἀκούσας ὅτι εἰς γῆν ἀπελεύσεται [i]ὁ ἄνθρωπος, ὤδινέ 492
τι πλέον ἰδεῖν, υἱὸν πρὸ πατρὸς τελευτῶντα, καὶ ἀδελφὸν [k]ἀδελφὸν ἀναιροῦντα, καὶ ἄωρον καὶ βιαίαν σφαγήν.

Εἶδες πρὸς πόσα ὑπηρέτησεν ὁ φθόνος; πῶς τὴν ἀκόρεστον τοῦ διαβόλου γνώμην ἐνέπλησε, καὶ τοσαύτην αὐτῷ παρέθηκε τράπεζαν, ὅσην ἰδεῖν ἐπεθύμησεν ἐκεῖνος; [l]Φεύγωμεν τοίνυν τὸ νόσημα. Οὐ γὰρ ἔστιν, [m]οὐκ ἔστι τὸ πῦρ ἐκεῖνο διαφυγεῖν τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, μὴ ταύτης [n]ἀπαλλαγέντας τῆς ἀρρωστίας· ἀπαλλαγησόμεθα δὲ, ἂν ἐννοήσωμεν πῶς τε ἡμᾶς ἠγάπησε, καὶ ἀλλήλους ἐκέλευσεν ἀγαπᾶν ὁ Χριστός. Πῶς οὖν ἡμᾶς ἠγάπησε; Τὸ αἷμα τὸ τίμιον ἔδωκεν ὑπὲρ ἡμῶν B
ἐχθρῶν ὄντων καὶ τὰ μέγιστα [o]ἠδικηκότων. Τοῦτο καὶ σὺ ποίησον [p]ἐπὶ τοῦ ἀδελφοῦ· διὰ γὰρ τοῦτό φησιν, [18] "Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, [q]ἵνα οὕτως ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς." Μᾶλλον δὲ οὐδὲ οὕτω τὸ μέτρον ἵσταται· αὐτὸς γὰρ ὑπὲρ τῶν ἐχθρῶν τοῦτο ἐποίησεν. Ἀλλ' οὐ βούλει τὸ αἷμα δοῦναι τὸ σαυτοῦ ὑπὲρ [r]τοῦ ἀδελφοῦ; Τί οὖν καὶ τὸ [s]ἐκείνου ἐκχέεις, ἐκ διαμέτρου παρακούων τῆς ἐντολῆς; Καίτοι αὐτὸς μὲν ὅπερ ἐποίησεν, οὐκ ἐξ ὀφειλῆς· σὺ δὲ ἂν ποιῇς, C
ὀφειλὴν λοιπὸν πληροῖς. Ἐπεὶ [t]καὶ ἐκεῖνος ὁ τὰ μυρία τάλαντα λαβὼν, καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν, οὐ διὰ τοῦτο ἐκολάζετο μόνον, ὅτι ἀπῄτει, ἀλλ' ὅτι οὐδὲ τῇ εὐεργεσίᾳ [v]γέγονε βελτίων, οὐδὲ ἄρξαντος [w]τοῦ δεσπότου κατηκολούθησε, καὶ τὸ χρέος ἀπέδωκε. Καὶ γὰρ χρέος ἦν λοιπὸν τὸ παρὰ τοῦ [x]δούλου γινόμενον, εἴγε ἐγένετο. [y]Καὶ γὰρ ἅπαντα ἅπερ ποιοῦμεν, ὀφειλὴν [z]πληροῦντες ποιοῦμεν. Διὸ καὶ αὐτὸς [a]ἔλεγεν, [19] "Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, [b]ἐποιήσαμεν." Κἂν ἀγά- D
πην τοίνυν ἐπιδειξώμεθα, κἂν χρήματα δῶμεν τοῖς δεομένοις, ὀφειλὴν πληροῦμεν· [c]οὐχ ὅτι κατῆρξεν αὐτὸς εὐεργεσιῶν μόνον,

[18] Joan. xiii. 34. [19] Luc. xvii. 10.

[b] ἀναμένει A.D.E. [i] ὁ om. G. [k] ἀδελφὸν om. F.I. [l] φύγωμεν G. [m] οὐκ ἔστι om. G. [n] ἀπαλλαγέντες H. [o] ἡμαρτηκότων B.G. Ita Veron. [p] ἐπὶ] μετὰ G. et ex corr. I. [q] ἵνα om. G. Mox καθὼς καὶ ἐγὼ idem. [r] τοῦ]+σοῦ G. [s] ἐκείνου] +αἷμα A.E.F.H.I. [t] καὶ aberat ante Montef. Habent A.B.E.F.G.H.I. [v] ἐγένετο G. [w] τοῦ om. G. [x] δούλου] διαβόλου H. Statim γινόμενον pro γενόμενον omnes. [y] καὶ γὰρ ἅπαντα] ἅπαντα τοίνυν καὶ ἡμεῖς D.E. [z] πληροῦντες ποιοῦμεν] Sic A.B.D.E.F.G.H. ut edidit Montef. ποιοῦντες πληροῦμεν Veron. Sav. Mor. πληροῦμεν ποιοῦντες I. [a] ἔλεγεν]+ὅτι G. [b] πεποιήκαμεν A.D.E.F.H.I. [c] οὐχ ὅτι——ἀλλ'] οὐ μόνον δὲ ὀφειλὴ τὸ πρᾶγμα, ὅτι προκατῆρξεν αὐτὸς τῶν εὐεργεσιῶν, ἀλλ' D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ὅτι καὶ τὰ αὐτοῦ διανέμομεν, ἄν [d]ποτε δῶμεν. Τί τοίνυν ἀποστερεῖς [e]σεαυτὸν ὢν αὐτός σε βούλεται κύριον εἶναι; Διὰ τοῦτο γάρ σοι ἐκέλευσεν αὐτὰ δοῦναι ἑτέρῳ, ἵνα σὺ αὐτὰ ἔχῃς. Ἕως μὲν γὰρ [f]ἂν μόνος κατέχῃς, οὐδὲ αὐτὸς ἔχεις· ὅταν [g]δὲ ἑτέρῳ δῷς, τότε καὶ αὐτὸς ἔλαβες. [h]Ἆρά τι τούτου τοῦ φίλτρου γένοιτ' ἂν ἴσον; Αὐτὸς ἐξέχεε τὸ αἷμα ὑπὲρ τῶν ἐχθρῶν, ἡμεῖς δὲ οὐδὲ [i]χρήματα ὑπὲρ τοῦ εὐεργέτου· αὐτὸς [i]τὸ αἷμα τὸ ἑαυτοῦ, ἡμεῖς δὲ οὐδὲ χρήματα τὰ οὐχ ἡμῶν· αὐτὸς πρὸ ἡμῶν, Ε ἡμεῖς δὲ οὐδὲ μετ' αὐτόν· αὐτὸς ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας. [k]Οὐδὲ γὰρ αὐτῷ τι γίνεται πλέον ἐκ τῆς ἡμετέρας φιλανθρωπίας, ἀλλὰ τὸ πᾶν εἰς ἡμᾶς περιΐσταται κέρδος. Διὰ γὰρ τοῦτο καὶ κελευόμεθα αὐτὰ [l]δοῦναι, ἵνα μὴ αὐτῶν ἐκπέσωμεν ἡμεῖς. Ὥσπερ γὰρ εἴ παιδίῳ τις ἀργύριον δῴη μικρῷ, [m]καὶ κελεύει κατέχειν σφοδρῶς, ἢ [n]καὶ τῷ οἰκέτῃ δοῦναι φυλάττειν, ὥστε μὴ ἐξεῖναι ἁρπάσαι τῷ βουλομένῳ· οὕτω [o]δὴ καὶ ὁ θεὸς ποιεῖ. Δὸς γὰρ τῷ δεομένῳ, 493 φησίν, ἵνα μὴ ἁρπάσῃ τις αὐτὰ ἀπὸ σοῦ, οἷον ἢ συκοφάντης, ἢ διάβολος, ἢ κλέπτης, ἢ μετὰ πάντας ὁ θάνατος. Ἕως μὲν γὰρ ἂν αὐτὸς [p]αὐτὰ κατέχῃς, [q]οὐκ ἀσφαλῶς κατέχεις· [r]ἐὰν δὲ ἐμοὶ αὐτὰ δῷς διὰ τῶν πενήτων, ἐγώ σοι φυλάττω μετὰ ἀκριβείας ἅπαντα, καὶ ἐν καιρῷ τῷ προσήκοντι μετὰ πολλῆς αὐτὰ ἀποκαταστήσω [s]περιουσίας. Οὐ γὰρ ἵνα ἀφέλωμαι λαμβάνω, ἀλλ' ἵνα πλείονα ποιήσω, ἵνα ἀκριβέστερον φυλάξω, ἵνα κατ' ἐκεῖνόν σοι αὐτὰ τηρήσω τὸν χρόνον, καθ' ὃν οὐδεὶς ὁ δανείζων [t]οὐδὲ ὁ ἐλεῶν ἐστι.

Τί [v]γένοιτ' ἂν οὖν ἡμῶν ὠμότερον, [w]μετὰ τοιαύτας ὑπο- Β σχέσεις μὴ ἀνεχομένων αὐτῷ δανείζειν; Τοιγάρτοι διὰ τοῦτο ἔρημοι καὶ γυμνοὶ καὶ πένητες πρὸς αὐτὸν ἀπερχόμεθα, τὰ πιστευθέντα οὐκ ἔχοντες, ὅτι μὴ τῷ πάντων αὐτὰ ἀκριβέστερον φυλάττοντι παρακατατιθέμεθα. Διὸ καὶ τὴν ἐσχάτην δώσομεν δίκην. Τί γὰρ καὶ ἐγκαλούμενοι δυνησόμεθα εἰπεῖν ὑπὲρ (52) τῆς ἀπωλείας [x]αὐτῶν; ποίαν πρόφασιν προβαλέσθαι; τίνα

[d] ποτε] τὰ πάντα B.D.E.H. [e] ἑαυτὸν B.E. Mox σε om. B. [f] ἂν assumtum ex H.I. Flor. p. 352. (Tom. xii. p. 590 C.) Statim κατέχῃς pro κατέχεις omnes. [g] δὲ]+καὶ G. καὶ ante αὐτὸς om. E. [h] Absunt in G. χρήματα etc. ad καταλιπεῖν p. 495 A. antiquae manus folia quatuor. [i] τὸ]+τίμιον D.E. [k] οὐδὲ] οὐ B. [l] διδόναι A.D.E.F.H.I. [m] καὶ accessit ex nostris omnibus. [n] καὶ om. I. Mox κατέχειν pro φυλάττειν idem. [o] δὴ om. A.E.F.H.I. Flor. [p] αὐτὰ est in libris omnibus, non in Edd. [q] οὐκ ἀσφ. κατέχεις] ἀπόλλυται B. [r] ἂν A.B.D.E.I. [s] τῆς περιουσίας Edd. τῆς om. A.B.D.E.H.I. [t] οὐδὲ] καὶ I. ὁ ante ἐλεῶν om. A.B.E.F.I. [v] γένοιτ' ἂν οὖν pro οὖν γένοιτ' ἂν omnes. [w] μετὰ] μηδὲ μετὰ (om. proximo μὴ) A.E.F.H.I. [x] αὐτῶν omnes. *earum* Brix. Edebatur ἑαυτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπολογίαν; Τίνος γὰρ ἕνεκεν οὐκ ἔδωκας; ἀπιστεῖς, ὅτι λήψῃ πάλιν; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁ γὰρ μὴ [y]τῷ δεδωκότι δοὺς, πῶς οὐ πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν δώσει; Ἀλλὰ τέρπει σε αὐτῶν ἡ ὄψις; Οὐκοῦν πολλῷ μᾶλλον διὰ τοῦτο δὸς, ἵνα [z]ἐκεῖ σε τέρψῃ μειζόνως, ὅτε οὐδεὶς αὐτὰ ἀφαιρήσεται· C ὡς νῦν γε κατέχων [a]καὶ μυρία πείσῃ δεινά. Καθάπερ γὰρ κύων, οὕτως ἐνάλλεται τοῖς πλουτοῦσιν ὁ διάβολος, ὥσπερ ψωμὸν ἢ πλακοῦντα παιδίου [b]κατέχοντος ἀποσπάσαι θέλων. Δῶμεν τοίνυν αὐτὰ τῷ πατρί. Κἂν ἴδῃ τοῦτο ὁ διάβολος [c]γενόμενον, ἀναχωρήσει πάντως· ἀναχωρήσαντος δὲ ἐκείνου, τότε σοι μετὰ ἀσφαλείας αὐτὰ ὁ πατὴρ δώσει πάντα, ὅταν μὴ δύνηται ἐνοχλεῖν ἐκεῖνος, κατὰ τὸν αἰῶνα τὸν μέλλοντα. Ὡς νῦν γε τῶν μικρῶν παιδίων τῶν ὑπὸ κυνιδίων ἐνοχλουμένων D οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, πάντων ὑλακτούντων περὶ αὐτοὺς, σπαραττόντων, ἑλκόντων, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ παθῶν ἀνελευθέρων, γαστριμαργίας, μέθης, κολακείας, ἀσελγείας ἀπάσης. Κἂν μὲν δανείζειν δέῃ, τοὺς [d]πολὺ διδόντας περιεργαζόμεθα, καὶ τοὺς εὐγνώμονας περισκοποῦμεν· ἐνταῦθα δὲ τοὐναντίον ποιοῦμεν· τὸν μὲν εὐγνωμονοῦντα θεὸν, καὶ οὐχὶ ἑκατοστὴν, ἀλλὰ ἑκατονταπλασίονα παρέχοντα ἀφίεμεν, τοὺς δὲ οὐκ ἀποδώσοντας ἡμῖν οὐδὲ τὸ κεφάλαιον, τούτους ἐπιζητοῦμεν. Τί γὰρ ἡμῖν ἡ γαστὴρ ἀποδώσει τὰ πλείονα κατανα- E λίσκουσα; Κόπρον καὶ φθοράν. Τί [e]δὲ ἡ κενοδοξία; Φθόνον καὶ βασκανίαν. Τί δὲ ἡ φειδωλία; Φροντίδα καὶ μέριμναν. Τί δὲ ἡ ἀσέλγεια; Γέενναν καὶ σκώληκα ἰοβόλον. Οὗτοι γὰρ τῶν πλουτούντων οἱ χρεῶσται, τούτους τοῦ κεφαλαίου τοὺς τόκους [f]καταβάλλοντες, τὰ ἐνταῦθα κακὰ καὶ τὰ προσδοκώμενα δεινά. Τούτοις οὖν, εἰπέ μοι, [g]δανειοῦμεν ἐπὶ τοσαύτῃ κολάσει, καὶ οὐ πιστεύσομεν αὐτὰ τῷ Χριστῷ [h]τῷ τὸν οὐρανὸν προτείνοντι, τὴν ζωὴν τὴν ἀθάνατον, τὰ ἀπόρρητα ἀγαθά; καὶ ποίαν ἕξομεν ἀπολογίαν; Τίνος γὰρ ἕνεκεν οὐ δίδως τῷ καὶ 494 [i]δώσοντι πάντως, καὶ πλείονα δώσοντι; Τάχα ὅτι διὰ πολλοῦ [k]δίδωσι χρόνου. Καίτοιγε καὶ ἐνταῦθα δίδωσιν· ἀψευδὴς γάρ [l]ἐστιν ὁ λέγων, [20]"Ζητεῖτε τὴν βασιλείαν [m]τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν." Εἶδες φιλοτιμίας ὑπερ-

[20] Matth. vi. 33.

[y] τῷ om. B.D.E. [z] ἐκεῖ σε] Sic F. fortasse alii. ἐκεῖσε Edd. [a] καὶ om. I. [b] κατέχοντος om. E. [c] γινόμενον I. [d] πολλὰ H. [e] δὲ] δαὶ ter A.D.E. [f] καταβάλλοντες est in libris omnibus et Flor. p. 341. (Tom. xii. p. 585 C.) καταβαλόντες Veron. Sav. Mor. [g] δανείσομεν B.D.E.F. et tacite Montef. [h] τῷ om. A.E.F.I. [i] δώσοντι om. B. [k] δίδωσι om. B. [l] ἐστιν om. I. Flor. Statim ὁ εἰπὼν I. [m] τῶν οὐρανῶν] τοῦ θεοῦ A.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βολήν; Ἐκεῖνά σοι [n]τετήρηται, φησὶ, καὶ οὐ μειοῦται· ταῦτα δὲ τὰ ἐνταῦθα ἐν τάξει προσθήκης καὶ περιουσίας δίδωμι. Χωρὶς δὲ τούτων, καὶ τὸ διὰ μακροῦ λαβεῖν τοῦ χρόνου πλεονάζει σοι τὸν πλοῦτον· ὁ γὰρ τόκος γίνεται [o]πλείων. Καὶ
B γὰρ [p]καὶ ἐπὶ τῶν δανειζομένων τοῦτο ὁρῶμεν τοὺς δανειστὰς ποιοῦντας, προθυμότερον τοῖς μετὰ πολὺν καταβάλλουσι χρόνον δανείζοντας. Ὁ μὲν γὰρ [q]τὸ πᾶν εὐθέως ἀποδοὺς ἐνέκοψε τοῦ τόκου τὸν δρόμον· ὁ δὲ ἐπὶ πλείονα κατασχὼν χρόνον, καὶ τὴν ἐργασίαν πλείω πεποίηκεν. Εἶτα ἐπὶ ἀνθρώπων μὲν οὐ δυσχεραίνομεν τὴν ἀναβολὴν, ἀλλὰ καὶ σοφιζόμεθα αὐτὴν πλείω γενέσθαι, [r]ἐπὶ θεοῦ δὲ οὕτω μικροψύχως διακεισόμεθα, ὡς διὰ τοῦτο ὀκνεῖν καὶ ἀναδύεσθαι; Καίτοιγε, ὅπερ ἔφην, καὶ
C ἐνταῦθα δίδωσι, καὶ μετὰ τῆς εἰρημένης αἰτίας καὶ ἕτερόν τι μεῖζον οἰκονομῶν ἐκεῖ ταμιεύεται τὸ πᾶν. Τὸ γὰρ μέγεθος τῶν διδομένων, καὶ τὸ κάλλος τῆς δωρεᾶς ἐκείνης ὑπερβαίνει τῆς παρούσης ζωῆς τὴν εὐτέλειαν. Οὐδὲ γὰρ δυνατὸν ἐν σώματι φθαρτῷ καὶ ἐπικήρῳ τοὺς ἀμαράντους ἐκείνους δέξασθαι στεφάνους, οὐδὲ ἐν τῇ παρούσῃ διαγωγῇ, [s]καὶ θορυβώδει καὶ ταραχῆς γεμούσῃ καὶ πολλὰς ἐχούσῃ τροπὰς, τὴν ἀκίνητον ἐκείνην καὶ [t]ἀτάρακτον λῆξιν [v]ἀναλαβεῖν. Σὺ δὲ, εἰ μέν τις σοι χρυσίον ὀφείλων ἐν ἀλλοτρίᾳ διατρίβοντι γῇ, καὶ οὔτε οἰκέτας ἔχοντι,
D [w]οὔτε δυναμένῳ εἰς τὴν [x]οἰκίαν μετακομίσαι, δώσειν [y]ἐπηγγέλλετο τὸ δάνεισμα, μυρία ἂν παρεκάλεσας, ὥστε μὴ ἐπὶ τῆς ξένης, ἀλλ' οἴκοι μᾶλλον [z]αὐτὰ καταβαλεῖν· τὰ δὲ πνευματικὰ ἐκεῖνα καὶ ἀπόρρητα ἐνταῦθα ἀξιοῖς λαβεῖν; καὶ πόσης ταῦτα ἀνοίας; [a]Ἂν μὲν γὰρ ἐνταῦθα [a]λάβῃς, φθαρτὰ λήψῃ πάντως· ἂν δὲ ἐκεῖνον τὸν καιρὸν ἀναμείνῃς, [b]ἄφθαρτα ἀποδώσει σοι καὶ ἀκήρατα· ἂν ἐνταῦθα λάβῃς, [c]μόλιβδον ἔλαβες· [d]ἂν δὲ ἐκεῖ, χρυσὸν δόκιμον. Πλὴν οὐδὲ τῶν ἐνταῦθά σε ἀπεστέρησε. Μετὰ γὰρ ἐκείνης τῆς ὑποσχέσεως καὶ ἑτέραν τέθεικεν οὕτω (53)
λέγων, ὅτι πᾶς ὁ τῶν ἐκεῖ πραγμάτων ἐρῶν ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

[n] τετήρ. φησὶ pro φησὶ τετήρ. A.B.D.E.F.I. Tum τετήρηται et μειοῦται A. D.E.F.H.I. τετήρηνται et μειοῦνται Edd. [o] πλείων pro πλέων A.B.D.E. Flor. πλεῖον H. [p] καὶ accessit ex A.B.D.F.H.I. Flor. Superscriptum habet E. [q] τὸ πᾶν εὐθέως pro εὐθ. τὸ πᾶν A.D.E.F.H.I. Flor. [r] ἐπὶ δὲ θεοῦ οὕτω A.D.E.F. non Flor. [s] καὶ θορυβώδει] τῇ θορύβων D.E. [t] ἀτάραχον D.I. Ante Montef. edebatur τὴν ἀκίνητον καὶ ἀτάρακτον ἐκείνην καὶ ἀτάραχον λῆξιν, ex duplici scriptura. Solus B. ut videtur, verborum ordinem τὴν ἀκίνητον καὶ ἀτάρακτον ἐκείνην λῆξιν servat. [v] ἀναλαβεῖν pro καταλαβεῖν omnes. [w] οὐδὲ F.H.I. [x] οἰκίαν] Sic A.D.F.I. οἰκεῖαν (sic) H. ἀλλοδαπὴν E. μετοικίαν Edd. [y] ἐπήγγελτο H. [z] αὐτὰ B. αὐτὰ om. I. [a] λάβῃς pro λάβοις omnes. [b] ἄφθ. καὶ ἀκήρ. ἀποδώσει σοι hoc ord. A.D.E.F.H.I. [c] μόλυβδον B. [d] ἂν] ἐὰν B.D.F.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

Εἰ δὲ οὐ λαμβάνομεν ἑκατονταπλασίονα, ἡμεῖς αἴτιοι μὴ δανεί- E
ζοντες τῷ δυναμένῳ τοσοῦτον δοῦναι· ἐπεὶ οἵ γε δόντες ἅπαντες
τοσαῦτα ἔλαβον, καίτοιγε ὀλίγα δόντες. Τί γὰρ μέγα ἔδωκεν
ὁ Πέτρος, εἰπέ μοι; οὐχὶ δίκτυον διερρωγὸς καὶ κάλαμον καὶ
ἄγκιστρον μόνον; Ἀλλ' ὅμως αὐτῷ τὰς οἰκίας τῆς οἰκουμένης
ἀνέῳξεν ὁ θεὸς, καὶ γῆν καὶ θάλατταν ἥπλωσε, καὶ πάντες
αὐτὸν εἰς τὰ [e]αὐτῶν ἐκάλουν· μᾶλλον δὲ τὰ αὐτῶν πωλοῦντες
πρὸς τοὺς [f]ἐκείνων ἔφερον πόδας, οὐδὲ εἰς χεῖρας ἐμβάλλοντες·
οὐ γὰρ ἐτόλμων· τοσαύτην μετὰ τῆς δαψιλείας καὶ τὴν τιμὴν
[g]αὐτοῖς ἀπένεμον. Ἀλλ' ἐκεῖνος Πέτρος ἦν, φησί. Καὶ τί
τοῦτο, ἄνθρωπε; Οὐδὲ γὰρ Πέτρῳ [h]ταῦτα ἐπηγγείλατο
μόνον, οὐδὲ εἶπε, σὺ δὲ, ὦ Πέτρε, ἑκατονταπλασίονα λήψῃ
μόνος, ἀλλὰ, [21]"Πᾶς ὅστις ἀφῆκεν [i]οἰκίας ἢ ἀδελφοὺς, ἑκατον- 495
ταπλασίονα λήψεται." [k]Οὐ γὰρ προσώπων [l]οἶδε διαφοράν,
ἀλλὰ πραγμάτων κατορθώματα.

Ἀλλὰ παιδίων με χορὸς περιέστηκε, φησὶ, καὶ ἐπιθυμῶ
πλουτοῦντας αὐτοὺς καταλιπεῖν. Τίνος οὖν ἕνεκεν πένητας
αὐτοὺς ποιοῦμεν; [s]Ἂν μὲν γὰρ αὐτοῖς τὰ πάντα ἀφῇς, πάλιν
ἐπισφαλεῖ φυλακῇ τὰ σὰ πάντα ἐπέτρεψας· ἂν δὲ τὸν θεὸν
αὐτοῖς καταλίπῃς συγκληρονόμον καὶ ἐπίτροπον, θησαυροὺς
μυρίους κατέλιπες. Ὥσπερ [m]γὰρ ὅταν ἑαυτοὺς ἐκδικῶμεν, ὁ
θεὸς ἡμῖν οὐκ ἀμύνει, ὅταν δὲ αὐτῷ παραχωρῶμεν, πλεῖον ἢ
προσδοκῶμεν γίνεται· οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ἂν ἡμεῖς
αὐτὰ [n]μεριμνῶμεν, ἐκεῖνος ἀποστήσεται τῆς ὑπὲρ αὐτῶν προ- B
νοίας, ἂν δὲ αὐτῷ [o]τὸ πᾶν ἐπιρρίψωμεν, καὶ αὐτὰ καὶ τοὺς
παῖδας ἐν πάσῃ [p]καταστήσει τῇ ἀσφαλείᾳ. Καὶ τί θαυμάζεις,
εἰ [q]ἐπὶ θεοῦ τοῦτο γίνεται; καὶ [r]γὰρ ἐπὶ ἀνθρώπων τοῦτο
συμβαῖνον ἴδοι τις ἄν. [s]Ἂν μὲν γὰρ μηδένα παρακαλέσῃς τῶν
προσηκόντων τελευτῶν ἐπὶ τὴν τῶν παίδων πρόνοιαν, αἰσχύ-
νεται καὶ ἐρυθριᾷ πολλάκις καὶ ὁ σφόδρα βουλόμενος [s]αὐτό-
ματος ἐπιπηδῆσαι τούτῳ· ἂν δὲ ῥίψῃς ἐπ' αὐτὸν τὴν φροντίδα,
ἅτε τιμηθεὶς μεγίστῃ τιμῇ, μεγίστην καὶ αὐτὸς ἀποδώσει τὴν

21 Matth. xix. 29.

[e] αὐτῶν pro αὐτῶν bis B.E.H. fortasse alii. [f] ἐκείνων D.E.F.H.I. et ante corr. A.B. (h. e. *omnes*). Edebatur ἐκείνου. [g] αὐτοῖς pro αὐτῷ prorsus iidem. Statim ἀπένεμον B.D.E.I. ἀπένειμον A.F.H. ἀπονέμοντες Edd. [h] ταῦτα ἐπηγ. pro ἐπηγ. ταῦτα omnes. [i] οἰκίαν B. Ita tacite Montef. [k] οὐ pro οὐδὲ B.D.E.F.H. [l] οἶδε] εἶπε vel εἶπεν A.D.E.F.H.I. [m] γὰρ om. F.H.I. [n] μεριμνήσωμεν G. [o] τὸ πᾶν omnes. Ante Montef. edebatur τὸ πλέον. Statim ἐπιτρέψωμεν G. [p] καταστήσει τῇ (τῇ om. I.) ἀσφαλείᾳ] καταστάσει καὶ ἀσφαλείᾳ διατηρήσομεν G. [q] ἐπὶ τοῦ θεοῦ A.E.G. [r] γὰρ om. B. ἐπ' ἀνθρώπων A.D.E.I. [s] αὐτόματος omnes. αὐτομάτως Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

C ἀμοιβήν. Εἰ τοίνυν βούλει καταλιπεῖν [t]τοῖς παιδίοις πλοῦτον πολύν, κατάλιπε [v]τοῦ θεοῦ τὴν πρόνοιαν. Ὁ γὰρ, μηδέν σου ποιήσαντος, καὶ ψυχὴν δοὺς καὶ σῶμα διαπλάσας [w]καὶ ζωὴν χαρισάμενος, ὅταν ἴδῃ τοσαύτην ἐπιδεικνύμενον φιλοτιμίαν, καὶ τὰ ἐκείνων αὐτῷ διανέμοντα μετ' ἐκείνων, πῶς οὐ πάντα αὐτοῖς ἀνοίξει πλοῦτον; Εἰ γὰρ Ἠλίας ὀλίγῳ τραφεὶς ἀλεύρῳ, ἐπειδὴ εἶδε τὴν γυναῖκα ἐκείνην τῶν [x]παιδίων αὐτὸν προτιμήσασαν, ἄλωνας καὶ ληνοὺς ἐπὶ τοῦ δωματίου τῆς χήρας ἔδειξεν· ἐννόησον ὁ τοῦ Ἠλία δεσπότης πόσην [y]ἐπιδείξεται φιλοφροσύνην. Μὴ D τοίνυν τοῦτο σκοπῶμεν, ὅπως πλουσίους καταλίπωμεν τοὺς παῖδας, ἀλλ' ὅπως ἐναρέτους. [z]Ἂν μὲν γὰρ τῷ πλούτῳ θαρρῶσιν, οὐδενὸς ἐπιμελήσονται ἄλλου, ὡς ἔχοντες συσκιάσαι τὴν τῶν τρόπων κακίαν [z]ἀπὸ τῆς τῶν χρημάτων περιουσίας· ἂν δὲ ἴδωσιν ἑαυτοὺς τῆς ἐκεῖθεν παραμυθίας ὄντας ἐρήμους, πάντα ἐργάσονται ὥστε διὰ τῆς ἀρετῆς πολλὴν τῇ πενίᾳ τὴν παραμυθίαν [a]εὑρέσθαι. Μὴ τοίνυν [b]καταλίπῃς πλοῦτον, ἵνα καταλίπῃς ἀρετήν. Καὶ γὰρ ἐσχάτης [c]ἀλογίας ζῶντας μὲν [d]μὴ ποιεῖν κυρίους αὐτοὺς ἁπάντων τῶν ὄντων, τελευτήσαντας δὲ E πολλὴν τῇ τῆς νεότητος εὐκολίᾳ [e]παρέχειν τὴν ἄδειαν. Καίτοιγε ζῶντες μὲν δυνησόμεθα καὶ [f]εὐθύνας ἀπαιτεῖν, καὶ κακῶς τοῖς οὖσι κεχρημένους σωφρονίζειν καὶ χαλινοῦν· τελευτήσαντες δὲ ἂν μετὰ τῆς [g]ἡμετέρας ἐρημίας καὶ τῆς νεότητος καὶ τὴν ἀπὸ τοῦ πλούτου παράσχωμεν ἐξουσίαν, εἰς μυρίους ὠθήσομεν κρημνοὺς τοὺς ἀθλίους καὶ ταλαιπώρους ἐκείνους, πῦρ ἐπεμβάλλοντες πυρὶ, καὶ ἔλαιον ἐπιστάζοντες καμίνῳ χαλεπῇ. Ὥστε εἰ βούλει μετὰ ἀσφαλείας [h]καταλιπεῖν πλουσίους, κατάλιπε τὸν θεὸν ὀφειλέτην αὐτοῖς, καὶ αὐτῷ ἐγχείρισον [i]τοῦτο τὸ 496 γραμματεῖον. Αὐτοὶ μὲν γὰρ [k]τὰ χρήματα ἂν λάβωσιν, οὐδὲ [l]ὅτῳ δώσουσιν ἴσασιν, ἀλλὰ πολλοῖς περιτεύξονται καὶ συκοφάνταις καὶ ἀγνώμοσιν· ἂν δὲ σὺ προλαβὼν αὐτὰ τῷ θεῷ δανείσῃς, ἄσυλος μένει λοιπὸν ὁ θησαυρὸς, καὶ μετὰ πολλῆς ἔσται (54) τῆς εὐκολίας ἡ [m]ἀπόδοσις. Καὶ γὰρ χάριν ἔχει [n]καὶ ὀφείλων

[t] τοῖς π. πλοῦτον πολύν] Sic omnes. Edebatur πλοῦταν τοῖς π. σου πολύν. [v] τῷ θεῷ G.H. [w] καὶ ζ. χαρισάμενος om. H. [x] παίδων A.D.E.H. et Flor. p. 351. (Tom. xii. p. 589 E.) [y] ἐπιδείξεται] ἐπιδείξει καὶ ποιήσει G. [z] ἀπὸ τῆς τῶν χρ. περιουσίας om. I. [a] εὕρασθαι F.I. [b] καταλίπῃς pro καταλίποις bis omnes. [c] ἀλογίας] ἀπονοίας corr. ex ἀπολογίας G. [d] μὴ om. H.I. [e] παρασχεῖν G. [f] εὐθύνας]+αὐτοὺς D.E. [g] ἡμετέρας om. G. [h] καταλιπεῖν] +αὐτοὺς G. [i] τοῦτο τὸ γρ.] Sic A.D.E.F.G.I. τὸ γρ. τοῦτο B. τὸ γραμματεῖον (sine τοῦτο) H. τὸ γραμματεῖον αὐτῶν Edd. [k] τὰ χρήματα] αὐτὰ B. Veron. [l] ὅτῳ] ὅπου Flor. [m] ἀνταπόδοσις A.D.E.F.H.I. Flor. [n] καὶ ὀφείλων καὶ καταβάλλων] Sic nostri omnes et Flor. καὶ ὁ ὀφείλων καὶ κατ. Veron. καὶ ὁ ὀφείλει καταβάλλων Sav. Mor. Ben.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ καταβάλλων ἡμῖν ὁ θεὸς, καὶ τοὺς δανειστὰς τοὺς [o]αὐτοῦ τῶν οὐ δεδανεικότων ἥδιον ὁρᾷ, καὶ οἷς μάλιστα ὀφείλει, τούτους μάλιστα φιλεῖ. Ὥστε εἰ βούλει φίλον αὐτὸν ἔχειν διηνεκῶς, πολλῶν αὐτὸν κατάστησον χρεώστην. Οὐδὲ γὰρ οὕτω χαίρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς ὁ [p]Χριστὸς εὐφραίνεται δανειστὰς ἔχων· καὶ οἷς μὲν [q]μηδὲν ὀφείλει, τούτους καὶ ἀπο- B
φεύγει, οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει. Πάντα τοίνυν ποιῶμεν, ὥστε αὐτὸν χρεώστην ἔχειν· ὁ γὰρ καιρὸς οὗτός ἐστιν ὁ τῶν δανεισμάτων, καὶ νῦν ἐν χρείᾳ καθέστηκεν. [s]Ἂν τοίνυν μὴ δῷς αὐτῷ νῦν, οὐ δεήσεταί σου μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Ἐνταῦθα γὰρ-[r]διψᾷ, ἐνταῦθα πεινᾷ· διψᾷ δὲ, [s]ἐπειδὴ τὴν σὴν διψᾷ σωτηρίαν· διὰ [t]τοῦτο καὶ προσαιτεῖ, διὰ τοῦτο καὶ γυμνὸς περιέρχεται, πραγματευόμενός [v]σοι ζωὴν ἀθάνατον. Μὴ τοίνυν αὐτὸν [w]παρίδῃς· οὐ γὰρ τραφῆναι βούλεται, ἀλλὰ θρέψαι, οὐκ ἐνδυθῆναι, ἀλλ' ἐνδῦσαι, καὶ τὸ ἱμάτιον ἐκεῖνό σοι κατασκευάσαι τὸ χρυσοῦν, τὴν στολὴν τὴν βασιλικήν. Οὐχ ὁρᾷς C
καὶ τῶν ἰατρῶν τοὺς κηδεμονικωτέρους, [x]ὅταν τοὺς κάμνοντας λούωσι, [y]καὶ αὐτοὺς μηδὲν δεομένους καὶ λουομένους; Οὕτω καὶ αὐτὸς διὰ σὲ τὸν [z]κάμνοντα πάντα ποιεῖ. Διὰ τοῦτό σε οὐδὲ μετὰ βίας ἀπαιτεῖ, ἵνα πολλήν σοι δῷ τὴν ἀμοιβήν· ἵνα μάθῃς, ὅτι οὐ χρείαν ἔχων ἀπαιτεῖ, ἀλλὰ τὴν σὴν διορθούμενος [a]χρείαν. Διὰ τοῦτο καὶ ἐν εὐτελεῖ σχήματί σοι προσέρχεται, [b]καὶ τὴν δεξιὰν ἐκτείνων· κἂν ὀβολὸν δῷς, οὐκ ἀποστρέφεται, κἂν ἀτιμάσῃς, οὐκ ἀφίσταται, ἀλλὰ πάλιν σοι πρόσεισιν· ἐρᾷ γὰρ, σφόδρα ἐρᾷ τῆς σωτηρίας τῆς ἡμετέρας. Καταφρονή- D
σωμεν τοίνυν τῶν χρημάτων, ἵνα μὴ καταφρονηθῶμεν ὑπὸ τοῦ Χριστοῦ· καταφρονήσωμεν τῶν χρημάτων, ἵνα καὶ αὐτῶν ἐπιτύχωμεν τῶν χρημάτων. [d]Ἂν μὲν [c]γὰρ φυλάσσωμεν αὐτὰ ἐνταῦθα, ἀπολοῦμεν αὐτὰ πάντως [d]καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἂν δὲ διανείμωμεν αὐτὰ μετὰ δαψιλείας πολλῆς, ἐν ἑκατέρᾳ τῇ ζωῇ πολλῆς ἀπολαυσόμεθα τῆς εὐπορίας. Ὁ τοίνυν βουλόμενος γενέσθαι πλούσιος, [e]γενέσθω πένης, ἵνα γένηται πλούσιος·

[o] αὐτοῦ pro αὐτοῦ A.B.E.F.G.I. αὐτῷ H. Statim καὶ τῶν οὐ δ. Edd. repugnantibus libris et Flor. [p] Χριστὸς] θεὸς A.D.E.F.H.I. Flor. [q] οὐδὲν iidem. [r] διψᾷ pro διψῇ ubique omnes. [s] ἐπειδὴ et p.p. διψᾷ om. I. [t] ταῦτα F.G.H.I. διὰ τοῦτο γὰρ καὶ προσαιτεῖ Edd. γὰρ deest in A.D.E.F.G. H.I. [v] σοι om. I. [w] παρίδῃς pro περιΐδῃς A.D.E.F.G.H.I. [x] ὅταν τ. κ. λούωσι] πῶς τ. κ. λούουσι D.E. [y] καὶ (καὶ om. D.E.) αὐτοὺς——λουομένους] Sic libri omnes. ὅτι (ὅτι om. Veron.) καὶ αὐτοὶ λούονται καίτοι μὴ δεόμενοι Edd. [z] κάμνοντα] κόσμον G. [a] χρείαν] σωτηρίαν G. [b] καὶ om. B. [c] γὰρ om. F. Statim φυλ. αὐτὰ B.D.G. φυλ. ταῦτα A.E.F.H.I. αὐτὰ φυλάσσωμεν Edd. [d] καὶ ἐνταῦθα om. G. Mox πολλῆς ἐν ἑκατέρᾳ τῇ ζωῇ om. idem. [e] γινέσθω H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναλισκέτω, ἵνα συλλέξῃ· σκορπιζέτω, ἵνα συναγάγῃ. Εἰ δὲ
E καινὰ ταῦτα καὶ παράδοξα, [f]τὸν σπείροντα σκόπει, καὶ λογίζου
ὅτι οὐδὲ ἐκεῖνος δυνήσεται [g]ἑτέρως πλείω συναγαγεῖν, ἂν μὴ τὰ
ὄντα σκορπίσῃ καὶ τὰ ἕτοιμα πρόηται. Σπείρωμεν τοίνυν καὶ
ἡμεῖς, καὶ γεωργήσωμεν τὸν οὐρανὸν, ἵνα μετὰ πολλῆς [h]ἀμήσωμεν τῆς ἁψιλείας, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι'
οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

497 ## ΛΟΓΟΣ Θ.

[1]Τί οὖν ἐροῦμεν [a]Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ
σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα,
ἀλλ' οὐ πρὸς τὸν θεόν.

[b]ΕΙΠΩΝ ὅτι ὑπόδικος ἐγένετο ὁ κόσμος τῷ θεῷ, καὶ ὅτι
πάντες ἥμαρτον, καὶ ὅτι ἡ καύχησις ἐξεκλείσθη, καὶ ὅτι οὐκ ἔνι
σωθῆναι ἑτέρως, [c]ἀλλ' ἢ διὰ πίστεως, σπουδάζει δεῖξαι λοιπὸν,
B ὅτι οὐδὲ [d]αἰσχύνης ἡ σωτηρία αὕτη, ἀλλὰ καὶ δόξης [e]λαμπρᾶς,
καὶ μείζονος τῆς διὰ τῶν ἔργων. Ἐπειδὴ γὰρ τὸ μετ' αἰσχύνης
σώζεσθαι εἶχέ τινα [f]καὶ ἀθυμίαν, καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν λοιπόν. Καίτοιγε [g]ἤδη αὐτὸ ᾐνίξατο, οὐ σωτηρίαν
μόνον, ἀλλὰ καὶ δικαιοσύνην καλέσας· "Δικαιοσύνη γὰρ [h]θεοῦ,
φησὶν, ἐν αὐτῷ ἀποκαλύπτεται·" ὁ γὰρ οὕτω σωζόμενος, ὡς
δίκαιος, μετὰ παρρησίας σώζεται. Καὶ οὐ δικαιοσύνην μόνον,
ἀλλὰ καὶ ἔνδειξιν θεοῦ· θεὸς δὲ ἐν τοῖς ἐνδόξοις [i]ἐνδείκνυται καὶ
C λαμπροῖς καὶ μεγάλοις. Πλὴν ἀλλὰ καὶ ἐκ τῶν προκειμένων
αὐτὸ κατασκευάζει, κατὰ ἐρώτησιν προάγων τὸν λόγον· ὅπερ
[k]ἀεὶ ποιεῖν εἴωθε σαφηνείας τε ἕνεκεν καὶ τοῦ θαρρεῖν τοῖς λεγομένοις. Καὶ γὰρ καὶ ἀνωτέρω οὕτω πεποίηκε, "Τί οὖν τὸ (55)
περισσὸν τοῦ Ἰουδαίου;" λέγων· καὶ, "Τί οὖν [l]προκατέχομεν
περισσόν;" καὶ πάλιν, "Ποῦ [m]οὖν ἡ καύχησις; ἐξεκλείσθη·"

[1] Cap. IV. v. 1, 2.

[f] τοὺς σπείροντας H. [g] ἑτέρως om. G. [h] ἀμήσωμεν (ἀμιεύσωμεν H.) A.B.D.E.F.G.H. Ante Montef. edebatur ἀμησώμεθα. Hom. IX. [a] εὑρηκέναι Ἀβραὰμ τὸν προπάτορα ἡμῶν G. [b] εἶπεν A.B.D.E.F.H. [c] ἀλλ' ἢ A.D.E.F.H.I. ἀλλὰ vulgo. [d] αἰσχύνη G. Veron. [e] λαμπρᾶς]+αἰτία Edd. repugnantibus libris. [f] καὶ om. D.E.G. [g] καὶ ἤδη Edd. καὶ om. A.D.E.F.G.H.I. [h] θεοῦ φησὶν] φησὶ θεοῦ G.I. Mox σώζεται μετὰ παρρησίας inverso ord. G. [i] ἐνδείκνυται] γνωρίζεται G. [k] ἀεὶ] καὶ ἀεὶ H. Mox τε om. B. [l] προκατέχομεν περισσὸν] προεχόμεθα; οὐ πάντως G. [m] οὖν accessit ex omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐνταῦθα, "Τί οὖν [n]ἐροῦμεν Ἀβραὰμ τὸν [o]πατέρα ἡμῶν;" Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον [p]οἱ Ἰουδαῖοι, ὅτι ὁ πατριάρχης καὶ τῷ θεῷ φίλος περιτομὴν ἐδέξατο πρῶτος, βούλεται δεῖξαι, ὅτι καὶ ἐκεῖνος ἐκ πίστεως ἐδικαιώθη· ὅπερ ἦν περιουσία νίκης [q]πολλῆς. Τὸ μὲν γὰρ ἔργα μὴ ἔχοντα ἐκ D πίστεως δικαιωθῆναί τινα, οὐδὲν ἀπεικός· τὸ δὲ κομῶντα ἐν κατορθώμασι μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ πίστεως γενέσθαι δίκαιον, τοῦτο ἦν [r]τὸ θαυμαστὸν καὶ μάλιστα τῆς πίστεως τὴν ἰσχὺν ἐμφαῖνον. Διὸ δὴ τοὺς ἄλλους [s]πάντας παραδραμὼν, ἐπὶ τοῦτον [t]ἀνάγει τὸν λόγον. Πατέρα δὲ αὐτὸν κατὰ σάρκα ἐκάλεσεν, [v]ἐκβάλλων αὐτοὺς τῆς πρὸς αὐτὸν γνησίας συγγενείας, καὶ προσδοποιῶν τοῖς ἔθνεσι τὴν πρὸς αὐτὸν ἀγχιστείαν. Εἶτά φησιν· "Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεόν." [w]Εἰπὼν ὅτι δικαιοῖ περιτομὴν ἐκ E πίστεως ὁ θεὸς, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως, καὶ κατασκευάσας αὐτὸ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν, καὶ διὰ τοῦ Ἀβραὰμ μειζόνως αὐτὸ δείκνυσιν ἢ ἐπηγγείλατο, καὶ ποιεῖ τὴν μάχην τῇ πίστει πρὸς τὰ ἔργα, καὶ τὸν ἀγῶνα ὅλον περὶ τὸν δίκαιον ἵστησι· καὶ οὐχ ἁπλῶς. Διὸ καὶ σφόδρα σεμνύνει προπάτορα καλῶν, καὶ ἀνάγκην αὐτοῖς [x]ἐπιτιθεὶς τοῦ πείθεσθαι ἐν πᾶσιν αὐτῷ. Μὴ γάρ μοι τὸν Ἰουδαῖον [y]εἴπῃς, φησὶ, μηδὲ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀγάγῃς εἰς μέσον· ἐγὼ γὰρ ἐπὶ τὴν κορυφὴν ἁπάντων, καὶ ὅθεν ἡ περιτομὴ τὴν ἀρχὴν ἔλαβεν, ἄνειμι. "Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, φησὶν, ἔχει καύχημα, ἀλλ' 498 οὐ πρὸς τὸν θεόν."

Ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. Δύο γάρ ἐστι καυχήματα, τὸ μὲν ἀπὸ τῶν ἔργων, τὸ δὲ ἀπὸ τῆς πίστεως. Εἰπὼν τοίνυν, [z]ὅτι "εἰ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεὸν," ἔδειξεν, ὅτι καὶ [a]ἀπὸ πίστεως δύναιτ' ἂν ἔχειν καύχημα, καὶ πολλῷ μεῖζον. Ἡ γὰρ πολλὴ τοῦ Παύλου δύναμις ἐν τούτῳ μάλιστα δείκνυται, ὅτι εἰς τοὐναντίον [b]περιέτρεψε τὸ προκείμενον, καὶ ὅπερ εἶχεν ἡ διὰ τῶν ἔργων σωτηρία, τὸ καυχᾶσθαι καὶ παρρησιάζεσθαι, τοῦτο ἔδειξε πολλῷ πλέον τῆς πίστεως ὄν. Ὁ μὲν B

[n] ἐροῦμεν]+εὑρηκέναι G. [o] προπάτορα G. et in marg. I. προπατέρα F. [p] οἱ est in libris omnibus, non in Edd. [q] πολλὴ I. [r] τὸ, quod aberat ante Montef. est in B.D.E.F.G.H.I. et ex corr. A. [s] πάντας παρ. pro παρ. πάντας omnes. [t] ἄγει G. [v] ἐκβάλλων A.B.D.E.G. ἐκβαλὼν Edd. [w] εἰπὼν]+οὖν Edd. οὖν abest ab omnibus. Statim ὅτι καὶ δ. F. ὅτι δ. καὶ τὴν π. I. [x] περιτιθεὶς G. Statim τοῦ πεισθῆναι idem. [y] εἴπῃς et ἀγάγῃς omnes. Edebatur εἴποις et ἀγάγοις. [z] ὅτι εἰ ἐξ] Sic D.E. ὅτι ἐξ (sic) A.B. ὅτι ἐξ F.G.H.I. εἰ ἐξ sine ὅτι Edd. [a] ἀπὸ] ὁ ἀπὸ B.D.E. [b] ἔτρεψε G.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

γὰρ [c]ἐπὶ τοῖς ἔργοις καυχώμενος, τοὺς οἰκείους ἔχει [d]προβαλέσθαι πόνους· ὁ δὲ ἐπὶ τῷ πιστεῦσαι τῷ θεῷ καλλωπιζόμενος, πολλῷ μείζονα καυχήσεως ἀφορμὴν ἐπιδείκνυται, ἅτε δοξάσας καὶ μεγαλύνας τὸν [e]θεόν. [f]Ἃ γὰρ οὐχ ὑπηγόρευσεν ἡ φύσις τῶν ὁρωμένων, ταῦτα ἀπὸ τῆς πίστεως καταδεξάμενος τῆς εἰς αὐτὸν, καὶ τὴν γνησίαν ἀγάπην τὴν περὶ αὐτὸν ἐπεδείξατο, καὶ τὴν δύναμιν αὐτοῦ λαμπρῶς ἀνεκήρυξε. Τοῦτο [f]δὲ γενναιοτάτης ψυχῆς καὶ φιλοσόφου γνώμης καὶ ὑψηλῆς διανοίας. Τὸ μὲν C γὰρ μὴ κλέψαι μηδὲ φονεῦσαι καὶ τῶν τυχόντων ἐστί· τὸ δὲ πιστεῦσαι, ὅτι τὰ ἀδύνατα δύναται [g]θεὸς, μεγαλοφυοῦς τινος δεῖται ψυχῆς, καὶ σφόδρα περὶ αὐτὸν [h]διακειμένης· καὶ γὰρ ἀγάπης γνησίας τοῦτο σημεῖόν ἐστι. Τιμᾷ μὲν γὰρ τὸν θεὸν καὶ ὁ τὰς ἐντολὰς [i]πληρῶν, πολλῷ δὲ μειζόνως [k]οὗτος ὁ διὰ τῆς πίστεως φιλοσοφῶν· ἐκεῖνος μὲν γὰρ ὑπήκουσεν αὐτῷ, οὗτος δὲ τὴν προσήκουσαν ἔλαβε περὶ αὐτοῦ δόξαν, καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως μείζονως ἐδόξασε καὶ ἐθαύμασεν. Ἐκεῖνο [l]μὲν οὖν τὸ καύχημα τοῦ κατορθοῦντός ἐστι, τοῦτο δὲ τὸν θεὸν δοξάζει, καὶ ὅλον ἐστὶν αὐτοῦ· καυχᾶται γὰρ ἐπὶ [m]τῷ περὶ D αὐτοῦ [n]μεγάλα φαντάζεσθαι, ἅπερ εἰς τὴν ἐκείνου διαβαίνει δόξαν. Διὰ τοῦτό φησι, πρὸς τὸν θεὸν [o]αὐτὸν ἔχειν τὸ καύχημα· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ δι' ἕτερον. Καυχᾶται γὰρ πάλιν ὁ πιστὸς, οὐχ ὅτι τὸν θεὸν [p]ἐφίλησε μόνον γνησίως, ἀλλ' ὅτι καὶ πολλῆς παρ' αὐτοῦ τιμῆς ἀπήλαυσε καὶ ἀγάπης. Ὥσπερ γὰρ αὐτὸς αὐτὸν ἠγάπησε μεγάλα περὶ αὐτοῦ φαντασθείς· [q]τοῦτο γὰρ ἀγάπης δεῖγμα· οὕτω καὶ ὁ θεὸς αὐτὸν ἐφίλησε μυρίοις ὑπεύθυνον ὄντα, οὐχὶ κολάσεως ἀπαλλάξας μόνον, ἀλλὰ καὶ δίκαιον ἐργασάμενος. Ἔχει τοίνυν E καυχᾶσθαι ὡς μεγάλης καταξιωθεὶς ἀγάπης. [2]"Τῷ [r]γὰρ (56)
ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα." Οὐκοῦν τοῦτο [s]μεῖζον, φησίν. Οὐδαμῶς· καὶ γὰρ τῷ πιστεύοντι λογίζεται· οὐκ ἂν δὲ [t]ἐλογίσθη, εἰ μὴ καὶ αὐτός τι εἰσήνεγκεν. Ὥστε καὶ οὗτος ὀφειλέτην ἔχει τὸν θεὸν, καὶ οὐ τῶν τυχόντων ὀφειλέτην, ἀλλὰ μεγάλων καὶ ὑψηλῶν πρα-

[2] v. 4.

[c] ἐπὶ pro ἐν A.D.E.F.G.H.I. [d] προβαλέσθαι A.B.D.F.H.I. προβαλλέσθαι E. προβάλλεσθαι Edd. [e] θεὸν pro κύριον A.B.D.E.F.G.I. [f] δὲ] +καὶ G. [g] ὁ θεὸς G.H.I. [h] διακαιομένης G. [i] τηρῶν G. [k] οὗτος ὁ διὰ τῆς π.] καὶ διὰ τῆς φύσεως καὶ πίστεως G. οὗτος om. I. [l] μὲν]+γὰρ Veron. Sav. Mor. invitis libris. [m] τῷ pro τὸ A.B.D.E.F.G.H. [n] μέγα H. [o] αὐτὸν ἔχειν pro ἔχειν αὐτὸν A.B.D.E.G.H.I. [p] μόνον ἐφ. γν. G.H. ἐφ. γν. μόνον I. ἐφ. μόνον (om. γνησίως) H. [q] τοῦτο γὰρ ἀ. δεῖγμα om. I. [r] γὰρ] Sic nostri omnes et Mosqq. δὲ Edd. [s] μεῖζον, φησὶν] φησὶ, μεῖζον F.H.I. [t] λογισθείη H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γμάτων. Δεικνὺς γὰρ αὐτοῦ τὴν μεγαλόνοιαν καὶ τὴν πνευματικὴν διάνοιαν, οὐχ ἁπλῶς εἶπε, τῷ πιστεύοντι, ἀλλὰ, [3] "Τῷ πιστεύοντι ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ." Ἐννόησον γὰρ 499
ἡλίκον ἐστὶ πεισθῆναι καὶ πληροφορηθῆναι, ὅτι δύναται ὁ θεὸς τὸν ἐν ἀσεβείᾳ βεβιωκότα τοῦτον ἐξαίφνης οὐχὶ κολάσεως ἐλευθερῶσαι μόνον, ἀλλὰ [v]καὶ δίκαιον ποιῆσαι, καὶ τῶν ἀθανάτων ἐκείνων ἀξιῶσαι τιμῶν. Μὴ τοίνυν [w]νομίσῃς τοῦτον ἐλαττοῦσθαι, ἐπειδὴ ἐκείνῳ οὐ κατὰ χάριν λογίζεται. [x]Αὐτὸ γὰρ τοῦτο μάλιστα ποιεῖ τὸν πιστὸν εἶναι λαμπρὸν, τὸ τοσαύτης ἀπολαῦσαι χάριτος, τὸ τοιαύτην πίστιν ἐπιδείξασθαι. Καὶ ὅρα [y]καὶ τὴν ἀντίδοσιν μείζονα. Ἐκείνῳ μὲν γὰρ μισθὸς B
δίδοται, τούτῳ δὲ δικαιοσύνη· πολὺ δὲ [z]μείζων μισθοῦ δικαιοσύνη· πολλῶν γάρ ἐστι μισθῶν περιεκτικωτάτη ἀντίδοσις ἡ δικαιοσύνη.

Δείξας τοίνυν ἀπὸ τοῦ Ἀβραὰμ [a]τοῦτο, καὶ τὸν Δαυὶδ ἐπάγει λοιπὸν ψηφιζόμενον τοῖς εἰρημένοις. Τί οὖν φησιν ὁ Δαυὶδ, καὶ τίνα μακαρίζει; τὸν ἐν ἔργοις [b]κομῶντα, ἢ τὸν χάριτος ἀπολελαυκότα, [c]τὸν ἀφέσεως καὶ δωρεᾶς τετυχηκότα; Μακαριότητα δὲ ὅταν εἴπω, τὴν κορυφὴν λέγω τῶν ἀγαθῶν ἁπάντων. [d]Ὥσπερ γὰρ μισθοῦ πλέον ἡ δικαιοσύνη, οὕτω δικαιοσύνης [d]πλέον ὁ μακαρισμός. Δείξας τοίνυν τὴν δικαιο- C
σύνην βελτίω, οὐ τῷ τὸν Ἀβραὰμ αὐτὴν εἰληφέναι μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν· ἔχει γὰρ καύχημα, φησὶ, [e]πρὸς τὸν θεόν· καὶ ἑτέρῳ τρόπῳ πάλιν αὐτὴν ἀποφαίνει σεμνοτέραν, τὸν Δαυὶδ εἰσάγων αὐτῇ ψηφιζόμενον. Καὶ γὰρ οὗτος, φησὶ, τὸν οὕτω δικαιωθέντα μακαρίζει λέγων, [4] "Μακάριοι ὧν [f]ἀφέθησαν αἱ ἀνομίαι." Καὶ δοκεῖ μὲν οὐ προσήκουσαν παράγειν μαρτυρίαν· οὐδὲ γὰρ εἶπε, μακάριοι ὧν ἡ πίστις εἰς δικαιοσύνην ἐλογίσθη· ποιεῖ δὲ αὐτὸ ἑκὼν, οὐκ ἀγνοῶν, ἵνα πλείονα δείξῃ τὴν ὑπερ- D
βολήν. Εἰ γὰρ μακάριος οὗτος ὁ λαβὼν ἄφεσιν ἀπὸ χάριτος, πολλῷ μᾶλλον ὁ δικαιωθεὶς, καὶ ὁ πίστιν ἐπιδειξάμενος. Ὅπου δὲ μακαρισμὸς, αἰσχύνη πᾶσα ἀνῄρηται, καὶ πολλὴ ἡ δόξα· ἐπίτασις γάρ ἐστι [g]καὶ μισθῶν καὶ δόξης ὁ μακαρισμός. Διὰ τοῦτο, ὃ μέν ἐστιν ἐκείνου πλεονέκτημα, ἄγραφον τίθησιν,

[3] v. 5. [4] v. 7.

[v] καὶ om. F.H. [w] τοῦτον ἐλ. νομίσῃς A.D.E. ἐλ. τοῦτον νομίζῃς F.H.I. [x] Evulsum folium unum in G. ab ἀὐτὸ γὰρ ad ἀπολαύοντα p. 499 E. [y] καὶ om. A. E. F. H. I. [z] μεῖζον B. E. H. [a] τοῦτο om. F. H. I. [b] καμόντα A.B.D.E.F.H. [c] τὸν] εὔδηλον ὅτι τὸν D.E. [d] πλείων B.E. [e] ἀλλ' οὐ πρὸς Sav. Mor. Ben. ἀλλ' οὐ om. F.H.I. Veron. habet, sed extra lineam B. [f] ἀφείθησαν A.D. [g] καὶ μισθῶν καὶ δόξης] Sic libri omnes. Ante Montef. edebatur καὶ μισθῶν δόξα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπών· " Τῷ γὰρ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν·" ὃ δέ ἐστι τοῦ πιστοῦ προτέρημα, τοῦτο δι' ἐγγράφου μαρτυρίας κατασκευάζει, λέγων· " Καθὼς εἶπε Δαυΐδ· Μακά-
E ριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι." Τί γὰρ λέγεις, φησὶν, ὅτι οὐ κατὰ [h]ὀφειλὴν, ἀλλὰ κατὰ χάριν [i]λαμβάνει τὴν ἄφεσιν; Ἀλλ' ἰδοὺ, οὗτός ἐστιν ὁ μακαριζόμενος· οὐκ ἂν δὲ αὐτὸν ἐμακάρισεν, εἰ μὴ καὶ δόξης εἶδεν ἀπολαύοντα πολλῆς. Καὶ οὐ λέγει, ἡ ἄφεσις οὖν αὕτη ἐπὶ τὴν περιτομήν; ἀλλὰ τί; [5] " Ὁ μακαρισμὸς [k]οὖν οὗτος," ὅπερ πλέον ἦν, " ἐπὶ τὴν περιτομὴν, [l]ἢ ἐπὶ τὴν ἀκροβυστίαν;" Ζητεῖται γὰρ λοιπὸν τὸ ἀγαθὸν τοῦτο καὶ [m]μέγα μετὰ τίνος ἕστηκεν, ἆρα μετὰ τῆς περιτομῆς, ἢ μετὰ τῆς ἀκροβυστίας. Καὶ ὅρα τὴν ὑπερβολήν· δείκνυσι
500 γὰρ [n]αὐτὸ οὐ μόνον οὐ φεῦγον τὴν ἀκροβυστίαν, ἀλλὰ καὶ ἐμφιλοχωροῦν αὐτῇ πρὸ τῆς περιτομῆς. Ἐπειδὴ γὰρ ὁ μακαρίζων καὶ αὐτὸς ἐμπερίτομος ἦν ὁ Δαυΐδ, καὶ ἐμπεριτόμοις [o]διελέγετο, ὅρα πῶς ἐφιλονείκησεν ὁ Παῦλος εἰς τὸν ἀκρόβυστον ἀγαγεῖν τὸ εἰρημένον. Συνάψας γὰρ τῇ δικαιοσύνῃ τὸν μακαρισμὸν, καὶ δείξας ἀμφότερα ἓν, ζητεῖ πῶς ἐδικαιώθη ὁ Ἀβραάμ. Εἰ γὰρ ὁ μακαρισμὸς τοῦ δικαίου, ἐδικαιώθη δὲ [p]Ἀβραὰμ, ἴδωμεν πῶς [q]ἐδικαιώθη, ἀκρόβυστος ὢν ἢ ἐμπερίτομος. [r]Ἀκρόβυστος, φησί. " Λέγομεν γὰρ, ὅτι ἐλογίσθη (57)
B τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην." Ἀνωτέρω τὴν γραφὴν εἰπών· " Τί γὰρ ἡ γραφὴ λέγει; φησίν. [s]Ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην·" ἐνταῦθα καὶ τὴν τῶν λεγόντων [t]προσλαμβάνει κρίσιν λοιπὸν, καὶ δείκνυσιν ἐν τῇ ἀκροβυστίᾳ τὴν δικαιοσύνην γεγενημένην.

Εἶτα ἀπὸ τούτων ἀντίθεσιν ἑτέραν ἀνακύπτουσαν λύει· εἰ γὰρ ἀκρόβυστος ὢν, φησὶν, ἐδικαιώθη, τίνος ἕνεκεν ἐπεισῆλθεν ἡ περιτομή; [6] " Σημεῖον ἔλαβε, φησὶ, καὶ σφραγῖδα τῆς δικαιο-
C σύνης τῆς διὰ [v]τῆς πίστεως τῆς, ἡνίκα ἦν ἀκρόβυστος, γενομένης αὐτῷ." Εἶδες πῶς ἔδειξεν ὡς ἐν τάξει παρασίτων τοὺς Ἰουδαίους ὄντας, [w]ἢ τοὺς ἐν ἀκροβυστίᾳ, καὶ τούτους ἐκείνοις προσερριμμένους; Εἰ γὰρ ἐδικαιώθη μὲν ἀκρόβυστος ὢν καὶ ἐστεφανώθη,

[5] v. 9. [6] v. 11.

[h] ὀφειλὴν pro ὀφειλημα omnes. [i] λαμβάνει A.B.D.H.I. Brix. λαμβάνεις Edd. [k] οὖν accessit ex A.D E.F.H.I. [l] ἢ]+καὶ G. Mosq. 8. [m] μέγα om. G. [n] αὐτὸν... φεύγοντα... ἐμφιλοχωροῦντα G. [o] διαλέγεται A.F.H.I. [p] ὁ Ἀβρ. Edd. ὁ om. B.D.G.H.I. [q] ἐδικαιώθη]+ὁ Ἀβραὰμ G. [r] ἀκρόβυστος]+γὰρ I. [s] ἐπίστευσεν]+δὲ G. [t] προσλαμβάνει A.B.D.E.F.G.H. λαμβάνει Edd. [v] τῆς om. A.D.E.F.H. Mosqq. τῆς ante et post πίστεως om. G. [w] ἢ τοὺς ἐν ἀκρ. καὶ τούτους] Sic libri omnes. Edebatur ἢ (ἦ Edd. ante Ben.) καὶ τούτους τοὺς ἐν ἀκρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕστερον δὲ τὴν περιτομὴν ἔλαβεν, [x]ὕστερον ἐπεισῆλθον οἱ Ἰουδαῖοι. Οὐκοῦν τῶν ἀκροβύστων πρῶτόν ἐστι πατὴρ ὁ Ἀβραὰμ τῶν [y]διὰ πίστεως αὐτῷ προσηκόντων, καὶ τότε τῶν ἐν περιτομῇ· διπλοῦς γάρ ἐστι πρόγονος. Εἶδες τὴν πίστιν [z]λάμπουσαν; ἕως γὰρ ἦλθεν αὕτη, οὐκ ἐδικαιώθη ὁ πατριάρχης. Εἶδες τὴν ἀκροβυστίαν οὐδὲν ἐμποδίζουσαν; καὶ γὰρ ἀκρόβυστος ἦν, καὶ οὐκ ἐκωλύθη δικαιωθῆναι. Ὑστέρα ἄρα τῆς D πίστεως ἡ περιτομή. Καὶ τί θαυμάζεις εἰ τῆς [a]πίστεως, ὅπου γε καὶ τῆς ἀκροβυστίας; Οὐχ ὑστέρα δὲ μόνον τῆς πίστεως, ἀλλὰ καὶ σφόδρα αὐτῆς καταδεεστέρα, καὶ τοσοῦτον, [b]ὅσον σημεῖον τοῦ πράγματος οὗπερ ἐστὶ σημεῖον· οἷον ὅσον ἡ σφραγὶς τοῦ στρατιώτου. Καὶ τίνος ἕνεκεν σφραγῖδος ἐδεῖτο, φησίν; Οὐκ αὐτὸς ἐδεῖτο. Τίνος οὖν ἕνεκεν [c]αὐτὴν ἐδέξατο; Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα κοινὸν [d]καὶ τῶν πιστευόντων δι' ἀκροβυστίας, καὶ τῶν ἐν περιτομῇ. Ἀλλ' οὐχ ἁπλῶς τῶν ἐν E περιτομῇ· διὸ καὶ ἐπάγει, [7] "Τοῖς οὐκ ἐκ περιτομῆς μόνον." Εἰ γὰρ τῶν ἀκροβύστων, οὐκ ἐπειδὴ ἀκρόβυστός ἐστι, διὰ τοῦτό ἐστι πατὴρ, καίτοιγε ἐν ἀκροβυστίᾳ δικαιωθείς, ἀλλ' ἐπειδὴ τὴν πίστιν αὐτοῦ ἐζήλωσαν, πολλῷ μᾶλλον τῶν ἐμπεριτόμων οὐκ ἔσται διὰ τὴν περιτομὴν πρόγονος, εἰ μὴ προσγένοιτο καὶ ἡ πίστις. Περιτομὴν [e]γὰρ ἔλαβεν, ἵνα ἑκάτεροι, φησὶν, αὐτὸν ἔχωμεν πρόγονον, [f]καὶ οἱ ἀκρόβυστοι μὴ ἀπώσωνται τοὺς ἐμπεριτόμους. [g]Ὁρᾷς πῶς οὗτοι προπάτορα ἔσχον αὐτὸν πρῶτοι; Εἰ δὲ σεμνὸν ἡ περιτομὴ, ὅτι κηρύττει 501 τὴν δικαιοσύνην, οὐ μικρὰν καὶ ἡ ἀκροβυστία προεδρίαν ἔχει πρὸ τῆς περιτομῆς αὐτὴν δεξαμένη. Τότε [h]οὖν αὐτὸν δυνήσῃ προπάτορα ἔχειν, ὅταν στοιχήσῃς τοῖς ἴχνεσι τῆς πίστεως, καὶ [i]μὴ φιλονεικῆς μηδὲ στασιάζῃς τὸν νόμον [k]ἐπεισάγων. Ποίας, εἰπέ μοι, πίστεως; "Τῆς ἐν τῇ ἀκροβυστίᾳ." Πάλιν καταστέλλει τὸ φύσημα τὸ Ἰουδαϊκὸν, ἀναμιμνήσκων τοῦ χρόνου τῆς δικαιοσύνης. Καὶ καλῶς εἶπε, "τοῖς ἴχνεσιν," ἵνα ὁμοίως ἐκείνῳ πιστεύσῃς εἰς νεκρῶν ἀνάστασιν σωμάτων. Καὶ γὰρ

[7] v. 12.

[x] ὕστερον δὲ ἐπεισ. Edd. δὲ deest in omnibus. Statim εἰσῆλθον B. Veron. [y] διὰ]+τῆς A.D.E.F.H.I. [z] λάμπουσαν] λαμπρὰν οὖσαν G. [a] πίστεως] +ἡ περιτομὴ Edd. reclamantibus libris. [b] ὅσον]+ἐστι G.I. Statim σημεῖον om. A.D.E.F.H.I. [c] ἐδέξατο αὐτὴν inverso ord. iidem. αὐτὸς ἐδέξατο B. [d] καὶ aberat ante Montef. invitis libris. [e] γὰρ] μὲν γὰρ G. [f] καὶ οἱ ἀκρ. μὴ] καὶ μήτε οἱ ἐμπερίτομοι τοὺς ἀκροβύστους, μήτε οἱ ἀκρόβυστοι D.E. [g] ὁρᾷς pro ὅρα A.F.G.H.I. Statim οὗτοι pro αὐτοὶ A.D.E.F.G.H.I. [h] οὖν accessit ex omnibus. [i] μὴ pro μηδὲ A.D.E.F.G.H.I. Statim φιλονεικήσῃς et στασιάσῃς G. [k] εἰσάγων A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B [l]καὶ ἐκεῖνος περὶ τοῦτο τὴν πίστιν ἐπεδείξατο. Ὥστε εἰ τὴν ἀκροβυστίαν ἐκβάλλεις, μάνθανε σαφῶς, ὅτι οὐδέν σοι οὐδὲ τῆς περιτομῆς ὄφελος. Ἂν γὰρ μὴ τοῖς ἴχνεσιν [m]ἀκολουθήσῃς τῆς πίστεως, κἂν μυριάκις ᾖς ἐμπερίτομος, οὐκ ἔσῃ τοῦ Ἀβραὰμ [n]ἔκγονος· ἐπεὶ καὶ τὴν περιτομὴν διὰ τοῦτο ἔλαβεν, ἵνα σε ὁ ἐν ἀκροβυστίᾳ μὴ [o]ἐκβάλῃ. [p]Μὴ δὴ καὶ ἐκεῖνον τοῦτο ἀπαίτει· σοὶ γὰρ τὸ [q]πρᾶγμα βοήθεια γέγονεν, οὐκ ἐκείνῳ. Ἀλλὰ σημεῖον αὐτὸ δικαιοσύνης, φησί. Καὶ τοῦτο διὰ σέ, ἐπεὶ νῦν οὐδὲ τοῦτό ἐστι· τότε γὰρ σὺ τῶν σωματικῶν ἔχρῃζες σημείων, [r]νῦν δὲ οὐ χρεία τοίτων. Ἀπὸ γὰρ τῆς πίστεως, φησὶν, οὐκ
C ἦν δυνατὸν [s]καταμαθεῖν αὐτοῦ τῆς ψυχῆς τὴν ἀρετήν; Δυνατὸν μὲν ἦν, σὺ δὲ καὶ ταύτης ἔχρῃζες τῆς προσθήκης. Ἐπειδὴ γὰρ τῆς ψυχῆς τὴν ἀρετὴν οὐκ ἐζήλωσας, οὐδὲ ἰδεῖν ἠδυνήθης, ἐδόθη σοι ἡ αἰσθητὴ περιτομὴ, ἵνα ἐμμελετήσας τῷ σωματικῷ τούτῳ, κατὰ μικρὸν χειραγωγηθῇς καὶ ἐπὶ τὴν τῆς ψυχῆς φιλοσοφίαν, καὶ μετὰ πολλῆς αὐτὴν ὑποδεξάμενος τῆς σπουδῆς ὡς ἀξίωμα μέγιστον, [t]παιδευθῇς μιμεῖσθαι καὶ αἰδεῖσθαι τὸν πρόγονον. Καὶ τοῦτο οὐκ ἐν τῇ περιτομῇ μόνον ὁ θεὸς κατεσκεύασεν, ἀλλὰ [v]καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷον θυσίαις λέγω καὶ [w]σαβ- (58)
D βάτῳ καὶ ἑορταῖς. Ὅτι γὰρ διὰ σὲ [x]περιτομὴν ἔλαβεν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γὰρ, ὅτι σημεῖον [y]ἔλαβε καὶ σφραγῖδα, καὶ τὴν αἰτίαν τίθησι, λέγων· "Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα περιτομῆς," τούτοις τοῖς καὶ τὴν νοητὴν προσλαμβάνουσιν· ὡς ἐὰν ταύτην [z]μόνον ἔχῃς, οὐδέν σοι [a]γενήσεται πλέον. Σημεῖον γὰρ [b]τότε τοῦτό ἐστιν, ὅταν τὸ πρᾶγμα, οὗ [c]τοῦτό ἐστι σημεῖον, φαίνηται παρὰ σοὶ, τουτέστιν, ἡ πίστις· ὡς ἂν μὴ ταύτην ἔχῃς, οὐδὲ τὸ σημεῖον λοιπὸν εἶναι σημεῖον δύναται. Τίνος γὰρ ἔσται [d]σημεῖον, τίνος δὲ σφραγὶς, οὐκ ὄντος [e]τοῦ σφραγιζομένου; ὡς ἂν εἰ καὶ βαλάντιον [f]ἐπιδει-
E κνύεις ἡμῖν σφραγῖδα ἔχον, μηδενὸς ἔνδον ἀποκειμένου. Ὥστε καταγέλαστος ἡ περιτομὴ, τῆς πίστεως ἔνδον οὐκ οὔσης. Εἰ γὰρ δικαιοσύνης ἐστὶ σημεῖον, δικαιοσύνην δὲ οὐκ ἔχεις, οὐδὲ σημεῖον ἔχεις. Διὰ γὰρ τοῦτο ἔλαβες σημεῖον, ἵνα τὸ πρᾶγμα

[l] καὶ accessit ex A.B.D.E.F.H. [m] ἀκολουθῇς B.G. [n] ἔγγονος A.D.E. F.H. et ante corr. B. [o] ἐκβάλῃ pro ἐκβάλλῃ B.D.E.F.H.I. et ex corr. A. [p] μὴ δὲ ἐκεῖνο H. μὴ οὖν καὶ ἐκεῖνον I. μηδέ σε ἐκεῖνος (et p. p. ἀπαιτῇ) G. [q] πρᾶγμα]+καὶ ἡ E. [r] νυνὶ F.G. [s] καταμαθεῖν αὐτοῦ pro αὐτοῦ καταμαθεῖν omnes praeter E. ubi legitur καταμαθεῖν τῆς ψ. αὐτοῦ. [t] παιδευθεὶς F.H. et ante corr. G. Statim μιμεῖσθαι καὶ om. A.F.G.H.I. [v] καὶ om. G. [w] σαββάτῳ omnes. σάββασι vulgo. [x] τὴν περιτομὴν A.E.F.H.I. [y] ἔλαβε καὶ] ἔλαβες G. [z] μόνην H. [a] γίνεται B.G. et (om. σοι) Veron. [b] τότε om. G. [c] τοῦτο om. G. [d] σημεῖον, τίνος δὲ om. G. δὲ om. H. [e] τοῦ om. G. [f] ἐπιδεικνύης F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιζητῇς, οὗ τὸ σημεῖον ἔχεις· ὡς εἴγε ἔμελλες αὐτὸ χωρὶς τούτου ἐπιζητεῖν, οὐκ ἂν ἐδέησέ [g]σοι τούτου. Οὐ τοῦτο δὲ κηρύττει μόνον ἡ περιτομὴ, τὴν δικαιοσύνην, ἀλλὰ καὶ [h]τὴν ἐν ἀκροβυστίᾳ δικαιοσύνην. Οὐδὲν [i]οὖν ἄλλο κηρύττει ἡ περιτομὴ, ἀλλ' ὅτι οὐ χρεία περιτομῆς.

[8] "Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία." Ἔδειξεν, ὅτι ἀναγκαία ἡ πίστις, ὅτι πρεσβυτέρα περιτομῆς, ὅτι νόμου ἰσχυροτέρα, ὅτι συνίστησι νόμον. Εἰ γὰρ πάντες ἥμαρτον, ἀναγκαία· εἰ ἀκρό- 502
βυστος ὢν ἐδικαιώθη, πρεσβυτέρα· εἰ διὰ νόμου ἐπίγνωσις ἁμαρτίας, χωρὶς δὲ νόμου πεφανέρωται, ἰσχυροτέρα· εἰ μαρτυρεῖται ὑπὸ τοῦ νόμου καὶ τὸν νόμον ἵστησιν, οὐκ ἐναντία, ἀλλὰ φίλη καὶ σύμμαχος. Δείκνυσι πάλιν καὶ ἑτέρωθεν, ὅτι [k]οὐδὲ δυνατὸν ἦν διὰ νόμου τὴν κληρονομίαν λαβεῖν· καὶ παραβαλὼν αὐτὴν τῇ περιτομῇ, καὶ λαβὼν τὰ νικητήρια, ἀντεπεξάγει πάλιν B
αὐτὴν τῷ νόμῳ, οὕτω λέγων· "Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις." Ἵνα γὰρ μή τις λέγῃ, ὅτι καὶ πίστιν δυνατὸν ἔχειν καὶ νόμον τηρῆσαι, δείκνυσιν ὅτι ἀμήχανον. Ὁ γὰρ ἐχόμενος τοῦ νόμου ὡς σώζοντος, ἀτιμάζει τῆς πίστεως τὴν δύναμιν. Διό φησι, "κεκένωται ἡ πίστις"· τουτέστιν, οὐ χρεία τῆς κατὰ χάριν σωτηρίας· οὐδὲ γὰρ δύναται τὴν ἰσχὺν τὴν ἑαυτῆς ἐπιδείξασθαι· καὶ "[l]κατήργηται ἡ ἐπαγγελία." Καὶ γὰρ ὁ Ἰουδαῖος ἴσως ἂν εἴποι· [m]τί γάρ μοι χρεία πίστεως; Οὐκοῦν εἰ τοῦτο ἀληθὲς, μετὰ τῆς πίστεως καὶ τὰ τῆς ἐπαγγελίας ἀνῄρηται. Ὅρα ἐν πᾶσιν αὐτοῖς ἄνωθεν ἀπὸ τοῦ πατριάρχου μαχόμενον. Δείξας γὰρ ἐκεῖθεν τὴν δικαιο- C
σύνην τῇ πίστει συγκεκληρωμένην, δείκνυσι καὶ τὴν ἐπαγγελίαν ὁμοίως. Ἵνα γὰρ μὴ λέγῃ ὁ Ἰουδαῖος, τί γὰρ [n]ἐμοὶ μέλει, εἰ διὰ πίστεως ἐδικαιώθη Ἀβραάμ; λέγει ὁ Παῦλος, [o]ὅτι οὐδὲ τὸ σοὶ διαφέρον, ἡ ἐπαγγελία τῆς κληρονομίας, δύναται εἰς ἔργον ἐλθεῖν ἐκείνης χωρίς· ὃ μάλιστα αὐτοὺς [p]ἐφόβει. Ποίαν δὲ ἐπαγγελίαν φησί; Τὸ κληρονόμον [q]αὐτὸν εἶναι τοῦ κόσμου, καὶ ἐν αὐτῷ πάντας [r]ἐνευλογεῖσθαι. Καὶ [s]πῶς κατήργηται ἡ ἐπαγγελία αὕτη, φησίν; [9] "Ὅτι ὁ νόμος ὀργὴν κατεργάζεται·

[8] v. 14. [9] v. 15.

[g] σοι om. A.E.F.G.H.I. [h] τὴν ἐν ἀ. δικαιοσύνην] τὴν ἀκροβυστίαν τῇ δικαιοσύνῃ I. [i] οὖν om. H. et a pr. man. I. [k] οὐδὲ] οὐ G. [l] κατηγορεῖται H. Haec καὶ κ. ἡ ἐπαγγελία desunt in G. [m] τί] τίς D.E. [n] ἐμοὶ pro μοι A.D.E.F.G.H.I. Statim μέλλει E.H. et a pr. m. B. [o] ὅτι om. G. [p] ἐφόβει A.B.D.E.F.H.I. et (corr. ex φοβεῖ) G. ἐκφοβεῖ Edd. [q] αὐτὸν om. A.D.E.F.H.I. [r] ἐνευλογεῖσθαι pro εὐλογεῖσθαι A.B.D.E.H. [s] πῶς] +γὰρ I. Statim κατηργήθη G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὖ [t]γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις." Εἰ δὲ ὀργὴν
D κατεργάζεται καὶ παραβάσει [v]ὑπευθύνους ποιεῖ, εὔδηλον ὅτι καὶ κατάρα· [w]οἱ δὲ κατάρα καὶ τιμωρίᾳ καὶ παραβάσει ὄντες ὑπεύθυνοι, [x]οὗτοι οὐ τοῦ κληρονομεῖν ἄξιοι, ἀλλὰ τοῦ δίκην διδόναι καὶ ἐκβάλλεσθαι. Τί οὖν γίνεται; Ἔρχεται ἡ πίστις ἐφελκομένη [y]τὴν χάριν, ὥστε τὴν ἐπαγγελίαν εἰς ἔργον [z]ἐξελθεῖν. Ὅπου γὰρ χάρις, συγχώρησις· ὅπου δὲ συγχώρησις, οὐδεμία κόλασις· κολάσεως δὲ [a]ἀνῃρημένης, καὶ δικαιοσύνης ἐπιγενομένης ἀπὸ τῆς πίστεως, οὐδὲν τὸ κωλύον κληρονόμους ἡμᾶς γενέσθαι [b]τῆς ἐπαγγελίας.

E "Διὰ τοῦτο [c]οὖν ἐκ πίστεως, φησὶν, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν [d]τοῦ θεοῦ παντὶ τῷ σπέρματι." Ὁρᾷς, ὅτι οὐ τὸν νόμον ἵστησι μόνον ἡ πίστις, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐκ ἀφίησι [e]διαπεσεῖν· ὁ δὲ νόμος τοὐναντίον καὶ τὴν πίστιν καταργεῖ παρὰ καιρὸν τηρούμενος, καὶ τὴν ἐπαγγελίαν κωλύει; Διὰ [f]τούτων δείκνυσιν οὐ μόνον οὐ περιττὴν τὴν πίστιν, ἀλλὰ καὶ οὕτως ἀναγκαίαν, [g]ὡς μηδὲ εἶναι (59)
ταύτης ἄνευ σωθῆναι. Ὁ μὲν γὰρ νόμος ὀργὴν ποιεῖ· πάντες γὰρ αὐτὸν παρέβησαν· αὕτη δὲ [h]οὐδὲ συστῆναι τὴν ὀργὴν
503 ἀφίησι τὴν ἀρχήν. "Οὗ γὰρ οὐκ ἔστι, φησὶ, νόμος, οὐδὲ παράβασις." Εἶδες πῶς οὐ μόνον γενομένην ἀφανίζει τὴν ἁμαρτίαν, ἀλλ' οὐδὲ [i]φυῆναι αὐτὴν ἀφίησι; Διὰ τοῦτό φησι, "κατὰ χάριν." Εἰς τὸ τί; [k]Οὐκ εἰς τὸ καταισχυνθῆναι, ἀλλ', "εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι." Δύο τίθησιν [l]ἐνταῦθα ἀγαθὰ, [m]ὅτι καὶ βέβαια τὰ διδόμενα, καὶ παντὶ τῷ σπέρματι, τοὺς ἐξ ἐθνῶν [n]συνεισάγων, καὶ δεικνὺς Ἰουδαίους ἐκτὸς ὄντας, ἂν πρὸς τὴν πίστιν [o]φιλονεικῶσι. Τοῦτο γὰρ βέβαιον μᾶλλον ἢ ἐκεῖνο· οὐ γὰρ ζημιοῖ [p]σε ἡ πίστις, μὴ φιλονείκει, ἀλλὰ καὶ κινδυνεύοντά σε ἐκ τοῦ νόμου

10 v. 16.

[t] γὰρ] δὲ G. [v] ὑπεύθυνον ποιεῖ, δῆλον H. [w] οἱ] εἰ F.H. et ante corr. G. [x] οὗτοι om. A.E.F.G.H.I. Statim οὐ τοῦ κλ. A.E.F.I. et ex corr. G. οὐ τὸ κλ. H. et a pr. man. G. Edebatur οὐ κλ. [y] τὴν χάριν omnes. *gratiam illiciens* Brix. τῇ χάριτι Edd. [z] ἐλθεῖν G. [a] ἀναιρουμένης A.D.E.F.H.I. Mox ἐπιγινομένης A.D.E.G.I. [b] τῆς ἐπαγγελίας]+τῆς ἀπὸ τῆς πίστεως Edd. repugnantibus libris. Verba τῆς ἐπαγγελίας desunt in Veron. [c] οὖν] γοῦν D. [d] τοῦ θεοῦ om. A.D.E.F.H. et Mosqq. Post σπέρματι vulgo addunt ex Bibliis οὐ τῷ ἐκ τοῦ νόμου μόνον——πατὴρ πάντων ἡμῶν. Sed haec desunt in libris omnibus. [e] διαπεσεῖν]+ταύτην G. [f] τούτων] τοῦτο D.G. [g] ὡς] ὥστε E. [h] οὐδὲ] οὐ E. [i] φανῆναι B. [k] οὐκ εἰς τὸ κ.] εἰς τὸ καταισχυνθῆναι; οὐ I. [l] καὶ ἐνταῦθα H. Statim τὰ ἀγαθὰ Edd. τὰ om. A.B.D.E.F.G. Lacuna est in I. [m] ὅτι καὶ] καὶ ὅτι G. καὶ om. D. Mox καὶ ὅτι παντὶ D.E. et ex corr. G. [n] συνεισάγων pro συνάγων omnes. [o] φιλονεικῶσι A.D.E.F.G.H.I. φιλονεικήσωσι Edd. [p] σε om. A.B.E.F.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διασώζει. Εἶτα ἐπειδὴ εἶπε, " παντὶ τῷ σπέρματι," διορίζει B
ποίῳ σπέρματι. " Τῷ [q]ἐκ πίστεως," φησὶ, συνάπτων τὴν πρὸς
τὰ ἔθνη συγγένειαν, καὶ δεικνὺς, ὅτι οὐδὲ δύνανται φρονεῖν ἐπὶ
τῷ Ἀβραὰμ οἱ μὴ πιστεύοντες ὁμοίως ἐκείνῳ. Ἰδοὺ καὶ τρίτον
[r]ἄλλο ἡ πίστις εἰργάσατο· τὴν γὰρ συγγένειαν τὴν πρὸς τὸν
δίκαιον ἀκριβεστέραν ἐποίησε, καὶ πλειόνων [s]ἐκγόνων ἀπέφηνε
πρόγονον. Διὸ οὐδὲ ἁπλῶς εἶπεν, Ἀβραὰμ, ἀλλὰ, " τοῦ
πατρὸς ἡμῶν," [t]ἡμῶν τῶν πιστῶν. Εἶτα καὶ [v]τῇ μαρτυρίᾳ
ἐπισφραγίζει [w]τὸ εἰρημένον. [11] " Καθὼς γέγραπται, φησὶν,
ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε." Εἶδες [x]ἄνωθεν ταῦτα
οἰκονομούμενα; Τί οὖν, φησὶν, [y]εἰ τῶν Ἰσμαηλιτῶν [z]ἢ τῶν C
Ἀμαληκιτῶν ἢ τῶν Ἀγαρηνῶν ἕνεκεν ταῦτα λέγει; Τοῦτο μὲν
οὖν προϊὼν σαφέστερον δείκνυσιν οὐ περὶ ἐκείνων εἰρημένον·
τέως δὲ ἐφ' ἕτερον ἐπείγεται, δι' οὗ καὶ αὐτὸ τοῦτο δείκνυσιν,
ὁριζόμενος τῆς τοιαύτης συγγενείας τὸν τρόπον, καὶ μετὰ πολ-
λῆς αὐτὸ τῆς μεγαλονοίας κατασκευάζων. Τί γάρ φησι;
" Κατέναντι οὗ ἐπίστευσε θεοῦ." [a]Ὃ δὲ λέγει, [a]τοιοῦτόν
ἐστιν· ὥσπερ ὁ θεὸς οὐκ ἔστι μερικὸς θεὸς, ἀλλὰ πάντων
πατὴρ, οὕτω καὶ αὐτός. Καὶ πάλιν, ὥσπερ ὁ θεὸς πατήρ
ἐστιν οὐ κατὰ τὴν φυσικὴν συγγένειαν, ἀλλὰ κατ' οἰκείωσιν
πίστεως, οὕτω καὶ αὐτός· ἡ γὰρ ὑπακοὴ ποιεῖ [b]πατέρα πάντων D
ἡμῶν. Ἐπειδὴ γὰρ οὐδὲν ἐνόμιζον εἶναι ταύτην τὴν συγγέ-
νειαν, τὴν παχυτέραν ἐκείνην [c]κατασχόντες, δείκνυσι ταύτην
κυριωτέραν, ἐπὶ τὸν θεὸν τὸν λόγον [d]ἀναγαγών. Καὶ μετὰ
τούτων κἀκεῖνο ἐμφαίνει, ὅτι [e]καὶ ἀμοιβὴν τῆς πίστεως ταύτην
ἔλαβεν· ὥστε ἂν μὴ τοῦτο ᾖ, [f]κἂν πάντων ᾖ πατὴρ τῶν τὴν
γῆν οἰκούντων, τὸ, " κατέναντι," οὐκ ἔχει χώραν, ἀλλ' ἠκρωτη-
ρίασται [g]τοῦ θεοῦ ἡ δωρεά· τὸ γὰρ κατέναντι, ὁμοίως ἐστί.
Ποῦ γὰρ θαυμαστὸν, εἰπέ μοι, τῶν ἐξ αὐτοῦ πατέρα εἶναι;
τοῦτο γὰρ ἕκαστος κέκτηται τῶν ἀνθρώπων. Τὸ γὰρ παρά-
δοξον ἐκεῖνό ἐστιν, οὓς οὐκ εἶχεν ἐκ φύσεως, τούτους ἀπὸ τῆς E

[11] v. 17.

[q] ἐκ τῆς πίστεως Edd. repugnantibus libris. [r] ἄλλο ἡ πίστις pro ἡ πίστις ἄλλο omnes. [s] ἐγγόνων A.D.E.F.H. et ante corr. B. Statim ἀπέφηνεν εἶναι πρ. G. [t] ἡμῶν, quod aberat, est in A.B.D.E.F.H.I. [v] τὴν μαρτυρίαν A.D.E.F.H.I. Statim ἐπισφραγίζει pro ἐπισφραγίζων omnes. [w] τὸ εἰρημένον] λέγων I. Mox φησὶν om. idem. [x] ἄνωθεν ταῦτα pro ταῦτα ἄνωθεν omnes. [y] εἰ τῶν Ἰσμαηλιτῶν . . . ἕνεκεν ταῦτα λ.] Sic omnes. εἰ περὶ τῶν Ἰσμαηλιτῶν . . . . ταῦτα λ. Edd. [z] ἢ] εἰ bis A.F.G.H.I. [a] τοῦτο B.F. G.I. τοιοῦτο H. [b] πατέρα]+καὶ πρόγονον D.G. [c] κατέχοντες ex corr. G. [d] ἀναγαγὼν pro ἀνάγων A.D.F.H.I. ἀγαγὼν E. [e] καὶ om. B. Mox ταύτην om. H. [f] κἂν pro καὶ A.B.D.E.F.I. Recepit etiam Montef. [g] τοῦ θ. ἡ δ. pro ἡ τοῦ θ. δ. A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ θεοῦ δωρεᾶς λαβεῖν. Ὥστε εἰ βούλει πιστεῦσαι, ὅτι ἐτιμήθη ὁ πατριάρχης, πίστευσον, ὅτι πάντων ἐστὶ πατήρ. Εἰπὼν [h] δὲ, "κατέναντι οὗ ἐπίστευσε θεοῦ," οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ [i] καὶ ἐπήγαγε· "Τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα·" ἤδη τὸν [k] περὶ τῆς ἀναστάσεως προκαταβαλλόμενος λόγον. Καὶ εἰς τὸ προκείμενον δὲ [l] αὐτῷ χρήσιμον ἦν. Εἰ γὰρ δυνατὸν αὐτῷ νεκροὺς [m] ζωοποιῆσαι, καὶ τὰ μὴ ὄντα ὡς ὄντα παραγαγεῖν, δυνατὸν αὐτῷ καὶ τοὺς μὴ
504 τεχθέντας ἐξ αὐτοῦ ποιῆσαι παῖδας αὐτοῦ. Διὰ τοῦτο [n] οὐκ εἶπε, καὶ παράγοντος τὰ οὐκ [o] ὄντα, ἀλλὰ, "καλοῦντος," τὴν πλείονα εὐκολίαν δηλῶν. Ὥσπερ γὰρ ἡμῖν εὔκολον τὰ ὄντα καλέσαι, οὕτως αὐτῷ ῥᾴδιον, [p] καὶ πολλῷ ῥᾷον, τὰ μὴ ὄντα ὑποστήσασθαι.

[q] Εἰπὼν δὲ τοῦ θεοῦ τὴν δωρεὰν μεγάλην οὖσαν καὶ ἄφατον, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ διαλεχθεὶς, δείκνυσι καὶ τοῦ Ἀβραὰμ τὴν πίστιν ἀξίαν οὖσαν τῆς δωρεᾶς, ἵνα μὴ νομίσῃς αὐτὸν εἰκῇ τετιμῆσθαι. Καὶ τὸν ἀκροατὴν [r] δὲ ἀναστήσας, ἵνα μὴ θορυβῆται μηδὲ ἀμφιβάλλῃ ὁ Ἰουδαῖος, καὶ λέγῃ, καὶ πῶς
B δυνατὸν τοὺς οὐκ ὄντας παῖδας γενέσθαι παῖδας; μετάγει τὸν λόγον ἐπὶ τὸν πατριάρχην, καί φησιν· 12 "Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον· οὕτως ἔσται τὸ σπέρμα σου." Πῶς (60)
παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε; Παρ' ἐλπίδα τὴν ἀνθρωπίνην, ἐπ' ἐλπίδι τῇ τοῦ θεοῦ. Δείκνυσι γὰρ καὶ τὸ μεγαλεῖον τοῦ πράγματος, καὶ οὐκ ἀφίησιν ἀπιστηθῆναι τὸ λεγόμενον· ἅπερ ἐναντία ἀλλήλοις [s] ἐστὶν, ἀλλ' ἡ πίστις αὐτὰ συνεκέρασεν.
Εἰ δὲ περὶ ἐκείνων ἔλεγε τῶν ἐκ τοῦ Ἰσμαὴλ, περιττὸς οὗτος ὁ
C λόγος· ἐκεῖνοι γὰρ οὐ κατὰ πίστιν, ἀλλὰ κατὰ φύσιν ἐτέχθησαν. Ἀλλὰ [t] καὶ τὸν Ἰσαὰκ εἰς μέσον ἄγει· οὐ γὰρ ὑπὲρ ἐκείνων ἐπίστευσε τῶν ἐθνῶν, ἀλλὰ τοῦ ἀπὸ τῆς στείρας γυναικὸς ἐσομένου. Εἰ τοίνυν μισθός ἐστι [v] τὸ πατέρα πολλῶν ἐθνῶν γενέσθαι, ἐκείνων τῶν [w] ἐθνῶν ὑπὲρ ὧν ἐπίστευσε δῆλον ὅτι. [x] Ἵνα γὰρ μάθῃς, ὅτι περὶ τούτων φησὶν, ἄκουσον τῶν

12 γ. 18.

[h] δὲ] +ὅτι G. [i] καὶ om. B. [k] περὶ om. ante corr. G. [l] αὐτὸ ante corr. G. Statim χρήσιμον A.B.D.E.F.H.I. χρήσιμος Edd. [m] ζωοποιεῖν E. Statim καὶ om. E.F.H. Mox παράγειν A.D.F.H.I. et ante corr. E. [n] οὐκ pro οὐδὲ A.D.E.F.G.H.I. [o] ὄντα] +ὡς ὄντα A.D.E.F.H.I. [p] καὶ πολλῷ ῥᾷον om. G. [q] εἰπὼν] δείξας D.E. [r] δὲ accessit ex A.D.E.F.H.I. [s] εἰσὶν G. [t] καὶ om. B. καὶ (?) erasum et ἀλλὰ superscriptum habet G. [v] τὸ] τοῦ F. Statim πολλῶν ἐθνῶν πατέρα inverso ord. B.G.I. [w] ἐθνῶν] +ἐστιν E. [x] ἵνα γὰρ] καὶ ἵνα D.E.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξῆς. 13" Καὶ μὴ ἀσθενήσας τῇ πίστει, [y]κατενόησε μὲν τὸ ἑαυτοῦ [z]σῶμα νενεκρωμένον." Εἶδες πῶς τίθησι καὶ τὰ κωλύματα, καὶ τὴν ὑψηλὴν τοῦ δικαίου γνώμην πάντα ὑπερβαίνουσαν; Παρ' ἐλπίδα, φησὶ, τὸ ἐπαγγελθέν. Τοῦτο κώλυμα D πρῶτον· οὐδὲ γὰρ εἶχεν [a]οὗτος ἕτερον Ἀβραὰμ [b]ἰδεῖν οὕτω λαβόντα παῖδα. Οἱ μὲν γὰρ μετ' αὐτὸν, εἰς αὐτὸν ἔβλεπον· ἐκεῖνος δὲ εἰς οὐδένα, ἀλλ' εἰς τὸν θεὸν μόνον· διὸ καὶ, "παρ' ἐλπίδα," ἔλεγεν. Εἶτα τὸ σῶμα νενεκρωμένον· δεύτερον τοῦτο· καὶ ἡ νέκρωσις τῆς μήτρας Σάρρας· τοῦτο [c]καὶ τρίτον καὶ τέταρτον. 14" Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ." [d]Οὐδὲ γὰρ ἀπόδειξιν ἔδωκεν, οὔτε σημεῖον ἐποίησεν ὁ θεὸς, ἀλλὰ ῥήματα ἦν ψιλὰ μόνον, ἐπαγγελλόμενα [e]ταῦτα ἅπερ οὐχ ὑπισχνεῖτο ἡ φύσις. Ἀλλ' ὅμως "οὐ διεκρίθη," φησίν. Οὐκ εἶπεν, ὅτι οὐκ [f]ἠπίστησεν, ἀλλ' [g]ὅτι οὐ διεκρίθη· Ε τουτέστιν, [h]οὐδὲ ἐνεδοίασεν οὐδὲ ἀμφέβαλε, [i]καὶ τοσούτων ὄντων τῶν κωλυμάτων. Ἀπὸ τούτων μανθάνομεν, ὅτι κἂν μυρία ὁ θεὸς ἀδύνατα ἐπαγγέλληται, μὴ καταδέξηται δὲ ὁ ἀκούων, οὐ τῆς τῶν πραγμάτων φύσεώς [k]ἐστιν ἡ ἀσθένεια, ἀλλὰ τῆς [l]ἀνοίας τῆς τοῦ μὴ δεχομένου. "Ἀλλ' ἐνεδυναμώθη τῇ πίστει." Ὅρα Παύλου [m]φιλονεικίαν. Ἐπειδὴ γὰρ περὶ τῶν ἐργαζομένων καὶ τῶν πιστευόντων ἦν ὁ λόγος, δείκνυσι τὸν πιστεύοντα ἐργαζόμενον μᾶλλον ἢ ἐκεῖνον, καὶ πλείονος δεόμενον δυνάμεως καὶ πολλῆς τῆς ἰσχύος, καὶ οὐ τὸν τυχόντα ὑπομένοντα πόνον. Καὶ γὰρ [n]ἐξευτέλιζον τὴν πίστιν ὡς οὐκ ἔχουσαν πόνον. Πρὸς 505 τοῦτο τοίνυν ἱστάμενος δείκνυσιν, ὅτι οὐ μόνον ὁ σωφροσύνην κατορθῶν ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλὰ καὶ ὁ πίστιν ἐπιδεικνύμενος δυνάμεως δεῖται πλείονος. Ὥσπερ γὰρ ἐκεῖνος χρείαν ἔχει ἰσχύος, ἵνα τοὺς τῆς ἀκολασίας διακρούσηται λογισμούς· οὕτω καὶ οὗτος χρείαν ἔχει [o]δυνατῆς ψυχῆς, ἵνα τὰς τῆς ἀπιστίας [p]ἐξωθήσηται ἐννοίας. Πῶς οὖν ἐγένετο ἰσχυρός; Τῇ πίστει, φησὶν, οὐ λογισμοῖς τὸ πρᾶγμα ἐπιτρέψας· ἐπεὶ [q]κἂν

13 v. 19. 14 v. 20.

[y] οὐ κατενόησε τὸ ἑ. σ. Edd. οὐ om. A.B.E.F.G.H.I. et Mosq. 3. οὐ insertum a correctore habent B.G. Dein μὲν accessit ex A.B.E.F.H.I. (deletum in B.) [z] σῶμα]+ἤδη D.G. [a] οὗτος pro αὐτὸς A.D.E.F.I. ἕτερον οὗτος inverso ord. G. [b] Sic omnes. ἰδεῖν post παῖδα vulgo legitur. [c] καὶ om. G.H. [d] οὔτε G. [e] ταῦτα accessit ex omnibus. [f] ἠπίστησεν Edd. et Interpp. ἐπίστευσεν Codd. [g] ὅτι est in libris omnibus, non in Edd. [h] οὐδὲ ἐνεδοίασεν (ἐνεδύασεν G.) om. A.D.E.F.H.I. οὐδὲ ἀμφέβαλε om. B. [i] καὶ om. I. [k] ἐστιν om. A.E.F.H.I. [l] ἀνοίας] διχονοίας I. Statim τῆς accessit ex omnibus. [m] φιλονεικίαν A.D.E.F.I. σοφίαν B. φιλοσοφίαν Edd. [n] ἐξευτελίζων E. et ante corr. A. Pro καὶ γὰρ ἐξευτέλιζον, καὶ παρεξευτελίζων habent Veron. et ante corr. B. [o] δυνατῆς] δυνάμεως τῆς A. [p] ἐξωθήσεται H.I. ἐξώσηται F. [q] κἂν pro ἂν A.B.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατέπεσε. Πῶς δὲ αὐτὴν τὴν πίστιν κατώρθωσε; "Δοὺς
B δόξαν τῷ θεῷ, [r]φησὶ, [15]καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι [s]καὶ ποιῆσαι." Ἆρα τὸ μὴ περιεργάζεσθαι, δοξάζειν ἐστὶ τὸν θεὸν, ὥσπερ οὖν τὸ περιεργάζεσθαι, [t]πλημμελεῖν. Εἰ δὲ τὰ κάτω περιεργαζόμενοι καὶ ζητοῦντες οὐ δοξάζομεν, πολλῷ μᾶλλον τὴν τοῦ δεσπότου γέννησιν πολυπραγμονοῦντες, ὡς ὑβρίζοντες τὰ ἔσχατα πεισόμεθα. Εἰ γὰρ τὸν τύπον τῆς ἀναστάσεως οὐ χρὴ ζητεῖν, πολλῷ μᾶλλον τὰ ἀπόρρητα ἐκεῖνα καὶ φρικτά. Καὶ οὐκ εἶπε πιστεύσας ἁπλῶς, ἀλλὰ, "πληροφορηθείς." Τοιοῦτον γὰρ ἡ πίστις, τῆς ἀπὸ λογισμῶν ἀποδείξεως σαφεστέρα, καὶ μᾶλλον πείθει· οὐ γὰρ
C [v]ἔνεστι λογισμὸν ἕτερον ἐπεισελθόντα [w]αὐτῇ διασαλεῦσαι λοιπόν. Ὁ μὲν γὰρ [x]λόγοις πειθόμενος καὶ μεταπεισθῆναι δύναται· ὁ δὲ τῇ πίστει βεβαιούμενος [y]ἀπετείχισεν αὐτοῦ λοιπὸν τὴν ἀκοὴν τοῖς λυμαινομένοις αὐτὴν λόγοις. Εἰπὼν τοίνυν, ὅτι ἀπὸ πίστεως ἐδικαιώθη, δείκνυσιν, ὅτι καὶ ἐδόξασε τὸν θεὸν ἀπὸ [z]τῆς πίστεως· ὃ βίου μάλιστά ἐστιν ἴδιον. [16]"Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς." [a]Ἀλλ' ἰδοὺ τοῦτο καὶ τῆς πίστεως ὂν ἐφάνη. [b]Πάλιν ὥσπερ τὰ ἔργα δεῖται δυνάμεως, οὕτω καὶ ἡ
D πίστις. Ἐνταῦθα μὲν γὰρ πολλάκις καὶ τὸ σῶμα μερίζεται (61)
τὸν ἱδρῶτα· ἐκεῖ δὲ τῆς ψυχῆς [c]γυμνῆς ἐστι τὸ κατόρθωμα. Ὥστε μείζων ὁ πόνος, ὅταν μηδὲ τὸν διανεμόμενον [d]πρὸς αὐτὴν ἔχῃ τοὺς ἀγῶνας. Εἶδες πῶς πάντα, ἅπερ ἦν ἔργων, ἔδειξε [e]μετὰ πλείονος τῇ πίστει προσόντα περιουσίας, οἷον τὸ καυχᾶσθαι πρὸς τὸν θεὸν, τὸ δυνάμεως δεῖσθαι καὶ πόνου, τὸ δοξάζειν [f]πάλιν τὸν θεόν; Εἰπὼν δὲ ὅτι [g]ἃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι, δοκεῖ μοι καὶ περὶ τῶν μελλόντων

[15] v. 21. [16] Matth. v. 16.

[r] φησὶ om. G. post δόξαν transp. I. [s] καὶ om. H. [t] πλημμέλεια A. πλημμελία F.H. κατασμικρύνειν loco πλημμελεῖν dat I. [v] ἔνεστι pro ἔστι A.B.D.E.F.H.I. [w] αὐτῇ] αὐτὴν A.D.E.F.H.I. Statim διαλῦσαι iidem et ante corr. G. [x] λόγοις] τοῖς λογισμοῖς G. [y] ἐπετείχισεν H. Statim αὐτοῦ λοιπὸν pro λοιπὸν αὐτοῦ (αὑτοῦ ante Montef.) A.B.D.E.F.H.I. [z] τῆς om. A.D.E.I. [a] ἀλλ', quod aberat, est in libris omnibus. Statim τοῦτο καὶ τῆς π. A.B.D.E.F.H.I. καὶ τοῦτο τῆς π. G. καὶ deest in Edd. Mox ὂν om. I. [b] πάλιν δὲ ὥσπερ Edd. δὲ om. A.B.D.E.G.H.I. Iidem πάλιν praecedentibus annectunt. Dein ὥσπερ γὰρ τὰ ἔργα D.E.G.I. [c] ἐστι γυμνῆς inverso ord. A.G. [d] πρὸς αὐτὴν ἔχῃ] Sic omnes secundum conjecturam Savilii. Ante Montef. edebatur πρὸς αὐτὸν ἔχειν. [e] μετὰ πλ. τῇ π. προσόντα περιουσίας] Sic B.F.G.H.I. μετὰ πλ. προσόντα τῇ π. περιουσίας A. μετὰ πλ. τῆς περιουσίας τῇ π. προσόντα E. et (om. προσόντα) D. μετὰ πλ. περιουσίας τῇ π. προσόντα Edd. [f] πάλιν om. H. [g] ἃ pro ὃ A.D.E.F.H.I. et corr. G. ἃ ἐπαγγέλλεται ante corr. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προαναφωνεῖν. Οὐ γὰρ τὰ παρόντα ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα· ταῦτα γὰρ τύπος ἐκείνων [h]ἦν. Ἆρα ἀσθε- E
νοῦς διανοίας τὸ μὴ πιστεύειν, καὶ μικρᾶς καὶ ταλαιπώρου. Ὥστε ὅταν ἡμῖν ἐγκαλῶσι τὴν πίστιν τινὲς, ἀντεγκαλῶμεν [i]αὐτοῖς τὴν ἀπιστίαν ἡμεῖς, ὡς ταλαιπώροις καὶ μικροψύχοις καὶ ἀνοήτοις καὶ ἀσθενέσιν καὶ ὄνων [k]οὐδὲν ἄμεινον διακειμένοις. Ὥσπερ γὰρ τὸ πιστεύειν ὑψηλῆς καὶ [l]μεγαλοφυοῦς ψυχῆς· οὕτω τὸ ἀπιστεῖν ἀλογωτάτης καὶ εὐτελοῦς καὶ πρὸς τὴν τῶν κτηνῶν ἄνοιαν κατενηνεγμένης. Διόπερ ἐκείνους ἀφέντες, τὸν πατριάρχην ζηλώσωμεν, καὶ δοξάσωμεν τὸν θεὸν, καθάπερ ἐκεῖνος ἔδωκεν αὐτῷ δόξαν. Τί δέ ἐστιν, "ἔδωκεν αὐτῷ δόξαν;" Ἐνενόησεν αὐτοῦ τὴν [m]μεγαλωσύνην, τὴν ἄπειρον δύναμιν· καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ ἔννοιαν λαβὼν, οὕτως ἐπληροφο- 506
ρήθη περὶ τῶν ὑποσχέσεων.

[n]Δοξάσωμεν τοίνυν αὐτὸν καὶ ἡμεῖς καὶ διὰ πίστεως καὶ [o]δι' ἔργων, ἵνα καὶ μισθὸν λάβωμεν τὸ παρ' αὐτοῦ δοξασθῆναι· 17 "[p]Τοὺς δοξάζοντας γάρ με δοξάσω," φησί. Καίτοι [q]εἰ καὶ μηδεὶς ἔκειτο μισθὸς, αὐτὸ τοῦτο δόξα ἦν, τὸ καταξιωθῆναι δοξάσαι [r]τὸν θεόν. Εἰ γὰρ [s]εἰς βασιλέας εὐφημίας λέγοντες ἄνθρωποι [t]αὐτῷ τούτῳ καλλωπίζονται μόνῳ, κἂν μηδὲν ᾖ καρπώσασθαι ἕτερον· ἐννόησον πόσης ἂν εἴη δόξης τὸ δι' ἡμᾶς τὸν δεσπότην [v]δοξάζεσθαι τὸν ἡμέτερον, ὡσπεροῦν καὶ κολάσεως τὸ ποιεῖν αὐτὸν βλασφημεῖσθαι δι' ἡμᾶς. [w]Καίτοι καὶ τοῦτο B
αὐτὸ [x]τὸ δοξάζεσθαι, δι' ἡμᾶς βούλεται γίνεσθαι· αὐτὸς γὰρ οὐ δεῖται τοῦ πράγματος. Πόσον γὰρ οἴει τὸ μέσον [y]εἶναι θεοῦ καὶ ἀνθρώπων; [z]Ἆρα ὅσον ἀνθρώπων καὶ σκωλήκων; ἢ

17 1 Reg. ii. 30.

[h] ἦν om. A.E.F.H.I. ἐστιν ἐκείνων pro ἐκείνων ἦν G. [i] αὐτοῖς τὴν ἀ. ἡμεῖς pro ἡμεῖς τὴν ἀ. αὐτοῖς A.B.D.F.G.H.I. [k] οὐδὲν ἄμεινον] ἄμεινον οὐδὲν A.D.E.F. H.I. [l] μεγαλοφυοῦς]+ἐστι D.E. [m] μεγαλωσύνην omnes. δικαιοσύνην Edd. [n] ΘΕΙΚΟΝ. Περὶ τοῦ δεῖν δοξάζειν τὸν θεὸν δι' ἔργων καὶ (+διὰ Codd.) πίστεως· καὶ ὅτι δεῖ πᾶσαν φεύγειν ἁμαρτίαν, δι' ἧς ὁ θεὸς βλασφημεῖται· καὶ ὅτι ὁ θεὸς οὐ δεόμενος, οὐδὲ δοξάζεσθαι βουλόμενος, ἐπιζητεῖ τὰ παρ' ἡμῶν, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν· καὶ ὅτι εἰὰν μὴ ἑαυτοὺς ἐκδῶμεν τῇ ἁμαρτίᾳ, οὐ τολμᾷ προσελθεῖν ἡμῖν ὁ διάβολος· καὶ ὅτι δεῖ τὴν ἁγίαν αἰδεῖσθαι τράπεζαν, ἧς κοινῇ πάντες μετέχομεν. Veron. [o] δι' ἔργων pro διὰ ἔργων A.B.D.E.H. fortasse alii. [p] τοὺς γὰρ δ. με, φησὶ, δοξάσω G. τοὺς δ. με γὰρ φ. δ. A. τοὺς δ. με γὰρ δ. φ. D.H. τοὺς δ. γάρ με φ. δ. I. [q] εἰ καὶ] κἂν E. καὶ εἰ A.D.F.H. καίτοι εἰ μηδὲ εἷς G. [r] τὸν assumtum ex A.E.F.G.H.I. [s] εἰς βασιλέας] βασιλέως I. [t] αὐτὸ τοῦτο H. et ex corr. G. necnon ante corr. I. Ita etiam Veron. Statim μόνον G. Veron. [v] τὸν ἡμ. δοξάζεσθαι inverso ord. A.D. F.H.I. [w] καίτοιγε G. Statim καὶ accessit ex omnibus. [x] τὸ δ. δι' ἡμᾶς] διὰ τὸ δ. ἡμᾶς I. [y] εἶναι om. G. [z] ἆρα ὅσον ἀ. καὶ σκ.] ὅσον ἀγγέλων ἆρα καὶ ὅσον ἀνθρώπων G. Statim haec ἢ ὅσον ἀγγέλων καὶ σκωλήκων, quae vulgo desunt, habent nostri omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅσον ἀγγέλων καὶ σκωλήκων; Ἀλλ' οὐδὲν [a]οὐδέπω εἴρηκα καὶ τοσοῦτον τὸ μέσον θείς· οὐδὲ γὰρ εἰπεῖν δυνατὸν ὅσον. Ἆρ' οὖν θελήσεις σὺ παρὰ [b]σκώληξιν ἔχειν δόξαν μεγάλην καὶ λαμπράν; Οὐδαμῶς. Εἰ τοίνυν ὁ δόξης ἐρῶν σὺ οὐκ ἂν [c]ἐθελήσῃς τοῦτο· ὁ τοῦ πάθους ἀπηλλαγμένος τούτου, καὶ τοσοῦτον C ἀνώτερος ὤν, πῶς ἂν ἐδεήθη τῆς παρὰ [d]σοῦ δόξης; Ἀλλ' ὅμως καὶ μὴ δεόμενος, [e]φησὶν αὐτῆς ἐφίεσθαι διὰ σέ. Εἰ γὰρ γενέσθαι δοῦλος ὑπέμεινε διὰ σὲ, τί θαυμάζεις, εἰ καὶ τῶν ἄλλων ἀντέχεται τῆς αὐτῆς ἕνεκεν ὑποθέσεως; Οὐδὲν γὰρ ἡγεῖται ἀνάξιον ἑαυτοῦ, ὅπερ ἂν πρὸς τὴν σωτηρίαν [f]φέρῃ τὴν ἡμετέραν. [g]Ταῦτα οὖν εἰδότες, φεύγωμεν ἁμαρτίαν πᾶσαν, δι' ἧς αὐτὸς βλασφημεῖται. [18]"Ὡς γὰρ ἀπὸ προσώπου ὄφεως, φησὶ, φεῦγε ἀπὸ ἁμαρτίας· [h]ἐὰν προσέλθῃς πρὸς αὐτὴν, δήξεταί σε." [i]Οὐδὲ γὰρ αὐτὴ πρὸς ἡμᾶς ἔρχεται, ἀλλ' ἡμεῖς πρὸς αὐτὴν αὐτομολοῦμεν. Ὁ [k]μὲν γὰρ θεὸς καὶ τοῦτο κατεσκεύασεν, ὥστε [l]μὴ τυραννίδι περιγίνεσθαι τὸν διάβολον· ἢ γὰρ D ἂν οὐδεὶς ἔστη πρὸς τὴν ἰσχὺν [m]τὴν ἐκείνου. Διὰ τοῦτο αὐτὸν ἀπώκισεν ὥσπερ λῃστήν τινα καὶ τύραννον· κἂν μή τινα λάβῃ γυμνὸν καὶ ἔρημον εἰς τὰς αὐτοῦ καταδύσεις, οὐ τολμᾷ ἐπελθεῖν· ἂν μὴ τὴν ἔρημον ὁδεύοντας ἡμᾶς ἴδῃ, οὐ θαρρεῖ προσελθεῖν· ἔρημος δὲ καὶ διαβόλου τόπος οὐδὲν ἕτερον [n]ἢ ἁμαρτία. Δεῖ τοίνυν ἡμῖν τοῦ θυρεοῦ τῆς πίστεως, τῆς περικεφαλαίας τοῦ σωτηρίου, τῆς μαχαίρας τοῦ πνεύματος· οὐχ ἵνα [o]μὴ πάθωμεν μόνον κακῶς, ἀλλ' ἵνα, κἂν ἐπιπηδῆσαι θελήσῃ, τὴν κεφαλὴν ἀποτέμωμεν [p]τὴν ἐκείνου· [q]δεῖ συνεχῶν ἡμῖν εὐχῶν, ἵνα συν- E τριβῇ ὑπὸ τοὺς πόδας ἡμῶν. Ἀναίσχυντος γάρ ἐστι καὶ μιαρὸς, καὶ ταῦτα κάτωθεν μαχόμενος· ἀλλ' ὅμως καὶ [r]οὕτω νικᾷ. Τὸ δὲ αἴτιον, ὅτι [s]οὐ σπουδάζομεν ἡμεῖς ὑψηλότεροι τῶν ἐκείνου γενέσθαι [t]πληγῶν. Οὐδὲ γὰρ οἷός τε ἐστὶν ἐπαρθῆναι [v]μέγα, ἀλλὰ κάτω σύρεται. Καὶ τούτου τύπος ὁ ὄφις. Εἰ δὲ ἐξ ἀρχῆς οὕτως [w]αὐτὸν ἔταξεν ὁ θεὸς, πολλῷ μᾶλλον

18 Sirac. xxi. 2.

[a] οὔπω G. [b] σκωλήκων G. Statim ἔχειν δ. pro δ. ἔχειν omnes. [c] ἐθελήσῃς] Sic A.D.E.H.I. ἐθελήσεις H. ἠθελήσῃς B. ἐθέλησας G. θελήσῃς Edd. [d] σοὶ ante corr. G. [e] φησὶν αὐτῆς ἐφίεσθαι διὰ σὲ] αὐτῆς ἐφίεσθαι διὰ σὲ φησὶν B. φησὶν ἐφίεται διὰ σὲ A.F.H.I. et om. φησὶν D.E. [f] φέρηται G. [g] ταῦτ' οὖν A.D.E.H.I. Mox φύγωμεν A.B.E.F.H. [h] ἐὰν]+γὰρ G. [i] οὐδὲ pro οὐ A.B.D.E.F.I. [k] μὲν accessit ex A.B.D.E.F.H.I. [l] μὴ τῇ τυρ. περιγενέσθαι G. [m] τὴν assumtum ex A.D.E.F.G. [n] ἢ ἡ ἁμαρτία Edd. ἡ om. A.D.E.F.G.I. [o] μὴ πάθ. μόνον κακῶς] μόνον μὴ κακώσῃ I. ἀποθάνωμεν pro πάθωμεν Veron. [p] τὴν accessit ex omnibus. [q] δεῖ]+οὖν supra lineam G. [r] οὕτω]+ταῦτα B. [s] οὐ] μὴ G. [t] πληγῶν] παγῶν G. βελῶν I. [v] μέγα pro μεγάλα A.B.D.E.F.G.I. [w] αὐτὸν ἔταξεν] ἔταξεν αὐτὸς G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῦν. Εἰ δὲ ἀγνοεῖς τί ποτέ ἐστι τὸ κάτωθεν μάχεσθαι, ἐγώ σοι καὶ ἑρμηνεῦσαι [x]τὸν τρόπον τοῦ πολέμου τούτου πειράσομαι. Τί ποτ' οὖν ἐστι τὸ κάτωθεν μάχεσθαι; Τὸ ἀπὸ τῶν (62) κάτω πυκτεύειν πραγμάτων, ἀπὸ τῆς ἡδονῆς, ἀπὸ τοῦ πλούτου, ἀπὸ τῶν βιωτικῶν ἁπάντων. Διὰ τοῦτο, ἂν ἴδῃ τινὰ πρὸς τὸν οὐρανὸν πετόμενον, πρῶτον μὲν [y]οὐδὲ πηδῆσαι τοσοῦτον δυνήσεται· δεύτερον δὲ, κἂν ἐπιχειρήσῃ, [z]πεσεῖται ταχέως· οὐ γὰρ ἔχει πόδας, μὴ φοβηθῇς· οὐκ ἔχει πτερὰ, μὴ δείσῃς· ἐπὶ τῆς γῆς σύρεται, καὶ τοῖς ἐν τῇ γῇ πράγμασι. Μηδὲν [a]οὖν σοι πρὸς τὴν γῆν [b]ἔστω κοινὸν, καὶ οὐδὲ πόνου [c]δείσῃ. Οὐδὲ γὰρ οἶδε τὴν ἐξ ἐναντίας μάχην, ἀλλ' ὥσπερ ὄφις ταῖς ἀκάνθαις [d]ἐγκρύπτεται, τῇ ἀπάτῃ τοῦ πλούτου συνεχῶς ἐμφωλεύων. Κἂν ἐκτέμῃς τὰς ἀκάνθας, φεύξεται ῥᾳδίως [e]δῆλος γενόμενος· κἂν ἐπάδειν εἰδῇς [f]αὐτῷ τὰς θείας ἐπῳδὰς, τρωθήσεται εὐθέως. Εἰσὶ γὰρ [g]ἡμῖν, εἰσὶν ἐπῳδαὶ πνευματικαὶ, τὸ ὄνομα τοῦ κυρίου B ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ τοῦ σταυροῦ δύναμις. Αὕτη ἡ ἐπῳδὴ οὐχὶ τῶν χηραμῶν ἐξάγει μόνον, καὶ εἰς πῦρ [h]ἐμβάλλει τὸν δράκοντα, ἀλλὰ καὶ τραύματα ἰᾶται. Εἰ δὲ [i]καὶ πολλοὶ λέγοντες οὐκ ἰάθησαν, παρὰ τὴν αὐτῶν ὀλιγοπιστίαν, οὐ παρὰ τὴν ἀσθένειαν τοῦ λεχθέντος· ἐπεὶ καὶ τὸν Ἰησοῦν οἱ μὲν ὤθουν καὶ ἔθλιβον, καὶ οὐδὲν [k]ἐκέρδαινον· ἡ δὲ αἱμορροοῦσα οὐδὲ τοῦ σώματος ἁψαμένη, ἀλλ' αὐτοῦ τοῦ κρασπέδου μόνον, χρονίους [l]ἔστησεν αἱμάτων πηγάς. Τοῦτο τὸ ὄνομα καὶ δαίμοσι φοβερὸν καὶ πάθεσι καὶ νοσήμασι. Τούτῳ τοίνυν καλλωπιζώμεθα, C τούτῳ τειχίζωμεν ἑαυτούς. Οὕτω [m]καὶ Παῦλος ἐγένετο μέγας, καίτοι τῆς αὐτῆς φύσεως ἡμῖν κἀκεῖνος ἦν· ἀλλ' ἡ πίστις αὐτὸν ἄλλον ἀντ' ἄλλου πεποίηκε· [n]καὶ τοσαύτη ἦν ἡ περιουσία, [o]ὡς καὶ τὰ ἱμάτια [p]αὐτῶν πολλὴν ἔχειν ἰσχύν. Ποίας οὖν [q]ἂν εἴημεν ἀπολογίας ἄξιοι, εἴγε [r]ἐκείνων μὲν καὶ [s]αἱ σκιαὶ καὶ τὰ ἱμάτια θάνατον ἤλαυνον, ἡμῶν δὲ οὐδὲ [t]αἱ εὐχαὶ τὰ πάθη κατα-

[x] τὸν τρ. τοῦ π. τ.] Sic omnes. τοῦ π. τ. τὸν τρόπον Edd. πολεμίου pro πολέμου B. [y] οὐδ' ἐπιπηδῆσαι B.D.E. unde οὐδὲ ἐπιπηδήσαι edidit Montef. Statim τοσοῦτον pro πρὸς αὐτὸν receptum ex A.B.F.G.H. Neutrum habet I. [z] πεσεῖται τ. pro τ. πεσεῖται omnes. [a] οὖν om. G. [b] ἔσται H. γίνεται I. [c] δείσῃ omnes. δείσῃς Veron. Sav. δείσεις Mor. Ben. [d] ἐγκαλύπτεται B. [e] δῆλος A.B.D.E.H.I. δηλὸς F. δειλὸς Edd. [f] αὐτῷ om. I. [g] ἡμῖν εἰσιν] εἰσιν ἡμῖν A.E.F.H.I. ἡμῖν om. D. [h] βάλλει G. Mox καὶ τὰ τρ. idem. [i] καὶ accessit ex A.B.D.E.H.I. [k] ἐκέρδανον B. [l] αἱμάτων ἔστησεν inverso ord. A.E.F.H.I. [m] καὶ ὁ Π. Edd. ὁ om. A.B.D.E.F.H.I. [n] καὶ τοσαύτη (+αὐτῶν G) ἦν ἡ περιουσία] οὕτω πᾶς τῶν μαθητῶν ὁ χορὸς· καὶ τοσαύτη τῆς χάριτος ἦν περὶ αὐτοὺς ἡ περιουσία D.E. [o] ὡς] ὥστε A.F.H. [p] αὐτῶν] Sic libri omnes (sed αὐτοῦ ex corr. A.B.) et Ed. Veron. αὐτοῦ Sav. cet. [q] ἂν accessit ex A.D.E.F.G.H.I. Post εἴημεν add. ἡμεῖς D.E. [r] ἐκείνου ex corr. B. [s] αἱ om. A.F. [t] αἱ om. A.B.F.G.H.

στέλλουσι; Τί οὖν τὸ αἴτιον; Πολλὴ τῆς γνώμης ἡ διαφορά· ὡς τά γε τῆς φύσεως ἴσα καὶ κοινά· καὶ γὰρ ὁμοίως ἡμῖν καὶ ἐτέχθη καὶ ἐτράφη, καὶ τὴν γῆν ᾤκησε, καὶ ἀέρα [v]ἀνέπνευσεν·
D [w]ἀλλὰ τὰ ἄλλα πολὺ μείζων ἡμῶν ἦν καὶ βελτίων, τὸν ζῆλον [x]καὶ τὴν πίστιν καὶ τὴν ἀγάπην. Μιμησώμεθα τοίνυν αὐτὸν, [y]δῶμεν καὶ δι' ἡμῶν φθέγξασθαι [z]τῷ Χριστῷ· ἐπιθυμεῖ [a]τοῦτο μᾶλλον ἡμῶν αὐτὸς, [b]καὶ διὰ τοῦτο [c]τὸ ὄργανον κατεσκεύασε τοῦτο, καὶ [d]οὐ θέλει μένειν ἄχρηστον αὐτὸ καὶ [e]ἀργοῦν, ἀλλ' ἀεὶ μετὰ χεῖρας ἔχειν αὐτὸ βούλεται. Τί τοίνυν οὐ παρασκευάζεις [f]ἐπιτήδειον αὐτὸ τῇ τοῦ τεχνίτου χειρὶ, ἀλλὰ χαλᾷς τὰς νευρὰς, καὶ μαλακωτέρας ποιεῖς τῇ τρυφῇ, καὶ ἄχρηστον ὅλην κατασκευάζεις [g]αὐτῷ τὴν κιθάραν, δέον ἐπισφίγγειν καὶ [h]νευροῦν
E τὰ μέλη, καὶ ἐπιστύφειν τῷ ἄλατι τῷ πνευματικῷ; [x]Ἂν γὰρ οὕτως ἡρμοσμένην αὐτὴν ἴδῃ, ἠχήσει καὶ διὰ τῆς ἡμετέρας ψυχῆς ὁ Χριστός. [i]Τούτου δὲ γενομένου, καὶ ἀγγέλους ὄψει σκιρτῶντας καὶ ἀρχαγγέλους καὶ τὰ Χερουβίμ. Γενώμεθα τοίνυν [k]τῶν χειρῶν ἄξιοι τῶν ἀμώμων· παρακαλέσωμεν αὐτὸν καὶ [l]εἰς τὴν ἡμετέραν κροῦσαι καρδίαν· μᾶλλον δὲ οὐδὲ παρακλήσεως δεῖται· μόνον ἀξίαν αὐτὴν [m]κατασκεύασον τῆς ἀφῆς ἐκείνης, καὶ αὐτὸς ἐπιδραμεῖταί [n]σοι πρότερος. Εἰ γὰρ [o]ὑπὲρ τῶν μελλόντων ἐπιτρέχει· οὔπω γὰρ τῷ Παύλῳ τοιούτῳ γεγενημένῳ τὸ ἐγκώμιον [p]ὕφανεν· ὅταν [q]ἀπηρτισμένον ἴδῃ, τί οὐκ ἐργάσεται; [r]Ἂν δὲ Χριστὸς ἠχήσῃ, καὶ τὸ πνεῦμα
508 [s]ἐπιπτήσεται πάντως, καὶ ἐσόμεθα τοῦ οὐρανοῦ βελτίους, οὐχ ἥλιον ἔχοντες ἐνεστιγμένον τῷ σώματι καὶ σελήνην, ἀλλὰ τὸν ἡλίου καὶ σελήνης καὶ ἀγγέλων δεσπότην [t]καὶ ἐνοικοῦντα καὶ ἐμπεριπατοῦντα ἡμῖν.

Ταῦτα δὲ λέγω, οὐχ ἵνα νεκροὺς ἀναστήσωμεν, [v]οὐδ' ἵνα λεπροὺς καθάρωμεν, ἀλλ' ἵνα τὸ πάντων τούτων [w]σημεῖον μεῖζον ἐπιδειξώμεθα τὴν ἀγάπην. Ὅπου γὰρ ἂν [x]ᾖ τοῦτο

[v] ἐνέπνευσεν H. [w] ἀλλὰ]+καὶ A.F. +κατὰ I. [x] καὶ (bis) accessit ex omnibus. [y] δῶμεν] καὶ δῶμεν G. δῶμεν τοίνυν Edd. invitis libris. [z] τὸν Χριστὸν B.G. [a] τοῦτο μ. pro μ. τοῦτο omnes. [b] καὶ]+γὰρ D.E. [c] τὸ om. B.G. [d] οὐκ ἐθέλει A.B.D.E.F. [e] ἀργοῦν A.E.H. et a pr. man. F. ἀργὸν vulgo. [f] ἐπιτήδειον omnes. ἕτοιμον Edd. [g] σεαυτῷ D. [h] νεκροῦν F.H.I. [i] τούτου omnes. τοιούτου Edd. Statim γινομένου G. [k] τῶν χ. ἄξιοι τῶν χ. Edd. [l] εἰς om. I. [m] παρασκεύασον G. [n] σοῦ D.E. [o] ὑπὲρ] ἐπὶ H. ὑπὸ ante corr. G. Statim τῶν accessit ex A.D.F.G.H.I. [p] ὕφαινεν G. ὑφαίνει B.D.E. Veron. [q] ἀπηρτισμένην A.D.E. [r] ἂν δὲ] ἐὰν γὰρ G. [s] ἐπιπτήσεται omnes. Edebatur ἐπιστήσεται. [t] καὶ accessit ex A.B.D.E.G.I. Mox ἐν ἡμῖν A.D.F.H.I. [v] οὐδ' (οὐδὲ B.) ἵνα λέπρους (λέπρας G.) καθάρωμεν (καθαρίσωμεν A.E.F.I.)] Sic libri omnes. Edebatur οὐδὲ λέπρους ἵνα καθάρωμεν. [w] σημείων F. μεῖζον σημεῖον inverso ord. G. [x] ᾖ pro εἴη omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[y]τὸ καλὸν, εὐθέως καὶ [z]ὁ υἱὸς ἐφίσταται μετὰ τοῦ πατρὸς, καὶ ἡ τοῦ πνεύματος ἐπιφοιτᾷ χάρις. [19] "Οὗ γὰρ ἐάν ὦσι, [a]φησὶ, δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν." [c]Ὁ πολλῆς διαθέσεώς ἐστι καὶ τῶν σφόδρα φιλούντων, τοὺς φιλουμένους ἑκατέρωθεν ἔχειν. Καὶ τίς οὕτως B ἄθλιος, φησὶν, ὡς μὴ βούλεσθαι τὸν Χριστὸν ἔχειν μέσον; [b]Ἡμεῖς οἱ πρὸς ἀλλήλους στασιάζοντες. Καὶ τάχα μου [c]καταγελάσεταί τις καὶ ἐρεῖ, τί λέγεις; ὁρᾷς πάντας ἡμᾶς ὑπὸ τοῖς αὐτοῖς τείχεσιν ὄντας, ὑπὸ τὸν αὐτὸν τῆς ἐκκλησίας σηκὸν, (63) ὑπὸ τὴν αὐτὴν μάνδραν [d]μεθ' ὁμονοίας ἑστῶτας, οὐδένα μαχόμενον, ὑπὸ τῷ αὐτῷ ποιμένι, κοινῇ βοῶντας, κοινῇ τῶν λεγομένων ἀκροωμένους, κοινῇ τὰς εὐχὰς ἀναπέμποντας, καὶ μάχης μέμνησαι καὶ στάσεως; Μάχης μέμνημαι, καὶ οὐ μαίνομαι οὐδὲ ἐξέστηκα. Ὁρῶ μὲν γὰρ [e]ἃ ὁρῶ, καὶ οἶδα ὅτι ὑπὸ τὸν σηκόν [f]ἐσμεν τὸν αὐτὸν καὶ τὸν ποιμένα· [g]διὰ δὲ τοῦτο μάλιστα C θρηνῶ, ὅτι τοσούτων ἡμᾶς συναγόντων πραγμάτων, στασιάζομεν. Καὶ ποίαν στάσιν, φησὶν, εἶδες ἐνταῦθα; Ἐνταῦθα [h]μὲν οὐδεμίαν· ἐπειδὰν δὲ διαλυθῶμεν, ὁ δεῖνα [i]τὸν δεῖνα κακηγορεῖ, ἕτερος ὑβρίζει φανερῶς, ἄλλος βασκαίνει, [k]πλεονεκτεῖ καὶ ἁρπάζει καὶ βιάζεται ἕτερος, ἄλλος ἐρᾷ κακῶς, ἄλλος μυρίους ῥάπτει δόλους. Καὶ εἰ τὰς ψυχὰς [l]ὑμῶν ἐκκαλύψαι ἐνῆν, τότε ἂν εἴδετε ταῦτα πάντα ἀκριβῶς, καὶ ἔγνωτε ὅτι οὐ μαίνομαι. Οὐχ ὁρᾶτε ἐν τοῖς στρατοπέδοις, ὅτι εἰρήνης μὲν οὔσης, τὰ ὅπλα ἀποθέμενοι, γυμνοὶ καὶ [m]ἄφρακτοι εἰς τὸ τῶν D πολεμίων στρατόπεδον διαβαίνουσιν; ὅταν δὲ φράττωνται ὅπλοις, καὶ φυλακαὶ καὶ προφυλακαὶ καὶ ἄγρυπνοι νύκτες, καὶ πυρὰ [n]καίηται διηνεκὴς, οὐκέτι εἰρήνη τὸ τοιοῦτον, ἀλλὰ πόλεμος. Τοῦτο καὶ ἐφ' ἡμῶν ἔστιν ἰδεῖν· καὶ γὰρ ἀλλήλους φυλαττόμεθα καὶ δεδοίκαμεν, καὶ πρὸς τὸ οὖς ἕκαστος τῷ πλησίον διαλεγόμεθα, κἂν παραγενόμενον ἕτερον ἴδωμεν, σιγῶμεν καὶ ἐκ τοῦ μέσου συστέλλομεν ἅπαντα· ὅπερ οὐκ ἔστι θαρρούντων, [o]ἀλλὰ σφόδρα φυλαττομένων. Ἀλλὰ ταῦτα

[19] Matt. xviii. 20.

[y] τὸ accessit ex A.B.D.E.F.G. [z] ὁ υἱὸς] ὁ Ἰησοῦς A.G.I. Ἰησοῦς F.H. [a] φησὶ δύο] δύο φησὶν A.D.F.H.I. [b] ὑμεῖς B.I. [c] καταγελάσει G. [d] μεθ' ὁμ. pro μετὰ ὁμ. A.B.D.E. fortasse alii. μετομονοίας (sic) H. [e] ἃ om. G. [f] ἐσμὲν τὸν αὐτὸν pro τὸν αὐτὸν ἐπμεν A.B.D.E.F.H. οἶδα ὅτι ὑπὸ τὸν αὐτὸν σηκὸν ἐσμὲν καὶ ποιμένα τὸν αὐτὸν G. [g] διὰ δὲ τοῦτο pro διὰ τοῦτο δὲ A.B.D.E.F.H.I. διὰ γὰρ τοῦτο G. [h] μὲν]+οὖν A.E.I. [i] τὸν δ. κακηγορεῖν] Sic F. τὸν δ. κατηγορεῖν vulgo. τοῦ δεῖνος κατηγ. B.G. [k] καὶ πλ. G. [l] ὑμῶν A.B.D.G.I. ἡμῶν Edd. Statim ἐγκαλύψαι G. [m] ἄπρακτοι A. [n] καίηται A.B.D.E.F.H. καίεται vulgo. Statim διηνεκῆ G. [o] ἀλλὰ]+καὶ E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιοῦμεν, φησὶν, οὐχ ὥστε ἀδικῆσαι, ἀλλ' ὥστε μὴ ἀδικηθῆναι. Ε Διὰ [p]γὰρ τοῦτο πενθῶ, ὅτι μεταξὺ ζῶντες ἀδελφῶν, φυλακῆς δεόμεθα πρὸς τὸ μὴ ἀδικηθῆναι, καὶ [q]πυρὰς καίομεν τοσαύτας, καὶ φυλακὰς καὶ προφυλακὰς τίθεμεν. Τὸ δὲ αἴτιον, πολὺ τὸ ψεῦδος, πολὺς ὁ δόλος, πολλὴ τῆς ἀγάπης ἡ ἀναίρεσις, καὶ πόλεμος ἄσπονδος. Διά [r]τοι τοῦτο πολλοὺς εὕροι τις ἂν [n]Ἕλλησι θαρροῦντας μᾶλλον ἢ Χριστιανοῖς. Καίτοι [s]πόσης ταῦτα αἰσχύνης ἄξια; πόσων δακρύων, πόσων οἰμωγῶν; Καὶ τί πάθω, φησί; δύστροπός ἐστιν ὁ δεῖνα καὶ μοχθηρός. Καὶ ποῦ τὰ τῆς φιλοσοφίας τῆς σῆς; ποῦ δὲ οἱ νόμοι οἱ ἀποστο-509 λικοὶ, [t]οἱ κελεύοντες ἀλλήλων τὰ βάρη βαστάζειν; Εἰ γὰρ ἀδελφῷ χρήσασθαι οὐκ οἶδας, πότε δυνήσῃ χρήσασθαι ἀλλοτρίῳ καλῶς; εἰ τὸ μέλος τὸ σὸν οὐκ ἐπίστασαι [v]μεταχειρίσασθαι, πότε τὸν ἔξωθεν ἐπισπάσασθαι δυνήσῃ καὶ συνάψαι [w]ἑαυτῷ; Ἀλλὰ τί πάθω; Σφόδρα δυσχερῶς ἔχω πρὸς δακρύων ἐπιρροὴν, ἐπεὶ πηγὰς ἂν [x]ἀφῆκα δαψιλεῖς ἀπὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν προφήτην ἐκεῖνον, μυρίους [y]πολέμους ἐπὶ τοῦ πεδίου τούτου βλέπων ἐκείνων χαλεπωτέρους. Ὁ μὲν γὰρ βαρβάρους ἐπιόντας ὁρῶν, ἔλεγε, [20] "Τὴν κοιλίαν μου, [z]τὴν κοιλίαν μου ἀλγῶ·" ἐγὼ δὲ ὑφ' ἑνὶ στρατηγῷ [a]ταττομένους βλέπων, Β εἶτα κατ' ἀλλήλων ἱσταμένους [b]καὶ δάκνοντας καὶ σπαράττοντας τὰ ἀλλήλων μέλη, τοὺς μὲν διὰ χρήματα, τοὺς δὲ διὰ δόξαν, τοὺς δὲ ἁπλῶς καὶ εἰκῇ [c]καταγελῶντας καὶ [d]χλευάζοντας, καὶ μυρία τραύματα ἀλλήλοις ἐπάγοντας, καὶ [e]νεκροὺς τῶν ἐν πολέμῳ χαλεπωτέρους, καὶ τὸ τῶν ἀδελφῶν ὄνομα ψιλὸν μόνον λοιπὸν [f]ὄν, οὐδὲ ἔχω [g]τίνα ἄξιον τῆς τραγῳδίας ταύτης ἐπινοήσω θρῆνον. Αἰδέσθητε τοίνυν, αἰδέσθητε τὴν τράπεζαν ταύτην, [h]ἧς κοινωνοῦμεν ἅπαντες, τὸν δι' ἡμᾶς σφαγέντα Χριστὸν, τὸ θῦμα τὸ ἐπ' αὐτῆς κείμενον. Λῃσταὶ κοινω-C νοῦντες [i]ἀλῶν, οὐκέτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν κοινωνήσωσιν,

[20] Jer. iv. 19.

[p] γὰρ accessit ex A.B.D.E.F.H.I. [q] πυρὰς κ. τοσαύτας pro πυρὰ κ. τοσαῦτα A.D.E.F.G.H.I. [r] τοι assumtum ex A.B.D.E.G.H. Mox ἂν om. G. [s] πόσης ταῦτα αἰσχύνης ἄξια] Sic G. πόσης οὐ τ. αἰσχ. ἄξια B. πόσης αἰσχύνης οὐκ ἄξιον D.E. πόσης ἂν εἴη ταῦτα αἰσχ. ἄξια A.F.H.I. Edebatur πόσης ἂν αἰσχύνης ἄξια ταῦτα; [t] οἱ] καὶ οἱ H.I. [v] μεταχειρίσαι D.E.I. μεταχειρῆσαι A.F.H. [w] σεαυτῷ D.E.G. [x] ἀφῆκα]+νῦν F.H. [y] πολεμίους B. [z] Haec τὴν κοιλίαν μου (μου om. D.) quae aberant, tuentur A.D.E.F.G.H.I. [a] ταττομένους omnes. παρατεταγμένους Edd. [b] καὶ om. G. [c] καὶ καταγελῶντας B.E. [d] χλευάζοντας pro καταχλευάζοντας A. B. D. E. G. H. I. χλευάζοντας καὶ καταγελῶντας inverso ord. G. [e] νεκροὺς]+ἐργαζομένους πολλῷ D.E. Mox ἐλεεινοτέρους pro χαλεπωτέρους G. [f] ὄν om. G. [g] τίνα ... ἐπινοήσω pro τινὰ ... ἐπινοῆσαι omnes. [h] ἧς]+καὶ B. [i] ἁλῶν om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ μεταβάλλει τὸν τρόπον ἡ τράπεζα, καὶ τοὺς τῶν θηρίων ἀγριωτέρους προβάτων ἡμερωτέρους ποιεῖ. Ἡμεῖς δὲ τοιαύτης τραπέζης μετέχοντες, τοιαύτης [k]κοινωνοῦντες τροφῆς, ὁπλιζόμεθα κατ' ἀλλήλων, δέον κατὰ τοῦ [l]πᾶσιν ἡμῖν πολεμοῦντος διαβόλου τοῦτο ποιεῖν. Διά τοι τοῦτο ἡμεῖς μὲν ἀσθενέστεροι, ἐκεῖνος δὲ ἰσχυρότερος καθ' ἑκάστην γίνεται τὴν ἡμέραν. Οὐ γὰρ [m]μετ' ἀλλήλων φραττόμεθα κατ' ἐκείνου, ἀλλὰ [n]μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα, καὶ αὐτῷ στρατηγῷ πρὸς τὰς τοιαύτας [o]κεχρήμεθα παρατάξεις, δέον αὐτῷ μόνῳ πολεμεῖν. D Νυνὶ δὲ ἐκεῖνον ἀφέντες, κατὰ τῶν ἀδελφῶν τὰ τόξα τείνομεν. Ποῖα τόξα, φησί; Τὰ ἀπὸ γλώττης καὶ στόματος. Οὐδὲ γὰρ ἀκόντια [p]καὶ βέλη μόνον, ἀλλὰ καὶ ῥήματα πολὺ [q]τῶν βελῶν πικρότερα ἐργάζεται τραύματα.

(54) Καὶ πῶς δυνησόμεθα τοῦτον καταλῦσαι τὸν πόλεμον, φησίν; [*]Ἂν ἐννοήσῃς, ὅτι τὸν ἀδελφὸν λέγων κακῶς, βόρβορον ἀπὸ τοῦ στόματός σου προχέεις, ἂν ἐννοήσῃς, ὅτι τὸ μέλος τοῦ Χριστοῦ διαβάλλεις, ὅτι τὰς σάρκας κατεσθίεις τὰς σὰς, ὅτι τὸ δικαστήριόν [r]σοι πικρότερον ποιεῖς τὸ φοβερὸν ἐκεῖνο καὶ ἀδέκαστον, ὅτι τὸ βέλος οὐ τὸν πληγέντα, ἀλλὰ σὲ τὸν τοξεύσαντα E ἀναιρεῖ. Ἀλλ' ἠδίκησέ [s]τι καὶ κακῶς ἐποίησε; Στέναξον, μὴ κακῶς εἴπῃς· δάκρυσον, μὴ διὰ τὴν σὴν ἀδικίαν, ἀλλὰ διὰ τὴν ἀπώλειαν τὴν ἐκείνου, καθὼς καὶ ὁ [t]σὸς δεσπότης τὸν Ἰούδαν ἐδάκρυσεν, οὐκ ἐπειδὴ αὐτὸς ἐσταυροῦτο, ἀλλ' ἐπειδὴ ἐκεῖνος προεδίδου. [u]Ὕβρισέ σε καὶ ἐλοιδόρησε; Παρακάλεσον τὸν θεὸν, ὥστε [v]ἵλεων αὐτῷ γενέσθαι ταχέως. Ἀδελφός ἐστι σὸς, [w]μέλος ἐστὶ σὸν, τὰς αὐτάς σοι ἔλυσεν ὠδῖνας, ἐπὶ τὴν αὐτὴν [x]ἐκλήθη τράπεζαν. Ἀλλὰ πλέον [y]ἐπεμβαίνει, φησίν. [z]Οὐκοῦν ταύτῃ σοι μείζων ὁ μισθός. Ταύτῃ μάλιστα τὸν θυμὸν ἀφεῖναι δίκαιον, ἐπειδὴ [a]καιρίαν ἐδέξατο πληγὴν, ἐπειδὴ ἔτρωσεν αὐτὸν ὁ διάβολος. Μὴ τοίνυν ἐπιπλήξῃς καὶ σὺ, [b]μηδὲ κατα- 510
βάλῃς σαυτὸν μετ' ἐκείνου· ἕως μὲν γὰρ [c]ἂν ἑστήκῃς, δύνασαι

[k] κοινωνοῦντες] ἀπολαύοντες D.E. [l] πᾶσιν] πάντων A.D.E.F. et ante corr. B. [m] μετ' ἀλλήλων φραττόμεθα] ἀλλήλους φράττομεν B. Veron. [n] μετ' ἐκείνου om. G. [o] κεχρήμεθα omnes. χρώμεθα Edd. [p] καὶ β. μόνον] μόνον καὶ β. G. [q] τῶν om. A.F.H.I. [r] σου G. [s] τι] τις E. [t] σὸς om. G. ὁ δ. ὁ σὸς I. [u] ἵλεως G. [w] Sic omnes. In Editis verba μέλος ἐστὶ σὸν post ὠδῖνας leguntur. [x] ἐκλήθητε A.F. et ante corr. G. [y] ἐπεμβαίνει]+μοι Edd. et Flor. p. 275. (Tom. xii. p. 558 A.) repugnantibus libris. [z] οὐκοῦν ταύτῃ σοι μ. ὁ μισθὸς] Sic omnes. διὰ ταῦτα pro ταύτῃ bis Flor. οὐκοῦν μείζων καὶ πλείων ὁ μισθὸς Edd. [a] μυρίαν H. Statim τὴν πληγὴν Edd. τὴν om. A.B.D.E.F.H.I. [b] μηδὲ] ἵνα μὴ D.E. [c] ἂν om. A.D.E. Statim ἑστήκῃς B. στήκῃς G. ἔστηκες (sic) F.H. ἔστηκας Flor. ἵστασαι Veron. ἕστηκας Sav. cet.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κἀκεῖνον διασῶσαι· [d]ἂν δὲ καὶ σαυτὸν [e]καταρρήξῃς διὰ τοῦ ἀνθυβρίσαι, τίς ὑμᾶς ἀναστήσει λοιπόν; Ἐκεῖνος ὁ τρωθείς; Ἀλλ' οὐ δυνήσεται κείμενος. Ἀλλὰ σὺ ὁ πεσὼν μετ' ἐκείνου; Καὶ πῶς, οὐκ ἀρκέσας [f]σεαυτῷ, χεῖρα ὀρέξεις ἑτέρῳ; Στῆθι τοίνυν γενναίως, καὶ τὴν ἀσπίδα [g]προβαλλόμενος, καὶ νεκρὸν [h]ὄντα ἕλκυσον ἀπὸ τῆς μάχης διὰ τῆς μακροθυμίας. Ἔτρωσεν
B αὐτὸν ὁ θυμός; Μὴ τρώσῃς καὶ σὺ, ἀλλὰ καὶ τὸ πρότερον ἔκβαλε βέλος. [a]Ἂν γὰρ οὕτως ἀλλήλοις ὁμιλῶμεν, ταχέως [i]ὑγιεῖς πάντες ἐσόμεθα· ἂν δὲ κατ' ἀλλήλων ὁπλιζώμεθα, οὐδὲ τοῦ διαβόλου χρεία λοιπὸν πρὸς τὴν ἡμετέραν ἀπώλειαν. Ἅπας [k]μὲν γὰρ ὁ πόλεμος χαλεπὸς, μάλιστα δὲ ὁ ἐμφύλιος. Οὗτος δὲ καὶ τοῦ ἐμφυλίου χαλεπώτερος, ὅσῳ μείζονα τῆς πολιτείας [l]ἡμῖν τὰ δικαιώματα, μᾶλλον δὲ καὶ τῆς συγγενείας αὐτῆς. Ἀπέκτεινέ ποτε τὸν [a]Ἄβελ ὁ ἀδελφὸς, καὶ αἷμα ἐξέχεε συγγενικόν· ἀλλ' οὗτος ἐκείνου παρανομώτερος ὁ φόνος, ὅσῳ καὶ τὰ τῆς ἀγχιστείας μείζω, καὶ τὰ τοῦ θανάτου χαλε-
C πώτερα. Ἐκεῖνος μὲν γὰρ τὸ σῶμα ἔτρωσε, σὺ δὲ κατὰ τῆς ψυχῆς τὸ ξίφος [m]ἠκόνησας. Ἀλλ' ἔπαθες πρῶτος κακῶς; Ἀλλ' οὐ τὸ παθεῖν, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτό ἐστι [n]τὸ παθεῖν κακῶς. Σκόπει δέ. Ἔσφαξεν ὁ Κάϊν, ἐσφάγη ὁ [a]Ἄβελ· τίς οὖν ἦν ὁ νεκρός; Ὁ μετὰ τὸν θάνατον βοῶν· [21] "Φωνὴ [o]γὰρ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με," [p]φησίν· ἢ ὁ ἐν [q]τῷ ζῆν τρέμων καὶ δεδοικώς; Οὗτος γὰρ, οὗτος νεκροῦ [r]παντὸς ἐλεεινότερος ἦν. Εἶδες πῶς βέλτιον τὸ ἀδικεῖσθαι, κἂν μέχρι φόνου τις χωρῇ; [s]Μάθε πῶς χεῖρον τὸ ἀδικεῖν, κἂν μέχρις αἵματός τις ἰσχύσῃ. Ἔπληξε καὶ κατέβαλε τὸν ἀδελφὸν
D ἐκεῖνος, ἀλλ' ὁ μὲν ἐστεφανοῦτο, ὁ δὲ ἐκολάζετο· ἀνῃρέθη καὶ ἐσφάγη παρὰ τὸ δίκαιον ὁ [a]Ἄβελ, ἀλλ' ὁ μὲν [t]καὶ τελευτῶν κατηγόρει [v]καὶ ἤρει καὶ ἐχειροῦτο· ὁ δὲ καὶ ζῶν ἐσίγα καὶ

21 Gen. iv. 10.

[d] ἄν pro ἐὰν A.D.E.F.G.H.I. Flor. Statim καὶ accessit ex omnibus. [e] καταρράξῃς B.D.E. et ex corr. A. καταρρίψῃς Flor. [f] ἑαυτῷ A. Statim χεῖρα ὀρέξεις ἑτέρῳ libri omnes et Flor. Edebatur χεῖρα δοῦναι, ἰσχύσεις ἑτέρῳ. [g] προβαλόμενος B. et ex corr. A. Statim καὶ om. E. [h] ὄντα]+τὸν σὸν ἀδελφὸν D. Eadem verba vulgo leguntur post μάχης, sed absunt a nostris A.F. G.H.I. Mox διὰ τῆς ῥαθυμίας A.H.I. [i] ὑγιεῖς πάντες pro πάντες ὑγιεῖς omnes. [k] μὲν om. B.D.E. Articulum ante πόλεμος om. B. [l] ἡμῶν I. et ex corr. G. [m] ἠκόντισας D.E. [n] τὸ om. B.H. [o] γὰρ]+φησὶ A.D.E. Statim τοῦ αἵματος A.D.E.F.H.I. Post αἵματος vulgo addunt Ἄβελ, repugnantibus libris. φησὶν [p] φησὶν om. A.D.E. ἐκ τῆς γῆς (sic) G. [q] τῷ ζῆν] τῇ ζωῇ A.E. [r] πάντως ἐλ. ἦν παντὸς G. [s] μάθε]+καὶ D.E. [t] καὶ om. E. Deest etiam apud Mor. Ben. [v] καὶ ἤρει] Sic B.D.E.G. καὶ ἀνήρει Edd. Neutrum habent A.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[w]ἠσχύνετο καὶ ἠλίσκετο, καὶ τοὐναντίον οὗπερ ἤθελε [x]κατεσκεύασεν. Ἀνήρει γὰρ, ἐπειδὴ ἀγαπώμενον εἶδε, προσδοκῶν καὶ τῆς ἀγάπης [y]ἐκβάλλειν αὐτόν· ἐπέτεινε δὲ τὸ φίλτρον μειζόνως, καὶ [z]ἀποθανόντα μᾶλλον αὐτὸν ὁ θεὸς ἐπεζήτει, 22 "Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου," λέγων. Οὐ γὰρ ἔσβεσας τὸν πόθον τῷ [a]φόνῳ, ἀλλ' ἀνῆψας μᾶλλον· οὐκ ἠλάττωσας τὴν τιμὴν τῇ σφαγῇ, ἀλλ' ἐπέτεινας πλέον. Πρὸ τούτου μὲν γάρ σοι καὶ [b]ὑπέταξεν αὐτὸν ὁ θεός· ἐπειδὴ δὲ αὐτὸν ἀνεῖλες, καὶ τετελευτηκώς σε τιμωρήσεται· τοσοῦτον ἐμοὶ [c]παρ' αὐτοῦ τὸ φίλτρον. Τίς οὖν [d]ἦν ὁ καταδικασθείς; ὁ κολάζων, ἢ ὁ κολαζόμενος; ὁ τοσαύτης ἀπολαύων παρὰ τῷ θεῷ τιμῆς, ἢ ὁ καινῇ τινι καὶ παραδόξῳ διδόμενος τιμωρίᾳ; Οὐκ ἐφοβήθης αὐτὸν ζῶντα, φησίν· οὐκοῦν [e]φοβηθήσῃ τελευτήσαντα· οὐκ ἔτρεμες μέλλων ἐπάγειν τὸ ξίφος· ληφθήσῃ τρόμῳ μετὰ τὸ ἐκχέαι τὸ αἷμα διηνεκεῖ· ζῶν σοι δοῦλος ἦν, καὶ οὐκ [f]ἠνείχου· διὰ τοῦτο τελευτήσας, δεσπότης [g]σοι γέγονε φοβερός. Ταῦτ' οὖν [h]ἐννοοῦντες, ἀγαπητοὶ, [i]φύγωμεν φθόνον, σβέσωμεν κακίαν, 511 ἀγάπην ἀντιδιδόντες ἀλλήλοις, ἵνα τὰ ἐκ ταύτης καρπωσώμεθα ἀγαθὰ, καὶ κατὰ τὸν παρόντα βίον, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(65)

ΛΟΓΟΣ Ι.

[1] Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ εἰς δικαιο- B σύνην, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν.

Πολλὰ καὶ μεγάλα περὶ τοῦ Ἀβραὰμ εἰπὼν, καὶ περὶ τῆς πίστεως αὐτοῦ καὶ τῆς δικαιοσύνης καὶ τῆς παρὰ τοῦ θεοῦ τιμῆς, ἵνα μὴ λέγῃ ὁ ἀκροατὴς, καὶ τί πρὸς ἡμᾶς; ἐκεῖνος γάρ ἐστιν ὁ δικαιωθείς· ἵστησιν ἡμᾶς ἐγγὺς τοῦ πατριάρχου πάλιν. Το-

22 Gen. iv. 9.

1 Cap. IV. v. 23, 24.

[w] ἠσχύνετο]+καὶ εἰλίσσετο τὰ σπλάγχνα G. "Mirum glossema." *Heyse.* [x] *κατεσκεύασεν* B.H.I. *paraverat* Musc. *κατεσκεύαζεν* vulgo. [y] *ἐκβαλεῖν* B.G.H.I. [z] *ἀποθανόντα*]+γὰρ B. Statim *μᾶλλον αὐτὸν ὁ θ.* A.D.E.F.G.H. *αὐτὸν μ. ὁ. θ.* I. *μ. ὁ. θ. αὐτὸν* Edd. [a] *φόνῳ* G. *φθόνῳ* Edd. [b] *ὑπέταξα* (om. *ὁ θεὸς*) D.E. [c] *παρ' αὐτῷ* D.E. [d] *ἦν* om. B.G. Mox *ἢ ὁ κολαζόμενος* om. G. [e] *φοβηθήσῃ* B.D.E.F.G.I. *φοβήθητι* Edd. [f] *ἠνέσχου* G. [g] *σου* A.D.E.F.H.I. et ex corr. B. [h] *ἐννοήσαντες* G. *εἰδότες* A.D.E.F.H.I. [i] *φεύγωμεν* A.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαύτη τῶν πνευματικῶν λόγων ἡ δύναμις. Τὸν γὰρ ἐξ ἐθνῶν,
C τὸν ἄρτι προσελθόντα, τὸν οὐδὲν [a]ἐργασάμενον, οὐ μόνον τοῦ
Ἰουδαίου τοῦ πιστοῦ οὐδὲν ἔφησεν ἔλαττον ἔχειν, ἀλλ' οὐδὲ τοῦ
πατριάρχου· μᾶλλον δὲ, εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ πολλῷ
πλέον. Τοσαύτη γὰρ ἡμῶν ἡ εὐγένεια, ὡς τὴν ἐκείνου πίστιν
τῆς ἡμετέρας τύπον εἶναι. Καὶ οὐκ [b]εἶπεν, εἰ δὲ ἐκείνῳ ἐλογί-
σθη, εἰκὸς ὅτι καὶ ἡμῖν, ἵνα μὴ ποιήσῃ αὐτὸ συλλογισμόν·
[c]ἀλλ' ἐξ αὐθεντίας [d]τῶν θείων φθέγγεται νόμων, καὶ τῆς
γραφῆς ἀπόφασιν αὐτὸ ὅλον ποιεῖ. Διὰ τί γὰρ ἐγράφη,
φησὶν, [e]ἀλλ' ἢ ἵνα μάθωμεν, ὅτι καὶ ἡμεῖς οὕτω δικαιούμεθα;
D τῷ γὰρ αὐτῷ θεῷ πεπιστεύκαμεν ὑπὲρ τῶν αὐτῶν πραγμάτων,
εἰ καὶ μὴ [f]ἐπὶ τῶν αὐτῶν προσώπων. Εἰπὼν δὲ τὴν πίστιν
ἡμῶν, λέγει καὶ τὴν τοῦ θεοῦ φιλανθρωπίαν τὴν ἄφατον, ἣν
ἀεὶ περιστρέφει, τὸν σταυρὸν εἰς μέσον φέρων· ὃ καὶ νῦν ἐδήλωσεν εἰπών· 2 "[g]Ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ
ἠγέρθη διὰ τὴν [g]δικαίωσιν ἡμῶν." [h]Ὅρα πῶς τὴν αἰτίαν
εἰπὼν τοῦ θανάτου, τὴν αὐτὴν καὶ ἀπόδειξιν ἀναστάσεως ποι-
εῖται. Διὰ τί γὰρ ἐσταυρώθη, φησίν; Οὐ δι' οἰκείαν ἁμαρτίαν·
καὶ δῆλον ἐκ τῆς ἀναστάσεως. Εἰ γὰρ ἦν ἁμαρτωλὸς, πῶς
E ἀνέστη; εἰ δὲ ἀνέστη, εὔδηλον ὅτι ἁμαρτωλὸς οὐκ ἦν· εἰ δὲ
ἁμαρτωλὸς οὐκ ἦν, πῶς ἐσταυρώθη; Δι' ἑτέρους. Εἰ δὲ δι'
ἑτέρους, πάντως ἀνέστη. Ἵνα γὰρ μὴ λέγῃς, πῶς τοσούτοις
ἁμαρτήμασιν ὄντες ὑπεύθυνοι δυνάμεθα δικαιωθῆναι; ἔδειξε τὸν
πάντα ἀπαλείψαντα τὰ ἁμαρτήματα, ἵνα καὶ ἐκ τῆς πίστεως
τοῦ Ἀβραὰμ, δι' ἧς ἐδικαιώθη, [i]καὶ ἐκ τοῦ πάθους τοῦ σωτηρίου,
δι' οὗ τῶν ἁμαρτημάτων ἀπηλλάγημεν, βεβαιώσῃ τὸν λόγον.
Εἰπὼν δὲ αὐτοῦ τὸν θάνατον, λέγει καὶ τὴν ἀνάστασιν. Οὐ
γὰρ διὰ τοῦτο ἀπέθανεν, ἵνα ὑπευθύνους ἔχῃ κολάσει, [k]καὶ κατα-
512 δίκους, ἀλλ' ἵνα εὐεργετήσῃ· ἐπὶ [l]τούτῳ γὰρ καὶ ἀπέθανε καὶ
ἀνέστη, ἵνα δικαίους ἐργάσηται.

3 "Δικαιωθέντες οὖν [m]ἐκ πίστεως, εἰρήνην [n]ἔχωμεν πρὸς τὸν
θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." [o]Τί ἐστιν,

2 v. 25. 3 Cap. V. v. 1.

Hom. X. [a] εἰργασμένον A.D.E.H. [b] εἶπεν]+ὅτι E. [c] ἀλλ' ἐξ αὐθεντίας] Sic omnes. ἐξ αὐθεντίας δὲ Edd. Post αὐθεντίας add. γραφῆς H. [d] τὸν θεῖον φθ. νόμον D.G.I. [e] ἀλλ' ἢ ἵνα pro ἀλλ' ἵνα A.B.D.E.F.H. Ita etiam Montef. ἀλλ' ἢ om. G. [f] ἐπὶ] ὑπὲρ G. [g] δικαιοσύνην G. [h] ὁρᾷς F.G. [i] καὶ om. I. Statim ἐκ τῆς τοῦ πάθους Edd. τῆς deest in omnibus. [k] καὶ] ἢ H. [l] τοῦτο G. [m] ἐκ πίστεως omnes. ἐκ τῆς πίστεως Veron. Sav. Mor. [n] ἔχομεν F. et ex corr. G. Infra bis ἔχωμεν F. ἔχομεν a pr. man. G. [o] τί]+τοίνυν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

" εἰρήνην ἔχωμεν;" Τινὲς [p]μέν φασιν ὅτι [q]μὴ διαστασιάζωμεν φιλονεικοῦντες τὸν νόμον [r]εἰσαγαγεῖν· ἐμοὶ δὲ δοκεῖ περὶ πολιτείας ἡμῖν λοιπὸν διαλέγεσθαι. Ἐπειδὴ γὰρ πολλὰ περὶ πίστεως διαλεχθεὶς, καὶ τῆς διὰ τῶν ἔργων δικαιοσύνης αὐτὴν προύθηκεν· ἵνα μή τις νομίσῃ ῥᾳθυμίας ὑπόθεσιν εἶναι τὰ λεγόμενα, φησίν· " εἰρήνην ἔχωμεν" τουτέστι, μηκέτι ἁμαρ- B τάνωμεν, μηδὲ πρὸς τὰ πρότερα ἐπανερχώμεθα· τοῦτο γάρ ἐστι πόλεμον ἔχειν πρὸς τὸν θεόν. Καὶ πῶς δυνατὸν, φησὶ, [s]τὸ μηκέτι ἁμαρτάνειν; [t]Πῶς τὸ πρότερον ἐγένετο δυνατόν; Εἰ γὰρ τοσούτων ὄντες ὑπεύθυνοι, πάντων ἀπηλλάγημεν διὰ τοῦ Χριστοῦ, πολλῷ μᾶλλον ἐν οἷς ἐσμεν μεῖναι δι' αὐτοῦ δυνησόμεθα. Οὐ γάρ ἐστιν ἴσον μὴ [v]οὖσαν λαβεῖν εἰρήνην, καὶ δοθεῖσαν κατασχεῖν· ἐπειδήπερ ἡ [w]κτῆσις τῆς φυλακῆς χαλεπώ- τερον. Ἀλλ' ὅμως γέγονε τὸ χαλεπώτερον [x]εὔκολον, καὶ εἰς C ἔργον ἐξέβη. Οὐκοῦν ἔσται καὶ τὸ εὐκολώτερον ἡμῖν εὐκατόρ- θωτον, ἂν ἐχώμεθα τοῦ [y]καὶ ἐκεῖνα ἡμῖν ἠνυκότος. Ἐνταῦθα δὲ οὐ τὸ εὔκολον αἰνίττεσθαί μοι δοκεῖ μόνον, ἀλλὰ καὶ τὸ (66) εὔλογον. Εἰ γὰρ αὐτὸς ἡμᾶς κατήλλαξεν ἐκπεπολεμωμένους, εὔλογον μένειν ἐπὶ τῆς καταλλαγῆς, καὶ ταύτην ἀποδοῦναι αὐτῷ τὴν ἀμοιβὴν, ἵνα μὴ δόξῃ σκαιοὺς καὶ ἀγνώμονας κατηλ- λαχέναι [z]τῷ πατρί. [4] " Δι' αὐτοῦ γὰρ, φησὶ, καὶ τὴν προσ- αγωγὴν ἐσχήκαμεν τῇ πίστει [a]εἰς τὴν χάριν ταύτην." Εἰ τοίνυν μακρὰν ὄντας προσήγαγε, πολλῷ [b]μᾶλλον ἐγγὺς γενο- μένους καθέξει. Σὺ δέ μοι σκόπει πῶς πανταχοῦ [c]τὰ δύο D τίθησι, καὶ τὰ παρ' αὐτοῦ καὶ τὰ παρ' ἡμῶν. Ἀλλὰ τὰ μὲν [d]αὐτοῦ ποικίλα καὶ πολλὰ καὶ διάφορα· καὶ γὰρ ἀπέθανε δι' ἡμᾶς, καὶ κατήλλαξεν ἡμᾶς, καὶ προσήγαγε, καὶ χάριν ἔδωκεν ἄφατον· ἡμεῖς δὲ τὴν πίστιν εἰσηνέγκαμεν μόνον· διό φησιν, " ἐν τῇ πίστει." " Εἰς τὴν χάριν ταύτην." Ποίαν, εἰπέ μοι, χάριν; Τὸ [e]καταξιωθῆναι τῆς τοῦ θεοῦ γνώσεως, τὸ τῆς πλά- νης ἀπαλλαγῆναι, τὸ τὴν ἀλήθειαν ἐπιγνῶναι, τὸ πάντων ἐπι- τυχεῖν τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν. Εἰς τοῦτο γὰρ ἡμᾶς προσήγαγεν, ἵνα ταῦτα [f]λάβωμεν τὰ δῶρα. Οὐδὲ γὰρ E

[4] v. 2.

[p] μὲν, quod aberat ante Montef. est in A.B.F.H.I. μὲν οὖν est in D.E. [q] μὴ διαστασιάζωμεν A.D.E.F.G. μὴ διστασιάζωμεν I. μὴ στασιάζωμεν B. μὴ δὴ στασιάζωμεν Edd. [r] εἰσάγειν A.D.F.H. [s] τὸ om. D.E. τοῦτο pro τὸ H. [t] πῶς] ἂν ἐννοήσῃς πῶς D.E. [v] οὖσαν om. B. Statim λαβεῖν εἰρήνην pro εἰρήνην λαβεῖν omnes. [w] κτίσις E.H. [x] εὐκολώτερον G. [y] καὶ et ἡμῖν om. I. [z] τῷ πατρὶ om. D.E. Statim διὰ τοῦτο γὰρ, φησὶ F.H. Mosqq. [a] Verba εἰς (καὶ pro εἰς H.) τὴν χάριν ταύτην accesserunt ex A.B.D. E.F.H.I. [b] μᾶλλον]+ἡμᾶς I. [c] τὰ om. I. [d] αὐτοῦ] παρ' αὐτοῦ G. [e] ἀξιωθῆναι G. [f] ἀπολάβωμεν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁπλῶς ἵνα [g] ἁμαρτημάτων ἄφεσις γένηται, [h] κατηλλάγημεν μόνον, ἀλλ' ἵνα καὶ μυρίων ἀπολαύσωμεν ἀξιωμάτων. Καὶ οὐδὲ ἐν τούτοις ἔστη, ἀλλὰ καὶ ἕτερα ἐπηγγείλατο, τὰ ἀπόρρητα ἐκεῖνα [i] τὰ καὶ νοῦν καὶ λόγον ὑπερβαίνοντα ἀγαθά. Διόπερ [k] ἀμφότερα τέθεικε. [l] Τῷ μὲν γὰρ εἰπεῖν, "τὴν χάριν," τὰ παρόντα ἐδήλωσεν ἅπερ ἐλάβομεν· τῷ δὲ εἰπεῖν, "Καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ," τὰ μέλλοντα ἐξεκάλυψεν ἅπαντα. Καὶ καλῶς εἶπεν, "ἐν ᾗ [m] καὶ ἑστήκαμεν." Τοιαύτη γὰρ ἡ τοῦ θεοῦ χάρις· οὐκ ἔχει τέλος, οὐκ οἶδε πέρας, ἀλλὰ καὶ ἐπὶ μείζονα ἀεὶ πρόεισιν· ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. Οἷόν τι λέγω· ἔλαβέ τις ἀρχὴν καὶ δόξαν καὶ δυναστείαν, ἀλλ'
513 οὐχ ἕστηκεν [n] ἐπ' αὐτῆς διηνεκῶς, ἀλλὰ ταχέως αὐτῆς ἐκπίπτει· κἂν μὴ ἄνθρωπος ἀφέληται, θάνατος ἐπελθὼν ἁφαιρήσεται πάντως. Τὰ δὲ τοῦ θεοῦ οὐ τοιαῦτα· οὔτε γὰρ ἄνθρωπος, [o] οὐ χρόνος, οὐ περίστασις πραγμάτων, οὐκ αὐτὸς ὁ διάβολος, οὐχ ὁ θάνατος ἐπελθὼν ἐκβαλεῖν [p] αὐτῶν ἡμᾶς δυνήσεται· ἀλλ' ὅταν ἀποθάνωμεν, τότε ἀκριβέστερον αὐτὰ [q] κατέχομεν, καὶ πλειόνων ἀεὶ προϊόντες ἀπολαύομεν. [r] Ὥστε εἰ διαπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν παρόντων καὶ ὧν ἔλαβες ἤδη, καὶ ἐκείνοις πίστευε. Διὰ γὰρ τοῦτο εἶπε, "καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ
B θεοῦ," ἵνα μάθῃς οἵαν ψυχὴν τὸν πιστὸν ἔχειν δεῖ. [r] Οὐ γὰρ ὑπὲρ τῶν δεδομένων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων ὡς δεδομένων πεπληροφορῆσθαι χρή· καυχᾶται γάρ τις [s] ἐπὶ τοῖς ἤδη παρασχεθεῖσιν. Ἐπεὶ οὖν καὶ ἡ τῶν μελλόντων ἐλπὶς οὕτω βεβαία καὶ σαφὴς, ὡς ἡ τῶν δεδομένων, καὶ ἐπ' ἐκείνῃ, φησὶν, ὁμοίως καυχώμεθα. Διὰ τοῦτο καὶ δόξαν αὐτὰ ἐκάλεσεν. Εἰ γὰρ εἰς τὴν τοῦ θεοῦ συντελεῖ δόξαν, πάντως ἐκβήσεται, εἰ καὶ μὴ δι' ἡμᾶς, ἀλλὰ δι' αὐτόν.

Καὶ τί λέγω, φησὶν, ὅτι τὰ μέλλοντα ἀγαθὰ ἄξια καυχήσεως; Αὐτὰ μὲν οὖν τὰ παρόντα κακὰ ἱκανὰ ἡμᾶς καλλωπίσαι,
C καὶ ποιῆσαι [t] καὶ ἐπ' αὐτοῖς ἐναβρύνεσθαι. Διὸ καὶ ἐπήγαγεν· 5 "Οὐ μόνον δὲ, ἀλλὰ καὶ [v] καυχώμεθα ἐν ταῖς θλίψεσιν." Ἐνόησον τοίνυν ἡλίκα τὰ μέλλοντα, ὅταν καὶ ἐπὶ τοῖς δοκοῦσιν

5 v. 3.

[g] ἄφεσις ἁμαρτημάτων inverso ord. A.D.E.F.H.I. [h] κατηλλάγημεν μόνον] Sic B.D.E. κατηλλάγη μόνον A.F.H.I. καὶ καταλλαγὴ μόνον G. καὶ ἀπαλλαγὴ μόνον Edd. [i] τὰ accessit ex A.B.D.E.F.H.I. Statim καὶ λόγον καὶ νοῦν B.D.G. [k] τὰ ἀμφότερα G. [l] τῷ pro τὸ bis A.B.D.E.F.I. receptum a Montef. [m] καὶ accessit ex A.B.D.E.F.H. [n] ἐπ' αὐτῆς A.D.E.F.G.H.I. ἐπὶ ταύτης Edd. [o] οὐ] οὔτε I. [p] αὐτῶν ἡμᾶς] αὐτὰ G. αὐτῶν om. H. [q] κατέχομεν F.G.H. [r] οὐ pro οὐδὲ omnes. [s] ἐπὶ] ὑπὲρ G. [t] καὶ accessit ex omnibus. Statim ἐπ' pro ἐν A.D.E.F.H.I. [v] καυχώμενοι G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶναι λυπηροῖς μέγα φρονῶμεν. Τοσαύτη ἡ τοῦ θεοῦ δωρεὰ, καὶ οὕτως οὐδὲν [w]ἐν αὐτοῖς ἀηδές. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πραγμάτων οἱ μὲν ἀγῶνες πόνον ἔχουσι καὶ [x]ὀδύνην καὶ ταλαιπωρίαν, οἱ δὲ στέφανοι καὶ τὰ [y]ἔπαθλα τὴν ἡδονὴν κομίζουσιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τῶν ἐπάθλων τὰ παλαίσματα οὐχ ἧττον ἡμῖν ἡδίω. Ἐπειδὴ γὰρ πολλοὶ μὲν οἱ πειρασμοὶ [z]τότε ἦσαν, ἡ δὲ βασιλεία ἐν ἐλπίσι, καὶ τὰ μὲν δεινὰ ἐν χερσὶ, τὰ δὲ χρηστὰ ἐν προσδοκίᾳ, τοῦτο δὲ τοὺς ἀσθενεστέρους [a]ἐξέλυε· καὶ D πρὸ τῶν στεφάνων ἤδη δίδωσιν αὐτοῖς τὰ βραβεῖα, λέγων ὅτι καὶ ἐν ταῖς θλίψεσι δεῖ καυχᾶσθαι. Καὶ οὐκ εἶπε, δεῖ καυχᾶσθαι ὑμᾶς, [b]ἀλλὰ, "καυχώμεθα," φησὶν, ἡμεῖς, ἐν τῷ οἰκείῳ προσώπῳ [c]παραίνεσιν εἰσάγων. Εἶτα ἐπειδὴ ἐδόκει ξένον εἶναι καὶ παράδοξον τὸ εἰρημένον, εἰ τὸν [d]ἐν λιμῷ παλαίοντα, καὶ ἐν ἁλύσει καὶ ἐν βασάνοις ὄντα, καὶ ὑβριζόμενον καὶ ὀνειδιζόμενον καυχᾶσθαι δεῖ, κατασκευάζει λοιπὸν αὐτό· καὶ τὸ δὴ μεῖζον, ὅτι ἄξια [e]καυχήσεως εἶναί φησιν, οὐ δι' ἐκεῖνα τὰ μέλλοντα μόνον, E
(67) ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. Καὶ γὰρ [f]αὐταὶ καθ' ἑαυτὰς αἱ θλίψεις ἀγαθὸν πρᾶγμά [g]εἰσι. Τίνος ἕνεκεν; Ὅτι εἰς ὑπομονὴν ἀλείφουσι. Διόπερ εἰπὼν, "καυχώμεθα ἐν ταῖς θλίψεσι," [h]καὶ τὴν αἰτίαν προσέθηκε, λέγων· "Εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται." Ὅρα πάλιν τὴν φιλονεικίαν Παύλου, πῶς εἰς τὸ ἐναντίον περιτρέπει τὸν λόγον. Ἐπειδὴ γὰρ αἱ θλίψεις μάλιστα ἀπαγορεύειν ἐποίουν ὑπὲρ τῶν μελλόντων αὐτοὺς, καὶ εἰς ἀπόγνωσιν [i]ἐνέβαλλον, λέγει ὅτι δι' αὐτὰς μὲν οὖν ταύτας χρὴ θαρρεῖν, καὶ μὴ ἀπογινώσκειν τὰ μέλλοντα. "Ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται, φησὶν, [j]ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ 514
καταισχύνει." Οὐ γὰρ μόνον οὐκ ἀναιρετικαὶ τῆς τοιαύτης ἐλπίδος αἱ θλίψεις, ἀλλὰ καὶ κατασκευαστικαί. Ἔχει [k]μὲν γὰρ καὶ πρὸ τῶν μελλόντων μέγιστον καρπὸν τὴν ὑπομονὴν ἡ θλῖψις, καὶ τὸ δόκιμον ποιεῖν τὸν πειραζόμενον· συντελεῖ δέ τι καὶ πρὸς τὰ μέλλοντα· τὴν γὰρ ἐλπίδα ἀκμάζειν ἐν ἡμῖν ποιεῖ. Οὐδὲν γὰρ [l]οὕτω χρηστὰ ἐλπίζειν παρασκευάζει, ὡς ἀγαθὸν

6 v. 4, 5.

[w] ἐν αὐτοῖς pro αὐτῆς A.D.E.F.G.H.I. [x] ὀδύνην] θλῖψιν G. [y] ἄθλα G. Statim τὴν om. I. [z] τότε om. A.D.E.F.H.I. [a] ἐξέλυε pro ἐξέλυσε B.D.E.G. [b] ἀλλὰ]+καὶ G. [c] τὴν παρ. D.E. et ex corr. B. [d] ἐν accessit ex omnibus. εἰ τὸ ἐν λ. F.H. Statim πάλαι ὄντα καὶ ἁλύσει G. [e] τῆς καυχήσεως B. [f] αὐταὶ pro αὗται A.B.D.E.F. fortasse alii. [g] εἰσι omnes. ἐστι Edd. [h] καὶ τὴν αἰτίαν om. H.I. [i] ἐνέβαλον G.I. Statim ὅτι om. I. [k] μὲν om. G. Statim καὶ aberat ante Montef. invitis libris. [l] οὕτως A.B.D.E.H.I. Statim ἐλπίζειν χρηστὰ hoc ord. D.G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

συνειδός. Οὐδεὶς [m]γοῦν τῶν ὀρθῶς βεβιωκότων ἀπιστεῖ περὶ
B τῶν μελλόντων, ὥσπερ οὖν τῶν ἠμεληκότων πολλοί, πονηρῷ
[n]πιεζόμενοι συνειδότι, οὐδὲ κρίσιν οὐδὲ ἀντίδοσιν εἶναι βούλον-
ται. Τί οὖν; ἐν ἐλπίσιν ἡμῖν τὰ ἀγαθά; Ἐν ἐλπίσι μέν,
ἀλλ' οὐκ ἀνθρωπίναις, αἳ διαπίπτουσι καὶ καταισχύνουσι [o]τὸν
ἐλπίσαντα πολλάκις, τοῦ προσδοκηθέντος προϊστασθαι τελευ-
τήσαντος, ἢ ζῶντος μεταβληθέντος. Ἀλλ' οὐ τὰ ἡμέτερα
τοιαῦτα, ἀλλὰ βεβαία καὶ ἀκίνητος ἡ ἐλπίς. [p]Ὁ [q]τε γὰρ
ἐπαγγειλάμενος ἀεὶ ζῇ, ἡμεῖς [q]τε οἱ μέλλοντες αὐτῶν [r]ἀπολαύ-
σεσθαι, κἂν ἀποθάνωμεν, ἀναστησόμεθα πάλιν, καὶ οὐδὲν ὅλως
C ἐστὶν ὃ δύναται ἡμᾶς καταισχῦναι, ὡς εἰκῇ καὶ μάτην [s]ἐπὶ
σαθραῖς ἐπαρθέντας ἐλπίσιν.

Ἀπαλλάξας τοίνυν αὐτοὺς ἱκανῶς ἀμφισβητήσεως ἁπάσης
διὰ τούτων τῶν ῥημάτων, οὐχ ἵστησι μέχρι [t]τοῦ παρόντος τὸν
λόγον, ἀλλὰ καὶ τὰ μέλλοντα πάλιν ἐπάγει, εἰδὼς τοὺς ἀσθε-
νεστέρους καὶ τὰ παρόντα ζητοῦντας, καὶ οὐκ ἀρκουμένους τού-
τοις. Καὶ πιστοῦται αὐτὰ ἀπὸ τῶν ἤδη δοθέντων. Ἵνα γὰρ
μή [v]τις λέγῃ, τί οὖν, εἰ μὴ βούλεται ἡμῖν χαρίσασθαι ὁ θεός;
ὅτι μὲν γὰρ δύναται καὶ μένει καὶ ζῇ, πάντες ἴσμεν· πόθεν δὲ,
ὅτι [w]καὶ βουλήσεται; Ἀπὸ τῶν ἤδη γεγενημένων. Ποίων
γεγενημένων; Τῆς ἀγάπης, ἣν περὶ ἡμᾶς ἐπεδείξατο. Τί
D ποιήσας, φησί; Πνεῦμα ἅγιον δούς. Διόπερ εἰπὼν, " ἡ ἐλπὶς
οὐ καταισχύνει," ἐπήγαγε τὴν ἀπόδειξιν [x]τούτου, λέγων, "Ὅτι
ἡ ἀγάπη τοῦ [y]θεοῦ," οὐκ εἶπε, δέδοται, ἀλλ', " ἐκκέχυται ἐν
ταῖς καρδίαις [z]ἡμῶν," τὸ δαψιλὲς ἐμφαίνων. [a]Ὁ γὰρ μέγιστον
ἦν δῶρον, [a]τοῦτο ἔδωκεν, οὐκ οὐρανὸν καὶ γῆν καὶ θάλατταν,
ἀλλ' ὃ τούτων ἁπάντων τιμιώτερον ἦν, καὶ ἀγγέλους ἐξ ἀν-
θρώπων, καὶ υἱοὺς θεοῦ καὶ ἀδελφοὺς [b]τοῦ Χριστοῦ [c]κατε-
σκεύασε. Τί δέ ἐστι τοῦτο; Τὸ πνεῦμα τὸ ἅγιον. Εἰ δὲ
οὐκ ἐβούλετο [d]μεγάλους ἡμῖν μετὰ τοὺς πόνους στεφάνους δω-

[m] οὖν G. Mox οὖν post ὥσπερ om. idem. [n] πιεζόμενοι] τε ζῶμεν G. [o] τὸν ἐλπίσαντα πολλάκις pro π. τὸν ἐλπίσαντα omnes. Post ἐλπίσαντα interpungunt A.D.E.G. [p] τε accessit ex B.D.E.G. et Veron. [q] τε pro δὲ A.D.E.H. Apud Montef. excidit δέ. [r] ἀπολαῦσαι A.D.E.F.H.I. Statim ἂν ἀποθ. G. [s] καὶ ἐπὶ Edd. καὶ om. A.B.D.E.F.H.I. [t] τοῦ παρόντος omnes. τῶν παρόντων Edd. [v] τις om. G. [w] καὶ βουλήσεται] χαρίσασθαι ἡμῖν βούλεται in rasura a manu secunda G. καὶ βουληθήσεται H. [x] τούτου] τοῦτο G. οὗτω H. [y] θεοῦ]+ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, καὶ Edd. Haec desunt in A.E.F.G.H.I. Statim καὶ οὐκ εἶπε G. Locum sic, ut videtur, exhibet B. ὅτι ἡ ἀγάπη τοῦ θ. ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, τὸ δαψιλὲς ἐμφαίνων. [z] ὑμῶν A.E.I. et ex corr. H. [a] τοῦτο] καὶ τοῦτο F. Statim δέδωκεν G. [b] τοῦ om. G. [c] κατεσκεύασε A.D.E.F.G.H. κατεσκεύαζε Edd. [d] μεγάλους ἡμῖν . . . στεφάνους] Sic B.D.E.G. μεγάλους ἡμᾶς . . . στεφάνους A. ἡμῖν μεγάλους . . . στεφάνους I. Edebatur μεγάλοις ἡμᾶς . . . στεφάνοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῥήσασθαι, οὐκ ἂν πρὸ τῶν πόνων τοσαῦτα ἔδωκεν ἀγαθά. Νῦν δὲ τὸ θερμὸν αὐτοῦ [e]δείκνυται τῆς ἀγάπης ἐντεῦθεν, ὅτι οὐκ E ἠρέμα καὶ κατὰ μικρὸν ἡμᾶς ἐτίμησεν, ἀλλ' [f]ἀθρόον τὴν πηγὴν τῶν ἀγαθῶν ἐξέχεε, καὶ ταῦτα πρὸ τῶν ἀγώνων. Ὥστε κἂν μὴ σφόδρα ἧς ἄξιος, μὴ ἀπογίνωσκε, ἔχων [g]μεγάλην συνήγορον τοῦ δικάζοντος τὴν ἀγάπην. Διὰ [h]γὰρ τοῦτο καὶ αὐτὸς εἰπών, "ἡ ἐλπὶς οὐ καταισχύνει," οὐ τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλὰ τῇ ἀγάπῃ τοῦ θεοῦ τὸ πᾶν ἀνέθηκεν. Εἰπὼν δὲ τοῦ πνεύματος τὴν δόσιν, μεταβαίνει [i]πάλιν ἐπὶ τὸν σταυρὸν, [k]οὕτω λέγων· [7] "Ἔτι γὰρ [l]Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου 515 τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην [m]εἰς ἡμᾶς ὁ θεός." [n]Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ γὰρ ὑπὲρ ἀνδρὸς ἐναρέτου οὐκ ἂν [n]τις ἔλοιτο ταχέως ἀποθανεῖν, ἐννόησον τοῦ δεσπότου [o]σου τὴν ἀγάπην, ὅταν μὴ ὑπὲρ ἐναρέτων αὐτὸς, (68) ἀλλ' [p]ὑπὲρ ἁμαρτωλῶν καὶ ἐχθρῶν φαίνηται σταυρωθείς. Ὅπερ καὶ μετὰ [q]ταῦτά φησιν· "Ὅτι [r]εἰ ἁμαρτωλῶν ἡμῶν ὄντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, [8]πολλῷ [s]οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ B θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ." [t]Δοκεῖ μὲν οὖν ταυτολογία εἶναι τὰ εἰρημένα, οὐκ ἔστι δὲ τῷ μετὰ ἀκριβείας προσέχοντι. Σκόπει δέ. Βούλεται πιστώσασθαι περὶ τῶν μελλόντων [v]αὐτούς. Καὶ πρῶτον μὲν ἀπὸ τῆς τοῦ δικαίου γνώμης ἐντρέπει, εἰπών, ὅτι ἐπληροφορήθη κἀκεῖνος, ὅτι ὃ ἐπήγγελται [w]ὁ θεὸς, δυνατός ἐστι καὶ ποιῆσαι· ἔπειτα ἀπὸ τῆς χάριτος τῆς δοθείσης· εἶτα ἀπὸ [x]τῆς θλίψεως, ὅτι ἱκανὴ εἰς [y]ἐλπίδας ἡμᾶς ἀγαγεῖν, καὶ ἀπὸ τοῦ πνεύματος πάλιν [z]ὅπερ ἐλάβομεν· λοιπὸν δὲ καὶ ἀπὸ C τοῦ θανάτου καὶ τῆς ἡμετέρας κακίας τῆς ἔμπροσθεν τοῦτο

[7] v. 6—8. [8] v. 9, 10.

[e] δείκνυται τῆς ἀ. pro τῆς ἀ. δείκνυται omnes. Post ἐντεῦθεν add. οὕτως G. [f] ἀθρύαν G. [g] μεγάλην pro μεγάλων A.B.D.E.G.I. Ita post monitum Dunaei tacite ediderunt Mor. Ben. [h] γὰρ om. A.D.E.G.I. [i] πάλιν]+λοιπὸν Edd. λοιπὸν om. A.B.D.E.F.G.H. [k] οὕτω λέγων pro λέγων οὕτως omnes. [l] ὁ Χριστὸς Edd. ὁ om. A.B.D.F.G.H.I. Mosqq. [m] εἰς ἡμᾶς ὁ θ.] ὁ θ. εἰς ἡμᾶς F.H.I. Mosq. 8. [n] τις ἕλοιτο pro ἕλοιτό τις A.D.E.G.H.I. [o] σου om. G. [p] ὑπὲρ ἐχθ. καὶ ἁμαρτ. A.E. [q] ταῦτα]+πάντα G. [r] εἰ] ἔτι G. [s] οὖν accessit ex A.D.E.F.G.H. [t] δοκεῖ μὲν οὖν pro καὶ δοκεῖ μὲν A.D.E.F.G.H.I. [v] αὐτοὺς om. B. [w] ὁ (vel ὃ ?) accessit ex omnibus. [x] τῆς θλίψεως pro τῶν θλίψεων omnes. Sed ἱκανὴ pro ἱκαναὶ non nisi A.D.G.I. [y] ἐλπίδας pro ἐλπίδα omnes. [z] ὅπερ pro οὑπερ A.B.D.E.F.G.I. ὃ παρελάβομεν H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατασκευάζει. Καὶ δοκεῖ μὲν, ὅπερ ἔφθην εἰπὼν, ἓν εἶναι τὸ εἰρημένον, εὑρίσκεται δὲ καὶ δύο καὶ τρία καὶ πολλῷ [a]πλείονα ὄντα· πρῶτον μὲν, ὅτι ἀπέθανε· [b]δεύτερον, ὅτι ὑπὲρ ἀσεβῶν· [c]τρίτον, ὅτι κατήλλαξεν, ὅτι ἔσωσεν, ὅτι ἐδικαίωσεν, ὅτι [d]ἀθανάτους ἐποίησεν, ὅτι υἱοὺς εἰργάσατο καὶ κληρονόμους. Οὐ τοίνυν [e]ἀπὸ τοῦ θανάτου μόνον ἰσχυρίζεσθαι χρὴ, φησὶν, ἀλλὰ καὶ ἀπὸ τοῦ δώρου τοῦ δοθέντος ἡμῖν διὰ τοῦ θανάτου. Καίτοιγε εἰ καὶ τεθνήκει μόνον ὑπὲρ ἡμῶν τοιούτων ὄντων, [f]μεγίστης ἦν δεῖγμα ἀγάπης τὸ γεγενημένον· ὅταν δὲ φαίνηται καὶ ἀποθνήσκων [g]καὶ δωρούμενος, καὶ [h]τοιαῦτα δωρούμενος, καὶ τοιούτοις οὖσι, πᾶσαν ὑπερβολὴν ἀποκρύπτει τὰ γεγενημένα, καὶ τὸν σφόδρα ἀναίσθητον εἰς πίστιν ἄγει. Οὐδὲ γὰρ ἄλλος ἐστὶν ὁ μέλλων σώζειν ἡμᾶς, ἀλλ' ἐκεῖνος ὁ οὕτω φιλήσας ἁμαρτωλοὺς ὄντας, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. Εἶδες πόσην ἔχει τὸ χωρίον τοῦτο κατασκευὴν πρὸς τὴν τῶν μελλόντων ἐλπίδα; Πρὸ μὲν γὰρ τούτου, δύο δύσκολα ἦν πρὸς σωτηρίαν ἡμῖν, τὸ καὶ ἁμαρτωλοὺς εἶναι, καὶ διὰ τοῦ θανάτου τοῦ δεσπότου δεῖν σωθῆναι· ὅπερ καὶ ἀπίθανον ἦν πρὶν ἢ γενέσθαι, καὶ πολλῆς δεόμενον τῆς ἀγάπης ἵνα γένηται· νυνὶ δὲ ἐπειδὴ ταῦτα ἐξέβη, τὰ λειπόμενα εὐκολώτερα· καὶ γὰρ φίλοι γεγόναμεν, καὶ θανάτου λοιπὸν οὐ δεῖ. Ὁ τοίνυν τῶν ἐχθρῶν οὕτω φεισάμενος, [i]ὥστε μὴ φείσασθαι τοῦ παιδὸς, φίλων ὄντων οὐ [k]προστήσεται, ὅτε λοιπὸν οὐδὲ [l]τοῦ τὸν παῖδα ἐκδοῦναι χρεία; [n]Ἡ γὰρ διὰ τὸ μὴ βούλεσθαί τις, ἢ διὰ τὸ μὴ δύνασθαι, κἂν βούληται, πολλάκις οὐ σώζει· ὧν οὐδὲν ἔστιν εἰπεῖν ἐπὶ τοῦ θεοῦ. [m]Ὅτι μὲν γὰρ βούλεται, δῆλον ἐξ ὧν τὸν υἱὸν ἐξέδωκεν· ὅτι δὲ [n]καὶ δύναται, καὶ αὐτὸ ὁμοίως ἀπέδειξεν ἐξ ὧν ἁμαρτωλοὺς [o]ὄντας ἐδικαίωσε. Τί οὖν [p]λοιπὸν τὸ κωλύον [q]ἐπιτυχεῖν τῶν μελλόντων ἡμᾶς; [r]Οὐδέν. Εἶτα πάλιν, ἵνα μὴ ἁμαρτωλοὺς καὶ ἐχθροὺς καὶ ἀσθενεῖς [s]καὶ ἀσεβεῖς ἀκούσας, μέλλῃς αἰσχύνεσθαι καὶ ἐρυθριᾶν, ἄκουσον τί φησιν· [9]" Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ

[9] v. 11.

[a] πλέον G. [b] δεύτερον δὲ Edd. δὲ om. B.D.G. [c] τρίτον δὲ Edd. δὲ deest in A.B.D.E.G.H.I. [d] ἀθανάτους ἐποίησεν] ἐδόξασεν G. [e] ἀπὸ τοῦ θανάτου——φησὶν] ὅτι ἀθανάτους ἐποίησεν τοὺς ἀπὸ θανάτου μόνον ἰσχυρίζεσθε, φησὶν G. [f] μεγίστης pro μέγιστον omnes. [g] καὶ accessit ex omnibus. [h] ταῦτα G. [i] ὥστε] ὡς G. [k] προσθήσεται G. [l] τοῦ τὸν παῖδα] Sic A.F.H.I. τοῦτον παῖδα E.G. Edebatur τὸν τούτου παῖδα. Mox χρεία om. H. et ante corr. F. οὐδὲ χρεία τοῦ τὸν π. ἐκδοῦναι I. [m] Vid. Annot. [n] καὶ accessit ex omnibus. [o] ὄντας om. G. [p] λοιπὸν om. F.H.I. [q] ἐπιτυχεῖν pro ἐστὶ τυχεῖν omnes. [r] οὐδὲν ἔσται. πάλιν G. [s] καὶ ἀσεβεῖς ἀκούσας pro ἀκούσας καὶ ἀσεβεῖς omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[t]νῦν τὴν καταλλαγὴν ἐλάβομεν." Τί ἐστιν, "οὐ μόνον δέ;" Οὐ μόνον ἐσώθημεν, φησὶν, ἀλλὰ καὶ καυχώμεθα [v]δι' αὐτὸ τοῦτο, δι' ὃ νομίζει τις ἡμᾶς ἐγκαλύπτεσθαι. Τὸ γὰρ ἐν τοσαύτῃ πονηρίᾳ [w]ζῶντας ἡμᾶς σωθῆναι, τοῦ σφόδρα ἀγαπηθῆναι παρὰ τοῦ [x]σώσαντος μέγιστον σημεῖόν ἐστιν. [y]Οὐδὲ γὰρ δι' ἀγγέλων ἢ ἀρχαγγέλων, [z]ἀλλὰ δι' αὐτοῦ τοῦ μονο- B γενοῦς ἔσωσεν. [a]Ὥστε καὶ τὸ σῶσαι, καὶ τὸ τοιούτους ὄντας σῶσαι, καὶ [b]τὸ διὰ τοῦ μονογενοῦς τοῦτο ποιῆσαι, καὶ οὐδὲ ἁπλῶς διὰ τοῦ μονογενοῦς, ἀλλὰ διὰ τοῦ αἵματος αὐτοῦ, μυρίους ἡμῖν καυχήσεως πλέκει στεφάνους. Οὐδὲν γὰρ ἴσον εἰς δόξης λόγον καὶ παρρησίας τοῦ φιλεῖσθαι παρὰ τοῦ θεοῦ καὶ τοῦ φιλεῖν αὐτὸν τὸν ἀγαπῶντα. Τοῦτο τοὺς ἀγγέλους ποιεῖ λαμπροὺς, τοῦτο τὰς ἀρχὰς καὶ τὰς δυνάμεις· τοῦτο βασιλείας μεῖζον· διὰ τοῦτο καὶ Παῦλος πρὸ τῆς βασιλείας τοῦτο ἐτίθει· διὰ τοῦτο καὶ τὰς ἀσωμάτους [b]μακαρίζω δυνάμεις, ὅτι [c]καὶ C φιλοῦσιν αὐτὸν, καὶ πάντα ὑπακούουσιν. Ἐντεῦθεν [d]γοῦν αὐτοὺς καὶ ὁ προφήτης ἐθαύμαζε, λέγων· [10]"Δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ·" ἐντεῦθεν καὶ τὰ Σεραφὶμ ὁ Ἡσαΐας ἀνεκήρυττε, τὴν μεγάλην αὐτῶν ἐνδεικνύμενος ἀρετὴν (69) ἐκ τοῦ ἑστάναι πλησίον τῆς δόξης ἐκείνης, ὅπερ [e]μεγίστης ἀγάπης σημεῖόν ἐστι.

[f]Ζηλώσωμεν τοίνυν καὶ ἡμεῖς τὰς ἄνω δυνάμεις, καὶ μὴ μόνον ἐγγὺς τοῦ θρόνου στῆναι σπουδάσωμεν, ἀλλὰ καὶ ἔνοικον αὐτὸν ἔχειν τὸν ἐπὶ τοῦ θρόνου καθήμενον. Ἐκεῖνος μὲν γὰρ καὶ μισοῦντας ἐφίλησε, καὶ φιλῶν διατελεῖ· καὶ γὰρ [11]"Τὸν ἥλιον D ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους." Σὺ δὲ φιλοῦντα [g]γοῦν ἀγάπησον· φιλεῖ γάρ. Καὶ πῶς, φησὶν, ὁ φιλῶν γέενναν καὶ κόλασιν καὶ τιμωρίαν ἠπείλησε; [h]Δι' αὐτὸ τοῦτο τὸ φιλεῖν· καὶ γὰρ [i]ἐκκόπτων σου τὴν πονηρίαν, καὶ ὥσπερ τινὶ χαλινῷ τῷ φόβῳ κατέχων σου τὴν ἐπὶ τὰ χείρω ῥύμην, πάντα ποιεῖ καὶ πραγματεύεται, καὶ διὰ τῶν χρηστῶν καὶ διὰ τῶν λυπηρῶν ἀναστέλλων σε τῆς ἐπὶ τὰ κάτω φορᾶς, καὶ πρὸς ἑαυτὸν [k]ἀνάγων, καὶ κακίας ἀπαλλάτ-

[10] Ps. cii. 20. [11] Matth. v. 45.

[t] νῦν om. G. [v] διὰ τοῦτο (om. αὐτὸ) H. [w] ζῶντα G. Statim ἡμᾶς om. B.G. [x] σώσαντος omnes. σώζοντος Edd. [y] οὐδὲ pro οὐ A.B.D.E. F.G.I. [z] ἀλλ' αὐτοῦ H. [a] τὸ om. H. [b] μακαρίζει H. [c] καὶ om. G. [d] γοῦν] τοὺς G. [e] μέγιστον D.E. Mox ἐστι pro ἦν omnes. [f] ΗΘΙΚΟΝ. Περὶ τοῦ μὴ πενθεῖν ἐπὶ τῇ ἀποβολῇ τῶν παρόντων, ἀλλ' ἐπὶ τῷ κυρίῳ ἐλπίζειν. Veron. [g] γοῦν om. G. [h] δι' αὐτὸ τ. τὸ φιλεῖν] διὰ τοῦτο φιλεῖ G. [i] ἐγκόπτων F.H. Statim σου om. B.D.E. [k] ἀνάγων omnes. ἐπανάγων Edd. Statim καὶ κ. ἀπαλλάττων π. omnes, (nisi forte καὶ ἀπαλλάττων κ. π. A.) Edebatur καὶ ἀπάγων κακίας π.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν πάσης, ἢ γεέννης ἐστὶ χαλεπωτέρα. Εἰ δὲ γελᾷς ἐπὶ τοῖς εἰρημένοις, καὶ μυριάκις ἐν πονηρίᾳ ζῆν [l]ἐθέλεις, ἢ μίαν κολάζεσθαι ἡμέραν, θαυμαστὸν οὐδέν· καὶ γὰρ καὶ τοῦτό σου τῆς ἀτελοῦς γνώμης σημεῖον, καὶ τῆς μέθης καὶ τῆς ἀνιάτου νόσου· ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ ὅταν ἴδῃ τὸν ἰατρὸν ἢ πῦρ ἢ τομὴν ἐπάγοντα, φεύγει καὶ ἀποπηδᾷ ὀλολύζοντα [m]καὶ σπαραττόμενα, καὶ μᾶλλον αἱρεῖται διηνεκεῖ σηπεδόνι σώματος ἐναπολέσθαι, ἢ πρόσκαιρον ὑπομείναντα πόνον, τῆς μετὰ ταῦτα ἀπολαύειν ὑγείας. Οἱ δὲ νοῦν ἔχοντες ἴσασιν, ὅτι τὸ νοσεῖν τοῦ τέμνεσθαι χαλεπώτερον, ὥσπερ οὖν [n]τὸ κακὸς εἶναι τοῦ κολάζεσθαι χεῖρον· τὸ μὲν γὰρ θεραπεύεσθαι καὶ ὑγιαίνειν
517 ἐστὶ, τὸ δὲ [o]ἀπόλλυσθαι καὶ ἐν ἀρρωστίᾳ εἶναι διηνεκεῖ. Ὅτι δὲ [p]ὑγεία ἀρρωστίας βελτίων, παντί που δῆλον· ἐπεὶ καὶ τοὺς λῃστὰς, οὐχ ὅταν διορύττωνται τὰς πλευρὰς, δακρύειν ἄξιον, ἀλλ' ὅταν διορύττωσι τοίχους καὶ φονεύωσιν. Εἰ γὰρ [q]βελτίων ψυχὴ σώματος, ὥσπερ οὖν καὶ βελτίων, ταύτης ἀπολλυμένης, μᾶλλον στένειν δίκαιον καὶ ὀδύρεσθαι· εἰ δὲ μὴ αἰσθάνοιτο, καὶ ταύτῃ μειζόνως [r]αὐτὴν [s]πενθεῖν. Καὶ γὰρ τοὺς ἐρῶντας ἀκόλαστον ἔρωτα τῶν πυρεττόντων χαλεπῶς μᾶλλον ἐλεεῖν ἄξιον, καὶ τοὺς μεθύοντας τῶν βασανιζομένων. Καὶ εἰ
B ταῦτα χαλεπώτερα, φησὶ, διὰ τί [t]αὐτὰ μᾶλλον αἱρούμεθα; Ὅτι πολλοῖς τῶν ἀνθρώπων, κατὰ τὴν παροιμίαν, ἀρέσκει τὰ χείρω, καὶ ταῦτα αἱροῦνται, τὰ ἀμείνω παρατρέχοντες. Ὅπερ καὶ ἐν ἐδέσμασιν ὁρᾶν ἔστι, καὶ ἐν πολιτείαις, καὶ ἐν ζήλοις βίων, καὶ ἐν ἡδονῆς ἀπολαύσει, καὶ ἐν γυναιξὶ, καὶ ἐν οἰκίαις, καὶ ἐν ἀνδραπόδοις, καὶ ἐν ἀγροῖς, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων [v]γινόμενον. Τί γὰρ ἥδιον, εἰπέ μοι, γυναιξὶν ἢ [w]ἄρρεσι μίγνυσθαι; γυναιξὶν ἢ ἡμιόνοις; Ἀλλ' ὅμως πολλοὺς εὑρήσομεν γυναῖκας μὲν παρατρέχοντας, ἀλόγοις δὲ μιγνυμένους, καὶ ἀρρένων σώμασιν ἐνυβρίζοντας. Καίτοι τὰ κατὰ φύσιν τῶν
C παρὰ φύσιν ἡδίω· ἀλλ' ὅμως εἰσὶ πολλοὶ τὰ καταγέλαστα καὶ ἀηδῆ καὶ κόλασιν ἔχοντα ὡς ἡδέα διώκοντες. Ἐκείνοις [x]γὰρ ἡδέα ταῦτα εἶναι δοκεῖ, φησίν. Ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἶεν ἄθλιοι, ὅτι [y]καὶ ἡδέα νομίζουσιν εἶναι τὰ οὐχ ἡδέα. Οὕτω καὶ τὴν κόλασιν τῆς ἁμαρτίας χεῖρω τίθενται· οὐκ ἔστι

[l] ἐθελοις E. [m] καὶ om. G. [n] τὸ κακὸς D.E. et ex corr. A. τῶν κακῶν G. Ceteri cum Edd. τὸ κακῶς. [o] ἀπολέσθαι G. [p] ὑγεία (ὑγίεια F.G.) ἀρρωστίας pro ἀρρωστίας ὑγεία omnes. Statim βελτίων A.D.E.F.G.H. βέλτιον Edd. [q] βελτίων pro βέλτιον bis A.B.D.E.G.H.I. [r] αὐτὸν B.E. [s] πενθεῖν]+δίκαιον A.F.H.I. +δεῖ Edd. Neutrum habet G. [t] αὐτὰ μᾶλλον pro μᾶλλον αὐτὰ A.B.D.E.F.H. μᾶλλον ταῦτα G. [v] γινόμενα G. [w] ἄρρεσι] ἀνδράσι A.D.E.F.H.I. [x] γὰρ] μὲν γὰρ I. Statim εἶναι ταῦτα δοκεῖ A.E.F.H. ταῦτα δοκεῖ εἶναι I. [y] καὶ om. F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ, [z]ἀλλὰ τοὐναντίον ἅπαν. [a]Εἰ γὰρ κακὸν ἦν τοῖς ἁμαρτάνουσιν, οὐκ ἂν προσέθηκε κακοῖς κακὰ ὁ θεὸς, οὐδὲ χείρους ἂν αὐτοὺς ποιῆσαι ἠθέλησεν· ὁ γὰρ πάντα ποιῶν ὥστε σβεσθῆναι τὴν κακίαν, οὐκ ἂν αὐτὴν ηὔξησεν. Οὐκ ἄρα τὸ κολάζεσθαι D
κακὸν τῷ πλημμελοῦντι, ἀλλὰ τὸ οὕτως ἔχοντα μὴ κολάζεσθαι, ὥσπερ οὖν τὸ τὸν ἀρρωστοῦντα μὴ θεραπεύεσθαι. Οὐδὲν γὰρ οὕτω κακὸν ὡς ἐπιθυμία ἄτοπος· ἄτοπον δὲ ὅταν εἴπω, [b]καὶ τὴν τῆς τρυφῆς λέγω, καὶ τὴν τῆς δόξης τῆς ἀκαίρου, καὶ τὴν τῆς δυναστείας, καὶ τὴν [c]ἁπάντων ἁπλῶς τῶν ὑπὲρ τὴν χρείαν πραγμάτων. Ὁ γὰρ τοιοῦτος ὁ τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶν βίον, δοκεῖ μὲν πάντων εἶναι [d]μακαριστότερος, πάντων δέ ἐστιν ἀθλιώτερος, δεσποίνας χαλεπὰς καὶ τυράννους ἐπεισάγων [e]αὐτοῦ τῇ ψυχῇ. Διὰ τοῦτο ἐπίπονον ὁ θεὸς ἡμῖν τὸν πα- E
ρόντα ἐποίησε βίον, ἵνα ἐκείνης ἡμᾶς ἀπαλλάξῃ τῆς δουλείας, καὶ [f]εἰς καθαρὰν ἐλευθερίαν ἀγάγῃ. Διὰ τοῦτο καὶ κόλασιν ἠπείλησε, καὶ πόνους συνεκλήρωσεν ἡμῶν τῇ ζωῇ, τὸ χαῦνον ἐπισφίγγων. Οὕτω γοῦν καὶ [g]Ἰουδαῖοι, ὅτε μὲν τῷ πηλῷ καὶ τῇ [h]πλινθουργίᾳ προσδεδεμένοι ἦσαν, καὶ ἐπιεικεῖς ἦσαν,
(70) καὶ τὸν θεὸν ἐκάλουν συνεχῶς· ὅτε δὲ ἐλευθερίας ἀπήλαυσαν, καὶ ἐγόγγυζον, καὶ [i]παρώξυναν τὸν δεσπότην, καὶ μυρίοις ἑαυτοὺς [k]περιέπειραν κακοῖς. Τί οὖν, φησὶν, ἂν εἴποις πρὸς τοὺς ὑπὸ θλίψεως περιτραπέντας πολλάκις; Ὅτι οὐ τῆς θλίψεως ἔργον 518
ἡ περιτροπὴ, ἀλλὰ τῆς ἀσθενείας τῆς ἐκείνων. Οὐδὲ γὰρ εἴ τις στόμαχον ἄρρωστον ἔχων, μὴ δέχοιτο πικρὸν φάρμακον δυνάμενον αὐτὸν καθᾶραι, ἀλλὰ καὶ ἐπιτρίβοιτο, [l]οὐ τὸ φάρμακον αἰτιασόμεθα, ἀλλὰ τὴν ἀρρωστίαν τοῦ μέλους, ὥσπερ οὖν καὶ ἐνταῦθα τὴν εὐκολίαν τῆς γνώμης. [m]Καὶ γὰρ ὁ ὑπὸ θλίψεως περιτρεπόμενος, πολλῷ μᾶλλον ὑπὸ ἀνέσεως τοῦτο πείσεται. Εἰ γὰρ δεδεμένος πίπτει· τοῦτο γὰρ ἡ θλῖψις· πολλῷ μᾶλλον λελυμένος· εἰ σφιγγόμενος περιτρέπεται, πολλῷ μᾶλλον χαυνούμενος. Καὶ πῶς δυνήσομαι, φησὶ, μὴ περιτραπῆναι θλιβό- B
μενος; [n]Ἂν ἐννοήσῃς, ὅτι, κἂν θέλῃς κἂν μὴ θέλῃς, οἴσεις τὸ ἐπενεχθέν· ἀλλ' ἂν μὲν εὐχαρίστως, [o]κερδανεῖς τὰ μέγιστα, ἂν δὲ ἀποδυσπετῶν καὶ [p]ἀλύων καὶ βλασφημῶν, οὔτε τὴν συμφορὰν ἐλάττω ταύτῃ ποιήσεις, καὶ μεῖζον ἐργάσῃ τὸ κλυδώνιον.

[z] ἀλλὰ]+καὶ H. [a] εἰ γὰρ μὴ κακὸν ἦν (sic) G. [b] καὶ om. I. [c] πάντων F.G.I. [d] μακαριστότερος A.B.D.E.F.I. μακαριώτερος vulgo. [e] αὐτοῦ pro αὐτοῦ A.B.D.E. fortasse alii. [f] εἰς]+τὴν I. [g] Ἰουδαῖοι sine artic. omnes. [h] πλινθεία A.D.E. [i] παρώξυνον B. Statim τὸν θεὸν G. [k] περιέπειραν A.D.E.F.G. περιέπειρον Edd. [l] οὐ om. B.D.G.I. [m] καὶ] κἂν H. [n] κερδαίνεις G. [o] ἀλγῶν A.B.D.E.F.H.I. Statim βλασφημῶν pro δυσφημῶν omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[p]Ταῦτα οὖν ἐννοοῦντες, ὃ τῆς ἀνάγκης ἐστὶ, [q]ποιῶμεν τῆς προαιρέσεως εἶναι τῆς ἡμετέρας. Οἷόν τι λέγω· παιδά τις ἀπέβαλε γνήσιον, τὴν οὐσίαν ἕτερος ἅπασαν· ἂν ἐννοήσῃς, [r]ὅτι C λυθῆναι μὲν τὸ γεγενημένον οὐκ ἔνι, ἔνι δέ τι καρπώσασθαι καὶ ἐκ τῆς ἀνιάτου συμφορᾶς, τὸ γενναίως ἐνεγκεῖν τὸ συμβὰν, καὶ ἀντὶ τῶν ῥημάτων τῶν [s]βλασφήμων εὐφημίαν [t]ἀνενέγκῃς τῷ δεσπότῃ, οὕτω τὰ ἀβουλήτως ἐπενεχθέντα κακὰ, προαιρέσεως ἔσται σοι κατορθώματα. Εἶδες υἱὸν ἁρπαγέντα ἄωρον; Εἰπὲ, [12]"Ὁ κύριος ἔδωκεν, [v]ὁ κύριος ἀφείλετο." Εἶδες οὐσίαν κενωθεῖσαν; Εἰπὲ, "Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι." Εἶδες πονηροὺς εὐπραγοῦντας, καὶ δικαίους δυσημεροῦντας καὶ μυρία πάσχοντας δεινὰ, οὐκ [w]ἔγνως δὲ τῶν γινομένων εὑρεῖν τὴν αἰτίαν; Εἰπὲ, [13]"Κτηνώδης [x]ἐγενήθην D παρὰ σοὶ, [y]πλὴν ἐγὼ διαπαντὸς μετὰ σοῦ." Εἰ δὲ καὶ τὴν αἰτίαν ζητεῖς, ἐννόησον ὅτι ἔστησεν ἡμέραν, [z]καθ' ἣν μέλλει κρίνειν τὴν οἰκουμένην, καὶ πᾶσαν [a]ἐκβαλεῖς ἀπορίαν· τὴν γὰρ ἀξίαν τότε ἕκαστος ἀπολήψεται, [b]ὥσπερ ὁ Λάζαρος καὶ ὁ πλούσιος. Ἀναμνήσθητι τῶν ἀποστόλων· καὶ γὰρ ἐκεῖνοι μαστιζόμενοι καὶ ἐλαυνόμενοι καὶ μυρία πάσχοντες ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ [c]τοῦ ὀνόματος ἀτιμασθῆναι. Καὶ σὺ τοίνυν ἂν ἀρρωστήσῃς, φέρε γενναίως, καὶ τῷ θεῷ [d]χάριτας ὁμολόγει, καὶ οὕτω τὸν αὐτὸν ἐκείνοις λήψῃ μισθόν. Πῶς δὲ E ἐν ἀρρωστίᾳ ὢν καὶ ὀδύναις δυνήσῃ [e]τῷ δεσπότῃ χάριν εἰδέναι; [a]Αν [f]φιλῇς αὐτὸν γνησίως. Εἰ γὰρ εἰς κάμινον ἐμπεσόντες οἱ παῖδες οἱ τρεῖς, καὶ ἐν [g]δεσμωτηρίοις ὄντες ἕτεροι καὶ ἐν μυρίοις [h]ἄλλοις κακοῖς, οὐ διέλιπον εὐχαριστοῦντες· πολλῷ μᾶλλον οἱ ἐν νόσοις [i]ὄντες τοῦτο δυνήσονται ποιεῖν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ μὴ νικᾷ πόθος· ὅταν δὲ καὶ [k]θεοῦ πόθος ᾖ, πάντων ἐστὶν ὑψηλότερος, καὶ οὔτε πῦρ, [l]οὔτε σίδηρος, οὐ πενία, οὐκ ἀρρωστία, οὐ θάνατος, οὐκ ἄλλο τι τῶν τοιούτων φανεῖται δεινὸν τῷ [m]τοῦτον κεκτημένῳ τὸν ἔρωτα, ἀλλὰ πάντων καταγελάσας, πρὸς τὸν οὐρανὸν πτήσεται, καὶ τῶν ἐκεῖ διατριβόντων

[12] Job. i. 21. [13] Ps. lxxii. 22.

[p] ταῦτ' οὖν A.D.E.I. [q] ποιοῦμεν H.I. [r] ὅτι]+μὴ F. [s] βλασφήμων A.D.E.F.G.H.I. δυσφήμων Edd. [t] ἀνενεγκεῖν A.F.I. ἐνεγκεῖν H. [v] ὁ] καὶ ὁ F.G.H. [w] ἔγνως] εὗρες G. Statim γινομένων pro γενομένων A.B.D. E.F.G.H. [x] ἐγενήθην A.B.D.E.F.H.I. ἐγενόμην Edd. [y] πλὴν ἐγὼ] κἀγὼ B. [z] καθ' ἣν] ἐν ᾗ G. Mox κρῖναι E. [a] ἐκβαλεῖς pro ἐκβάλλεις A.B. D.E.F.H.I. [b] ὥσπερ] καθάπερ A.D.E. [c] Vid. Annot. [d] τὰς χάρ. G. [e] τὸν δεσπότην H. [f] φιλήσῃς (et αὐτῷ pro αὐτὸν) G. [g] δεσμωτηρίῳ I. [h] ἄλλοις om. D. [i] ὄντες]+οἱ ἐν ἀρρωστίαις χαλεπαῖς κατεχόμενοι A.F.H.I. Sic (sed καὶ pro οἱ) ediderunt Sav. et recentiores. [k] θεοῦ om. A. [l] οὔτε pro οὐ A.E.F.G.I. Verba καὶ οὔτε πῦρ οὔτε σ. om. H. Statim οὔτε πενία G.I. [m] τοῦτον pro τοιοῦτον A.B.D.E.G.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲν ἔλαττον [n]διακείσεται, οὐδὲν ἕτερον ὁρῶν, οὐκ οὐρανὸν, οὐ 519
γῆν, [o]οὐ θάλατταν, ἀλλὰ πρὸς ἓν μόνον κάλλος τεταμένος τὸ
τῆς δόξης ἐκείνης· καὶ οὔτε τὰ λυπηρὰ αὐτὸν τοῦ παρόντος
ταπεινῶσαι δυνήσεται βίου, [p]οὔτε ἐπᾶραι καὶ φυσῆσαι τὰ
[q]χρηστὰ καὶ ἡδονὴν ἔχοντα. Ἐρασθῶμεν τοίνυν τοῦτον τὸν
ἔρωτα· τούτου γὰρ ἴσον οὐδέν· καὶ διὰ τὰ παρόντα, καὶ διὰ τὰ
μέλλοντα· μᾶλλον δὲ πρὸ τούτων, [r]δι' αὐτὴν τὴν τοῦ ἔρωτος
φύσιν. Ἀπαλλαγησόμεθα [s]μὲν γὰρ καὶ τῶν κατὰ τὸν παρ- B
όντα βίον καὶ τῶν κατὰ τὸν μέλλοντα αἰῶνα κολαστηρίων, καὶ
τῆς βασιλείας ἀπολαυσόμεθα. Πλὴν οὔτε γεέννης ἀπαλλαγὴ,
οὔτε βασιλείας ἀπόλαυσις, [t]μέγα τι πρὸς τὸ λεχθήσεσθαι μέλ-
λον. Τούτων γὰρ ἁπάντων μεῖζον τὸ τὸν Χριστὸν ἐρώμενον
ἔχειν ὁμοῦ καὶ ἐραστήν. Εἰ γὰρ ἐπ' ἀνθρώπων τοῦτο συμ-
βαῖνον πάσης ἡδονῆς ἐστιν ἀνώτερον, ὅταν ἐπὶ θεοῦ [v]ταῦτα
ἀμφότερα ἐκβαίνῃ, ποῖος λόγος, ποία διάνοια [w]παραστῆσαι
δυνήσεται τὴν μακαριότητα ταύτης τῆς ψυχῆς; Οὐκ ἔστιν
(71) [x]οὐδεμία, ἀλλ' ἡ πεῖρα μόνη. Ἵν' οὖν διὰ τῆς πείρας μάθωμεν
τὴν πνευματικὴν ταύτην εὐφροσύνην καὶ τὸν μακάριον βίον καὶ
τὸν θησαυρὸν τῶν μυρίων ἀγαθῶν, πάντα ἀφέντες ἐκείνης ἐχώ-
μεθα τῆς ἀγάπης, καὶ εἰς εὐφροσύνην ἡμετέραν καὶ εἰς δόξαν τοῦ
ποθουμένου θεοῦ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ μονα- C
γενεῖ καὶ [y]τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς [z]τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ.

[1]Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον
εἰσῆλθε, καὶ [a]διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ [b]οὕτως εἰς
πάντας ἀνθρώπους [c]ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρ-
τον.

ΚΑΘΑΠΕΡ οἱ τῶν ἰατρῶν ἄριστοι τὴν ῥίζαν ἀεὶ πολυ- D

[1] Cap. V. v. 12.

[n] κείσεται E. [o] οὐ θάλατταν μόνον, ἀλλὰ καὶ πρὸς ἓν κάλλος τεταμένος (τεταγμένος Veron.) τὸ τῆς δ. ἐκείνης Edd. Post θάλατταν, μόνον om. A.D.E.F. G.H.I. et ex corr. B. Dein καὶ post ἀλλὰ deest in omnibus. Post ἓν, μόνον add. A.E.F.G.H.I. μόνον post τεταμένος habet D. Postremo πρὸς ἓν κάλλος τὸ τ. δ. ἐκείνης τεταμένος exhibet B. [p] οὔτε ἐπᾶραι——ἔχοντα] οὔτε τὰ χρηστὰ ἐπάραι καὶ φυσῆσαι I. [q] χρήματα H. [r] δι' αὐτὴν] διὰ E.H. [s] μὲν accessit ex A.F.G.H.I. Mox τὰ pro τῶν utrobique G. Idem retinet κολαστηρίων. [t] μέγα τι om. G. Mox μᾶλλον pro μέλλον idem. [v] ταῦτα pro τὰ omnes. [w] παραστῆσαι omnes. παραστῆναι Veron. Sav. Mor. ἴσ. παραστῆσαι Sav. marg. [x] οὐδεμία]+ἄλλη Edd. ἄλλη deest in omnibus. [y] τῷ accessit ex libris plurimis. [z] τοὺς]+σύμπαντας Edd. repugnantibus libris. Hom. XI. [a] διὰ τῆς ἁμ. pro δι' ἁμ. omnes. [b] οὕτως om. E. [c] ὁ θ. διῆλθεν A.G. εἰσῆλθεν ὁ θ. B.D.E.F.H.I. Mosq. 8. qui hic unicus est. διῆλθεν ὁ θ. Edd.

Διγλώσσια Κεντρική Βιβλιοθήκη Βέροιας

πραγμονοῦσι τῶν [d]νοσημάτων, καὶ ἐπ' αὐτὴν ἔρχονται τὴν πηγὴν τοῦ κακοῦ· οὕτω καὶ ὁ μακάριος Παῦλος. Εἰπὼν γὰρ, ὅτι ἐδικαιώθημεν, καὶ δείξας ἀπὸ τοῦ πατριάρχου καὶ ἀπὸ τοῦ πνεύματος καὶ ἐκ τοῦ ἀποθανεῖν τὸν Χριστόν· [e]οὐδὲ γὰρ ἂν ἀπέθανεν, εἰ μὴ ἔμελλε δικαιοῦν· κατασκευάζει λοιπὸν καὶ ἑτέρωθεν τὰ διὰ [f]τοσούτων ἀποδειχθέντα, καὶ ἀπὸ τῶν ἐναντίων [g]συνιστᾷ τὸ προκείμενον, τουτέστιν, ἀπὸ τοῦ θανάτου καὶ
E τῆς ἁμαρτίας. Πῶς καὶ τίνι τρόπῳ; Ζητεῖ [h]πόθεν εἰσῆλθεν ὁ θάνατος, καὶ πῶς ἐκράτησε. Πῶς οὖν [i]εἰσῆλθε καὶ ἐκράτησε; [k]Διὰ τῆς ἁμαρτίας τοῦ ἑνός. Τί δέ ἐστιν, "ἐφ' ᾧ πάντες ἥμαρτον;" Ἐκείνου [l]πεσόντος, καὶ οἱ μὴ φαγόντες ἀπὸ τοῦ ξύλου γεγόνασιν ἐξ ἐκείνου πάντες θνητοί. [2]"Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου." Τὸ, "ἄχρι νόμου," τινὲς τὸν χρόνον [m]ἐκεῖνον νομίζουσιν αὐτὸν εἰρηκέναι τὸν πρὸ τῆς τοῦ νόμου δόσεως· οἷον τὸν ἐπὶ Ἄβελ, τὸν ἐπὶ Νῶε, τὸν ἐπὶ Ἀβραάμ, τὸν ἕως ὅτε Μωϋσῆς ἐγεννήθη. Ποία οὖν [n]τότε ἦν ἁμαρτία; Τινές φασι τὴν ἐν παραδείσῳ λέγειν αὐτόν· οὐδέπω γὰρ ἦν λυθεῖσα, φησὶν,
520 ἀλλὰ καὶ ἤνθει αὐτῆς ὁ καρπός· τὸν γὰρ κοινὸν ἐκείνη θάνατον ἤνεγκεν, ὃς [o]ἐκράτει καὶ ἐτυράννει. Τίνος [p]οὖν ἕνεκεν ἐπάγει, "Ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου;" Ἐξ ἀντιθέσεως τῶν Ἰουδαίων [q]φασὶν οἱ τὰ ἡμέτερα εἰρηκότες τοῦτο αὐτὸν τεθεικέναι [r]λέγοντα, ὅτι εἰ μὴ ἔστιν ἁμαρτία χωρὶς νόμου, πῶς ὁ θάνατος [s]πάντας ἀνήλισκε τοὺς πρὸ τοῦ νόμου; Ἐμοὶ δὲ δοκεῖ [t]τὸ λεχθήσεσθαι μέλλον λόγον ἔχειν μᾶλλον,
B καὶ τῇ ἀποστολικῇ [v]συμβαίνειν διανοίᾳ. Τί δὲ τοῦτό ἐστιν; Εἰπών, ὅτι ἄχρι νόμου [w]ἁμαρτία ἦν ἐν κόσμῳ, τοῦτό μοι δοκεῖ λέγειν, ὅτι τοῦ νόμου δοθέντος, ἡ ἁμαρτία ἐκράτει ἡ ἐκ τῆς παραβάσεως, καὶ ἕως τότε ἐκράτει, ἕως καὶ νόμος ἦν· οὐδὲ γὰρ [x]δύναται συστῆναι, φησὶν, ἁμαρτία, μὴ ὄντος νόμου. Εἰ τοί-

2 v. 13.

[d] *νοσημάτων*]+*ἐκτεμεῖν* in marg. F. [e] *οὐδὲ*] *οὐ* A.E.F.G.H.I. [f] *τοσούτων* pro *τούτων* A.B.F.G.H.I. [g] *συνιστᾷ* A.E.F.G.H.I. *συνιστὰς* Edd. [h] Vid. Annot. [i] *εἰσῆλθεν*]+ *ὁ θάνατος* Edd. *ὁ θάνατος* om. B.D.E.F. In ceteris textus hic mutilus est. [k] *διὰ*] *ἀπὸ* E. [l] *πεσόντος*]+*φησι* E. Mox *πάντες* om. G. [m] *ἐκεῖνον*]+*εἶναι* G. [n] *τότε ἦν*] *ἦν τότε* B.G.I. Statim *ἁμαρτία* sine artic. A.B.F.G.H. Post *ἐγεννήθη* sic legitur in D.E. *ὥσπερ καὶ ἁμαρτίαν τὴν ἐν π. οἴονται λέγειν αὐτόν.* [o] *ἐκράτησε* A.E.F.H.I. [p] *οὖν*] *δὲ* A.D.E.F.H.I. [q] *φασὶν* pro *φησὶν* A.B.D.E.H.I. Statim *οἱ ταῦτα ἡρμηνευκότες τοῦτο* I. [r] *λέγοντα* A.B.D.E.F.G.I. Edebatur *λέγονται.* [s] *πάντας ἀνήλισκε* pro *ἀνήλισκε πάντας* A.B.D.E.F.H.I. Statim *τοὺς* om. I. [t] *τὸ*] *πρὸς τὸ* E. [v] *συμβαῖνον* I. [w] *ἦν ἁμ.* inverso ord. A.H. *ἦν ἡ ἁμ.* I. Statim *τοῦτο ἐμφαίνων δοκεῖ μοι λ. ὅτι καὶ τοῦ ν.* E. [x] *δύναται*] *δύναιτ' ἂν* A.F.H.I. Mox *φησὶν* om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νυν [y]αὕτη ἡ ἁμαρτία, φησὶν, ἐκ τῆς τοῦ νόμου παραβάσεως τὸν θάνατον ἔτικτε, πῶς οἱ πρὸ τοῦ νόμου πάντες ἀπέθνησκον; Εἰ γὰρ ἐξ ἁμαρτίας ὁ θάνατος τὴν ῥίζαν ἔσχε, νόμου δὲ οὐκ ὄντος [z]ἁμαρτία οὐκ ἐλλογεῖται, πῶς ὁ θάνατος ἐκράτει; Ὅθεν δῆλον, ὅτι [a]οὐχ αὕτη ἡ ἁμαρτία [b]ἡ τῆς τοῦ νόμου παραβάσεως, ἀλλ' C ἐκείνη ἡ τῆς τοῦ Ἀδὰμ [c]παρακοῆς, αὕτη ἦν ἡ πάντα λυμαινομένη. Καὶ τίς ἡ τούτου ἀπόδειξις; Τὸ καὶ πρὸ τοῦ νόμου πάντας ἀποθνήσκειν. [3]Ἐ "Ἐβασίλευσε [d]γὰρ ὁ θάνατος, φησὶν, ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας." Πῶς ἐβασίλευσεν; "Ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος." Διὰ γὰρ τοῦτο καὶ τύπος [e]ἐστὶ τοῦ Χριστοῦ ὁ Ἀδάμ. Πῶς τύπος, φησίν; Ὅτι ὥσπερ ἐκεῖνος τοῖς ἐξ αὐτοῦ, [f]καίτοιγε μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου τοῦ διὰ τὴν βρῶσιν εἰσαχθέντος, D
(72) οὕτω καὶ ὁ Χριστὸς τοῖς ἐξ αὐτοῦ, καίτοιγε οὐ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιοσύνης, ἣν διὰ τοῦ σταυροῦ πᾶσιν ἡμῖν ἐχαρίσατο. Διὰ τοῦτο ἄνω καὶ κάτω τοῦ ἑνὸς ἔχεται, καὶ συνεχῶς [g]τοῦτο εἰς μέσον φέρει, λέγων· "Ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε" καὶ, "[h]Εἰ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον" καὶ, "Οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα" καὶ, "Τὸ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα" καὶ πάλιν, "Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι [i]ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός" καὶ, "Ἄρα [k]οὖν ὡς δι' ἑνὸς παραπτώματος" καὶ πάλιν, "Ὥσπερ διὰ τῆς παρακοῆς τοῦ E ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί" καὶ οὐκ ἀφίσταται τοῦ ἑνὸς, ἵν' ὅταν λέγῃ σοι ὁ Ἰουδαῖος, πῶς, ἑνὸς κατορθώσαντος τοῦ Χριστοῦ, ἡ οἰκουμένη ἐσώθη; δυνηθῇς αὐτῷ λέγειν, πῶς, ἑνὸς παρακούσαντος τοῦ Ἀδὰμ, [l]ἡ οἰκουμένη κατεκρίθη; Καίτοιγε οὐκ ἴσον ἁμαρτία καὶ χάρις, οὐκ ἴσον θάνατος καὶ ζωὴ, οὐκ ἴσον διάβολος [m]καὶ θεὸς, ἀλλ' ἄπειρον τὸ μέσον. Ὅταν οὖν καὶ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, καὶ [n]ἀπὸ τῆς τοῦ μετελθόντος δυνάμεως, καὶ ἀπ' αὐτοῦ τοῦ πρέποντος· πολὺ γὰρ τῷ θεῷ τοῦτο πρεπωδέστερον, τὸ σώζειν, ἢ τὸ κολάζειν· [o]ἐνταῦθα ἡ ὑπεροχὴ καὶ τὰ νικητήρια, τίνα ἂν ἔχοις λόγον εἰς

3 v. 14.

y αὐτὴ A.D.F.H. z ἁμαρτία sine artic. A.B.D.E.F.H. a οὐχ αὕτη B. D.E.F.H. οὐχ οὕτω A. οὐκ αὐτὴ Edd. b ἡ om. A.F.H.I. c παραβάσεως H. d γὰρ] μὲν γὰρ I. e ἐστὶ τοῦ pro ἐστὶν Ἰησοῦ A.E.F.G.H.I. f καίτοι sine γε A.E.F.H.I. g τοῦτο] τὸ αὐτὸ A.E.F.H.I. h εἰ pro ἐν omnes. i ὁ] καὶ ὁ E. k οὖν om. G. Mox ὥσπερ γὰρ διὰ idem. l ἡ] καὶ ἡ A.E. m καὶ ὁ θ. A.E.F.I. n ἀπὸ] ἀπ' αὐτῆς G. o ἐνταῦθα] +ἡ E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

521 ἀπιστίαν, εἰπέ μοι; Ὅτι μὲν οὖν κατὰ λόγον τὸ γεγενημένον, ἔδειξεν εἰπών· [4]"Ἀλλ' οὐχ ὡς [p]τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς [q]τοὺς πολλοὺς ἐπερίσσευσεν." [A]Ὁ γὰρ λέγει, τοιοῦτόν ἐστιν· εἰ [r]ἡ ἁμαρτία τοσοῦτον ἴσχυσε, καὶ ἀνθρώπου ἁμαρτία ἑνός· [s]χάρις, καὶ θεοῦ χάρις, [t]καὶ οὐ πατρὸς μόνου, ἀλλὰ καὶ υἱοῦ, [v]πῶς οὐ περιέσται μειζόνως; πολλῷ γὰρ τοῦτο εὐλογώτερον. Τὸ μὲν γὰρ ἕτερον δι' ἕτερον κολάζεσθαι, οὐ σφόδρα δοκεῖ λόγον ἔχειν· τὸ δὲ ἕτερον δι' ἕτερον σώζεσθαι, καὶ πρεπωδέστερον μᾶλλον καὶ
B εὐλογώτερον. Εἰ τοίνυν ἐκεῖνο γέγονε, πολλῷ μᾶλλον τοῦτο.

Ὅτι μὲν οὖν εἰκὸς καὶ εὔλογον, ἐκ τούτων ἔδειξε· καὶ γὰρ ἐκείνου κατασκευασθέντος, εὐπαράδεκτον τοῦτο λοιπὸν ἔμελλεν εἶναι· ὅτι δὲ καὶ ἀναγκαῖον, ἐκ τῶν ἑξῆς κατασκευάζει. [w]Πῶς οὖν τοῦτο κατασκευάζει; [5]"[x]Οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα, φησί. Τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα." Καὶ τί ποτε [y]τοῦτό ἐστι τὸ λεγόμενον; Ὅτι τὸν μὲν θάνατον καὶ τὸ κατάκριμα [z]μία ἴσχυσεν ἁμαρτία εἰσενεγκεῖν· ἡ δὲ χάρις οὐ
C τὴν μίαν ἐκείνην [a]ἀνεῖλεν ἁμαρτίαν μόνον, ἀλλὰ καὶ τὰς μετ' ἐκείνην ἐπεισελθούσας. Ἵνα γὰρ τὸ, ὡς, καὶ [b]τὸ, οὕτω, τιθέμενον, μὴ ἴσον [c]εἰσάγῃ μέτρον τῶν ἀγαθῶν πρὸς τὰ κακά, μηδὲ νομίσῃς ἀκούων τὸν Ἀδὰμ, ἐκείνην ἀνηρῆσθαι [d]μόνην τὴν ἁμαρτίαν, ἣν ἐκεῖνος εἰσήνεγκε, λέγει ὅτι πολλῶν παραπτωμάτων [e]ἡ ἀναίρεσις γέγονε. Πόθεν δῆλον; Ὅτι μετὰ τὰς ἀπείρους ἁμαρτίας τὰς μετ' ἐκείνην τὴν ἐν [f]τῷ παραδείσῳ εἰς δικαίωμα τὸ πρᾶγμα ἐξέβη. Ὅπου δὲ δικαιοσύνη, ἐξ ἀνάγκης καὶ ζωὴ [g]πάντως ἕπεται καὶ [h]τὰ μυρία ἀγαθὰ, ὥσπερ οὖν ὅπου ἁμαρτία, θάνατος. Πλέον γὰρ τῆς ζωῆς ἡ δικαιοσύνη, ἐπειδὴ
D καὶ ῥίζα ἐστὶ [i]τῆς ζωῆς. Ὅτι μὲν οὖν πλείονα [k]εἰσῆκται τὰ

4 v. 15. 5 v. 16.

[p] τὰ παραπτώματα G.H. Statim οὕτως τὰ χαρίσματα H. [q] τοὺς accessit ex A.E.F.G.H.I. Mosq. [r] ἡ om. A.B.F.H. Post ἁμαρτία add. τοιοῦτόν ἐστι καὶ G. [s] καὶ χάρις G. [t] καὶ om. B. [v] καὶ πῶς G. [w] Clausula πῶς οὖν τοῦτο (τοῦτο om. G.) κατασκευάζει, quae aberat ante Montef. est in nostris A.B.D.E.F.G.I. [x] οὐχ] καὶ οὐχ E. [y] τοῦτό ἐστι pro ἐστι τοῦτο omnes. [z] μία ἴσχ. ἁμ.] Sic G. ἴσχ. ἁμ. μία E. Hoc edidit Montef. *unum quidem peccatum* Brix. In ceteris tam scriptis quam editis μία abest. ἴσχ. ἡ ἁμ. I. [a] ἀνεῖλεν ἁμ. B.D.E.F.G.H.I. ἁμ. ἀνεῖλε vulgo. [b] τὸ om. B.F.H.I. Statim οὕτως A.B.H.I. [c] εἰσάγει F.H. εἰσάγειν I. εἰσαγάγῃ D. [d] μόνον B.D. [e] ἡ om. G. [f] τῷ accessit ex omnibus. [g] πάντων A. Statim ἔχεται G. [h] τὰ om. A.E.F.H.I. [i] τῆς accessit ex A.E.F.G.H.I. [k] εἰσενήνεκται ἀγαθὰ G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαθὰ, καὶ οὐκ ἐκείνη ἀνῄρηται ἡ ἁμαρτία μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαὶ, ἔδειξεν εἰπὼν, " τὸ [l]δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα" ὅθεν ἀναγκαίως συναποδέδεικται καὶ τὸ τὸν θάνατον πρόρριζον ἀνεσπᾶσθαι. Χρεία δὲ κατασκευάσαι λοιπὸν, [m]ἐπειδὴ μεῖζον εἶπε τοῦ προτέρου τὸ δεύτερον, καὶ αὐτὸ τοῦτο πάλιν. Πρότερον μὲν γὰρ εἶπεν, [n]ὅτι εἰ ἑνὸς ἁμαρτία ἀπέκτεινε πάντας, πολλῷ μᾶλλον καὶ ἑνὸς χάρις σῶσαι δυνήσεται· μετὰ ταῦτα ἔδειξεν, ὅτι οὐκ ἐκείνη ἀνῃρέθη [o]ἡ Ε
ἁμαρτία μόνη διὰ τῆς χάριτος, ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαὶ, καὶ οὐχ ἁμαρτίαι ἀνῃρέθησαν μόνον, ἀλλὰ καὶ δικαιοσύνη ἐδόθη· καὶ οὐ τοσοῦτον [p]ὠφέλησε μόνον ὁ Χριστὸς, ὅσον ἔβλαψεν ὁ Ἀδὰμ, ἀλλὰ καὶ πολλῷ [q]πλέον καὶ μεῖζον. Ἐπεὶ οὖν τοιαῦτα ἀπεφήνατο, δεῖται πάλιν [r]καὶ ἐνταῦθα κατασκευῆς πλείονος.
(73) Πῶς οὖν αὐτὸ κατασκευάζει; [6]" Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι, [s]φησὶν, ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς [t]καὶ τῆς 522
δικαιοσύνης [v]λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ." [w]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· [x]τί τὸν θάνατον ὤπλισε κατὰ τῆς οἰκουμένης; Τὸ φαγεῖν ἀπὸ τοῦ ξύλου [x]μόνον τὸν ἕνα ἄνθρωπον. Εἰ [y]οὖν ὁ θάνατος τοσαύτην ἔλαβεν ἰσχὺν ἐξ ἑνὸς παραπτώματος, ὅταν εὑρεθῶσί τινες πολλῷ μείζονα τῆς ἁμαρτίας ἐκείνης [z]λαβόντες χάριν καὶ δικαιοσύνην, πῶς δυνήσονται εἶναι λοιπὸν ὑπεύθυνοι τῷ θανάτῳ; Διὰ τοῦτο οὐκ εἶπεν ἐνταῦθα, χάριν, ἀλλὰ, " περισσείαν χάριτος·" οὐ γὰρ ὅσον ἐχρήζομεν εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, τοσοῦτον ἐλά- Β
βομεν [a]μόνον ἐκ τῆς χάριτος, ἀλλὰ καὶ πολλῷ πλέον. Καὶ γὰρ [b]καὶ κολάσεως ἀπηλλάγημεν, καὶ κακίαν ἀπεδυσάμεθα πᾶσαν, [c]καὶ ἀνεγεννήθημεν ἄνωθεν, καὶ ἀνέστημεν τοῦ παλαιοῦ ταφέντος ἀνθρώπου, καὶ ἀπελυτρώθημεν, καὶ [d]ἐδικαιώθημεν, καὶ εἰς υἱοθεσίαν ἤχθημεν, καὶ ἡγιάσθημεν, καὶ ἐγενόμεθα ἀδελφοὶ τοῦ μονογενοῦς, καὶ συγκληρονόμοι καὶ σύσσωμοι αὐτοῦ κατέ-

6 v. 17.

[l] δὲ om. I. [m] ἐπειδὴ——πρότερον μὲν] ἐπειδὴ μέγα εἶπε τὸ δεύτερον, καὶ αὐτὸ τοῦτο πάλιν μεῖζον ἀπέδειξε τοῦ προτέρου. πρῶτον μὲν E. [n] ὅτι om. B. εἰ om. I. [o] ἡ ἁμ. μόνη A.B.D.E.F.G.I. μόνη om. H. μόνον ἡ ἁμαρτία Edd. [p] ὠφέλησεν ὁ X. μόνον A.E.F.H.I. μόνον ὠφ. ὁ Χρ. G. [q] πλέον A.E.G.H.I. πλεῖον Edd. [r] καὶ ἐνταῦθα om. B. [s] φησὶν om. G. [t] καὶ est in A.B.D.E.F.H.I. Mosq. et Veron. Delevit Sav. [v] λαβόντες D.E. Mox βασιλεύσουσι pro βασιλεύουσι A.B.D.E.F.I. Mosq. [w] τί] εἰ G. [x] μόνου D.E.F.G.H.I. [y] οὖν om. G. [z] λαμβάνοντες G. [a] μόνον om. G. [b] καὶ om. B.E. [c] καὶ ἀνεγενν.] ἄκουσον (add. γοῦν in marg.) ἐγενν. G. [d] ἐδικαιώθημεν . . . ἡγιάσθημεν] Sic A.D.E.F.H.I. Edebatur ἡγιάσθημεν . . . ἐδικαιώθημεν. Haec καὶ εἰς υἱ. ἤχθημεν desunt in G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στημεν, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελοῦμεν, καὶ ὥσπερ σῶμα κεφαλῇ, οὕτως ἡνώμεθα. Ταῦτα οὖν ἅπαντα περισσείαν χάριτος ἐκάλεσεν ὁ Παῦλος, δεικνὺς ὅτι οὐ φάρμακον ἐλάβομεν ἀντίρροπον τοῦ τραύματος μόνον, ἀλλὰ καὶ ὑγείαν, καὶ εὐμορφίαν, καὶ τιμὴν, καὶ δόξαν, καὶ [e]ἀξιώματα πολὺ τὴν ἡμετέραν ὑπερβαίνοντα φύσιν. Καὶ [f]τούτων ἕκαστον ἱκανὸν ἦν καθ' ἑαυτὸ λῦσαι τὸν θάνατον· ὅταν δὲ ἅπαντα ὁμοῦ συντρέχοντα φαίνηται, οὐδὲ ἴχνος αὐτοῦ λοιπὸν, οὐδὲ σκιὰν φανῆναι δυνατὸν, ἅρδην ἀφανισθέντος. Ὥσπερ οὖν εἴ τις ὀβολοὺς δέκα ὀφείλοντά τινα εἰς δεσμωτήριον ἐμβάλοι, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ γυναῖκα καὶ παιδία καὶ οἰκέτας δι' αὐτόν· ἐλθὼν δὲ ἕτερος μὴ τοὺς δέκα ὀβολοὺς καταβάλοι μόνον, ἀλλὰ [g]καὶ μυρία χρυσοῦ τάλαντα χαρίσαιτο, καὶ εἰς βασιλικὰς αὐλὰς [h]εἰσαγάγοι τὸν δεσμώτην, καὶ εἰς θρόνον ἀρχῆς ὑψηλοτάτης, καὶ [i]κοινωνὸν τῆς [k]ἀνωτάτω τιμῆς ποιήσειε καὶ τῆς ἄλλης περιφανείας, οὐκ ἂν [l]δύναιτο λοιπὸν μεμνῆσθαι τῶν δέκα ὀβολῶν ὁ δανείσας· οὕτω καὶ ἐφ' ἡμῶν γέγονε. Πολλῷ γὰρ πλείονα ὧν ὀφείλομεν κατέβαλεν ὁ Χριστὸς, καὶ τοσούτῳ πλείονα, ὅσῳ πρὸς ῥανίδα μικρὰν πέλαγος ἄπειρον. Μὴ τοίνυν ἀμφίβαλλε, ἄνθρωπε, τοσοῦτον πλοῦτον ὁρῶν ἀγαθῶν, μηδὲ ζήτει πῶς ὁ σπινθὴρ ἐκεῖνος τοῦ θανάτου καὶ τῆς ἁμαρτίας ἐλύθη, τοσαύτης θαλάττης χαρισμάτων ἐπενεχθείσης αὐτῷ. Τοῦτο γὰρ [m]καὶ Παῦλος ᾐνίξατο εἰπὼν, ὅτι "οἱ [n]τὴν περισσείαν τῆς χάριτος [o]καὶ τῆς δικαιοσύνης λαβόντες, ἐν ζωῇ [p]βασιλεύσουσι."

Καὶ ἐπειδὴ [q]σαφῶς τοῦτο ἀπέδειξε, πάλιν τῷ [r]προτέρῳ κέχρηται συλλογισμῷ, ἐπισφίγγων αὐτὸν τῇ ἐπαναλήψει, καὶ λέγων ὅτι, εἰ διὰ τοῦ παραπτώματος ἐκείνου ἐκολάσθησαν ἅπαντες, [s]δύνανται καὶ ἐντεῦθεν δικαιωθῆναι. Διὸ καὶ λέγει· [7] "Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας [t]ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς." Καὶ ἐπαγωνίζεται πάλιν αὐτῷ, οὕτω λέγων· [8] "Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου

[7] v. 18. [8] v. 19.

[e] ἀξίωμα . . . ὑπερβαῖνον G. [f] τούτων]+καὶ G. +μὲν ex corr. B. ut tacite edidit Montef. Mox καθ' ἑαυτὸν G.H. [g] καὶ, quod aberat ante Montef. est in A.B.D.E.G.H.I. [h] ἀγάγοι A.D.E.F.H.I. εἰσάγει G. [i] κοινὸν Veron. Sav. Mor. ἴσ. κοινωνὸν Sav. marg. κοινωνὸν est in nostris omnibus. [k] ἀνωτάτω A.B.D.E.G.I. ἀνωτάτης Edd. [l] δύναιτο] δύναται A. δύναται τὸ E.I. [m] καὶ om. G. [n] τὴν om. A.E.F.H.I. [o] καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες G. [p] βασιλεύουσι A.F.H. Post h. v. add. διὰ τοῦ ἑνὸς Ἰ. Χρ. G. [q] τοῦτο σαφῶς ἀπ. E.F.H.I. τοῦτο ἀπ. σαφῶς A.D. [r] προτέρῳ omnes. Edebatur πρώτῳ. [s] δύνανται A.D.E.F.G.H.I. δύναιντ' ἂν Edd. [t] ἀνθρώπους om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς 523
τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί." Καὶ δοκεῖ μὲν
ζήτημα [v]ἔχειν οὐ μικρὸν τὸ εἰρημένον· ἂν δέ τις ἀκριβῶς
προσέχῃ, καὶ τοῦτο εὐκόλως λυθήσεται. Τί ποτ' οὖν ἐστι τὸ
ζήτημα; Τὸ λέγειν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἁμαρτωλοὺς
γενέσθαι [w]πολλούς. Τὸ μὲν γὰρ ἁμαρτόντος ἐκείνου καὶ
γενομένου θνητοῦ, καὶ τοὺς ἐξ αὐτοῦ τοιούτους εἶναι, [x]οὐδὲν
ἀπεικός· τὸ δὲ ἐκ τῆς παρακοῆς ἐκείνου ἕτερον ἁμαρτωλὸν
γενέσθαι, ποίαν [y]ἂν ἀκολουθίαν σχοίη; Εὑρεθήσεται γὰρ [z]οὕτω
μηδὲ δίκην ὀφείλων ὁ τοιοῦτος, εἴγε μὴ οἰκοθεν γέγονεν ἁμαρ- B
τωλός. Τί οὖν ἐστιν ἐνταῦθα τὸ, "ἁμαρτωλοί;" Ἐμοὶ
δοκεῖ τὸ ὑπεύθυνοι κολάσει [a]καὶ καταδεδικασμένοι θανάτῳ. Ὅτι
μὲν [b]οὖν τοῦ Ἀδὰμ ἀποθανόντος πάντες ἐγενόμεθα θνητοὶ,
σαφῶς καὶ διὰ πολλῶν ἔδειξε· τὸ δὲ ζητούμενον, τίνος ἕνεκεν
(74) τοῦτο γέγονεν. Ἀλλ' οὐκέτι τοῦτο προστίθησιν· [c]οὐδὲν γὰρ
αὐτῷ πρὸς τὸ παρὸν [d]συντείνει· πρὸς γὰρ Ἰουδαῖον ἡ μάχη
[e]τὸν ἀμφιβάλλοντα καὶ καταγελῶντα τῆς διὰ τοῦ ἑνὸς δικαιο-
σύνης. Διὰ τοῦτο δείξας καὶ τὴν κόλασιν ἐξ ἑνὸς [f]ἐξενεχθεῖσαν
εἰς ἅπαντας, τίνος ἕνεκεν τοῦτο γέγονεν, οὐκέτι [g]προσέθηκεν· C
οὐ γάρ ἐστι περιττὸς, ἀλλὰ τῶν ἀναγκαίων ἔχεται [h]μόνων.
Τοῦτο γὰρ οὐκ αὐτὸν [i]μᾶλλον ἢ τὸν Ἰουδαῖον ἠνάγκαζε λοιπὸν
ὁ τῶν ἀγώνων νόμος εἰπεῖν· διόπερ [k]ἀφίησιν ἄλυτον. Εἰ δὲ
ὑμῶν τις ζητοίη μαθεῖν, ἐροῦμεν τοῦτο, ὅτι οὐ μόνον οὐδὲν
παρεβλάβημεν ἀπὸ τοῦ θανάτου τούτου καὶ τῆς καταδίκης, ἐὰν
νήφωμεν, ἀλλὰ καὶ ἐκερδάναμεν θνητοὶ γενόμενοι· πρῶτον, τὸ
μὴ ἐν ἀθανάτῳ σώματι ἁμαρτάνειν· δεύτερον, ὥστε μυρίας
ἔχειν φιλοσοφίας ὑποθέσεις. Καὶ γὰρ [l]καὶ μετριάζειν καὶ
σωφρονεῖν καὶ κατεστάλθαι καὶ πάσης ἀπηλλάχθαι κακίας, καὶ D
παρὼν καὶ προσδοκώμενος ὁ θάνατος ἀναπείθει. Μετὰ δὲ
τούτων, μᾶλλον δὲ καὶ πρὸ τούτων, καὶ ἕτερα πλείονα εἰσήγα-
γεν ἀγαθά. Ἐντεῦθεν [m]γὰρ οἱ τῶν μαρτύρων στέφανοι, καὶ
τὰ τῶν ἀποστόλων βραβεῖα· οὗτως [n]ὁ Ἄβελ ἐδικαιώθη, οὕτως
ὁ Ἀβραὰμ τὸν υἱὸν κατασφάξας, οὕτως ὁ Ἰωάννης διὰ τὸν

[v] ἔχειν οὐ μ. pro οὐ μ. ἔχειν omnes. [w] τοὺς πολλοὺς G. [x] οὐδὲν] οὐκ H. [y] ἂν accessit ex A.B.D.E.F.H. Ita tacite edidit Montef. [z] οὕτω] καὶ οὕτως H. [a] καὶ om. H. [b] οὖν om. H. [c] οὐδὲν pro οὐδὲ omnes. [d] συντείνει A.D.E.F.G.I. συντελεῖ Edd. [e] τὸν] πρὸς τὸν G. Mox καταγγέλλοντα idem. [f] ἐνεχθεῖσαν E. [g] προστέθεικεν G. [h] μόνον B.D.H. et a pr. man. A. receptum a Montef. μόνων om. G. [i] μᾶλλον] μόνον μᾶλλον A. Sav. marg. μόνον pro μᾶλλον (?) F. μόνον ἀλλὰ pro μᾶλλον ἢ I. [k] ἀφίησιν] +αὐτὸ B. +αὐτὸν D. αὐτὸ pro ἄλυτον Veron. [l] καὶ accessit ex A.E.F.G.I. [m] γὰρ] μὲν γὰρ G. [n] ὁ Ἄβελ . . ὁ Ἀβρ. omnes (sed οὕτως ὁ Ἄβελ om. E.) Articuli aberant ante Montef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστὸν ἀναιρεθεὶς, οὕτως οἱ παῖδες οἱ τρεῖς, οὕτως ὁ Δανιήλ. [a]Ἂν γὰρ [o]ἐθέλωμεν, οὐ μόνον ὁ θάνατος, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος ἡμᾶς βλάψαι δυνήσεται. Χωρὶς δὲ τούτων κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι καὶ ἀθανασία ἡμᾶς ἐκδέξεται, καὶ πρὸς ὀλίγον
E νουθετηθέντες χρόνον, μετὰ ἀδείας [p]ἀπολαυσόμεθα τῶν μελλόντων ἀγαθῶν, ὥσπερ ἐν διδασκαλείῳ τινὶ τῷ παρόντι βίῳ διὰ νόσου καὶ θλίψεως καὶ πειρασμῶν καὶ πενίας καὶ τῶν ἄλλων [q]τῶν δοκούντων εἶναι λυπηρῶν παιδευόμενοι [r]πρὸς τὸ γενέσθαι ἐπιτήδειοι εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ὑποδοχήν.

[9] "Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα." Ἐπειδὴ γὰρ ἔδειξεν ἀπὸ μὲν τοῦ Ἀδὰμ καταδικασθεῖσαν τὴν [s]οἰκουμένην, ἀπὸ δὲ τοῦ Χριστοῦ [t]σωθεῖσαν καὶ τῆς καταδίκης ἀπαλλαγεῖσαν, εὐκαίρως καὶ περὶ τοῦ νόμου ζητεῖ [v]λοιπὸν, πάλιν τὴν περὶ αὐτοῦ δόξαν ὑποτεμνόμενος. Οὐ γὰρ μόνον
524 οὐδὲν ὤνησε, φησὶν, [w]οὐδὲ μόνον οὐδὲν ἐβοήθησεν, ἀλλὰ καὶ ηὐξήθη τὸ νόσημα παρεισελθόντος αὐτοῦ. Τὸ δὲ, ἵνα, ἐνταῦθα [x]οὐκ αἰτιολογίας πάλιν, ἀλλ' ἐκβάσεώς ἐστιν. Οὐ γὰρ διὰ τοῦτο ἐδόθη, ἵνα πλεονάσῃ, ἀλλ' ἐδόθη μὲν ὥστε μειῶσαι καὶ ἀνελεῖν [y]τὸ παράπτωμα· ἐξέβη δὲ τοὐναντίον, οὐ παρὰ τὴν τοῦ νόμου φύσιν, ἀλλὰ παρὰ τὴν τῶν δεξαμένων ῥᾳθυμίαν. Διὰ τί δὲ οὐκ εἶπε, νόμος [z]δὲ ἐδόθη, ἀλλὰ, "νόμος δὲ παρεισῆλθε;" Πρόσκαιρον αὐτοῦ δεικνὺς τὴν χρείαν οὖσαν, [a]καὶ οὐ κυρίαν οὐδὲ προηγουμένην· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας φησὶν, ἑτέρως τὸ αὐτὸ τοῦτο δηλῶν. [10] "Πρὸ [b]τοῦ γὰρ ἐλθεῖν τὴν πίστιν, ὑπὸ
B νόμον, φησὶν, ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι." Ὥστε οὐχ ἑαυτῷ, ἀλλ' ἑτέρῳ τὴν [c]ποίμνην ἐφύλαττεν. Ἐπειδὴ γὰρ βάναυσοί τινες ἦσαν [d]Ἰουδαῖοι καὶ ἐκλελυμένοι, [e]καὶ πρὸς αὐτὰς τὰς δωρεὰς ἀναπεπτωκότες, τούτου χάριν ὁ νόμος ἐδόθη, ἵνα αὐτοὺς [f]ἐλέγξῃ μειζόνως, καὶ διδάξῃ σαφῶς ἐν οἷς εἰσι, καὶ τὴν κατηγορίαν αὐξήσας ἐπισφίγξῃ [g]μᾶλλον αὐτούς. Ἀλλὰ μὴ φοβηθῇς· οὐ γὰρ ἐπὶ [h]τῷ μείζονα γενέσθαι τὴν κόλασιν τοῦτο ἐγένετο,

[9] v. 20. [10] Gal. iii. 23.

[o] *ἐθέλωμεν* pro *θέλωμεν* A.B.D.E.F.I. [p] *ἀπολαύσομεν* G. [q] *τῶν* om. A.F.H. *εἶναι* om. G. Statim *λυπηρῶν* pro *δεινῶν* omnes. [r] *πρὸς* pro *εἰς* omnes. Rursus *πρὸς* pro *εἰς* G. [s] *οἰκουμένην*] *φύσιν* I. [t] *δικαιωθεῖσαν* I. [v] *λοιπὸν πάλιν* omnes. *πάλιν λοιπὸν* Veron. Sav. Mor. [w] *οὐδὲ*]+*οὐ* A.E. F.G.I. [x] *οὐκέτι ἀπολογίας π. ἀλλὰ καὶ ἐκβ.* G. [y] *τὰ παραπτώματα* B. [z] *δὲ* accessit ex B.D.E.G. Mox *δὲ* om. G.H. [a] *καὶ* om. G. [b] *τοῦ γὰρ*] *γὰρ τοῦ* A.E. [c] *πίστιν* in textu, *ποίμνην* in marg. B. *ὥστε οὐχ ἑτέρῳ, ἀλλ' ἑαυτῷ τὴν πίστιν ἐφύλαττεν* Veron. [d] *οἱ Ἰουδ.* E.H.I. [e] *καὶ* om. F.H.I. [f] *ἐλέγχῃ* G. Mox *καὶ διδ. σαφῶς* om. I. [g] *μᾶλλον*] *πάλιν* G. [h] *τὸ* G.H. et ante corr. A.B. Statim *μείζονα* pro *μείζω* omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἐπὶ [i]τῷ πλείονα φανῆναι τὴν χάριν. Διὸ ἐπήγαγεν· "Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις." C
Οὐκ εἶπεν, [k]ἐπερίσσευσεν, ἀλλὰ [l]καὶ, "ὑπερεπερίσσευσεν." Οὐ γὰρ κολάσεως ἀπήλλαξε μόνον, ἀλλὰ καὶ [m]ἁμαρτημάτων, καὶ ζωὴν ἔδωκε, καὶ τὰ ἄλλα ἃ πολλάκις εἰρήκαμεν· ὥσπερ [n]ἄν εἴ τις τὸν πυρέττοντα μὴ νόσου μόνον ἐλευθερώσειεν, ἀλλὰ καὶ ὡραῖον ἐργάσαιτο καὶ ἰσχυρὸν καὶ ἔντιμον, ἢ τὸν πεινῶντα πάλιν μὴ θρέψειε μόνον, ἀλλὰ καὶ [o]πολλῶν ποιήσειε χρημάτων εἶναι κύριον, καὶ ἐπ' ἀρχὴν ἀγάγοι μεγίστην. Καὶ πῶς ἐπλεόνασε τὸ [p]ἁμάρτημα, φησί; Μυρίας ἔδωκεν ἐντολὰς ὁ νόμος· ἐπεὶ οὖν πάσας [q]παρέβησαν, ἐπλεόνασε τὸ [r]παράπτωμα. Εἶδες πόσον τὸ μέσον τῆς χάριτος καὶ τοῦ νόμου; Ὁ μὲν γὰρ D
καὶ προσθήκη κατακρίσεως [s]γέγονεν, ἡ δὲ πλεονασμὸς δωρεᾶς. Εἰπὼν δὲ τὴν ἄφατον φιλοτιμίαν, ζητεῖ πάλιν τὴν ἀρχὴν καὶ
(75) τὴν ῥίζαν καὶ τοῦ θανάτου καὶ τῆς ζωῆς. Τίς οὖν τοῦ θανάτου ἡ ῥίζα; Ἡ ἁμαρτία. Διὸ καὶ [t]ἔλεγεν· [11] "Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν." Ταῦτα δὲ ἔφη, δεικνὺς [v]ταύτην μὲν ἐν τάξει βασιλέως, τὸν δὲ θάνατον ἐν τάξει στρατιώτου ὑπ' αὐτῇ ταττόμενον, καὶ E
[w]παρ' αὐτῆς καθοπλιζόμενον. Οὐκοῦν εἰ αὐτὴ τὸν θάνατον καθώπλισεν, εὔδηλον ὅτι [x]ἡ ἀναιρετικὴ ταύτης δικαιοσύνη ἡ διὰ τῆς χάριτος εἰσενεχθεῖσα οὐ μόνον ἀφοπλίζει τὸν θάνατον, ἀλλὰ καὶ ἀναιρεῖ, καὶ τὴν ἐκείνης καταλύει βασιλείαν ἅπασαν, [y]ὅσῳ καὶ μείζων ταύτης ἐκείνη, οὐ δι' ἀνθρώπου [z]καὶ διαβόλου, ἀλλὰ [a]διὰ θεοῦ καὶ χάριτος εἰσαγομένη, καὶ ἐπὶ τὸ [b]χρηστότερον ἄγουσα τὴν ζωὴν τὴν ἡμετέραν, καὶ ἀπέραντον ἀγαθόν. Οὐκέτι γὰρ αὐτῆς ἔσται πέρας, ἵνα καὶ ἐντεῦθεν μάθῃς τὸ πλέον. Ἐκείνη μὲν γὰρ τῆς παρούσης ἐξέβαλε ζωῆς· ἡ δὲ χάρις ἐλθοῦσα οὐ τὴν παροῦσαν, ἀλλὰ τὴν ἀθάνατον ἡμῖν 525

[11] v. 21.

[i] τὸ G. et ante corr. A.B. Statim πλείονα pro μείζονα omnes. [k] περιέσσευσεν F.H. Mox ὑπερπερισσ. H. [l] καὶ om. I. [m] ἁμαρτημάτων ἄφεσιν καὶ ζ. ἔ. Edd. ἄφεσιν deest in omnibus. [n] ἄν] γὰρ ἂν G. ἂν om. I. [o] τῶν πολλῶν Edd. τῶν om. B.D.E.G.I. Statim πολλῶν ποιήσειεν εἶναι χρ. κύριον hoc ord. B.G. χρ. πολλῶν ποιήσειεν εἶναι κ. D. πολλῶν χρ. ποιήσειεν εἶναι κ. I. [p] παράπτωμα A.D.G. [q] παρέβησαν D.E.G. et ex corr. B. ὑπερέβησαν vulgo. [r] παράπτωμα B.D.E.F.G.H.I. ἁμάρτημα Edd. [s] γέγονεν pro ἐγένετο omnes. [t] Vid. Annot. [v] ταύτην] τὴν G. [w] παρ' αὐτῆς omnes. ὑπὸ ταύτης Edd. [x] ἡ ἀν. ταύτης] ἀν. ταύτης ἡ G. [y] ὅσων H. καὶ om. I. Statim μείζον F.H. μείζω G. [z] καὶ] ἢ E. Ita tacite edidit Montef. [a] διὰ om. A.F.H. διὰ θεοῦ χάριτος I. [b] χρηστὸν G. Mox idem καὶ ἀπεράντων ἀγαθῶν, et in marg. add. καταξιοῦσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[c]ἐδωρήσατο καὶ αἰωνίαν. Τούτων δὲ πάντων πρόξενος ἡμῖν ὁ Χριστός. Μὴ τοίνυν ἀμφίβαλλε [d]περὶ ζωῆς, δικαιοσύνην ἔχων· καὶ γὰρ [e]μείζων ἡ δικαιοσύνη τῆς ζωῆς, ἐπεὶ καὶ μήτηρ [f]αὐτῆς ἐστι.

12 "Τί [g]οὖν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο." Πάλιν εἰς τὸν [h]ἠθικώτερον ἐκβαίνει λόγον, οὐχὶ προηγουμένως αὐτὸν εἰσάγων, ἵνα μὴ δόξῃ φορτικὸς εἶναι πολλοῖς καὶ ἐπαχθὴς, ἀλλ' [i]ἐκ τῆς τῶν δογμάτων ἀκολουθίας. Εἰ γὰρ καὶ οὕτω ποικίλλων τὸν λόγον [k]ὑπείδετο, μή ποτε δυσχε-
B ράνωσιν ἐκεῖνοι πρὸς τὰ λεγόμενα· διὸ καὶ ἔλεγε, 13 "[l]Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους·" πολλῷ μᾶλλον, εἰ μὴ τοῦτο ἐποίησε, τραχύτερος ἂν αὐτοῖς ὤφθη. Ἐπεὶ οὖν ἔδειξε μεγάλην οὖσαν τὴν χάριν [m]τῷ μεγάλα ἰάσασθαι ἁμαρτήματα, ἐκ δὲ τούτου ἐδόκει [n]παρὰ τοῖς ἀνοήτοις προτροπὴ τὸ λεγόμενον εἰς ἁμαρτίαν εἶναι· εἰ γὰρ διὰ τοῦτο μείζων [o]ἡ χάρις ἐφάνη, φησὶν, ἐπειδὴ μεγάλα ἡμάρτομεν, μὴ ἀποστῶμεν ἁμαρτάνοντες, ἵνα [p]πλείων ἡ χάρις δειχθῇ· ἵν' οὖν μὴ ταῦτα λέγωσιν ἢ ὑπονοῶσιν, ὅρα πῶς ἀνατρέπει τὴν ἀντίθεσιν, πρῶτον μὲν τῇ ἀπαγορεύσει, λέγων, "Μὴ γένοιτο·" [q]ὅπερ ἐπὶ τῶν σφόδρα [r]ὡμολογημένων ἀτόπων ποιεῖν εἴωθεν· ἔπειτα καὶ λογισμὸν
C τίθησιν ἀναντίρρητον. Ποῖον δὴ τοῦτον; 14 "Οἵτινες ἀπεθάνομεν [s]τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;" Τί ἐστιν, "ἀπεθάνομεν;" Ἢ ὅτι, τὸ ἐκείνης μέρος καὶ τὸ εἰς αὐτὴν ἦκον, ἀπόφασιν ἐδεξάμεθα πάντες· ἢ ὅτι νεκροὶ γεγόναμεν αὐτῇ, πιστεύσαντες καὶ φωτισθέντες· ὃ καὶ μᾶλλον ἔστιν εἰπεῖν· τοῦτο γὰρ καὶ τὸ ἑξῆς κείμενον ἐμφαίνει. Τί δέ ἐστι, νεκροὺς αὐτῇ γεγονέναι; Τὸ πρὸς μηδὲν ὑπακούειν αὐτῇ λοιπόν. Τοῦτο [t]μὲν γὰρ τὸ βάπτισμα ἐποίησεν ἅπαξ, [v]ἐνέκρωσεν ἡμᾶς [w]αὐτῇ·
D δεῖ δὲ λοιπὸν παρὰ τῆς ἡμετέρας σπουδῆς κατορθοῦσθαι αὐτὸ διηνεκῶς, ὥστε, κἂν μυρία ἐπιτάττῃ, μηκέτι ὑπακούειν, ἀλλὰ [x]μένειν ἀκίνητον ὥσπερ τὸν νεκρόν. Καίτοιγε ἀλλαχοῦ φησιν,

12 Cap. VI. v. 1. 13 Rom. xv. 15. 14 v. 2.

[c] ἐχαρίσατο I. Statim αἰωνίαν pro αἰώνιον A.B.D.E.G.H. ἀλλὰ τὴν ἀθανασίαν ἐδ. ἡμῖν καὶ αἰωνίαν G. [d] περὶ τῆς ζ. G. [e] μεῖζον E. [f] αὐτῆς] αὕτη I. [g] οὖν]+ἐροῦμεν G. et ex corr. A. Statim ἐπιμείνωμεν G. [h] ἠθικώτερον pro ἠθικὸν A.D.E.F.H.I. Statim ἐμβαίνει G. [i] ἐκ] ἐπὶ G. [k] ὑπείδετο] Sic G. et ex corr. A. ἐφείδετο Edd. [l] τολμηρῶς I. [m] τῷ] οὗ τὸ G. [n] παρὰ accessit ex omnibus. Mox προτροπὴ αἰτίας γινομένης ἁμαρτίας εἶναι G. [o] ἡ χ. ἐφάνη pro ἐφάνη ἡ χ. omnes. Statim φησὶν om. I. [p] πλείων] Sic A.D.I. πλείον E.F.G.H. πλέον Edd. [q] ὥσπερ I. [r] ὡμολογημένων omnes. Ante Montef. edebatur ὁμολογουμένων. [s] τῇ ἁμ. φησὶ A.F.H.I. φησὶ τῇ ἁμ. Edd. φησὶ om. D.E.G. Mox ζήσωμεν H. [t] μὲν γὰρ τὸ β.] Sic A.E.F.G.H.I. γὰρ τὸ μὲν β. Edd. [v] ἐνέκρωσε]+γὰρ E. [w] αὐτῇ F.G. [x] μένειν]+τοῦτον G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι αὐτὴ ἡ ἁμαρτία ἀπέθανεν· ἀλλ' ἐκεῖ μὲν εὔκολον βουλόμενος δεῖξαι τὴν ἀρετὴν, τοῦτο τίθησιν· ἐνταῦθα δὲ, [y]ἐπειδὴ διεγεῖραι σπεύδει τὸν ἀκροατὴν, ἐπ' αὐτὸν μεταφέρει τὸν θάνατον. Εἶτα, ἐπειδὴ ἀσαφὲς ἦν τὸ εἰρημένον, ἑρμηνεύει πάλιν αὐτὸ, καὶ ἐπιπληκτικῶς τῷ λόγῳ χρώμενος. [15] "Ἢ [z]ἀγνοεῖτε, φησὶν, ἀδελφοὶ, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν [a]οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον." Τί ἐστιν, "εἰς τὸν θάνατον E αὐτοῦ ἐβαπτίσθημεν;" Εἰς τὸ καὶ αὐτοὶ [b]ἀποθανεῖν, ὥσπερ ἐκεῖνος· σταυρὸς γάρ ἐστι τὸ βάπτισμα. [c]Ὅπερ οὖν ὁ σταυρὸς τῷ Χριστῷ καὶ ὁ τάφος, τοῦτο ἡμῖν τὸ βάπτισμα γέγονεν, εἰ καὶ μὴ ἐπὶ τῶν αὐτῶν. Αὐτὸς μὲν [d]γὰρ σαρκὶ καὶ ἀπέθανε καὶ ἐτάφη, ἡμεῖς δὲ ἁμαρτίᾳ ἀμφότερα. Διὸ οὐκ εἶπε, σύμφυτοι [e]τῷ θανάτῳ, ἀλλὰ, "τῷ ὁμοιώματι τοῦ θανάτου." Θάνατος μὲν γὰρ καὶ τοῦτο κἀκεῖνο, ἀλλ' οὐχὶ τοῦ αὐτοῦ ὑποκειμένου· ἀλλ' ὁ μὲν [f]σαρκὸς ὁ τοῦ Χριστοῦ, ὁ δὲ ἁμαρτίας ὁ ἡμέτερος. Ὥσπερ οὖν ἐκεῖνος ἀληθὴς, οὕτω καὶ οὗτος. Ἀλλ'
(76) εἰ καὶ ἀληθὴς, δεῖ καὶ τὰ παρ' ἡμῶν [g]συνεισενεχθῆναι πάλιν· διὸ καὶ ἐπήγαγεν· "[h]Ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ 5 26 τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν." Ἐνταῦθα μετὰ τῆς ἐπιμελείας τοῦ βίου καὶ τὸν περὶ [i]τῆς ἀναστάσεως αἰνίττεται λόγον. Πῶς; Ἐπίστευσας, φησὶν, ὅτι ἀπέθανεν ὁ Χριστὸς, καὶ [k]ὅτι ἠγέρθη; Οὐκοῦν καὶ τὸ σὸν πίστευε· τοῦτο γὰρ ἔοικεν ἐκείνῳ, ἐπειδὴ καὶ τὸ σὸν καὶ σταυρὸς καὶ τάφος. Εἰ γὰρ ἐν θανάτῳ [l]ἐκοινώνησας καὶ ταφῇ, πολλῷ μᾶλλον ἐν ἀναστάσει καὶ ζωῇ. Τοῦ γὰρ μείζονος λυθέντος, τῆς ἁμαρτίας, οὐ δεῖ περὶ τοῦ ἐλάττονος ἀμφιβάλλειν λοιπὸν, τῆς τοῦ θανάτου ἀναιρέσεως.

[m]Ἀλλὰ ταῦτα μὲν τέως ἀφίησι λογίζεσθαι τῷ συνειδότι τῶν ἀκροωμένων, αὐτὸς δὲ προκειμένης τῆς μελλούσης, ἑτέραν B ἡμᾶς ἀνάστασιν ἀπαιτεῖ, τὴν καινὴν πολιτείαν, τὴν κατὰ τὸν

[15] v. 3, 4.

[y] ἐπειδὴ] ἐπεὶ E. Statim ἐγεῖραι A.F.H.I. [z] ἀγνοεῖτε]+γὰρ Edd. γὰρ om. A.B.D.E.F.H.I. γὰρ, φησὶν, ἀδελφοὶ om. G. [a] οὖν] γὰρ E.G. [b] ἀποθανεῖν]+φησὶν E. Statim καὶ αὐτὸς pro ἐκεῖνος B. [c] ὅπερ οὖν] ὥσπερ γὰρ G. [d] γὰρ om. I. καὶ ante ἀπέθανε om. G. [e] τῷ θανάτῳ] τοῦ θανάτου A.H.I. γεγόναμεν τοῦ θανάτου E.G. Tum haec ἀλλὰ τῷ ὁμ. τοῦ θ. desunt in G. [f] σαρκικὸς B. Veron. ὁ ante τοῦ Χρ. om. I. [g] συνεισενεχθῆναι A.B.D.F.G.I. συνεισεχθῆναι (sic) E. συνενεχθῆναι Edd. [h] ἵνα]+οὖν H. [i] τῆς om. I. [k] ὅτι om. G. [l] ἐκοινώνησε A. [m] ΗΘΙΚΟΝ. Περὶ ἀρίστου βίου, καὶ ὅτι οἱ ἐν ἁμαρτίᾳ ζῶντες εὐρίπιστοί τε εἰσὶ καὶ εὐεπηρέαστοι, καὶ ὅτι ὁ ἐπηρεαζόμενος καὶ ἀποστερούμενος τῶν ἰδίων, ἂν εὐχαρίστως φέρῃ, τοῖς εἰς πένητας αὐτὰ ἀναλώσασι τῶν αὐτῶν τεύξεται μισθῶν. Veron.

παρόντα βίον ἐκ τῆς τῶν τρόπων μεταβολῆς γινομένην. Ὅταν γὰρ ὁ πόρνος γένηται σώφρων, καὶ ὁ πλεονέκτης ἐλεήμων, καὶ ὁ τραχὺς ἥμερος, καὶ ἐνταῦθα ἀνάστασις γέγονεν ἐκείνης οὖσα προοίμιον. Καὶ πῶς ἀνάστασις; Τῆς μὲν ἁμαρτίας νεκρωθείσης, τῆς δὲ δικαιοσύνης ἀναστάσης, καὶ τῆς μὲν παλαιᾶς ζωῆς ἀφανισθείσης, τῆς δὲ καινῆς ταύτης καὶ ἀγγελικῆς [n]πολιτευομένης. Ὅταν δὲ ἀκούσῃς καινὴν ζωὴν, πολλὴν ζήτει τὴν
C ἐναλλαγὴν, καὶ μεγάλην τὴν μεταβολήν. Ἀλλὰ γὰρ δακρῦσαί μοι λοιπὸν ἔπεισι καὶ στενάξαι μέγα, ὅταν ἐννοήσω πόσην μὲν ἡμᾶς ἀπαιτεῖ φιλοσοφίαν ὁ Παῦλος, πόσῃ δὲ ἑαυτοὺς ἐξεδώκαμεν ῥᾳθυμίᾳ, μετὰ τὸ βάπτισμα ἐπὶ τὸ πρότερον ἐπανιόντες γῆρας, καὶ εἰς τὴν Αἴγυπτον ἀνακάμπτοντες, καὶ τῶν [o]σκορόδων μεμνημένοι μετὰ τὸ μάννα. Δέκα γὰρ καὶ εἴκοσιν ἡμέρας [p]παρ' αὐτὸ τὸ [q]φώτισμα μεταβαλλόμενοι, τοῖς προτέροις πάλιν ἐπιχειροῦμεν. Ἀλλ' οὐκ ἀριθμὸν ἡμερῶν τακτὸν, ἀλλ'
D ὅλον [r]ἡμᾶς τὸν βίον ἀπαιτεῖ ταύτην τὴν πολιτείαν ὁ Παῦλος. Ἡμεῖς δὲ ἐπὶ τὸν πρότερον ἐπανερχόμεθα ἔμετον, μετὰ τὴν ἀπὸ τῆς χάριτος νεότητα τὸ ἀπὸ τῶν ἁμαρτιῶν κατασκευάζοντες γῆρας. Καὶ [s]γὰρ τὸ χρημάτων ἐρᾶν, καὶ τὸ δουλεύειν ἐπιθυμίαις ἀτόποις, καὶ πᾶσα ἁπλῶς ἁμαρτία παλαιοῦν εἴωθε τὸν ἐργαζόμενον· [16] "Τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ." Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτω σῶμα ὑπὸ [t]χρόνων παραλελυμένον ἰδεῖν, ὡς ψυχὴν [v]ὑπὸ ἁμαρτημάτων πολλῶν σαθρουμένην καὶ καταπίπτουσαν. Καὶ γὰρ εἰς ἐσχάτην ληρωδίαν ἐξάγεται λοιπὸν, ἄσημα φθεγγομένη [w]καθάπερ οἱ γεγη-
E ρακότες καὶ παραπαίοντες, καὶ κορύζης [x]ἀναπεπλησμένη καὶ παραπληξίας πολλῆς καὶ λήθης, καὶ λήμας πρὸ τῶν ὀφθαλμῶν ἔχουσα, καὶ ἀνθρώποις βδελυρὰ, καὶ τῷ [y]διαβόλῳ εὐχείρωτος. Καὶ γὰρ τοιαῦται αἱ τῶν ἁμαρτωλῶν ψυχαί. Ἀλλ' οὐχ [z]αἱ τῶν δικαίων, ἀλλὰ νεάζουσι καὶ σφριγῶσι, καὶ ἐν αὐτῷ [a]τῆς ἡλικίας εἰσὶ τῷ ἄνθει διαπαντὸς, πρὸς ἅπασαν μάχην καὶ [b]πάλην ἀεὶ παρεσκευασμέναι· αἱ δὲ τῶν ἁμαρτωλῶν, κἂν μικρὰν δέξωνται προσβολὴν, [c]ἔπεσόν τε εὐθέως καὶ ἀπώλοντο. Καὶ

[16] Heb. viii. 13.

[n] πολιτευσαμένης A. [o] σκόρδων B.F.H. [p] παρ'] μετ' G. [q] φώτισμα pro βάπτισμα omnes. [r] ἡμῶν G. Mox φιλοσοφίαν pro πολιτείαν idem. [s] γὰρ om. B. τῶν pro τὸ H. [t] χρόνου G. [v] ἀπὸ H. Mox σεσαθρωμένην G. [w] καὶ καθάπερ A.F.H.I. [x] ἀναπεπλησμένοι A.B.D.E.F.G.H. Vulgatum tuentur Interpp. [y] διαβόλῳ]+φανεῖται A.F.H.I. +φαίνεται G. +φαινομένη B.D.E. Statim ἀχείρωτος H. [z] αἱ]+ψυχαὶ I. [a] Sic omnes. τῷ ἄνθει τῆς ἡ. εἰσὶ hoc ord. Edd. [b] πλάνην A.H. [c] ἔπεσαν F. G.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν, ὅτι [17] "Ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς," οὕτως εἰσὶν εὐρί- 527
πιστοι καὶ εἰς ἐπήρειαν [d]πᾶσι προκείμενοι οἱ ἐν ἁμαρτίαις ζῶντες. Οὔτε [e]γὰρ ὁρῶσιν ὑγιῶς, [f]οὐκ ἀκούουσιν εἰλικρινῶς, οὐ φθέγγονται ἔναρθρα, ἀλλὰ πολλῆς [g]μὲν γέμουσι τῆς λυγγὸς, πολὺν [h]δὲ ἐν τῷ στόματι περιρρέοντα τὸν σίελον περιφέρουσι. Καὶ εἴθε σίελον, καὶ οὐδὲν ἦν ἄτοπον· νυνὶ δὲ παντὸς βορβόρου ῥήματα δυσωδέστερα προΐενται, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἀποπτύσαι τὸν σίελον τούτων τῶν ῥημάτων ἰσχύουσιν, ἀλλὰ τῇ χειρὶ [i]δεχόμενοι μετὰ πολλῆς τῆς [k]βδελυγμίας, πάλιν αὐτὸν [l]προστρίβονται παχὺν ὄντα καὶ δυσδιά- B
τμητον. Τάχα ναυτιᾶτε πρὸς τὴν διήγησιν· οὐκοῦν μᾶλλον πρὸς τὴν πρᾶξιν. Εἰ γὰρ ἐν σώματι ταῦτα ἀηδῆ συμβαίνοντα, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ. Τοιοῦτος ἦν ἐκεῖνος ὁ παῖς ὁ πάντα τὰ ἑαυτοῦ [m]κατεδηδοκὼς, καὶ εἰς ἐσχάτην [n]κακίαν κατενεχθεὶς, παντὸς ληροῦντος καὶ νενοσηκότος ἀσθενέστερον διακείμενος. Ἀλλ' ἐπειδὴ ἐβουλήθη, γέγονεν ἄφνω νέος, ἀπὸ
(77) γνώμης [o]μόνης καὶ μεταστάσεως. Ἐπειδὴ γὰρ εἶπεν, ἐπιστρέψω πρὸς τὸν πατέρα μου, τὸ ῥῆμα τοῦτο αὐτῷ πάντα ἐκόμισε [p]τἀγαθά· μᾶλλον δὲ οὐ τὸ ῥῆμα ἁπλῶς, ἀλλὰ τὸ [q]ἔργον τῷ ῥήματι προστεθέν. Οὐδὲ γὰρ εἶπεν, ἐπανέλθω, καὶ ἔμεινεν· C
ἀλλ' εἶπεν, ἐπανέλθω, καὶ ἐπανῆλθε, καὶ τὴν ὁδὸν πᾶσαν [r]ὑπέστρεψεν ἐκείνην. Οὕτω καὶ ἡμεῖς ποιῶμεν· κἂν εἰς τὴν ὑπερορίαν ἀπενεχθῶμεν, ἐπανέλθωμεν πρὸς τὸν πατρῷον οἶκον, καὶ μὴ κατοκνήσωμεν πρὸς τὸ τῆς ὁδοῦ μῆκος. [s]Ἂν γὰρ βουληθῶμεν, εὔκολος ἡ ἐπάνοδος γίνεται καὶ ταχίστη, μόνον ἀφῶμεν τὴν ξένην καὶ τὴν ἀλλοτρίαν· [s]τοῦτο γὰρ ἡ ἁμαρτία, πόρρω τῆς οἰκίας [t]ἡμᾶς ἀπάγουσα τοῦ πατρός. Ἀφῶμεν τοίνυν αὐτὴν, ἵνα ταχέως πρὸς τὸν πατρῷον ἐπανέλθωμεν οἶκον. Καὶ [v]γὰρ φιλόστοργός ἐστιν ὁ πατὴρ, καὶ τῶν εὐδοκιμούντων οὐχ D

17 Psal. i. 4.

[d] πᾶσι] εἰσὶ G. [e] γὰρ om. G. [f] οὐκ pro οὔτ' A.E.G.H.I. [g] μὲν assumtum ex A.B.D.E.F.H.I. Statim γέμουσι om. G. [h] δὲ accessit ex A.B.D.E.G.H.I. Locus sic legitur in G. πολὺν δὲ ἐν τῷ στ. περιφέρονται σίελον. καὶ [inseruit corr. εἴθε σίελον καὶ] οὐδὲν ἦν τὸ πονοῦν. νυνὶ δέ. [i] κατεχόμενοι E. [k] βδελυγμίας (βδελυμίας G.) pro βδελυρίας omnes. [l] προστρίβονται] προσεμβάλλουσι E. Statim παχὺν ὄντα A.E.F.G.H.I. Ante Montef. edebatur παχύνοντα. [m] κατεδηδοκὼς pro κατηναλωκὼς A.D.E.F.G.I. καταδιδωκὼς (sic) H. καταναλωκὼς ex corr. B. [n] πενίαν I. [o] μόνον G. Statim καὶ ἐπιστάσεως idem. [p] τὰ ἀγαθὰ A.E.H. [q] ἔργον]+δ I. Mox προστέθεικεν A.F.H.I. [r] ὑπέστρεψεν pro ἐπέστρεψεν A.B.D.E.F.H. Vocabulum deest in G. [s] τοῦτο] αὕτη I. [t] ἡμᾶς ἀπάγουσα] ἀπάγει I. [v] γὰρ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἧττον ἡμᾶς [w]τιμήσει μεταβαλλομένους, ἀλλὰ καὶ πλέον· ἐπεὶ καὶ ἐκεῖνον ὁ πατὴρ τότε μειζόνως ἐτίμησε· καὶ γὰρ μειζόνως αὐτὸς [x]ἤσθη τὸν παῖδα ἀπολαβών. Καὶ πῶς [y]ἐπανέλθω, φησίν; Ἀρχὴν ἐπίθες τῷ πράγματι μόνον, καὶ τὸ πᾶν γέγονε· στῆθι τῆς κακίας, καὶ μὴ [z]προέλθῃς περαιτέρω, καὶ ἤδη τοῦ παντὸς ἐπελάβου. Καθάπερ γὰρ τοῖς κάμνουσι τὸ μὴ χεῖρον σχεῖν ἀρχὴ γένοιτ' ἂν τοῦ βέλτιον [a]ἔχειν, οὕτω καὶ ἐπὶ τῆς κακίας συμβαίνει· μὴ περαιτέρω προβῇς, καὶ τέλος ἕξει σοι τὰ τῆς πονηρίας. Κἂν δύο ποιήσῃς τοῦτο ἡμέρας, τῇ τρίτῃ
E εὐκολώτερον ἀποστήσῃ, καὶ [b]μετὰ τρεῖς καὶ δέκα προσθήσεις, εἶτα εἴκοσιν, εἶτα ἑκατόν, εἶτα τὸν βίον ἅπαντα. Ὅσῳ γὰρ ἂν προβαίνῃς, [c]εὐκολωτέραν ὄψει τὴν ὁδόν, καὶ [d]ἐπ' αὐτὴν στήσῃ τὴν κορυφήν, καὶ πολλῶν ἀθρόον [e]ἀπολαύσῃ τῶν ἀγαθῶν. Ἐπεὶ καὶ τότε, ὅτε ὁ ἄσωτος ἐπανῆλθεν ἐκεῖνος, [f]αὐλοὶ καὶ κιθάραι καὶ χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις ἦσαν· καὶ [g]ὁ ὀφείλων ὑπὲρ τῆς ἀκαίρου δαπάνης καὶ τῆς οὕτω μακρᾶς φυγῆς τὸν παῖδα ἀπαιτῆσαι δίκην, οὐδὲν τούτων ἐποίησεν, ἀλλ' ὡς εὐδοκιμηκότα εἶδε, καὶ οὐδὲ μέχρι ῥημάτων [h]ὠνείδισαι τῷ παιδί,
528 μᾶλλον [i]δὲ οὐδὲ ἁπλῶς αὐτὸν ἀναμνῆσαι τῶν προτέρων ἠνέσχετο, ἀλλὰ καὶ περιεχύθη, καὶ [k]κατεφίλησε, καὶ μόσχον ἔθυσε, καὶ στολὴν ἐνέδυσε, καὶ ἐν πολλῷ τῷ κόσμῳ κατέστησε.

[l]Ταῦτα οὖν ἔχοντες καὶ ἡμεῖς τὰ ὑποδείγματα, θαρρῶμεν καὶ μὴ ἀπογινώσκωμεν. Οὐ γὰρ οὕτω χαίρει [m]δεσπότης καλούμενος, ὡς πατὴρ, οὐδὲ δοῦλον ἔχων, ὡς υἱόν· καὶ μᾶλλον τοῦτο βούλεται, ἢ ἐκεῖνο. Διὰ τοῦτο γοῦν καὶ πάντα ἐποίησεν [n]ἅπερ ἐποίησε, καὶ οὐδὲ τοῦ [o]μονογενοῦς ἐφείσατο, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν, ἵνα μὴ ὡς δεσπότην μόνον, ἀλλὰ καὶ ὡς
B πατέρα αὐτὸν ἀγαπῶμεν. Κἂν τύχῃ τούτου παρ' ἡμῶν, καθάπερ τις [p]δοξαζόμενος ἐναβρύνεται, καὶ εἰς πάντας αὐτὸ ἐκφέρει, [q]ὁ μηδενὸς δεόμενος τῶν ἡμετέρων. Τοῦτο [r]γοῦν ἐπὶ τοῦ [s]Ἀβραὰμ ἐποίησε, πανταχοῦ λέγων, "Ἐγὼ [t]θεὸς

[w] τιμήσει omnes. ἀγαπήσει Edd. [x] ἤσθη om. G. [y] ἐπανέλθωμεν B. [z] ἔλθῃς H. Statim πορρωτέρω A.H. [a] σχεῖν A.B.E.F.H. [b] μετὰ τὰς τρεῖς Edd. τὰς om. A.B.D.E.F.H.I. Haec καὶ μετὰ τρεῖς om. G. deinde pergit κἂν δέκα προσθήσῃς. [c] εὐκολωτέραν A.B.D.E.G.H. εὐκολώτερον Edd. [d] ἐπ' αὐτὴν omnes. ὑπ' αὐτὴν Veron. Sav. Mor. [e] ἀπολαύσῃ pro ἀπολαύσεις A.B.D.F.H. et ex corr. I. ἀπολαύσει E. ἀπολαύσῃς G. [f] καὶ αὐλοὶ Edd. καὶ om. A.E.F.G.H.I. αὐλὸς G. [g] ὁ om. G. Mox μακρὰν idem. [h] ὠνείδισε G. [i] δὲ aberat ante Montef. repugnantibus libris. [k] ἐφίλησε A.B.D.E.G.H.I. [l] ταῦτ' οὖν A.E.H.I. [m] δ. καλούμενος pro καλούμενος δ. omnes. [n] ἅπερ ἐποίησε om. G.I. [o] μονογενοῦς αὐτοῦ Edd. αὐτοῦ om. B.D.G. [p] δικαιούμενος (ου in rasura) B. [q] ὁ om. B. ὁ μηδενὸς (om. δεόμενος) H. [r] οὖν A.F.H.I. [s] Ἀβραὰμ]+καὶ Ἰσαὰκ καὶ Ἰακὼβ G. [t] ὁ θεὸς Edd. ὁ om. A.B.D.E.F.G.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ." Καίτοιγε τοὺς οἰκέτας ἐχρῆν καλλωπίζεσθαι [v]τούτῳ· νῦν δὲ ὁ δεσπότης φαίνεται [w]τοῦτο ποιῶν. Διὰ τοῦτο καὶ Πέτρῳ φησὶ, [18] "Φιλεῖς με πλέον τούτων;" δεικνὺς ὅτι οὐδὲν πρὸ τούτου ζητεῖ παρ' ἡμῶν. Διὰ τοῦτο καὶ [x]τὸν Ἀβραὰμ τὸν υἱὸν [y]θῦσαι ἐκέλευσεν, ἵνα δείξῃ πᾶσιν, ὅτι [z]σφόδρα φιλεῖται παρὰ τοῦ πατριάρχου. [a]Τοῦτο δὲ τὸ σφόδρα φιλεῖσθαι ἐθέλειν, ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται. Διὰ τοῦτο καὶ τοῖς ἀποστόλοις ἔλεγεν· [19] "Ὁ C φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος." Διὰ τοῦτο, ὃ πάντων [b]ἡμῖν ἐστιν οἰκειότερον ἡ ψυχὴ, καὶ ταύτην δευτέραν κελεύει τίθεσθαι τῆς εἰς αὐτὸν ἀγάπης, ἐπειδὴ μεθ' ὑπερβολῆς ἁπάσης βούλεται φιλεῖσθαι παρ' ἡμῶν. Καὶ γὰρ ἡμεῖς, ὅταν μὲν μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι, οὐδὲ τῆς παρ' ἐκείνου σφόδρα δεόμεθα φιλίας, κἂν μέγας ᾖ, [c]κἂν περιφανής· ὅταν δὲ θερμῶς τινα καὶ γνησίως φιλῶμεν, κἂν [d]εὐτελὴς, κἂν μικρὸς ὁ φιλούμενος, μεγίστην τιθέμεθα δόξαν D [e]τὸ παρ' ἐκείνου φίλτρον. Διὸ καὶ αὐτὸς οὐ τὸ φιλεῖσθαι [f]παρ' ἡμῶν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν τὰ ἐπονείδιστα ἐκεῖνα, δόξαν ἐκάλει. Ἀλλ' ἐκεῖνα μὲν δι' ἀγάπην μόνον δόξα ἦν· [g]ἃ δὲ ἂν ἡμεῖς ὑπὲρ αὐτοῦ πάθωμεν, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τοῦ ποθουμένου καὶ τὴν ἀξίαν δόξα ἂν εἰκότως [h]καὶ καλοῖτο καὶ εἴη. [i]Ὡς ἐπὶ στεφάνους τοίνυν μεγίστους [k]τρέχωμεν τοὺς ὑπὲρ αὐτοῦ κινδύνους, καὶ (78) μήτε πενίαν μήτε νόσον μήτε ἐπήρειαν, μὴ συκοφαντίαν, μὴ αὐτὸν τὸν θάνατον [l]νομίζωμεν εἶναι [m]βαρὺ καὶ ἐπαχθὲς, ὅταν δι' αὐτὸν ταῦτα ὑπομένωμεν. [n]Ἂν γὰρ νήφωμεν, τὰ μέγιστα E διὰ τούτων [n]ἁπάντων κερδανοῦμεν· ὥσπερ οὖν ἐὰν μὴ νήφωμεν, [o]οὐδὲ ἀπὸ τῶν ἐναντίων καρπωσόμεθά τι χρηστόν. Σκόπει δέ. Ἐπηρεάζει σοί τις καὶ πολεμεῖ; Οὐκοῦν ἐγρηγορέναι σε παρασκευάζει, καὶ ἀφορμήν σοι παρέχει [p]τοῦ γενέσθαι ὅμοιον τῷ θεῷ. [q]Ἂν γὰρ ἀγαπήσῃς τὸν ἐπιβουλεύοντα, ὅμοιος ἔσῃ τῷ τὸν ἥλιον ἀνατέλλοντι ἐπὶ πονηροὺς καὶ ἀγαθούς. [r]Ἕτερος

18 Joan. xxi. 17. 19 Matth. x. 37.

[v] ἐπὶ τούτῳ B. [w] τοῦτο om. B. [x] τὸν] τῷ A.B.D.E.F.H. [y] θυσιάσαι A.F.H.I. θῦσαι τὸν υἱὸν hoc ord. G. [z] σφοδρῶς A.E.F.I. [a] τοῦτο δὲ τὸ] τὸ δὲ G. [b] ἡμῶν G. [c] κἂν pro καὶ A.E.F.H.I. [d] εὐτελὴς]+ᾖ E.F.G.H.I. Statim ὁ φιλ. καὶ μικρὸς pro κἂν μ. ὁ φ. G. [e] τῷ . . φίλτρῳ G. [f] μόνον παρ' ἡμῶν inverso ord. A.F.H.I. Mox τὸ παθεῖν ὑπὲρ ἡμῶν pro τὸ ὑπὲρ ἡμῶν παθεῖν omnes. [g] ἃ δὲ ἄν] ἐὰν δὲ καὶ G. [h] καὶ om. A.E.F. H.I. [i] ὡς] ὥσπερ A.B.E.F.I. ὅπερ H. [k] τρέχομεν E.H. Statim εἰς τοὺς ὑπὲρ B.D.E. receptum a Montef. [l] νομίζοντες H. νομίζομεν mendose dedit Sav. Post h. v. add. πρᾶγμα E. [m] βαρὺν καὶ ἐπαχθῆ G. [n] ἅπαντα G. [o] οὐδὲν G. [p] τοῦ om. H.

Δημόσιο Κοινοτική Βιβλιοθήκη Βέροιας

ἀφαιρεῖταί σου [q]χρήματα; [r]Ἂν γενναίως ἐνέγκῃς, τοῖς εἰς πένητας πάντα δεδαπανηκόσι τὸν αὐτὸν λήψῃ μισθόν. [20] "Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν, φησὶ, μετὰ χαρᾶς
529 προσεδέξασθε, γινώσκοντες κρείττονα [s]ὕπαρξιν ἔχειν ἐν οὐρανοῖς, καὶ μένουσαν." Εἶπέ τις κακῶς καὶ ὠνείδισεν; [t]Ἂν τε ἀληθῆ [u]ταῦτα, ἄν τε ψευδῆ ᾖ, στέφανόν [v]σοι μέγιστον ἔπλεξεν, ἂν πράως τὴν λοιδορίαν ἐνέγκῃς. [w]Ὁ τε γὰρ συκοφαντῶν πολὺν ἡμῖν προξενεῖ τὸν μισθόν· [21] "[x]Χαίρετε γὰρ, φησὶ, καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν [y]ῥῆμα καθ' ὑμῶν [z]ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς·" ὅ τε ἀληθῆ λέγων πάλιν τὰ μέγιστα ὠφελεῖ, μόνον [a]ἐὰν πράως φέρωμεν τὰ λεγόμενα. Καὶ γὰρ ὁ Φαρισαῖος ἀληθεύων τὸν τελώνην ἔλεγε κακῶς, ἀλλ' ὅμως [b]ἀντὶ τελώνου δίκαιον ἐποίησε. Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν; ἔξεστι γὰρ [c]ἐπελθόντα τοὺς
B ἄθλους τοῦ Ἰὼβ ἅπαντα ταῦτα μετ' ἀκριβείας μαθεῖν. Διὰ τοῦτο καὶ [d]Παῦλος ἔλεγε· [22] "Θεὸς ὑπὲρ ἡμῶν, [e]τίς καθ' ἡμῶν;" Ὥσπερ οὖν σπουδάζοντες καὶ ἀπὸ τῶν λυπούντων [f]κερδαίνομεν, οὕτω ῥαθυμοῦντες [g]οὐδὲ ἀπὸ τῶν ὠφελούντων ἀμείνους γινόμεθα. Τί γὰρ τὸν Ἰούδαν ὠφέλησεν, εἰπέ μοι, ἡ τοῦ Χριστοῦ συνουσία; τί [h]δὲ τοὺς Ἰουδαίους ὁ νόμος; τί δὲ τὸν Ἀδὰμ ὁ παράδεισος; τί δὲ τοὺς ἐν τῇ ἐρήμῳ Μωϋσῆς; Διά [i]τοι τοῦτο πάντα ἀφέντας, ἓν δεῖ σκοπεῖν μόνον, ὅπως τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν καλῶς· κἂν τοῦτο [k]ποιῶμεν, οὐδὲ
C αὐτὸς ὁ διάβολος ἡμῶν περιέσται ποτὲ, ἀλλὰ [l]καὶ μειζόνως ἡμᾶς ὠφελήσει, νήφειν παρασκευάζων. Οὕτω γοῦν καὶ τοὺς Ἐφεσίους ὁ Παῦλος διήγειρε, τὴν ἐκείνου διηγούμενος ἀγριότητα. Ἀλλ' ἡμεῖς καθεύδομεν καὶ ῥέγχομεν, καὶ ταῦτα πρὸς οὕτω πονηρὸν πολέμιον ἔχοντες. Καὶ εἰ μὲν ὄφιν ἐμφωλεύοντα [m]ἔγνωμεν παρὰ τὴν κλίνην τὴν ἡμετέραν, πολλὴν ἂν ἐποιησάμεθα σπουδὴν ὥστε αὐτὸν ἀνελεῖν· τοῦ διαβόλου δὲ ἐμφωλεύοντος ἡμῶν ταῖς ψυχαῖς, οὐδὲν ἡγούμεθα πάσχειν δεινὸν,

20 Hebr. x. 34. 21 Matth. v. 12, 11. 22 Rom. viii. 31.

[q] τὰ χρ. A.E. ut tacite edidit Montef. [r] ὕπ. εἶναι pro εἶναι ὕπ. omnes. [s] ταῦτα ᾖ Edd. ᾖ om. A.B.D.F.G.H.I. Mox ᾖ post ψευδῆ accessit ex B.D. E.F.H.I. [t] σε G. σοι μέγιστον om. H. [v] καὶ χ. γὰρ G. [w] ῥῆμα om. H. [x] ψευδόμενοι]+χαίρετε, ὡς ἔφθην εἰπὼν G. [y] ἐὰν pro ἂν A.B.D. E.H.I. Mox φέρωμεν omnes. ἐνέγκωμεν Edd. [z] ἀντὶ τελώνου] ἀντιλέγων οὐ mendose G. [a] ἐπελθόντας G. Mox μετὰ ἀκρ. A.B.D.E. [b] Παῦλος sine articulo omnes. Mox εἰ ὁ θεὸς Edd. εἰ om. B.F. εἰ ὁ om. A.D.E.G.H.I. [c] τίς ὁ καθ' ἡ. G. [d] κερδαίνωμεν F.H. κερδανοῦμεν G. [e] οὐδὲν H. [f] δαὶ pro δὲ ter G. [g] τοι om. H. Mox ἀφέντας pro ἀφέντες B.D.E. et ex corr. A. [h] ποιήσωμεν G. [i] καὶ accessit ex A.B.D.E.F.G.I. Mox ἡμᾶς om. G. [k] ἔγνωμεν post ἡμετέραν transp. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἀναπεπτώκαμεν. [1]Τὸ δὲ αἴτιον, ἐπειδὴ τοῖς ὀφθαλμοῖς οὐχ ὁρῶμεν αὐτὸν [m]τοῖς τοῦ σώματος. Καίτοι διὰ τοῦτο ἐχρῆν ἐγρηγορέναι μᾶλλον καὶ νήφειν. Τὸν μὲν γὰρ αἰσθητὸν [n]πολέμιον κἂν φυλάξαιτό τις ῥᾳδίως, τὸν δὲ ἀόρατον, ἂν μὴ D διαπαντὸς ὦμεν καθωπλισμένοι, οὐ δυνησόμεθα εὐκόλως διαφυγεῖν· καὶ μάλιστα, ὅτι οὐδὲ ἐξ εὐθείας οἶδε πολεμεῖν· ἢ γὰρ ἂν ἐάλω ταχέως· ἀλλὰ σχήματι πολλάκις φιλίας τὸν τῆς ὠμότητος ἰὸν ἐνίησιν. Οὕτω γοῦν καὶ τὴν γυναῖκα [o]τοῦ Ἰὼβ παρεσκεύασε, προσωπεῖον φιλοστοργίας ὑποδῦσαν, τὴν πονηρὰν [p]ἐκείνην εἰσενεγκεῖν συμβουλήν. Οὕτω καὶ τῷ Ἀδὰμ διαλεγόμενος, ὑποκρίνεται [q]τὸ κηδεμονικὸν καὶ προστατικόν, λέγων, ὅτι [23] "Ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ ἢ ἂν [r]ἡμέρᾳ E φάγητε ἀπὸ τοῦ ξύλου." Οὕτω καὶ τὸν Ἰεφθάε ἀνέπεισε προσχήματι εὐσεβείας τὴν θυγατέρα κατασφάξαι, καὶ τὴν παράνομον θυσίαν ἀνενεγκεῖν. Εἶδες αὐτοῦ τὰς μεθοδείας; εἶδες τὸν ποικίλον πόλεμον; Φυλάττου τοίνυν, καὶ πανταχόθεν [s]φράττου τοῖς ὅπλοις τοῖς πνευματικοῖς, καὶ καταμάνθανε τὰς ἐκείνου μηχανὰς μετὰ ἀκριβείας, ἵνα καὶ ἀνάλωτος ᾖς, καὶ ἕλῃς αὐτὸν εὐκόλως. Ἐπεὶ καὶ Παῦλος οὕτως αὐτοῦ περιεγένετο, ταῦτα μετὰ ἀκριβείας καταμανθάνων· διὸ καὶ ἔλεγεν, [24] "Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν." Καὶ ἡμεῖς τοίνυν καὶ μαθεῖν καὶ φυγεῖν τὰς ἐπιβουλὰς αὐτοῦ σπουδάσωμεν, ἵνα τὴν κατ' αὐτοῦ νίκην ἀράμενοι, καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὸν μέλλοντα ἀνακηρυχθῶμεν αἰῶνα, καὶ τῶν ἀκηράτων 530 ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(79)

ΛΟΓΟΣ ΙΒ.

[1]Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.

"ΟΠΕΡ καὶ ἔμπροσθεν [a]ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι B εἰς τὸν ἠθικὸν συνεχῶς ἐκβαίνει λόγον, [b]οὐχ ὥσπερ ἐν ταῖς

23 Gen. iii. 5. 24 2 Cor. ii. 11. 1 Cap. VI. v. 5.

[1] τὸ δὲ αἴτιον] ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. τοῦτο γὰρ τὸ αἴτιον G. [m] τοῖς om. A.E.F.H.I. [n] πόλεμον G. Statim καὶ φυλάξεται G. καὶ φυλάξαιτο I. ῥᾳδίως om. B. [o] τῷ Ἰὼβ B.G. [p] ἐκείνην om. G. [q] τὸ] τὸν A.F.G. Mox λόγον pro λέγων G. [r] ἡμέρᾳ] ὥρᾳ I. Statim φάγητε pro φάγοιτε A.B.D.E.G.H.I. [s] φράττου om. G. Mox κατάμαθε idem. Hom. XII. [a] ἔφθην εἰπὼν] εἶπον E. [b] οὐχ] πλὴν οὐχ E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλαις ἐπιστολαῖς, [c]εἰς δύο διαιρῶν αὐτὰς, [d]τὸ μὲν πρῶτον τοῖς δόγμασιν ἀφορίζει, [e]τὸ δὲ ἕτερον τῇ τῶν ἠθῶν [f]ἐπιμελείᾳ. Ἀλλ' οὐκ ἐνταῦθα οὕτως, ἀλλὰ δι' ὅλης αὐτῆς [g]ἀναμὶξ τοῦτο ποιεῖ, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον. Δύο τοίνυν ἐνταῦθα νεκρώσεις [h]εἶναί φησι, καὶ θανάτους δύο· καὶ τὴν μὲν C [i]ὑπὸ Χριστοῦ γεγενῆσθαι ἐν τῷ βαπτίσματι, τὴν δὲ ὑφ' ἡμῶν ὀφείλειν [k]γίνεσθαι διὰ τῆς μετὰ ταῦτα σπουδῆς. Τὸ μὲν γὰρ ταφῆναι τὰ πρότερα ἁμαρτήματα, τῆς αὐτοῦ γέγονε δωρεᾶς· τὸ δὲ μετὰ τὸ βάπτισμα μεῖναι νεκροὺς τῇ ἁμαρτίᾳ, τῆς ἡμετέρας δεῖ γενέσθαι ἔργον σπουδῆς, εἰ καὶ τὰ μάλιστα πολλὰ καὶ ἐνταῦθα τὸν θεὸν ὁρῶμεν βοηθοῦντα ἡμῖν. Οὐ γὰρ δὴ τοῦτο ἰσχύει τὸ βάπτισμα μόνον τὸ τὰ πρότερα ἀφανίσαι πλημμελήματα, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. Ὥσπερ οὖν [l]ἐν ἐκείνοις τὴν πίστιν εἰσήνεγκας, ἵνα ἀφανισθῇ· οὕτω καὶ ἐν τοῖς μετὰ ταῦτα τῆς προθυμίας ἐπίδειξαι τὴν μετα- D βολήν, ἵνα μὴ πάλιν σαυτὸν καταρρυπάνῃς. Ταῦτα [m]γὰρ καὶ τὰ τοιαῦτα συμβουλεύων φησίν· "Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα." Εἶδες πῶς ἐπῆρε τὸν ἀκροατὴν, πρὸς τὸν δεσπότην [n]αὐτὸν εὐθέως ἀναγαγὼν τὸν αὐτοῦ, καὶ πολλὴν δείξαι σπουδάσας τὴν ὁμοιότητα; Διὰ τοῦτο [o]οὐδὲ εἶπε, θανάτῳ, ἵνα μὴ ἀντείπῃς, ἀλλ', "ὁμοιώματι θανάτου" οὐ γὰρ ἡ οὐσία [p]αὐτὴ ἀπέθανεν, ἀλλ' ὁ ἐξ ἁμαρτιῶν ἄνθρωπος, τουτέστιν, ἡ κακία. Καὶ οὐκ εἶπεν, εἰ γὰρ ἐκοινωνήσαμεν τῷ ὁμοιώματι τοῦ θανάτου· ἀλλὰ τί; "Εἰ γὰρ σύμφυτοι γεγόναμεν," τῷ τῆς φυτείας ὀνόματι τὸν ἐκ ταύτης καρπὸν ἡμῖν αἰνιξά- E μενος. Καθάπερ γὰρ τὸ σῶμα αὐτοῦ ταφὲν ἐν τῇ γῇ, καρπὸν τῆς οἰκουμένης τὴν σωτηρίαν ἤνεγκεν· οὕτω καὶ τὸ ἡμέτερον ταφὲν ἐν τῷ βαπτίσματι, καρπὸν ἤνεγκε τὴν δικαιοσύνην, τὸν ἁγιασμὸν, τὴν υἱοθεσίαν, τὰ μυρία ἀγαθά· [q]οἴσει δὲ καὶ τὸ τῆς ἀναστάσεως ὕστερον δῶρον. Ἐπεὶ οὖν ἡμεῖς μὲν ἐν ὕδατι, αὐτὸς δὲ ἐν γῇ, καὶ ἡμεῖς μὲν κατὰ τὸν τῆς ἁμαρτίας λόγον, ἐκεῖνος δὲ κατὰ [r]τὸν τοῦ σώματος ἐτάφη, διὰ τοῦτο οὐκ εἶπε,

[c] εἰς δύο δ. αὐτὰς pro δ. αὐτὰς εἰς δύο omnes. [d] τὸ] τὸν A.D.E.F.H. καὶ τὸν B.I. Mox ἀφορίζων I. et ex corr. B. [e] τὸ] τὸν A.B.D.E.F.H.I. Statim δεύτερον pro ἕτερον G.H. [f] ἐπιμελείᾳ, οὕτω καὶ ἐνταῦθα· ἀλλὰ E.F. ἐπιμελείᾳ, οὕτω καὶ ἐνταῦθα οὕτως· ἀλλὰ D. [g] ἀναμίξας A.E.I. [h] εἶναί φησι A.B.D.E.F.H.I. φησὶν εἶναι G. εἶναι aberat. [i] ὑπὸ τοῦ Χρ. A.E.F. H.I. [k] γενέσθαι A.E.H. [l] ἐν om. G. Mox εἰσήνεγκες idem. [m] γὰρ] δὲ E. [n] αὐτὸν εὐθέως pro εὐθέως αὐτὸν A.B.D.E.F.H. αὐτὸν om. G. Statim ἀνάγων A.G.H. [o] οὐδὲ] οὐκ H. [p] αὕτη Edd. ἴσ. αὐτὴ Sav. marg. αὐτὴ est in nostris omnibus. [q] οἴσει] εἴση G. Mox ὕστερον om. B. [r] τὸν τ. σ. ἐτάφη] τὴν τ. σ. ταφὴν G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σύμφυτοι [s]τῷ θανάτῳ, ἀλλὰ, " τῷ ὁμοιώματι τοῦ [t]θανάτου." Θάνατος [v]μὲν γὰρ καὶ τοῦτο καὶ ἐκεῖνο, ἀλλ' οὐ τοῦ αὐτοῦ ὑποκειμένου. Εἰ τοίνυν, φησὶν, ἐν τῷ θανάτῳ ἐγενόμεθα σύμφυτοι, " καὶ τῆς ἀναστάσεως ἐσόμεθα·" ἀνάστασιν ἐνταῦθα τὴν μέλλουσαν λέγων. Ἐπειδὴ γὰρ ἀνωτέρω περὶ θανάτου διαλεχθεὶς καὶ εἰπὼν, " [x]Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;" οὐδὲν περὶ ἀναστάσεως διελέχθη σαφῶς, ἀλλὰ [w]περὶ πολιτείας τῆς μετὰ τὸ βάπτισμα, κελεύσας ἐν καινότητι ζωῆς περιπατῆσαι· διὰ τοῦτο ἐνταῦθα τὸν αὐτὸν ἀναλαβὼν λόγον, ἐκείνην [x]ἡμῖν λοιπὸν προαναφωνεῖ τὴν ἀνάστασιν. Καὶ ἵνα μάθῃς, ὅτι οὐ περὶ ταύτης φησὶ τῆς ἐκ τοῦ βαπτίσματος, ἀλλὰ περὶ ἐκείνης· [y]εἰπὼν, " Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ," οὐκ εἶπεν, ὅτι [z]καὶ τοῦ ὁμοιώματος τῆς ἀναστάσεως ἐσόμεθα, [a]ἀλλὰ, " τῆς ἀναστάσεως." Ἵνα γὰρ μὴ λέγῃς, καὶ πῶς, [b]εἰ μὴ ἀπεθάνομεν ὡς ἀπέθανεν, ἀναστησόμεθα ὡς ἀνέστη; ἡνίκα μὲν τοῦ θανάτου [c]ἐμνημόνευσεν, οὐκ εἶπε, σύμφυτοι τῷ θανάτῳ, ἀλλὰ, " τῷ ὁμοιώματι τοῦ θανάτου·" ἡνίκα δὲ τῆς ἀναστάσεως, [d]οὐκέτι εἶπε, τῷ ὁμοιώματι τῆς ἀναστάσεως, ἀλλ', αὐτῆς τῆς ἀναστάσεως ἐσόμεθα. Καὶ οὐκ εἶπε, γεγόναμεν, ἀλλ', " ἐσόμεθα," καὶ τούτῳ [e]πάλιν τῷ ῥήματι δηλῶν ἐκείνην τὴν οὐδέπω γεγενημένην ἀνάστασιν, ἀλλὰ [f]μέλλουσαν. 53 1 B

(80) Εἶτα βουλόμενος ἀξιόπιστον ποιῆσαι τὸν λόγον, δείκνυσιν ἑτέραν ἀνάστασιν ἐνταῦθα [g]γενομένην πρὸ ἐκείνης, ἵνα ἀπὸ τῆς παρούσης καὶ τῇ μελλούσῃ πιστεύσῃς. Εἰπὼν γὰρ, ὅτι σύμφυτοι ἐσόμεθα τῆς ἀναστάσεως, ἐπήγαγε· [2]" Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας·" [h]ὁμοῦ καὶ αἰτίαν καὶ ἀπόδειξιν τῆς μελλούσης τιθεὶς ἀναστάσεως. Καὶ οὐκ εἶπεν, ἐσταύρωται, C

2 v. 6.

[s] τοῦ θανάτου G. [t] θανάτου]+αὐτοῦ B. [v] μὲν om. H. [w] περὶ om. I. [x] ἡμῶν A.E.F.H. ὑμῶν ex corr. I. [y] εἰπὼν, εἰ γὰρ σ.] Sic B.D.F.G.H.I. εἰπὼν γὰρ σ. E. εἰπὼν εἰ γὰρ σ. (sic) A. Edebatur εἰπὼν γὰρ, εἰ σ. [z] καὶ accessit ex A.B.D.E.F.H.I. Statim τῷ ὁμοιώματι I. [a] ἀλλὰ τῆς ἀ.] Sic A.B.E.F.H.I. ἀλλὰ ἁπλῶς τῆς ἀ. D. ἀλλὰ καὶ τῆς ἀ. Edd. Pro his verbis plane diversa, ἀλλὰ τοῦ ὁμοιώματος τοῦ θ. ἐσόμεθα habet G. [b] εἰ καὶ μὴ I. Statim ἀποθάνωμεν G. ἀπεθάνωμεν E.H. [c] ἐμνημόνευεν B. [d] οὐκ εἶπε E. receptum a Montef. τῷ ante ὁμ. om. G. οὐ τῷ ὁμ. φησὶ, τῆς ἀ. ἀλλὰ τῆς ἀ. ἐσόμεθα. καὶ τούτῳ κ. τ. ἑ. I. [e] πάλιν τῷ ῥ. δηλῶν A.B.D.E.F.H.I. τῷ ῥ. πάλιν δηλῶν G. πάλιν δηλῶν τῷ ῥ. Edd. [f] μένουσαν F. [g] γεγενημένην G. [h] Haec ὁμοῦ καὶ——τὸ σῶμα τῆς ἁμαρτίας desunt in I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ, " συνεσταύρωται," ἐγγὺς [i]ἄγων τὸ βάπτισμα τῷ σταυρῷ. [k]Διὸ καὶ ἀνωτέρω ἔλεγε, " Σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ γεγόναμεν." " Ἵνα καταργηθῇ τὸ σῶμα [l]τῆς ἁμαρτίας," οὐ [m]τὸ σῶμα τοῦτο οὕτω καλῶν, ἀλλὰ τὴν πονη-
D ρίαν ἅπασαν. Ὥσπερ γὰρ [n]ἄνθρωπον παλαιὸν λέγει τὴν ὁλόκληρον κακίαν, οὕτω καὶ [o]σῶμα τοῦ ἀνθρώπου ἐκείνου τὴν ἀπὸ [p]διαφόρων μερῶν πονηρίας συγκειμένην πάλιν κακίαν. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, [q]αὐτοῦ τοῦ Παύλου [r]τοῦτο αὐτὸ διὰ τῶν ἑξῆς [s]ἑρμηνεύοντος ἄκουσον. Εἰπὼν γὰρ, " ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας," ἐπήγαγε· " Τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ." Ταύτῃ γὰρ αὐτὸ εἶναι βούλομαι νεκρὸν, οὐχ ὥστε ἀφανισθῆναι καὶ ἀποθανεῖν, ἀλλ' ὥστε μὴ ἁμαρτάνειν. Καὶ προϊὼν ἔτι σαφέστερον αὐτὸ ποιεῖ. [3]" Ὁ
E γὰρ ἀποθανὼν, φησὶ, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας." Περὶ παντὸς ἀνθρώπου τοῦτό φησιν, ὅτι ὥσπερ ὁ ἀποθανὼν ἀπήλλακται [t]τοῦ λοιπὸν ἁμαρτάνειν, νεκρὸς κείμενος, οὕτω καὶ [v]τὸν ἀναβάντα ἀπὸ τοῦ [w]βαπτίσματος, ἐπειδήπερ ἅπαξ ἀπέθανεν ἐκεῖ, νεκρὸν δεῖ μένειν διαπαντὸς τῇ ἁμαρτίᾳ. Εἰ τοίνυν ἀπέθανες [x]ἐν τῷ βαπτίσματι, μένε νεκρός· καὶ γὰρ ἕκαστος ἀποθανὼν, οὐκέτι ἁμαρτάνειν [y]δύναιτ' ἄν· εἰ δὲ ἁμαρτάνεις, λυμαίνῃ τοῦ θεοῦ τὴν δωρεάν. Ἀπαιτήσας τοίνυν τοσαύτην ἡμᾶς φιλοσοφίαν, καὶ τὸν στέφανον [z]ἐπάγει ταχέως, λέγων· [4]" Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ." Καίτοι [a]καὶ τοῦτο πρὸ τοῦ στεφάνου [b]μέγιστος στέφανος, [c]τὸ κοινωνῆσαι τῷ δεσπότῃ· πλὴν ἀλλὰ καὶ
552 ἕτερον [d]δίδωμι, φησὶν, ἔπαθλον. Ποῖον δὴ τοῦτο; Τὴν [e]αἰώνιον ζωήν. " Πιστεύομεν γὰρ, [f]φησὶν, ὅτι καὶ συζήσομεν αὐτῷ." Καὶ πόθεν τοῦτο δῆλον; [5]" Ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει." Καὶ σκόπει πάλιν αὐτοῦ τὴν

[3] v. 7. [4] v. 8. [5] v. 9.

[i] ἀγαγὼν A.F.H. [k] διὸ καὶ ἀν. ἔλεγε om. A.E.F.H. [l] τῆς ἁμαρτίας om. G. [m] τὸ σῶμα om. G. οὕτω om. B. [n] ἄνθ. π. pro π. ἄνθ. omnes. [o] τὸ σῶμα Edd. τὸ deest in omnibus. Post σῶμα add. ἁμαρτίας E. [p] τῶν διαφ. Edd. τῶν abest ab omnibus. Statim μερῶν πονηρίαν A. et a pr. man. B. (μερῶν eras.) πονηριῶν ex corr. B. πονηρίας om. D.E. Post κακίαν add. φησὶ E. [q] αὐτοῦ pro ἀπὸ B.D.E.F.G.H.I. ἄκουσον αὐτοῦ (et mox om. ἄκουσον) A. [r] τοῦτο om. I. αὐτὸ om. A.E.F.H.I. [s] ἑρμηνεύοντος (—όντων H.) pro ἑρμηνεύσαντος omnes. [t] τοῦ λοιπὸν ἁμ. A.B.D.F.I. τοῦ λοιποῦ ἁμ. E.H. τοῦ λοιποῦ μὴ ἁμ. G. τὸ λοιπὸν τοῦ ἁμ. Edd. [v] τὸν ἀναβάντα (ἀναστάντα H.) pro ὁ ἀναβὰς omnes. [w] βαπτίσματος, ἐπειδήπερ pro βαπτίσματος. ἐπειδὴ γὰρ A.B.D.E.F.H.I. [x] ἐν om. B. [y] δύναιτ' ἄν] δύναται G. [z] ἐπάγει ταχ. pro ταχ. ἐπήγαγε omnes. [a] καὶ τοῦτο] πρὸ τοῦτο (sic) καὶ G. [b] μεγίστου H. [c] τὸ] τῷ F.H. [d] δίδωμί σοι Edd. σοι deest in omnibus. [e] αἰωνίαν G. [f] φησὶν om. I. [g] εἰδότες ὅτι Edd. εἰδότες deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιλονεικίαν, [h]καὶ πῶς ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει. Ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας θορυβεῖσθαι διὰ τὸν σταυρὸν καὶ τὸν θάνατον, δείκνυσιν ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν λοιπόν. [i]Μὴ γὰρ, ἐπειδὴ ἅπαξ ἀπέθανε, φησὶ, νομίσῃς αὐτὸν θνητὸν εἶναι· καὶ γὰρ διὰ τοῦτο αὐτὸ ἀθάνατος μένει. Θανάτου γὰρ θάνατος ὁ θάνατος αὐτοῦ γέγονε· καὶ ἐπειδὴ ἀπέθανε, B [k]διὰ τοῦτο οὐκ ἀποθνήσκει· καὶ γὰρ ἐκεῖνον τὸν θάνατον [6]"Τῇ ἁμαρτίᾳ ἀπέθανε." Τί ἐστι, "τῇ ἁμαρτίᾳ;" Τουτέστιν, οὐδὲ ἐκείνῳ ὑπεύθυνος [l]ἦν, ἀλλὰ διὰ τὴν ἁμαρτίαν τὴν ἡμετέραν, [m]ἵνα αὐτὴν ἀνέλῃ, καὶ ἐκκόψῃ τὰ νεῦρα αὐτῆς καὶ τὴν δύναμιν ἅπασαν, διὰ τοῦτο ἀπέθανεν. Εἶδες πῶς ἐφόβησεν; Εἰ γὰρ οὐκ ἀποθνήσκει δεύτερον, οὐδὲ λουτρόν [n]ἐστι δεύτερον· εἰ δὲ λουτρὸν οὐκ ἔστι δεύτερον, μηδὲ σὺ πρὸς ἁμαρτίαν ἐπιρρεπῶς ἔχε. Ταῦτα γὰρ πάντα λέγει, πρὸς ἐκεῖνο ἱστάμενος τὸ, "[o]Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθὰ," καὶ τὸ, "Ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ." Πρόρριζον C τοίνυν τὴν τοιαύτην ὑπόληψιν ἀναιρῶν, ἅπαντα ταῦτα τίθησιν. "[a]Ὃ δὲ ζῇ, τῷ θεῷ ζῇ," φησί· τουτέστιν, ἀκαταλύτως, ὡς μηκέτι κρατεῖσθαι ὑπὸ τοῦ θανάτου. Εἰ γὰρ καὶ τὸν πρότερον θάνατον οὐχ ὑπεύθυνος ὢν ἀπέθανεν, ἀλλὰ διὰ τὴν ἑτέρων ἁμαρτίαν· πολλῷ μᾶλλον νῦν οὐκ ἀποθανεῖται, καταλύσας αὐτήν. [a]Ὃ καὶ [p]ἐν τῇ πρὸς Ἑβραίους ἔλεγεν· [7]"Ἅπαξ γὰρ, φησὶν, ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. [q]Καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, οὕτω καὶ ὁ Χριστὸς [r]ἅπαξ προσε- D νεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς
(81) ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν." Δείκνυσι δὲ καὶ τῆς κατὰ θεὸν ζωῆς τὴν ἰσχὺν, καὶ τῆς ἁμαρτίας τὴν δύναμιν· τῆς μὲν κατὰ θεὸν [s]ζωῆς, ὅτι οὐκέτι ἀποθανεῖται· τῆς δὲ ἁμαρτίας, ὅτι εἰ τὸν ἀναμάρτητον αὕτη [t]παρεσκεύασεν ἀποθανεῖν, τοὺς ὑπευθύνους ὄντας πῶς οὐκ ἀπολεῖ;

Εἶτα, ἐπειδὴ περὶ τῆς αὐτοῦ ζωῆς διελέχθη, ἵνα μὴ λέγῃ τις, τί οὖν πρὸς ἡμᾶς τὸ εἰρημένον; ἐπήγαγεν· [8]"Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, φησὶ, νεκροὺς μὲν [v]εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας E δὲ τῷ θεῷ." Καλῶς εἶπε, "λογίζεσθε," ἐπειδὴ ὄψει παρα-

[6] v. 10. [7] Heb. ix. 26—28. [8] v. 11.

[h] καὶ om. E. [i] μὴ] μηδὲ G. [k] διὰ] καὶ διὰ A.F.G.H. [l] ἦν] ὢν G. [m] ἵνα γὰρ αὐτὴν Edd. γὰρ om. A.B.F.G.H.I. [n] ἐστι] οὐκ ἔστι A.H.I. Sequentia εἰ δὲ——δεύτερον om. A.E.H.I. et in textu F. [o] ποιήσομεν A. [p] ἐν τῇ om. B. [q] καὶ οὐ καθόσον G. [r] ἅπαξ om. I. [s] ζωῆς]+τὴν ἰσχὺν G. [t] παρεσκεύασεν omnes. παρεσκεύαζεν Edd. [v] εἶναι om. A.F. H.I. Mosq. 8.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βερροίας

στῆσαι τὸ λεγόμενον τέως οὐκ ἔστι. Καὶ τί [w]λογισόμεθα, φησί; "Νεκροὺς μὲν [x]εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν." Ὁ γὰρ οὕτω ζῶν πάσης ἐπιλήψεται ἀρετῆς, αὐτὸν ἔχων σύμμαχον τὸν Ἰησοῦν· τοῦτο γάρ ἐστιν, "ἐν Χριστῷ." Εἰ γὰρ νεκροὺς ὄντας ἀνέστησε, πολλῷ μᾶλλον ζῶντας κατασχεῖν δυνήσεται. [9]"Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ." Οὐκ εἶπε, μὴ οὖν ζήτω ἡ
533 σὰρξ, μηδὲ ἐνεργείτω, ἀλλ', "ἡ ἁμαρτία μὴ βασιλευέτω" οὐ γὰρ τὴν φύσιν ἦλθεν ἀνελεῖν, ἀλλὰ τὴν προαίρεσιν [y]διορθῶσαι. Εἶτα δεικνὺς, ὅτι οὐ βίᾳ καὶ ἀνάγκῃ κατεχόμεθα ὑπὸ τῆς πονηρίας, ἀλλ' ἑκόντες, οὐκ εἶπε, μὴ τυραννείτω, ὅπερ ἀνάγκης ἦν, ἀλλὰ, "μὴ βασιλευέτω." Καὶ γὰρ ἄτοπον εἰς βασιλείαν ἀγομένους [z]οὐρανῶν, βασιλίδα τὴν ἁμαρτίαν ἔχειν, καὶ καλουμένους συμβασιλεῦσαι τῷ Χριστῷ, αἱρεῖσθαι [a]γίνεσθαι τῆς ἁμαρτίας αἰχμαλώτους· ὥσπερ ἂν εἴ τις τὸ διάδημα ῥίψας ἀπὸ [b]τῆς κεφαλῆς, δαιμονώσῃ γυναικὶ καὶ προσαιτούσῃ καὶ
B ῥάκια περιβεβλημένῃ δουλεύειν [c]ἐθέλοι. Εἶτα, ἐπειδὴ βαρὺ τὸ περιγενέσθαι ἁμαρτίας, ὅρα πῶς καὶ κοῦφον ἔδειξε, καὶ τὸν πόνον παρεμυθήσατο εἰπών, "ἐν τῷ θνητῷ ὑμῶν σώματι." [d]Τοῦτο γὰρ δείκνυσι προσκαίρους ὄντας τοὺς ἀγῶνας, καὶ ταχέως καταλυομένους· ὁμοῦ δὲ καὶ τῶν προτέρων ἡμᾶς ἀναμιμνήσκει κακῶν, καὶ τῆς τοῦ θανάτου ῥίζης· ἐντεῦθεν γὰρ καὶ παρὰ τὴν ἀρχὴν θνητὸν γέγονεν. Ἀλλ' ἔξεστι καὶ θνητὸν ἔχοντα σῶμα, μὴ ἁμαρτάνειν. Εἶδες τὴν περιουσίαν τῆς τοῦ Χριστοῦ χάριτος; Ὁ μὲν γὰρ Ἀδὰμ οὐδέπω θνητὸν ἔχων, [e]ὤλισθε· σὺ δὲ καὶ [f]θανάτῳ λαβὼν ὑπεύθυνον ὄν, στεφανωθῆναι
C δυνήσῃ. Καὶ πῶς βασιλεύει, φησὶν, [g]ἡ ἁμαρτία; Οὐκ ἀπὸ τῆς οἰκείας [h]δυνάμεως, ἀλλ' ἀπὸ τῆς σῆς ῥᾳθυμίας. Διὰ τοῦτο εἰπὼν, "μὴ βασιλευέτω," καὶ τὸν τρόπον [i]δείκνυσι τῆς τοιαύτης βασιλείας, ἐπάγων [k]καὶ λέγων, "εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ." Οὐ γάρ ἐστι τιμὴ [l]τὸ μετ' ἐξουσίας αὐτῷ πάντα χαρίζεσθαι, ἀλλ' ἐσχάτη δουλεία καὶ ἀτιμίας ἐπίτασις. Ὅταν γὰρ ἃ [m]βούλεται πράττῃ, τότε ἐλευθερίας

[9] v. 12.

[w] λογιζόμεθα Edd. ἴσ. λογισόμεθα Sav. marg. λογισόμεθα est in nostris omnibus. [x] εἶναι om. G. [y] διορθώσασθαι A.E.F.H.I. [z] τῶν οὐρανῶν Edd. τῶν om. A.E.F.G.H.I. [a] γίνεσθαι pro γενέσθαι A.E.F.G.H.I. [b] τῆς]+ἑαυτοῦ I. [c] ἐθέλει A.I. ἐθέλῃ H. [d] τούτῳ A.H. [e] ὠλίσθησεν G. [f] θανάτῳ A.B.D.E.F.G.I. θανάτου Edd. Mox ὂν om. A.E.F.H.I. [g] ἡ om. G. [h] δυνάμεως] φύσεως I. [i] τῆς τοιαύτης δείκνυσι inverso ord. B.F.H. [k] καὶ λέγων om. G. [l] τὸ] τῷ F.H. Mox πάντα om. G. [m] βούληται F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑστέρηται πάσης· [n]ὅταν δὲ κωλύηται, τότε μάλιστα τὴν οἰκείαν ἀξίαν διατηρεῖ.

10 "Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ' ὅπλα δικαιοσύνης." Οὐκοῦν μέσον τὸ σῶμα κακίας D
καὶ ἀρετῆς, καθάπερ οὖν καὶ τὰ ὅπλα· [o]ἑκάτερα δὲ τὰ ἔργα παρὰ τὸν χρώμενον γίνεται· ὥσπερ ἂν εἰ καὶ στρατιώτης ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος, καὶ ληστὴς κατὰ τῶν [p]ἐνοικούντων ὁπλιζόμενος, τοῖς αὐτοῖς [q]φράττοιντο ὅπλοις· οὐ γὰρ τῆς παντευχίας τὸ ἔγκλημα, ἀλλὰ τῶν [r]εἰς κακὸν χρωμένων. [s]Ὁ δὴ καὶ ἐπὶ τῆς σαρκός ἐστιν εἰπεῖν, τοῦτο κἀκεῖνο [s]γινομένης παρὰ τὴν τῆς ψυχῆς γνώμην, οὐ παρὰ τὴν οἰκείαν φύσιν. [t]Ἂν μὲν [t]γὰρ περιεργάσῃ κάλλος ἀλλότριον, ὅπλον ἀδικίας γέγονεν ὁ ὀφθαλμός, οὐ παρὰ τὴν οἰκείαν ἐνέργειαν· [v]ὀφθαλμοῦ γὰρ E
τὸ ὁρᾶν, οὐ τὸ κακῶς ὁρᾶν· ἀλλὰ παρὰ τὴν τοῦ κελεύσαντος λογισμοῦ πονηρίαν· ἂν δὲ χαλινώσῃς αὐτὸν, δικαιοσύνης γέγονεν ὅπλον. Οὕτω καὶ ἐπὶ γλώττης, οὕτω καὶ ἐπὶ χειρῶν καὶ [w]ἐπὶ τῶν ἄλλων ἁπάντων. [x]Καλῶς δὲ τὴν ἁμαρτίαν ἀδικίαν ἐκάλεσεν· ἢ γὰρ ἑαυτόν τις, ἢ τὸν πλησίον ἁμαρτάνων ἀδικεῖ, μᾶλλον δὲ ἑαυτὸν πρὸ τοῦ πλησίον. [y]Ἀπαγαγὼν τοίνυν τῆς πονηρίας, ἄγει πρὸς τὴν ἀρετὴν, λέγων· "Ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας." [z]Ὅρα πῶς ἀπὸ
(82) τῶν ὀνομάτων γυμνῶν προτρέπει, ἐκεῖ μὲν ἁμαρτίαν εἰπὼν, ἐνταῦθα δὲ τὸν θεόν. Δείξας γὰρ ὅσον τὸ μέσον τῶν βασιλευόντων, πάσης συγγνώμης τὸν στρατιώτην ἐξέβαλε, τὸν 534
ἀφέντα μὲν τὸν θεὸν, ἐπιθυμήσαντα δὲ ὑπὸ [z]τῇ τῆς ἁμαρτίας τάττεσθαι βασιλείᾳ. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς τοῦτο κατασκευάζει λέγων, "ὡς ἐκ νεκρῶν ζῶντας." Διὰ γὰρ τούτων δείκνυσι κἀκείνης τὴν λύμην, καὶ τῆς τοῦ θεοῦ δωρεᾶς τὸ μέγεθος. Ἐννοήσατε γὰρ, φησὶ, τίνες ἦτε, καὶ τί γεγόνατε. Τίνες οὖν ἦτε; Νεκροὶ καὶ ἀπολωλότες ἀπώλειαν οὐδαμόθεν διορθωθῆναι δυναμένην· οὐδὲ γὰρ ἦν τις ὁ βοηθῆσαι δυνάμενος. Καὶ τίνες ἐξ ἐκείνων γεγόνατε τῶν νεκρῶν; Ζῶντες ζωὴν ἀθάνατον. [a]Καὶ διὰ τίνος; Διὰ τοῦ [b]πάντα δυναμένου θεοῦ. Οὐκοῦν καὶ ὑπὸ [c]τούτῳ τάττεσθαι δίκαιον μετὰ προθυ- B

10 v. 13.

[n] ὅταν pro ὅτε A.E.F.G.H.I. κωλύηται pro κωλύεται A.E.I. [o] ἑκάτερα δὲ τὰ ἔργα om. G. [p] οἰκούντων G. [q] φράττοιτο G.I. [r] εἰς τὸ κακὸν Edd. τὸ om. F.G.I. [s] γενομένης G. [t] γὰρ om. G. [v] ὀφθαλμοῦ γὰρ ——κακῶς ὁρᾶν om. G. Idem mox post πονηρίαν add. οὐχ οὕτως γὰρ ὀφθαλμοῦ τὸ ὁρᾶν. [w] ἐπὶ om. A.E.I. [x] καλῶς] ἄλλως G. [y] ἀπάγων G. [z] τῇ . . . βασιλείᾳ pro τὴν . . . βασιλείαν A.B.D.E.F.I. ὑπὸ τῆς ἁμαρτίας τάττεσθαι βασιλέα G. [a] καὶ om. I. [b] τὰ πάντα A.E.F.H.I. [c] τούτῳ D.E.I. et ex corr. A.B. τοῦτο G. τούτου H. et a pr. man. B. τοῦτον Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μίας τοσαύτης, μεθ' ὅσης εἰκὸς τοὺς ἀπὸ νεκρῶν ζῶντας γενομένους. "Καὶ τὰ μέλη ὑμῶν ὅπλα [d]δικαιοσύνης." Οὐκοῦν οὐ πονηρὸν τὸ σῶμα, εἴγε ὅπλον δικαιοσύνης αὐτὸ γενέσθαι δυνατόν. Ὅπλον δὲ εἰπὼν, ἐδήλωσεν, ὅτι καὶ πόλεμος ἐφέστηκε [e]χαλεπός. Διὸ καὶ παντευχίας ἡμῖν δεῖ ἰσχυρᾶς, καὶ γνώμης γενναίας καὶ τὰ τῶν πολέμων τούτων [f]ἐπισταμένης καλῶς, καὶ πρό γε πάντων στρατηγοῦ. Ἀλλ' ὁ μὲν στρατηγὸς παρέστηκεν, ἀεὶ πρὸς συμμαχίαν ἕτοιμος ὤν, καὶ ἀχείρωτος μένων, C καὶ τὰ ὅπλα δὲ [g]ἰσχυρὰ κατεσκεύασεν ἡμῖν· δεῖ δὲ λοιπὸν προαιρέσεως τῆς εἰς δέον αὐτὰ μεταχειριζομένης, ὥστε καὶ τῷ στρατηγῷ πείθεσθαι, [h]καὶ τὰ ὅπλα ὑπὲρ τῆς πατρίδος τίθεσθαι.

Παρακελευσάμενος τοίνυν ἡμῖν οὕτω μεγάλα, καὶ ὅπλων καὶ μάχης καὶ πολέμων ἀναμνήσας, ὅρα πῶς πάλιν [i]θαρρύνει τὸν στρατιώτην, καὶ ἀλείφει τὴν προθυμίαν, λέγων· 11 "[k]Ἁμαρτία γὰρ ὑμῶν [k]οὐκέτι κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, [l]ἀλλὰ ὑπὸ χάριν." Εἰ οὖν ἁμαρτία ἡμῶν οὐκέτι [m]κυριεύει, τίνος ἕνεκεν τοσαῦτα [n]παρεγγυᾷς, λέγων, "Μὴ βασιλευέτω [o]ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι·" καὶ, "Μὴ παριστάνετε τὰ μέλη D ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ;" Τί οὖν ἐστι τὸ λεγόμενον; [p]Σπερματικόν τινα [q]προκαταβάλλεται λόγον ἐνταῦθα, ὃν ὕστερον ἀναπτύσσειν μέλλει, καὶ μετὰ πολλῆς ἐργάζεσθαι [r]τῆς κατασκευῆς. Τίς οὖν ἐστιν οὗτος ὁ λόγος; Τὸ σῶμα ἡμῶν πρὸ μὲν τῆς τοῦ Χριστοῦ παρουσίας [s]εὐχείρωτον ἦν τῇ ἁμαρτίᾳ. Μετὰ γὰρ τὸν θάνατον καὶ [t]πολὺς παθῶν ἐπεισῆλθεν ἐσμός· διόπερ οὐδὲ σφόδρα κοῦφον ἦν πρὸς τὸν ὑπὲρ τῆς [v]ἀρετῆς δρόμον. Οὔτε γὰρ [w]πνεῦμα παρῆν τὸ βοηθοῦν, οὔτε βάπτισμα τὸ νεκρῶσαι δυνάμενον· ἀλλ' ὥσπερ τις ἵππος δυσή- E νιος, ἔτρεχε [x]μὲν, διημάρτανε δὲ πολλάκις, τοῦ νόμου τὰ πρακτέα καὶ τὰ μὴ τοιαῦτα διαγορεύοντος μὲν, πλέον δὲ οὐδὲν τῆς διὰ τῶν ῥημάτων παραινέσεως τοῖς ἀγωνιζομένοις εἰσφέροντος. Ἐπειδὴ δὲ ὁ Χριστὸς παραγέγονε, τὰ παλαίσματα λοιπὸν εὐκολώτερα γέγονε. Διὸ καὶ μείζονα ἡμῖν προετέθη [y]τὰ σκάμ-

11 v. 14.

[d] *δικαιοσύνης*]+*τῷ θεῷ* Sav. Mor. Ben. *τῷ θεῷ* om. A.B.D.E.F.G.H. Mosqq. [e] *χαλεπὸς*] *δυνατὸς* E. [f] *ἐπισταμένους* G. [g] *τὰ ἰσχυρὰ* Edd. *τὰ* deest in omnibus. [h] *καὶ τὰ ὅπλα——τίθεσθαι* om. G. Mox *οὕτω μεγάλα* om. idem. [i] *παραθαρρύνει* I. Mox *τῇ προθυμίᾳ* idem. [k] *οὐκέτι*] *οὐ* G. Mosq. 3. [l] *ἀλλ' ὑπὸ* A.E.H.I. [m] *κυριεύσει* F. [n] *παρεγγυᾷς* omnes. *παρεγγυᾷ* Edd. [o] *ἡ* accessit ex omnibus. [p] *σπερματικῶς* A.F. G.H.I. [q] *προκαταβάλλεται* A.D.E.F.G.H.I. *καταβάλλεται* Edd. [r] *τῆς* om. G. [s] *εὐχείριστον* G. [t] *πολὺς παθῶν*] *ὁ πολὺς τῶν παθῶν* B.D.E. [v] *ἀρετῆς*] *ἁμαρτίας* G. [w] *τὸ πνεῦμα* I. [x] *μὲν* om. G. Mox *οὐδὲν* om. E. [y] *τὰ* om. A.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ματα, ἅτε μείζονος μετεσχηκόσι τῆς βοηθείας. Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· [12] "Ἐὰν μὴ [z] περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν." Ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, [a] τέως δὲ αὐτὸ αἰνίττεται διὰ βραχέων ἐνταῦθα, δεικνὺς ὅτι ἐὰν μὴ σφόδρα ἑαυτοὺς ὑποκατακλίνωμεν, οὐ περιέσται ἡμῶν [b] ἡ ἁμαρτία. Οὐ γάρ ἐστι νόμος [c] ὁ κελεύων μόνον, 535
ἀλλὰ καὶ χάρις [d] ἡ καὶ τὰ πρότερα ἀφεῖσα, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλιζομένη. Ἐκεῖνος μὲν γὰρ [e] μετὰ τοὺς πόνους τοὺς στεφάνους [f] ἐπηγγέλλετο· αὕτη δὲ πρότερον ἐστεφάνωσε, καὶ τότε εἰς τοὺς ἀγῶνας εἵλκυσεν. Ἐμοὶ [g] δὲ δοκεῖ οὐδὲ πάντα τὸν βίον τοῦ πιστοῦ ἐνταῦθα αἰνίττεσθαι, ἀλλὰ σύγκρισιν βαπτίσματος ποιεῖσθαι καὶ [h] νόμου· ὅπερ καὶ ἀλλαχοῦ φησιν, ὅτι [13] "Τὸ μὲν γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ." Ὁ μὲν γὰρ νόμος ἐλέγχει τὴν παράβασιν, ἡ δὲ χάρις λύει [i] τὴν B
παράβασιν. Ὥσπερ [k] οὖν ἐκεῖνος ἐλέγχων συνίστησι τὴν ἁμαρτίαν, οὕτως αὕτη συγχωροῦσα οὐκ ἀφίησιν εἶναι ὑπὸ ἁμαρτίαν· ὥστε διπλῆ τῆς τυραννίδος εἶ ταύτης ἀπηλλαγμένος, τῷ τε [l] μὴ ὑπὸ νόμον εἶναι, καὶ τῷ χάριτος ἀπολελαυκέναι.

Ἐπειδὴ [m] τοίνυν τούτοις ἀναπνεῦσαι πεποίηκε τὸν ἀκροατὴν,
(83) ἀσφαλίζεται [n] πάλιν αὐτὸν, ἐξ ἀντιθέσεως παραίνεσιν εἰσάγων, καὶ λέγων οὕτω· [14] "Τί οὖν; [o] ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο." [p] Πρῶτον μὲν γὰρ τῇ ἀπαγορεύσει, διὰ τὸ σφόδρα ἄτοπον εἶναι τὸ λεγόμενον, κέ- C
χρηται· ἔπειτα δὲ καὶ εἰς παραίνεσιν [q] ἐξάγει τὸν λόγον, καὶ δείκνυσι πολλὴν οὖσαν τὴν εὐκολίαν τῶν ἀγώνων, οὕτω λέγων· [15] "Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;" Οὔπω λέγω τὴν γέενναν, φησὶν, οὐδὲ τὴν [r] πολλὴν ἐκείνην κόλασιν, ἀλλὰ τὴν ἐνταῦθα αἰσχύνην, ὅταν δοῦλοι [s] γίνησθε, καὶ ἑκόντες δοῦλοι, καὶ ἁμαρτίας δοῦλοι, καὶ ἐπὶ τοιούτῳ μισθῷ, ὥστε πάλιν ἀποθανεῖν. Εἰ γὰρ πρὸ τοῦ βαπτίσματος θάνατον εἰργάσατο σωματικὸν, καὶ D

12 Matth. v. 20. 13 2 Cor. iii. 6. 14 v. 15. 15 v. 16.

[z] περισσεύσῃ pro περισσεύῃ A.E.F.G.H.I. [a] τέως] πῶς G. [b] ἡ om. A.E.H.I. [c] ὁ om. A.E. [d] ἡ om. A.E.F.H.I. Mox ἀφεῖσα E. [e] τοὺς στ. μετὰ τοὺς π. inverso ord. A.F.H.I. [f] ἐπηγγέλλετο B.D.E.G. ἐπηγγείλατο I. ἐπήγγελτο Edd. [g] δὲ] μὲν H. [h] νόμου sine artic. omnes. [i] τὴν accessit ex A.E.G.H.I. [k] οὖν om. G. [l] μὴ ὑπὸ νόμον] ὑπὸ νόμον μὴ H.I. ὑπὸ νόμου μὴ F. [m] τοίνυν pro δὲ omnes. [n] πάλιν] λοιπὸν D. [o] ἁμαρτήσωμεν E.H. Mosqq. et ante corr. A. [p] πρῶτον μὲν γὰρ] καὶ πρῶτον μὲν D.E. [q] εἰσάγει A.H.I. [r] πολλὴν] μακρὰν D.E. [s] γένησθε G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοσαύτης ἐδεήθη τῆς θεραπείας τὸ ἕλκος, ὥστε τὸν δεσπότην ἁπάντων εἰς θάνατον [t]κατελθεῖν, καὶ οὕτω λῦσαι τὸ κακὸν, μετὰ [v]τὴν τοσαύτην δωρεὰν καὶ ἐλευθερίαν λαμβάνουσά σε ἑκόντα [w]αὐτῇ πάλιν [x]ὑποκατακλινόμενον, τί οὐκ ἐργάσεται; Μὴ τοίνυν ἐπὶ τοσοῦτον δράμῃς βάραθρον, μηδὲ ἑκὼν σεαυτὸν προδῷς. Ἐπὶ μὲν γὰρ [y]τῶν πολέμων καὶ ἄκοντες παραδίδονται [z]πολλάκις οἱ στρατιῶται· ἐνταῦθα δὲ [a]ἂν μὴ αὐτὸς αὐτομολήσῃς, οὐδείς σου περιέσται. Ἐντρέψας τοίνυν ἀπὸ τοῦ πρέ-
Ε ποντος, φοβεῖ καὶ ἀπὸ τῶν ἐπάθλων, καὶ τίθησιν ἀμφοτέρων τὰ ἐπίχειρα, δικαιοσύνην καὶ θάνατον· [b]θάνατον οὐ τοιοῦτον, ἀλλὰ πολλῷ χαλεπώτερον. Εἰ γὰρ οὐκέτι ἀποθανεῖται Χριστὸς, τίς λύσει τὸν θάνατον [c]ἐκεῖνον; Οὐδείς. Οὐκοῦν ἀνάγκη διόλου κολάζεσθαι καὶ τιμωρεῖσθαι. Οὐκέτι γὰρ [d]οὐδὲ θάνατος παραγίνεται αἰσθητὸς, καθάπερ ἐνταῦθα, ἀναπαύων τὸ σῶμα, καὶ τῆς ψυχῆς διαιρῶν· 16 "Ἔσχατος γὰρ ἐχθρὸς [e]καταργεῖται ὁ θάνατος." Ὅθεν ἀθάνατος ἔσται ἡ κόλασις, ἀλλ' οὐχὶ τοῖς [f]ὑπακούουσιν· ἀλλὰ δικαιοσύνη, καὶ τὰ ἐκ ταύτης [g]βλαστάνοντα ἀγαθὰ, ἔσται τὰ ἔπαθλα.

17 "Χάρις δὲ τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς." Ἐν-
536 τρέψας ἀπὸ τῆς δουλείας, φοβήσας ἀπὸ τῶν ἐπάθλων καὶ προτρέψας, ἀνορθοῖ πάλιν [h]αὐτοὺς ἀπὸ τῆς μνήμης τῶν εὐεργεσιῶν. Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι [i]τε μεγάλων ἀπηλλάγησαν κακῶν, καὶ ὅτι οὐκ ἐξ οἰκείων πόνων, καὶ ὅτι τὰ μέλλοντα εὐκολώτερα. Καθάπερ γάρ τις ὠμοῦ τυράννου τὸν αἰχμάλωτον ἐξελόμενος, καὶ παραινῶν μὴ παλινδρομῆσαι πρὸς αὐτὸν, ἀναμιμνήσκει τῆς χαλεπῆς αὐτοῦ τυραννίδος· οὕτω καὶ ὁ Παῦλος ἐμφαντικώτατα [k]τὰ παρελθόντα ἐνδείκνυται κακὰ διὰ τοῦ εὐχαριστεῖν τῷ θεῷ. Οὐδὲ γὰρ ἀνθρωπίνης ἰσχύος [l]ἦν, φησὶν,
Β ἐκείνων ἡμᾶς ἀπαλλάξαι πάντων, ἀλλὰ τῷ θεῷ [m]χάρις τῷ τοσαῦτα καὶ βουληθέντι καὶ δυνηθέντι. Καὶ καλῶς εἶπεν, "ὑπηκούσατε ἐκ καρδίας·" οὐδὲ γὰρ ἠναγκάσθητε [n]οὐδὲ ἐβιά-

16 1 Cor. xv. 26. 17 v. 17.

[t] ἐλθεῖν D.E. [v] τὴν om. B.G. [w] αὐτῇ (αὐτὴ F.) pro αὖτη omnes. [x] ὑποκατακλ. pro ὑποκατακρ. omnes. Ita post Savilii conjecturam ediderat Montef. Statim τί οὐκ ἂν ἐργάσηται G. [y] τῶν] +ἔξω D.E. [z] πολλάκις οἱ om. I. πολλάκις παραδίδονται στρατιῶται A.F.H. [a] ἐὰν A.E.H.I. [b] θάνατον δὲ Edd. δὲ om. A.B.D.E.F.H.I. θάνατον δὲ om. G. [c] ἐκεῖνον om. G. [d] οὐδὲ] οὐ I. [e] καταργεῖται. ὁ θάνατος οὖν ἔσται ἡ κ. G. [f] ὑπακούουσι θεῷ Edd. θεῷ om. A.F.G.H.I. [g] βλαστάνοντα om. B. [h] αὐτοὺς post εὐεργεσιῶν vulgo legitur, repugnantibus libris. [i] τε accessit ex omnibus. [k] τὰ, quod aberat ante Montef. est in A.B.E.F.G.H.I. ἐμφατ. F.G. [l] ἦν om. G. [m] χάρις τῷ] εὐχαριστῶ G. [n] οὐδὲ ἐβιάσθητε om. G. Mox ἑκόντες καὶ μετὰ idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθητε, ἀλλ' ἑκόντες μετὰ προθυμίας [o]ἀπέστητε. Τοῦτο δὲ καὶ ἐγκωμιάζοντός ἐστιν ὁμοῦ, καὶ καθαπτομένου. Οἱ γὰρ ἑκόντες προσελθόντες, καὶ μηδεμίαν ὑπομείναντες ἀνάγκην, ποίαν ἂν σχοίητε συγγνώμην, [p]τίνα δὲ ἀπολογίαν ἐπὶ τὰ πρότερα παλινδρομοῦντες; Εἶτα ἵνα μάθῃς, ὅτι οὐ τῆς αὐτῶν εὐγνωμοσύνης μόνον, ἀλλὰ καὶ τῆς τοῦ θεοῦ χάριτος [q]τὸ πᾶν γέγονεν, εἰπών, "ὑπηκούσατε ἐκ [r]καρδίας," ἐπήγαγεν, "εἰς ὃν παρεδόθητε τύπον διδαχῆς." Ἡ μὲν γὰρ ὑπακοὴ [s]ἡ ἐκ καρδίας τὸ C αὐτεξούσιον δηλοῖ, τὸ δὲ παραδοθῆναι, [t]τὴν τοῦ θεοῦ βοήθειαν αἰνίττεται. [v]Τίς δὲ ὁ τύπος τῆς διδαχῆς; Ὀρθῶς ζῆν καὶ μετὰ πολιτείας ἀρίστης. 18"Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, [w]ἐδουλώθητε τῇ δικαιοσύνῃ." Δύο ἐνταῦθα δείκνυσι τοῦ θεοῦ δωρεάς, τό τε ἁμαρτίας ἐλευθερῶσαι, καὶ τὸ δουλῶσαι τῇ δικαιοσύνῃ, [x]ὅπερ ἐλευθερίας ἁπάσης ἄμεινόν ἐστι. Καὶ γὰρ ταὐτὸν πεποίηκεν ὁ θεὸς, οἷον ἂν [y]εἴ τις παῖδα ὀρφανὸν λαβὼν [z]ὑπὸ βαρβάρων εἰς τὴν αὐτῶν ἀπενεχθέντα γῆν, [a]μὴ (84) μόνον τῆς αἰχμαλωσίας ἀπαλλάξειεν, ἀλλὰ καὶ πατέρα [b]αὐτῷ κηδεμονικὸν ἐπιστήσειε, καὶ εἰς μεγίστην ἀξίαν ἀγάγοι. [a]Ὁ δὴ D καὶ ἐφ' ἡμῶν γέγονεν. Οὐ γὰρ μόνον τῶν παλαιῶν κακῶν ἠλευθέρωσεν, ἀλλὰ καὶ [c]εἰς ἀγγελικὸν ἤγαγε βίον, καὶ ὁδὸν ἡμῖν πολιτείας ἔτεμεν [d]ἀρίστης, τῇ τῆς δικαιοσύνης ἀσφαλείᾳ παραδοὺς, καὶ τὰ παλαιὰ ἀποκτείνας κακὰ, καὶ νεκρώσας τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐπὶ [e]τὴν ζωὴν χειραγωγήσας ἡμᾶς τὴν ἀθάνατον.

[f]Μένωμεν τοίνυν [g]ταύτῃ ζῶντες· πολλοὶ γὰρ τῶν δοκούντων ἐμπνεῖν καὶ βαδίζειν, νεκρῶν ἀθλιώτερον διάκεινται. Καὶ γὰρ διάφοροι νεκρότητός εἰσι τρόποι· καὶ ἔστιν εἷς μὲν ὁ τοῦ E σώματος, καθ' ὃν [h]ὁ Ἀβραὰμ νεκρὸς ὢν οὐκ ἦν νεκρός· 19"Ὁ γὰρ θεὸς, φησὶν, οὐκ [i]ἔστι νεκρῶν, ἀλλὰ ζώντων·" ἕτερος [k]ὁ τῆς ψυχῆς, ὃν ὁ Χριστὸς αἰνιττόμενος ἔλεγεν, 20"[l]Ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς·" ἄλλος ὁ καὶ ἐπαι-

18 v. 18. 19 Matth. xxii. 32. 20 Ibid. viii. 22.

[o] ὑπέστητε I. [p] τίνα] ποίαν G. [q] τὸ πᾶν om. H. [r] καρδίας]+τῷ θεῷ G. [s] ἡ om. F.G.H.I. ἡ μὲν γὰρ ἐκ κ. ὑπακοὴ A.E. [t] τὴν]+παρὰ G. [v] τίς] τί E.H.I. et ante corr. A. [w] ἐδουλώθημεν H. [x] ὅπερ]+καὶ G. Mox ἀνώτερον pro ἄμεινον idem. [y] εἰ om. B. [z] ἀπὸ I. [a] μὴ] οὐ A. D.E.F.H.I. [b] αὐτῷ] αὐτὸν G. ἑαυτὸν αὐτῷ Edd. ἑαυτὸν deest in omnibus. [c] εἰς ἀγγ.] ἰσαγγελικὸν H. [d] ἀρίστην A.H.I. [e] τὴν accessit ex A.E.F.G. H.I. Mox ἡμᾶς om. G. [f] ΗΘΙΚΟΝ. Περὶ διαφόρων νεκρότητος τρόπων· καὶ κατὰ φιλαργύρων καὶ πλεονεκτῶν. Veron. [g] αὐτὴν G. [h] ὁ om. A.E. F.G.H. [i] ἐστι θεὸς Edd. θεὸς deest in omnibus. [k] ὁ accessit ex A.E. F.G.I. [l] ἄφετε pro ἄφες A.E.F.G.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νετὸς, ὁ διὰ τῆς [m]φιλοσοφίας γινόμενος, περὶ οὗ [n]φησιν ὁ Παῦλος· [21]"Νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς" ἕτερος ὁ καὶ τούτου [o]γενόμενος αἴτιος, ὁ ἐπὶ τοῦ [p]βαπτίσματος· [22]"Ὁ γὰρ παλαιὸς [q]ἡμῶν ἄνθρωπος ἐσταύρωται," τουτέστι, νενέκρωται. Ταῦτ' οὖν εἰδότες, ἐκείνην [r]μὲν φύγωμεν τὴν νέκρωσιν, καθ' ἣν καὶ ζῶντες ἀποθνήσκομεν· ταύτην δὲ μὴ δείσωμεν, καθ' ἣν ὁ κοινὸς ἔπεισι θάνατος· τὰς δὲ ἑτέρας δύο, ὧν ἡ
537 μέν ἐστι μακαριστὴ ἡ παρὰ τοῦ θεοῦ δοθεῖσα, ἡ δὲ ἐπαινετὴ ἡ παρ' ἡμῶν καὶ τοῦ θεοῦ κατορθουμένη, καὶ ἐλώμεθα καὶ ζηλώσωμεν. Τούτων [s]γὰρ τῶν δύο τὴν μὲν ὁ Δαυὶδ μακαρίζει λέγων, [23]"Μακάριοι ὧν [t]ἀφέθησαν αἱ ἀνομίαι·" τὴν δὲ ὁ Παῦλος [v]θαυμάζει λέγων, καὶ Γαλάταις γράφων, ὅτι [24]"[w]Οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν." Τῆς δὲ ἑτέρας συζυγίας τὴν μὲν εὐκαταφρόνητον εἶναί φησιν ὁ Χριστὸς λέγων, [25]"Μὴ φοβηθῆτε ἀπὸ τῶν [x]ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·" [y]τὴν δὲ φοβερὰν, "Φοβή-
B θητε γὰρ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα [z]ἀπολέσαι ἐν γεέννῃ." Διὸ ταύτην φυγόντες, ἐκείνην ἐλώμεθα τὴν νεκρότητα, τὴν μακαριζομένην καὶ θαυμαζομένην, ἵνα τῶν ἑτέρων [a]τῶν δύο τὴν μὲν φύγωμεν, τὴν δὲ [b]μὴ φοβηθῶμεν. Οὐδὲ γὰρ ὄφελος ἡμῖν οὐδὲν τὸν ἥλιον ὁρῶσι καὶ ἐσθίουσι καὶ πίνουσιν, ἂν μὴ [c]ἡ διὰ τῶν ἀγαθῶν ἔργων ζωὴ παρῇ. Τί γὰρ ὄφελος, εἰπέ μοι, βασιλέως ἁλουργίδα μὲν περικειμένου καὶ ὅπλα ἔχοντος, οὐδένα δὲ ὑπήκοον κεκτημένου, ἀλλὰ προκειμένου πᾶσι τοῖς βουλομένοις ἐναλλεσθαι καὶ ὑβρίζειν αὐτόν; Οὕτω καὶ Χριστιανοῦ οὐδὲν ἔσται κέρδος πίστιν [d]μὲν ἔχοντος καὶ τὴν ἀπὸ τοῦ βαπτίσματος
C δωρεὰν, πᾶσι δὲ τοῖς πάθεσι προκειμένου· μείζων γὰρ οὕτως ἡ ὕβρις ἔσται, καὶ πλείων ἡ αἰσχύνη. Ὥσπερ γὰρ ἐκεῖνος ὁ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα, οὐ μόνον οὐδὲν ἀπὸ τῆς στολῆς κερδανεῖ ταύτης εἰς τὴν οἰκείαν τιμὴν, ἀλλὰ [e]καὶ

21 Col. iii. 5. 22 Rom. vi. 6. 23 Ps. xxxi. 1. 24 Gal. v. 24. 25 Matth. x. 28.

[m] *σοφίας* G. Statim *γενόμενος* H.I. [n] *φησὶν* om. H. [o] *γενόμενος* pro *γεγενημένος* omnes. [p] *βαπτίσματος*]+*περὶ οὗ λέγει πάλιν* E. [q] *ἡμῶν* om. E. *φησὶν*, quod post *ἄνθρωπος* legebatur, om. A.E.F.G.H.I. [r] *μὲν* accessit ex A.E.F.G.H.I. [s] *γὰρ* pro *δὲ* omnes. [t] *ἀφείθησαν* A.D. Post *ἀνομίαι* add. *καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι* I. [v] *θαυμάζει λέγων καὶ Γαλάταις λέγων* Veron. Sav. Mor. *λέγων καὶ* om. B.D.E. Tum *γράφων* pro altero *λέγων* est in libris omnibus. *θαυμάζει Γαλάταις γράφων* e libris edidit Montef. [w] *οἱ*]+*δὲ* I. [x] *ἀποκτεννόντων* pro *ἀποκτεινόντων* B.D. *ἀποκτενάντων* A.E.I. [y] *τὴν δὲ φ. φοβήθητε γὰρ*] *φοβήθητε δὲ* G.I. [z] *ἐν γ. ἀπολέσαι* inverso ord. A.B.F.H. [a] *τῶν* om. B.D. [b] *μὴ* accessit ex B.D. [c] *ἡ* om. B.G. [d] *μὲν* om. G. [e] *καὶ* om. H. *ἀλλὰ δι' οἰκείαν αἰσχύνην καὶ ἐκείνην καθυβρίζει· οὕτω* G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκείνην καθυβρίζει διὰ τῆς οἰκείας αἰσχύνης· οὕτω καὶ ὁ πιστὸς βίον διεφθαρμένον ζῶν, οὐ μόνον [f]οὐδὲν ἐντεῦθεν αἰδέσιμος ἔσται, ἀλλὰ καὶ μειζόνως καταγέλαστος. "Ὅσοι γὰρ [g]ἀνόμως, φησὶν, ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται." Καὶ Ἑβραίοις δὲ ἐπιστέλλων [h]ἔλεγεν· [26]"Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ [i]δυσὶ καὶ τρισὶ μάρτυσιν ἀποθνήσκει. Πόσῳ δοκεῖτε [k]χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας;" Καὶ μάλα εἰκότως. [l]Καὶ γὰρ ὑπέταξά σοι πάντα τὰ πάθη, φησὶ, διὰ τοῦ βαπτίσματος. Τί οὖν γέγονεν, ὅτι εἰς τοσαύτην ἐξύβρισας δωρεὰν, καὶ γέγονας ἕτερος ἀνθ' ἑτέρου; Ἀπέκτεινα καὶ ἔθαψά σου τὰ [m]πρότερα πλημμελήματα, καθάπερ σκώληκας· τί τοίνυν ἕτερα ἔτεκες; Καὶ [n]γὰρ σκωλήκων χείρω τὰ [o]ἁμαρτήματα· οὗτοι μὲν γὰρ τὸ σῶμα, ἐκεῖνα δὲ τὴν ψυχὴν λυμαίνεται, καὶ πλείονα ποιεῖ τὴν δυσωδίαν. Ἀλλ' ἡμεῖς οὐκ αἰσθανόμεθα· διόπερ αὐτὴν οὐδὲ ἐκκαθαίρει σπεύδομεν. Οὐδὲ γὰρ ὁ μεθύων οἶδε πόση τοῦ σεσηπότος οἴνου ἡ βδελυγμία, ἀλλ' ὁ μὴ μεθύων ἀκριβῶς ταῦτα ἐπίσταται. Οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημάτων, ὁ μὲν σωφρόνως ζῶν, μετὰ ἀκριβείας οἶδε τὸν βόρβορον [p]ἐκεῖνον καὶ τὴν κηλῖδα· ὁ δὲ [q]τῇ πονηρίᾳ ἑαυτὸν ἐκδοὺς, καθάπερ μέθῃ τινὶ κεκαρωμένος, οὐδὲ αὐτὸ τοῦτο οἶδεν, ὅτι νοσεῖ. Καὶ τοῦτο μάλιστα τῆς κακίας τὸ χαλεπώτατον, ὅτι οὐδὲ ἰδεῖν ἀφίησι τοὺς εἰς αὐτὴν ἐμπεσόντας τῆς (85) οἰκείας λύμης τὸ μέγεθος, ἀλλ' ἐν βορβόρῳ κείμενοι μύρων ἀπολαύειν νομίζουσι· διόπερ οὐδὲ ἀπαλλάττεσθαι δύνανται, ἀλλὰ σκωλήκων γέμοντες, ὥσπερ λίθοις τιμίοις καλλωπιζόμενοι, οὕτως ἐναβρύνονται. Διὰ ταῦτα αὐτοὺς οὐδὲ ἀποκτεῖναι ἐθέλουσιν, ἀλλὰ [r]καὶ τρέφουσι καὶ αὔξουσιν ἐν ἑαυτοῖς, ἕως ἂν αὐτοὺς πρὸς τοὺς τοῦ μέλλοντος αἰῶνος παραπέμψωσι σκώληκας. Καὶ γὰρ ἐκείνων οὗτοι πρόξενοι· οὐ πρόξενοι δὲ μόνον, ἀλλὰ καὶ πατέρες εἰσὶν ἐκείνων τῶν μηδέποτε τελευτώντων. [27]"Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει," φησίν. Οὗτοι τὴν γέενναν ἀνάπτουσι τὴν μηδέποτε σβεννυμένην. [s]Ἵν' οὖν ταῦτα

[26] Heb. x. 28, 29. [27] Marc. ix. 44.

[f] οὐδενὶ G. [g] ἀνόμως φ. ἥμαρτον A.B.E.F.H.I. ἀνόμως ἥμαρτον φ. G. φ. ἀνόμως ἥμαρτον Edd. [h] ἔλεγεν om. B. [i] δυσὶ καὶ τρισὶ A.B.D.E.F. H. δυσὶν ἢ τρισὶ Edd. [k] πλείονος G. [l] καὶ γὰρ om. G. [m] πρότερα om. B.I. Mox καθάπερ ὁ σκώληκας E. [n] γὰρ om. B. [o] πλημμελήματα A.E.F.H. [p] ἐκεῖνον pro ἐκείνων A.B.D.E.F.H.I. οἶδε τὸν βδελυγμὸν καὶ τὸν βόρβορον καὶ τὴν κ. G. favente Brix. [q] τῇ π.] ἐν π. I. Mox καθάπερ ἐν μέθῃ idem. [r] καὶ om. F.G.H.I. Statim τρέφουσιν ἐν ἑαυτοῖς· κἂν αὔξουσιν ἕως G. τρέφουσι καὶ αὔξουσιν ἵνα ἑαυτοὺς πρὸς τοὺς A. [s] ἵν' οὖν] ἵνα H. Statim μὴ ταῦτα pro ταῦτα μὴ A.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ γένηται, τὴν πηγὴν τῶν κακῶν ἀνέλωμεν, καὶ τὴν κάμινον σβέσωμεν, καὶ τὴν ῥίζαν [t]τῆς πονηρίας κάτωθεν ἀνασπάσωμεν· ἐπεὶ καὶ δένδρον πονηρὸν ἂν [v]ἀποτέμῃς ἄνωθεν, οὐδὲν πλέον ἐποίησας, τῆς ῥίζης κάτω μενούσης, καὶ τὰ [w]αὐτὰ βλαστανούσης πάλιν.

Τίς οὖν ἡ ῥίζα τῶν κακῶν; Μάθε παρὰ τοῦ καλοῦ φυτουργοῦ, τοῦ τὰ τοιαῦτα ἀκριβῶς ἐπισταμένου, καὶ τὴν ἄμπελον τὴν [x]πνευματικὴν θεραπεύοντος, καὶ τὴν οἰκουμένην γεωργοῦντος ἅπασαν. Τίνα οὖν [y]οὗτός φησιν εἶναι τὴν αἰτίαν τῶν κακῶν ἁπάντων; Τὴν τῶν χρημάτων ἐπιθυμίαν. [28]"Ῥίζα γὰρ πάντων τῶν κακῶν, [z]φησὶν, ἡ φιλαργυρία." Ἐντεῦθεν μάχαι καὶ ἔχθραι C καὶ πόλεμοι, ἐντεῦθεν φιλονεικίαι καὶ λοιδορίαι καὶ ὑποψίαι καὶ ὕβρεις, ἐντεῦθεν φόνοι καὶ κλοπαὶ καὶ τυμβωρυχίαι. Διὰ ταύτην οὐ [a]πόλεις καὶ χῶραι μόνον, ἀλλὰ καὶ ὁδοὶ καὶ [b]ἡ οἰκουμένη καὶ ἡ ἀοίκητος καὶ ὄρη καὶ νάπαι καὶ βουνοὶ καὶ πάντα ἁπλῶς αἱμάτων γέμει καὶ φόνων. Καὶ οὐδὲ τῆς θαλάττης ἀπέσχετο τοῦτο τὸ κακὸν, ἀλλὰ καὶ ἐκεῖ μετὰ πολλῆς εἰσεκώμασε τῆς μανίας, τῶν πειρατῶν αὐτὴν πολιορκούντων πάντοθεν, καὶ καινόν τινα λῃστείας ἐπινοούντων τρόπον. Διὰ ταύτην καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι, καὶ οἱ τῆς συγγενείας ἐκινήθησαν D θεσμοὶ, καὶ τὰ τῆς [c]ὁσίας αὐτῆς διέφθαρται δίκαια. Ἡ γὰρ τῶν χρημάτων τυραννὶς οὐ κατὰ τῶν ζώντων μόνον, ἀλλὰ καὶ κατὰ τῶν [d]ἀπελθόντων τὰς τοιαύτας ὥπλισε δεξιάς· καὶ [e]οὐδὲ τῷ θανάτῳ πρὸς αὐτοὺς [f]σπένδονται, ἀλλὰ θήκας ἀναρρηγνύντες, καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς ἐκτείνουσι χεῖρας, οὐδὲ τὸν ἀπαλλαγέντα τῆς ζωῆς τῆς [g]ἑαυτῶν ἀφιέντες ἀπηλλάχθαι ἐπιβουλῆς. Καὶ ὅσα ἂν εὕρῃς κακὰ, κἂν ἐν οἰκίᾳ, κἂν ἐν ἀγορᾷ, κἂν ἐν [h]δικαστηρίοις, κἂν ἐν βουλευτηρίοις, κἂν ἐν βασιλείοις, κἂν ὁπουδήποτε, ἐντεῦθεν πάντα ὄψει βλαστάνοντα. Τοῦτο γάρ ἐστι, τοῦτο τὸ κακὸν ὃ πάντα αἱμάτων καὶ φόνων E ἐνέπλησε, τοῦτο τὴν φλόγα τῆς γεέννης ἀνῆψε, τοῦτο τῆς ἐρημίας τὰς πόλεις οὐδὲν ἄμεινον διακεῖσθαι ἐποίησεν, ἀλλὰ καὶ πολλῷ χεῖρον. Τοὺς μὲν γὰρ ταῖς ὁδοῖς ἐφεδρεύοντας καὶ φυ-

[28] 1 Tim. vi. 10.

[t] τῆς] τὴν τῆς G. [v] ἀποτέμνῃς A.E. [w] αὐτὰ] αὐτῆς H. [x] πνευματικὴν]+καὶ ἀληθινὴν G. [y] οὗτος om. I. [z] φησὶν om. I. φησὶν τῶν κακῶν hoc ord. B. Statim φιλαργυρία sine artic. G. [a] πόλις καὶ χώρα A.H.I. πόλεις καὶ χῶρα (sic) F. [b] ἡ bis assumtum ex libris omnibus. [c] ὁσίας ex corr. eadem manu I. Ceteri omnes cum Editis οὐσίας. [d] ἀπελθόντων pro ἀποθανόντων A.F.G.H.I. [e] οὐδὲν G. [f] σπένδονται] ἔπεται G. Statim ἀλλὰ καὶ θ. E. ἀλλ' οἱ θ. ex corr. G. [g] ἑαυτῶν pro αὐτῶν A.D.E. F.G.I. Statim ἀφιέντες pro ἀφέντες A.B.D.E.F.G.I. [h] δικαστηρίῳ I. Mox βλαστάνοντα pro βλαστάναντα A.B.D.F.H.I. βλαστάνοντα om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροιας

λάσσεσθαι ῥᾴδιον, ἅτε οὐ διὰ παντὸς ἐπιτιθεμένους· οἱ δὲ ἐν μέσαις ταῖς πόλεσιν ἐκείνους μιμούμενοι, τοσούτῳ χείρους ἐκείνων, ὅσῳ καὶ δυσφύλακτοι μᾶλλον αὐτῶν, καὶ μετὰ παρρησίας ταῦτα τολμῶσιν, ἃ μετὰ τοῦ λανθάνειν ἐκεῖνοι. Τοὺς γὰρ ἐπ' ἀναιρέσει τῆς πονηρίας αὐτῶν κειμένους νόμους, τούτους [i]καὶ εἰς συμμαχίαν ἕλκοντες, τῶν τοιούτων φόνων [k]καὶ μιασμάτων τὰς πόλεις ἐνέπλησαν. [l]Ἡ οὐ φόνος, εἰπέ μοι, καὶ φόνου χεῖρον, [m]τὸ λιμῷ παραδοῦναι πένητα καὶ εἰς δεσμωτήριον ἐμβαλεῖν, 539
καὶ μετὰ τοῦ λιμοῦ καὶ βασάνοις ἐκδοῦναι καὶ μυρίοις αἰκισμοῖς; Κἂν γὰρ αὐτὸς ταῦτα [n]μὴ ποιῇς, παρέχῃς δὲ τὴν αἰτίαν τοῦ γίνεσθαι, τῶν διακονουμένων [o]αὐτὰ μᾶλλον ἐργάζῃ. Ὁ μὲν γὰρ ἀνδροφόνος ὁμοῦ [p]τε τὸ ξίφος ἐνέπηξε, καὶ μικρὸν λυπήσας χρόνον οὐκέτι περαιτέρω προάγει τὴν βάσανον· σὺ δὲ ταῖς συκοφαντίαις, ταῖς ἐπηρείαις, ταῖς ἐπιβουλαῖς τὸ φῶς ἐργαζόμενος [q]αὐτῷ σκότος, καὶ ἐν ἐπιθυμίᾳ καθιστὰς τοῦ μυριάκις ἀποθανεῖν, ἐννόησον ὅσους [r]ἀνθ' ἑνὸς ἐργάζῃ θανάτους. Καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅτι ἁρπάζεις καὶ πλεονεκτεῖς, οὐχ ὑπὸ πενίας ὠθούμενος, [s]οὐδὲ λιμοῦ σε καταναγκάζοντος, ἀλλ' ἵνα ὁ B
τοῦ ἵππου χαλινὸς ἀλείφηται πολλῷ τῷ χρυσῷ, καὶ ὁ τῆς οἰκίας ὄροφος, καὶ αἱ τῶν κιόνων κεφαλαί. Καὶ πόσης οὐκ ἂν εἴη ταῦτα γεέννης ἄξια, ὅταν τὸν ἀδελφὸν, [t]καὶ τῶν ἀπορρήτων σοι κοινωνήσαντα ἀγαθῶν, καὶ οὕτω παρὰ τοῦ δεσπότου σου τιμηθέντα, ἵνα λίθους καλλωπίσῃς καὶ ἔδαφος, καὶ σώματα ἀλόγων ζώων οὐδὲ αἰσθανομένων τοῦ κόσμου τούτου, εἰς μυρίας
(86) [v]ἐμβάλλῃς συμφοράς; Καὶ ὁ μὲν [w]κύων ἐν ἐπιμελείᾳ πολλῇ, ὁ δὲ ἄνθρωπος, μᾶλλον δὲ ὁ Χριστὸς, διὰ τὸν κύνα καὶ [x]τὰ εἰρημένα ἅπαντα εἰς ἔσχατον [y]κατακλείεται λιμόν. Τί ταύτης C
τῆς συγχύσεως χεῖρον; τί [z]τῆς παρανομίας χαλεπώτερον; πόσοι ποταμοὶ πυρὸς ἀρκέσουσι τῇ τοιαύτῃ ψυχῇ; Ὁ μὲν κατ' εἰκόνα [a]θεοῦ γεγενημένος ἕστηκεν ἀσχημονῶν διὰ τὴν σὴν ἀπανθρωπίαν· αἱ δὲ ὄψεις τῶν ἡμιόνων τῶν τὴν γυναῖκα φερουσῶν τὴν σὴν πολλῷ καταλάμπονται [b]τῷ χρυσῷ, καὶ τὰ ξύλα καὶ τὰ

[i] καὶ accessit ex D.E.F.H. [k] καὶ, quod vulgo abest, ex B.G. recepimus. Idem clam fecerat Montef. Vocabulum μιασμάτων non agnoscunt A.E.F.H.I. [l] ἢ οὐ] ποῦ G. [m] τὸ pro τῷ A.D.F.I. et ex corr. B.H. [n] μὴ] οὐ A.F.I. Statim παρέχεις F.G. [o] αὐτὰ μᾶλλον pro μᾶλλον αὐτὰ A.E.F.G.H.I. [p] τε assumtum ex A.B.D.E.G. [q] αὐτὸ G. αὐτὸ ἐργαζόμενος σκ. I. [r] ἀνθ' ἑνὸς ἐργ. pro ἐργ. ἀνθ' ἑνὸς A.E.F.G.H.I. [s] οὐδὲ] οὐ G. [t] καὶ τῶν ἀπ.] τὸν τῶν ἀπ. D.E. καὶ τὸν τῶν ἀπ. B.I. καὶ τὸν ἀπ. A. [v] ἐμβάλλεις E.F.G. [w] κίων et mox κίονα Flor. p. 127. (Tom. xii. p. 537 E.) [x] τὰ εἰρ. ἅπαντα pro πάντα τὰ εἰρ. omnes. [y] κατακλείηται ex corr. B. [z] τῆς π. ταύτης Edd. ταύτης om. A.B.D.F.H. [a] θεοῦ sine artic. A.E.F.G.H.I. [b] τῷ χρυσῷ pro χρυσίῳ A.E.F.G.H. Statim καὶ τὰ ξ. καὶ τὰ δ. A.D.E.F.H. καὶ τὰ δ. καὶ τὰ ξ. Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέρματα τὰ τὴν στέγην ἐκείνην ὑφαίνοντα. Κἂν θρόνον κατασκευάσαι δέῃ, κἂν ὑποπόδιον, πάντα [c]ἀπὸ χρυσοῦ καὶ ἀργύρου [d]κατασκευάζεται· τὸ δὲ τοῦ Χριστοῦ μέλος, καὶ [e]δι' ὃν ἐξ οὐ-
D ρανοῦ παραγέγονε, καὶ [f]τὸ αἷμα τὸ τίμιον ἐξέχεεν, οὐδὲ τῆς ἀναγκαίας ἀπολαύει τροφῆς διὰ τὴν πλεονεξίαν τὴν σήν. Ἀλλ' αἱ μὲν κλῖναι ἀργύρῳ πάντοθέν εἰσι περιβεβλημέναι, τὰ δὲ σώματα τῶν ἁγίων καὶ τῆς ἀναγκαίας [g]ἀπεστέρηται σκέπης· καὶ πάντων σοι γέγονεν ἀτιμότερος ὁ Χριστὸς, καὶ οἰκετῶν καὶ ἡμιόνων καὶ κλίνης καὶ θρόνου καὶ [h]ὑποποδίου. Τὰ γὰρ [i]ἔτι τούτων ἀτιμότερα [k]σκεύη παρίημι καταλιμπάνων ὑμῖν εἰδέναι. Εἰ δὲ φρίττεις ταῦτα ἀκούων, ἀπόστηθι πράσσων, καὶ οὐδέν σε
E [l]βλάψει τὰ εἰρημένα· ἀπόστηθι, καὶ στῆθι [m]τῆς μανίας ταύτης· καὶ γὰρ μανία σαφὴς ἡ περὶ ταῦτα σπουδή. Διὸ [n]ταῦτα ἀφέντες ἀναβλέψωμεν ὀψὲ γοῦν [o]ποτε εἰς τὸν οὐρανὸν, ἀναμνησθῶμεν τῆς μελλούσης ἡμέρας, ἐννοήσωμεν τὸ φοβερὸν δικαστήριον καὶ τὰς ἠκριβωμένας εὐθύνας καὶ τὴν ἀδέκαστον ψῆφον. Λογισώμεθα, ὅτι [p]πάντα ταῦτα ὁρῶν ὁ θεὸς, οὐ κεραυνοὺς ἄνωθεν πέμπει· καίτοιγε οὐ σκηπτῶν ἄξια τὰ γινόμενα μόνον· ἀλλ' οὔτε τοῦτο ποιεῖ, [q]οὐ τὴν θάλασσαν ἡμῖν ἐπαφίησιν, οὐ τὴν γῆν ῥήγνυσι μέσην, οὐ τὸν ἥλιον σβέννυσιν,
540 οὐ τὸν οὐρανὸν ῥίπτει μετὰ τῶν ἀστέρων, οὐ πάντα ἁπλῶς ἐκ μέσου ποιεῖ, ἀλλ' ἀφίησιν ἐν τάξει εἶναι καὶ διακονεῖσθαι ἡμῖν τὴν κτίσιν ἅπασαν.

Ταῦτ' οὖν λογισάμενοι, τῆς [r]φιλανθρωπίας τὸ μέγεθος φρίξωμεν, καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωμεν· ὡς νῦν γε τῶν ἀλόγων οὐδὲν ἄμεινον διακείμεθα, ἀλλὰ πολλῷ χεῖρον. Ἐκεῖνα μὲν γὰρ ἀγαπᾷ τὰ συγγενῆ, καὶ ἀρκεῖται τῇ κοινωνίᾳ τῆς φύσεως εἰς τὴν πρὸς ἄλληλα φιλοστοργίαν· σὺ δὲ μετὰ τῆς φύσεως μυρίας ἔχων ὑποθέσεις συναγούσας σε καὶ σφιγγούσας πρὸς τὰ οἰκεῖα μέλη, τὸ τετιμῆσθαι λόγῳ, τὸ μετέχειν
B εὐσεβείας, τὸ κοινωνῆσαι μυρίων ἀγαθῶν, ἐκείνων ἀγριώτερος γέγονας, εἰς μὲν τὰ ἀνόνητα πολλὴν τὴν σπουδὴν [s]ἐπιδεικνύμενος, τοὺς δὲ ναοὺς τοῦ θεοῦ καὶ λιμῷ καὶ γυμνότητι [t]περιορῶν

[c] ἀπὸ Flor. ὑπὸ Edd. et Codd. [d] κατασκευάζεται pro κατασκευάζονται A.B.D.E.H. Flor. [e] δ' ὃ B.E. δι' ὧν H. Statim ἐξ οὐρανῶν B.F.H.I. [f] τὸ αἷμα τὸ τ. pro τὸ τίμιον αἷμα omnes. [g] ἀπεστέρηνται G. [h] ὑποποδίων I. [i] ἔτι om. H. τούτων ἔτι inverso ord. G. [k] σκεύη παρ' ἡμῖν καταλιμπάνω δὲ ὑμῖν εἰδ. G. [l] βλάπτει G. [m] τῆς τοιαύτης μανίας I. [n] ταῦτα] πάντα A.E.F.H.I. [o] ποτὲ om. I. [p] πάντα ταῦτα pro ταῦτα πάντα B.D.E.F.G.H. [q] οὐ pro οὔτε A.B.D.E.F.H.I. [r] φιλοσοφίας E. [s] ἐπιδεικνύμενος A.D.E.H.I. ἐνδεικνύμενος vulgo. [t] περιορῶν pro παρορῶν omnes.

Δημοσία Κεντρική Βιβλιοθήκη Ηρακλείου

ἀπολλυμένους, πολλάκις [v]δὲ καὶ μυρίοις περιβάλλων κακοῖς. Εἰ γὰρ δόξης ἐρῶν ταῦτα ποιεῖς, πολλῷ μᾶλλον τὸν ἀδελφὸν [w]τοῦ ἵππου θεραπεύειν [x]ἔδει. Ὅσῳ γὰρ βελτίων ὁ τῆς [y]εὐεργεσίας ἀπολαύων, τοσούτῳ [z]σοι καὶ λαμπρότερος πλέκεται τῆς τοιαύτης σπουδῆς ὁ στέφανος· ὡς νῦν γε τοῖς ἐναντίοις περιπίπτων, καὶ μυρίους ἐπισπώμενος κατὰ [a]σαυτοῦ κατηγόρους, οὐκ αἰσθάνῃ. Τίς γάρ σε οὐκ ἐρεῖ κακῶς; τίς γάρ σε οὐ γράψεται C τῆς ἐσχάτης ὠμότητος καὶ μισανθρωπίας, ὁρῶν τὸ μὲν τῶν ἀνθρώπων ἀτιμάζοντα γένος, [b]τὸ δὲ τῶν ἀλόγων πρὸ τῶν ἀνθρώπων ποιούμενον, καὶ μετὰ τῶν ἀλόγων [c]τὰ κατὰ τὴν οἰκίαν ἔπιπλα; Οὐκ ἤκουσας τῶν ἀποστόλων λεγόντων, ὅτι οἱ πρῶτοι τὸν λόγον δεξάμενοι καὶ οἰκίας καὶ χωρία ἐπώλουν, ἵνα τοὺς ἀδελφοὺς τρέφωσι; σὺ δὲ [d]καὶ οἰκίας καὶ χωρία ἁρπάζεις, ἵνα ἵππον κοσμήσῃς [e]καὶ ξύλα καὶ δέρματα καὶ τοίχους καὶ [f]ἔδαφος. Καὶ τὸ δὴ [g]χαλεπώτατον, ὅτι οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες ταύτην [h]μαίνονται τὴν μανίαν, καὶ τοὺς ἄνδρας εἰς [i]τὴν τοιαύτην ἀλείφουσι ματαιοπονίαν, πανταχοῦ μᾶλλον ἢ ἐν τοῖς D ἀναγκαίοις δαπανᾶν [k]ἀναγκάζουσαι. Κἂν ἐγκαλέσῃ τις [l]ὑπὲρ τούτων, μεμελετήκασιν ἀπολογίαν πολλῆς κατηγορίας γέμουσαν· καὶ γὰρ [m]καὶ ταῦτα κἀκεῖνα γίνεται, φησί. Τί φῄς; οὐ δέδοικας τοιαῦτα φθεγγόμενος, καὶ μετὰ τῶν ἵππων καὶ [n]τῶν ἡμιόνων καὶ τῶν κλινῶν καὶ τῶν ὑποποδίων τὸν [o]πεινῶντα Χριστὸν ἀριθμῶν; μᾶλλον δὲ οὐδὲ μετὰ τούτων, ἀλλὰ τὸ μὲν πλέον μέρος [p]τούτοις, ἐκείνῳ δὲ μόλις ὀλίγον [q]ἀπονέμων μέρος. [r]Οὐκ οἶσθα, ὅτι πάντα αὐτοῦ, καὶ σύ, καὶ τὰ σά; οὐκ οἶσθα, (87) ὅτι καὶ σῶμα αὐτὸς διέπλασε, καὶ [s]ψυχὴν ἐχαρίσατο, [t]καὶ τὸν κόσμον ἀπένειμεν ἅπαντα; Σὺ δὲ οὐδὲ [v]μικρὰν τούτῳ ἀντιδίδως E ἀμοιβήν· ἀλλ' ἂν μὲν οἰκίσκον μικρὸν ἐκμισθώσῃς, μετὰ πολλῆς [w]ἀκριβείας τὸν μισθὸν ἀπαιτεῖς· τὴν δὲ κτίσιν [x]αὐτοῦ πᾶσαν καρπούμενος, καὶ κόσμον τοσοῦτον οἰκῶν, οὐδὲ ὀλίγον ἀνέχῃ μισθὸν [y]καταβαλεῖν, ἀλλὰ τῇ κενοδοξίᾳ καὶ [z]σαυτὸν καὶ τὰ

[v] δὲ om. G. [w] τοῦ ἵππου] ἢ τὸν ἵππον I. [x] ἔδει pro δεῖ A.D.E.F.G.H.I. [y] ἐλευθερίας G. [z] σοι καὶ λ. pro καὶ λ. σοι A.B.D.E.F.H.I. σοι om. G. [a] σαυτοῦ pro σεαυτοῦ A.B.D.E.H.I. σοῦ τοὺς G. [b] τὸ] τὰ G. [c] τὰ κατὰ τὴν οἰκίαν (+σκεύη G.) ἔπιπλα pro τὴν οἰκίαν καὶ τὰ ἔπιπλα omnes. [d] καὶ om. E. [e] καὶ ξύλα om. I. [f] ἐδάφη G. [g] χαλεπώτατον omnes. χαλεπώτερον Edd. Post ἄνδρες deest folium unum in E. [h] μιμοῦνται G. [i] τὴν accessit ex omnibus. [k] ἀναγκάζουσιν G. [l] ὑπὲρ] περὶ G. [m] καὶ assumtum ex A.F.G.H. [n] τῶν om G. [o] πεινῶντα Χρ. pro Χρ. πεινῶντα A.F.G.H.I. [p] ἐπὶ τούτοις A.F.H.I. [q] ἀπονέμομεν (corr. ex ἀπονέμωμεν) A. [r] οὐκ] ἀλλ' οὐκ A. [s] τὴν ψ. H. [t] καὶ] οὐκ οἶσθα ὅτι σὲ G. [v] μικρὰ H. Statim τοῦτον G. τούτων Veron. [w] τῆς ἀκριβείας Edd. τῆς deest in omnibus. [x] αὐτοῦ om. A.F.H.I. [y] καταβάλλειν B. [z] σεαυτὸν A.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαυτοῦ πάντα ἐξέδωκας. Καὶ γὰρ ἐκεῖθεν ἅπαντα ταῦτα [a]ἥρτηται. Οὐδὲ γὰρ ἵππος βελτίων ἂν γένοιτο πρὸς τὴν ἀρετὴν [b]τὴν αὐτοῦ, τὸν κόσμον περιθέμενος τοῦτον, οὔτε ὁ [c]καθήμενος αὐτὸν ἄνθρωπος, ἀλλ' ἔστιν ὅτε καὶ ἀτιμότερος. Πολλοὶ γὰρ ἀφέντες τὸν ὀχούμενον, πρὸς τὸν κόσμον τοῦ ἵππου τρέπουσι τοὺς ὀφθαλμούς, καὶ τοὺς ἑπομένους οἰκέτας, καὶ τοὺς προηγουμένους [d]καὶ σοβοῦντας· τὸν δὲ ὑπὸ τούτων δορυφορούμενον
541 καὶ μισοῦσι καὶ ἀποστρέφονται ὡς κοινὸν ἐχθρόν. Ἀλλ' οὐχ ὅταν τὴν ψυχὴν [e]κοσμῇς, τοῦτο συμβαίνει, ἀλλὰ [f]καὶ ἄνθρωποι καὶ ἄγγελοι, καὶ ὁ τῶν ἀγγέλων δεσπότης, [g]καὶ πάντες σοι τὸν στέφανον πλέκουσιν. [r]Ὥστε, εἰ δόξης ἐρᾷς, ἀπόστηθι τούτων ὧν νῦν ποιεῖς, καὶ μὴ τὴν οἰκίαν, ἀλλὰ τὴν ψυχὴν καλλώπιζε, ἵνα γένῃ λαμπρὸς καὶ περιφανής· ὡς νῦν γε οὐδέν σου γένοιτ' ἂν εὐτελέστερον, ἐρήμην ἔχοντος τὴν ψυχὴν, καὶ τὸ τῆς οἰκίας προβαλλομένου κάλλος. Εἰ δὲ οὐκ ἀνέχῃ τῶν παρ' ἐμοῦ λεγομένων, ἄκουσον τί τῶν ἔξωθέν τις ἐποίησε, καὶ αἰσχύνθητι τὴν [h]γοῦν ἐκείνων φιλοσοφίαν. Λέγεται γάρ τις ἐκείνων εἰς
B οἰκίαν λαμπρὰν εἰσελθὼν, πολλῷ μὲν καταλαμπομένην [i]χρυσίῳ, πολλῷ δὲ [k]ἀστράπτουσαν τῷ τῶν μαρμάρων καὶ τῶν κιόνων κάλλει, ἐπειδὴ καὶ τὸ ἔδαφος εἶδε πανταχοῦ τάπητας ἔχον [l]ἐστρωμένους, εἰς τὴν ὄψιν ἐμπτύσαι τοῦ τῆς οἰκίας δεσπότου· εἶτα ἐγκαλούμενος [m]εἰπεῖν, διὰ τὸ μηδαμοῦ τῆς οἰκίας ἑτέρωθι τοῦτο ἐξεῖναι ποιῆσαι, εἰς τὴν ὄψιν ἀναγκασθῆναι ὑβρίσαι τὴν ἐκείνου. [n]Ὁρᾷς πῶς καταγέλαστος ὁ τὰ ἔξωθεν καλλωπίζων ἐστὶ, καὶ παρὰ πᾶσιν εὐκαταφρόνητος τοῖς νοῦν ἔχουσι; Καὶ μάλα εἰκότως. Οὐδὲ γὰρ [o]εἰ τὴν σύνοικόν τις ἀφεὶς τὴν σὴν ῥάκια [p]περικεῖσθαι, καὶ ἠμελημένην εἶναι, τὰς
C θεραπαινίδας λαμπρᾷ [q]περιέβαλε στολῇ, πράως ἂν [r]ἤνεγκας, ἀλλὰ παρωξύνθης, καὶ ὕβριν ἂν τὸ πρᾶγμα [s]ἔφησας εἶναι τὴν ἐσχάτην. Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. [t]Ὅταν γὰρ τοὺς μὲν τοίχους καὶ τὸ ἔδαφος καὶ τὰ ἔπιπλα καὶ τὰ

[a] ἧρτηται pro ἥρτηνται A.B.D.G.H.I. [b] τὴν accessit ex A.B.D.H.I. [c] καθήμενος αὐτὸν] Sic F.G.H. καθήμενος αὐτοῦ B. καθήμενος ἐπ' αὐτὸν D. Veron. ἐπικαθήμενος αὐτῷ I. καθήμενος ἐπ' αὐτοῦ ex corr. A. Hoc ediderunt Sav. cet. [d] καὶ τοὺς σ. Sav. Mor. Ben. τοὺς om. B.G. Veron. [e] κοσμήσῃς G. [f] καὶ ἄγγ. καὶ ἄνθ. A.F.H.I. [g] καὶ accessit ex A.F.G.H.I. στέφανον sine artic. I. [h] γοῦν om. I. Statim ἐκείνου A. τὴν : : : : : : : τούτων φιλ. (sic) G. [i] τῷ χρυσῷ G. [k] ἀστράπτουσαν pro ἀπαστρ. A.B.D.F.G.H. Flor. p. 123. (Tom. xii. p. 485 D.) [l] ἐστρωμένους pro ἐστορεσμένους A.B.D.F. Flor. ἐστρωμένας H. [m] εἶπεν A.F.G.H. Flor. [n] ὅρα F.H. [o] εἴ τις τὴν σ. τὴν F.G.H.I. εἴ τις σύνοικον (sic) A. [p] περιβεβλῆσθαι A.D.F.H.I. [q] περιέβαλλε B. [r] ἤνεγκες H.I. Statim ἀλλὰ καὶ παρ. H. [s] ἔφης G. [t] γὰρ omnes. μὲν Veron. Sav. Mor.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλα [v]πάντα καλλωπίζῃς, ἐλεημοσύνην δὲ μὴ παρέχῃς δαψιλῆ, μηδὲ τὴν ἄλλην ἀσκῇς φιλοσοφίαν, οὐδὲν ἕτερον ἢ τοῦτο ποιεῖς, μᾶλλον δὲ τὸ πολλῷ χαλεπώτερον. Τῆς μὲν γὰρ δούλης καὶ τῆς δεσποίνης οὐδὲν τὸ μέσον, τῆς δὲ ψυχῆς καὶ τῆς σαρκὸς πολὺ τὸ διάφορον· εἰ δὲ τῆς σαρκὸς, πολλῷ μᾶλλον [w]τῆς οἰκίας καὶ τῆς κλίνης καὶ τοῦ ὑποποδίου. Ποίας οὖν ἄξιος D ἀπολογίας ἂν εἴης, ταῦτα μὲν ἅπαντα [x]ἀργυρίῳ περιβάλλων, ἐκείνην [y]δὲ περιορῶν ῥακοδυτοῦσαν, αὐχμῶσαν, πεινῶσαν, τραυμάτων γέμουσαν, ὑπὸ μυρίων σπαραττομένην [z]κυνῶν, καὶ μετὰ ταῦτα [a]ἅπαντα καὶ δοξάζεσθαι ἀπὸ τοῦ καλλωπισμοῦ [b]τῶν ἔξωθεν περικειμένων νομίζων; [c]Ὃ δὴ μάλιστα τῆς ἐσχάτης παραπληξίας ἐστὶ, τὸ γελώμενον καὶ ὀνειδιζόμενον καὶ ἀσχημονοῦντα καὶ ἀτιμαζόμενον καὶ εἰς ἐσχάτην ἐμπίπτοντα κόλασιν, ἔτι [c]καὶ ἐγκαλλωπίζεσθαι τούτοις. [d]Διὸ, παρακαλῶ, ταῦτα πάντα ἐννοήσαντες ἀνανήψωμεν ὀψὲ γοῦν ποτε, καὶ ἡμῶν E αὐτῶν γενώμεθα, καὶ τὸν κόσμον τοῦτον ἀπὸ τῶν ἔξωθεν εἰς τὴν ψυχὴν μετενέγκωμεν. Οὕτω γὰρ καὶ αὐτὸς ἄσυλος [e]μενεῖ, καὶ ἡμᾶς τοῖς ἀγγέλοις ἴσους ἐργάσεται, καὶ τὰ ἀκίνητα [f]προξενήσει καλά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΓ. 542

1 Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ὥσπερ γὰρ παρεστήσατε τὰ [a]μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ [b]εἰς ἁγιασμόν.

1 Cap. VI. v. 19.

[v] ἅπαντα B.D. [w] τῆς οἰκίας καὶ τῆς κλ. καὶ τοῦ ὑπ.] Sic D. Veron. τῆς οἰκίας ::::::: καὶ τῆς κλ. καὶ τοῦ ὑπ. (sic) G. τῆς ψυχῆς καὶ τῆς κλ. καὶ τοῦ ὑπ. I. τῆς στολῆς (ex corr. pro ψυχῆς) καὶ τῆς οἰκίας καὶ τῆς κλ. καὶ τοῦ ὑπ. B. Ceteri cum Sav. et recentioribus τῆς ψυχῆς καὶ τῆς οἰκίας, καὶ τῆς ψυχῆς καὶ τῆς κλ. καὶ τοῦ ὑπ. [x] ἀργύρῳ I. ἀργυρίῳ πολλῷ Edd. πολλῷ om. F.G.H.I. Statim περιβαλὼν G. [y] δὲ om. H. Mox ῥακκενδυτοῦσαν (corr. ex ῥακκοδ.) A. ῥακοδ. (sic) H. [z] κυνῶν] κυμάτων G. Statim καὶ om. I. [a] ἅπαντα] +καλλωπιζομένην G. πάντα pro ἅπαντα A.F.H.I. [b] τοῦ ἔ. περικειμένου I. νόμων pro νομίζων G. [c] καὶ superscript. in A. [d] διὸ]+καὶ B. [e] μενεῖ pro μένει A.B.D. Mox ἐργάσεται pro ἐργάζεται A.B.D.H.I. [f] προξενεῖ G. Hom. XIII. [a] μέλη]+τῆς σαρκὸς Edd. τῆς σαρκὸς om. B.D.E.F.H.I. et Mosqq. [b] εἰς ἁγιασμὸν om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

'ΕΠΕΙΔΗ πολλὴν ἀπήτησεν ἀκρίβειαν τοῦ βίου, νεκροὺς (88)
Β εἶναι [c]κελεύων τῷ κόσμῳ, καὶ τεθνηκέναι τῇ πονηρίᾳ, καὶ ἀκινήτους μένειν πρὸς τὴν τῶν ἁμαρτημάτων ἐνέργειαν, καὶ ἐδόκει μέγα τι καὶ βαρὺ λέγειν καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον φύσιν· δείξαι βουλόμενος, ὅτι οὐδὲν ὑπέρογκον ἀπαιτεῖ, οὐδὲ ὅσον ἐχρῆν τὸν τοσαύτης ἀπολαύσαντα δωρεᾶς, ἀλλὰ καὶ σφόδρα σύμμετρον καὶ κοῦφον, ἀπὸ τῶν ἐναντίων αὐτὸ κατασκευάζει, καί φησιν, "'Ανθρώπινον λέγω·" ὡσανεὶ ἔλεγεν, ἀπὸ ἀνθρωπίνων λογισμῶν, ἀπὸ τῶν [d]ἐν συνηθείᾳ γινομένων· [e]ἢ γὰρ τοῦτο, ἢ τὸ σύμμετρον τῇ προσηγορίᾳ τοῦ ἀνθρωπίνου δηλοῖ. [f]Καὶ γὰρ
C καὶ ἀλλαχοῦ φησι, [2]"Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος·" τουτέστι, σύμμετρος καὶ μικρός. "Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ [g]καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν." Καίτοι [h]πολὺ τῶν δεσποτῶν τὸ μέσον, ἀλλ' ὅμως τὸ ἴσον τῆς δουλείας ἀπαιτῶ μέτρον. Ἔδει μὲν γὰρ καὶ πολλῷ πλέον εἰσενεγκεῖν, καὶ [i]τοσούτῳ πλέον, ὅσῳ καὶ αὕτη μείζων τῆς δεσποτείας ἐκείνης καὶ ἀμείνων· πλὴν ἀλλ' οὐδὲν πλέον ἀπαιτῶ διὰ τὴν ἀσθένειαν. Καὶ οὐκ εἶπε, τῆς
D προαιρέσεως ὑμῶν, οὐδὲ τῆς προθυμίας, ἀλλὰ, "τῆς σαρκὸς ὑμῶν," ἀνεπαχθέστερον ποιῶν τὸν λόγον. Καίτοι τὸ μὲν ἀκαθαρσία, τὸ δὲ ἁγιασμός· τὸ μὲν ἀνομία, τὸ δὲ δικαιοσύνη. Καὶ τίς οὕτως ἄθλιος, [k]φησὶ, καὶ ταλαίπωρος, ὡς μηδὲ τοσαύτην εἰσενεγκεῖν σπουδὴν τῇ τοῦ Χριστοῦ δουλείᾳ, [l]ὅσην τῇ τῆς ἁμαρτίας [m]καὶ τοῦ διαβόλου; Οὐκοῦν ἄκουσον [n]τῶν ἐξῆς, καὶ εἴσῃ σαφῶς, ὅτι οὐδὲ τὸ μικρὸν τοῦτο εἰσφέρομεν. Ἐπειδὴ γὰρ ἁπλῶς οὕτω λεγόμενον οὐκ ἐδόκει πιστὸν εἶναι οὐδὲ εὐπαράδεκτον, [o]οὐδὲ ἠνείχετό τις ἀκοῦσαι, ὅτι οὐ δουλεύει τοσοῦτον τῷ Χριστῷ, ὅσον ἐδούλευσε τῷ διαβόλῳ, [p]διὰ τῶν ἐξῆς
E αὐτὸ κατασκευάζει καὶ ποιεῖ πιστὸν, τὴν δουλείαν ἐκείνην ἄγων εἰς μέσον, καὶ λέγων πῶς ἐδούλευσαν. [3]"Ὅτε γὰρ ἦτε δοῦλοι, φησὶ, [q]τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ." [4]Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτε ἐν πονηρίᾳ ἐζῆτε καὶ ἀσεβείᾳ καὶ ἐσχάτοις κακοῖς, μετὰ τοσαύτης ἐζῆτε τῆς ὑπακοῆς, ὡς μηδὲν

[2] 1 Cor. x. 13. [3] v. 20.

[c] κελεύων] λέγων H. τῷ κ. κελεύων inverso ord. E.G. [d] ἐν τῇ σ. I. Statim γενομένων E. et ante corr. H. [e] ἢ γὰρ τοῦτο ἢ τὸ σύμμετρον] Sic nostri omnes. τὸ γὰρ σύμμετρον Edd. [f] καὶ γὰρ om. E. [g] καὶ τῇ ἀνομίᾳ om. I. Mox νῦν om. H. [h] πολλῷ F. πολλοὶ G.H. [i] τοσοῦτον H. Mox ὅσον E.F.H. [k] φησὶ, quod aberat, est in nostris omnibus. [l] ὅσον A.F. [m] καὶ τῇ τοῦ δ. G. [n] τῶν] καὶ τῶν B. [o] οὐδ' ἠνείχετο A.E. [p] διὰ] καὶ διὰ I. [q] τῇ ἁμαρτίᾳ B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθόλου πράττειν καλόν. Τοῦτο γάρ ἐστιν, "Ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ" τουτέστιν, οὐκ ἦτε ὑποτεταγμένοι αὐτῇ, ἀλλ' ἠλλοτριωμένοι καθόλου. [r]Οὐδὲ γὰρ διενέμετε τῆς δουλείας τὸν τρόπον τῇ δικαιοσύνῃ καὶ τῇ ἁμαρτίᾳ, ἀλλ' ὅλους ἑαυτοὺς ἐξεδίδοτε τῇ πονηρίᾳ. Οὐκοῦν [s]καὶ νῦν, ἐπειδὴ [t]μετέστητε πρὸς τὴν δικαιοσύνην, ὅλους ἑαυτοὺς ἔκδοτε τῇ ἀρετῇ, μηδὲν καθόλου τῆς κακίας πράττοντες, ἵνα κἂν ἴσον [v]ἐπιδείξητε τὸ 543
μέτρον. Καίτοιγε οὐχὶ τῆς δεσποτείας πολὺ τὸ [w]μέσον μόνον, ἀλλὰ καὶ τῆς δουλείας αὐτῆς πολὺ τὸ διάφορον· ὅπερ καὶ αὐτὸ μετὰ πολλῆς [x]ἀναπλοῖ τῆς σαφηνείας, καὶ δείκνυσιν ἐπὶ τίσι [y]μὲν τότε ἐδούλευον, ἐπὶ τίσι δὲ νῦν. Καὶ οὕπω λέγει τὴν βλάβην τὴν ἀπὸ τοῦ πράγματος [z]γινομένην, ἀλλὰ τέως τὴν αἰσχύνην. [4]"Τίνα γὰρ, φησὶ, καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν B
ἐπαισχύνεσθε;" Τοιαύτη γὰρ ἦν ἡ δουλεία, ὡς καὶ τὴν ἀνά- [a]μνησιν αὐτῆς νῦν αἰσχύνην φέρειν. Εἰ δὲ ἡ ἀνάμνησις καταισχύνει, πολλῷ μᾶλλον ἡ πρᾶξις. Ὥστε διπλῆ νῦν [b]ἐκερδάνετε, καὶ ἀπαλλαγέντες τῆς αἰσχύνης, καὶ μαθόντες ἐν οἷς ἦτε· ὥσπερ οὖν τότε διπλῇ παρεβλάπτεσθε, καὶ αἰσχύνης ἄξια πράττοντες, καὶ οὐδὲ εἰδότες αἰσχύνεσθαι, ὅπερ τοῦ προτέρου μεῖζον ἦν· ἀλλ' ὅμως ἐμένετε δουλεύοντες. Δείξας τοίνυν ἐκ περιουσίας τὴν βλάβην τῶν τότε [c]γινομένων, ἀπὸ τῆς αἰσχύνης καὶ ἐπ' αὐτὸ τὸ πρᾶγμα χωρεῖ. Τί οὖν ἦν τὸ πρᾶγμα; "Τὸ [d]μὲν γὰρ τέλος ἐκείνων θάνατος." Ἐπειδὴ γὰρ [e]ἡ αἰσχύνη οὐ σφόδρα δοκεῖ φορτικὸν εἶναι, ἐπὶ τὸ πάνυ φοβερὸν ἔρχεται, τὸν θάνατον λέγω· καίτοιγε ἤρκει καὶ τὸ ἔμπροσθεν εἰρημένον.
(89) Ἐννόησον γὰρ [f]ὅση τῆς κακίας ἡ ὑπερβολὴ, ὅπου γε καὶ τῆς C
τιμωρίας [g]ἀπηλλαγμένοι, τῆς αἰσχύνης ἀπαλλαγῆναι οὐκ εἶχον. Ποῖον [h]οὖν προσδοκᾷς, φησὶ, μισθὸν ἀπὸ τῆς πράξεως, ὅταν ἀπὸ τῆς μνήμης μόνης, καὶ ταῦτα τῆς τιμωρίας ἀπηλλαγμένος, [i]ἐγκαλύπτῃ καὶ ἐρυθριᾷς, καίτοιγε ἐν τοσαύτῃ ὢν χάριτι; Ἀλλ' οὐ τὰ τοῦ θεοῦ τοιαῦτα. [5]"Νῦν [k]γὰρ, φησὶν, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν

[4] v. 21. [5] v. 22.

[r] οὐδὲ] οὐ I. [s] καὶ νῦν ἐπειδὴ] ἐπειδὴ καὶ νῦν A.D.E.F.H.I. [t] ἔστητε G. [v] ἐπιδείξησθε A.D.E.I. et ex corr. manu eadem B. [w] μέσον]+ἦν I. [x] ἀναπληροῖ D. et ex corr. F. [y] μὲν accessit ex A.B.D.E.F.H.I. μὲν post δείκνυσι habet G. [z] γενομένην A.B.D.E.H.I. [a] αὐτῆς pro αὐτὴν omnes. [b] ἐκερδάνατε B.D.E. κερδαίνετε I. [c] γενομένων G. [d] μὲν accessit ex omnibus. [e] ἡ] καὶ ἡ H. ἡ om. G. Mox φορτικὸν om. B. [f] ὅσον G. [g] ἀπηλλαγμένοι omnes. ἀπαλλαγέντες Edd. [h] οὖν om. I, Statim πρ. φησὶ μισθὸν A.D.E.F.H. φησὶ πρ. μισθὸν B.I. πρ. μισθὸν φησὶν Edd. φησὶ abest a G. [i] ἐγκ. καὶ ἐρυθριᾷς om. H. [k] γὰρ pro δὲ omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καρπὸν ὑμῶν εἰς ἁγιασμὸν, τὸ δὲ τέλος ζωὴν αἰώνιον." [l]Ἐκεί-
D νων ὁ καρπὸς αἰσχύνη καὶ μετὰ τὴν ἀπαλλαγὴν, [m]τούτων ὁ καρπὸς ἁγιασμός· ὅπου δὲ ἁγιασμὸς, παρρησία [n]πᾶσα. Ἐκείνων τὸ τέλος θάνατος, [o]τούτων δὲ ζωὴ αἰώνιος. Εἶδες πῶς τὰ μὲν δείκνυσι δεδομένα, τὰ δὲ ἐν ἐλπίσιν ὄντα, καὶ ἀπὸ τῶν δεδομένων κἀκεῖνα πιστοῦται, ἀπὸ τοῦ ἁγιασμοῦ [p]τὴν ζωήν; Ἵνα γὰρ μὴ λέγῃς, ὅτι πάντα ἐν ἐλπίσι, δείκνυσι καὶ ἤδη σε καρπωσάμενον· πρῶτον τὸ ἀπαλλαγῆναι [q]τῆς πονηρίας καὶ τοιούτων κακῶν, ὧν καὶ ἡ μνήμη αἰσχύνην φέρει· δεύτερον τὸ δουλωθῆναι τῇ δικαιοσύνῃ· τρίτον τὸ ἁγιασμοῦ ἀπολαῦσαι·
E τέταρτον τὸ [r]καὶ ζωῆς ἐπιτυχεῖν, καὶ ζωῆς οὐ προσκαίρου, ἀλλ' [s]αἰωνίας. Ἀλλ' ὅμως καὶ [t]τούτων ὄντων, κἂν ἐξ ἴσης, φησὶ, δουλεύσατε. Εἰ γὰρ καὶ ὁ δεσπότης σφόδρα ὑπερέχων, καὶ τῆς δουλείας πολὺ τὸ μέσον καὶ τῶν ἐπάθλων ὑπὲρ ὧν δουλεύετε, οὐδὲν ἀπαιτῶ [v]πλέον τέως. Εἶτα, ἐπειδὴ ὅπλων ἐμνημόνευσε καὶ βασιλέως, ἐπιμένει [w]τῇ μεταφορᾷ, λέγων· [6]"Τὰ μὲν γὰρ ὀψώνια τῆς ἁμαρτίας [x]θάνατος· τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν." Εἰπὼν ὀψώνια ἁμαρτίας, ἐπὶ τῶν χρηστῶν οὐ τὴν αὐτὴν ἐτήρησε τάξιν. [y]Οὐδὲ γὰρ εἶπεν, ὁ μισθὸς τῶν κατορθωμάτων ὑμῶν, ἀλλὰ, "τὸ δὲ χάρισμα τοῦ θεοῦ," δεικνὺς ὅτι οὐκ οἴκοθεν
544 ἀπηλλάγησαν, οὐδὲ ὀφειλὴν ἀπέλαβον, οὐδὲ ἀμοιβὴν καὶ ἀντίδοσιν πόνων, ἀλλὰ [z]χάριτι ταῦτα πάντα ἐγένετο· [a]ὥστε καὶ ἐντεῦθεν ἡ ὑπεροχὴ, οὐχ ὅτι ἀπήλλαξε μόνον, οὐδὲ ὅτι ἐπὶ τὰ βελτίω μετέθηκεν, ἀλλ' ὅτι [b]μηδὲ καμόντας μηδὲ πονήσαντας· καὶ [c]οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα ἔδωκε, καὶ διὰ τοῦ παιδὸς ἔδωκε. Ταῦτα δὲ [d]παρενέβαλεν ἅπαντα, ἐπειδὴ [e]καὶ περὶ χάριτος διελέχθη, καὶ τὸν νόμον μέλλει [f]καταβάλλειν λοιπόν. Ἵνα γὰρ μὴ ταῦτα ἀμφότερα [g]ῥᾳθυμοτέρους ἐργάσηται, μέσα [h]παρενέθηκε τὰ περὶ τῆς ἀκριβείας τοῦ βίου, πανταχοῦ διεγείρων εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν τὸν ἀκροατήν.

[6] v. 23.

[l] ἐκείνων]+γὰρ G. [m] τούτων]+δὲ Edd. reclamantibus libris. [n] πᾶσα (ἅπασα G.) omnes. πολλὴ Edd. [o] τούτων δὲ] τοῦτο G. [p] τὴν ζωὴν] τὴν χάριν H. τὴν ζ. om. G. [q] τῆς πονηρίας] τῶν κακῶν G. [r] καὶ τῆς ζωῆς G. [s] αἰωνίου H. [t] τοιούτων B.E.F. [v] πλέον om. F. πλέον ἀπαιτῶ inverso ord. I. [w] τῇ φορᾷ B. [x] θάνατος]+λέγει γὰρ οὕτως· τὰ μὲν γὰρ ὀψ. τῆς ἁμ. θάνατος G. [y] οὐδὲ pro οὐ omnes. [z] χάριτι]+θεοῦ I. Mox ἐγένετο pro ἐγένοντο A.B.D.E.H.I. [a] ὥστε] ὡς G. ὥσπερ E. [b] μηδὲν E. Statim καμόντας B.D.E.G.I. κάμνοντας Edd. [c] οὐκ] Sic D.E.F.G.I. οὐχ ὅτι Edd. In libris A.H. paucula hic desunt. [d] παρέβαλεν G. [e] καὶ om. D. [f] καταβαλεῖν G. [g] ῥᾳθύμους B. Veron. [h] παρέθηκε G.H. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[v]Ὅταν [i]γὰρ ὀψώνια [k]τῆς ἁμαρτίας τὸν θάνατον καλῇ, φοβεῖ B
πάλιν, καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται. Δι' ὧν γὰρ αὐτοὺς ἀναμιμνήσκει τῶν προτέρων, διὰ τούτων καὶ εὐχαρίστους ποιεῖ, καὶ ἀσφαλεστέρους πρὸς τὰ ἐπιόντα ἅπαντα.

Καταλύσας τοίνυν ἐνταῦθα [l]τὸν τῶν ἠθικῶν λόγον, ἐπὶ τὰ [m]δογματικὰ ἐκβαίνει πάλιν, οὕτω λέγων· [7]"Ἢ ἀγνοεῖτε, ἀδελφοί; γινώσκουσι γὰρ νόμον [n]λαλῶ." Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, δείκνυσιν [o]ἐνταῦθα, ὅτι οὐ μόνον ἁμαρτία αὐτῶν [p]οὐ κυριεύει, ἀλλ' οὐδὲ νόμος. Εἰ δὲ νόμος οὐ κυριεύει, πολλῷ μᾶλλον ἁμαρτία. Καὶ καταγλυκαίνων τὸν C
λόγον, ἀπὸ παραδείγματος ἀνθρωπίνου τοῦτο ποιεῖ φανερόν. Καὶ δοκεῖ μὲν ἓν τι λέγειν, δύο δὲ [q]τίθησι τοῦ προκειμένου [r]κατασκευάς, μίαν μέν, ὅτι ἀποθανόντος ἀνδρὸς, οὐχ ὑπόκειται γυνὴ νόμῳ τῷ τοῦ ἀνδρὸς, οὐδὲ ἔστιν ὁ κωλύων ἑτέρῳ γενέσθαι γυναῖκα· [s]δευτέραν δὲ, ὅτι ἐνταῦθα οὐ μόνον ὁ ἀνὴρ ἐτελεύτησεν, ἀλλὰ καὶ ἡ γυνή· ὥστε διπλῆς ἀπολαύειν τῆς ἐλευθερίας. Εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς, ἀπήλλακται τῆς ἐξουσίας, ὅταν καὶ αὐτὴ τετελευτηκυῖα φανῇ, πολλῷ μᾶλλον ἠλευθέρωται. Εἰ γὰρ ἓν γενόμενον ἀπαλλάττει τῆς ἐξουσίας αὐτὴν, πολλῷ D
μᾶλλον ἀμφότερα συνελθόντα. Μέλλων τοίνυν [t]ἐκβαίνειν εἰς τὴν περὶ τούτων ἀπόδειξιν, μετ' ἐγκωμίου τῶν ἀκροατῶν ἄρχεται λέγων, "Ἢ ἀγνοεῖτε, ἀδελφοί; γινώσκουσι γὰρ νόμον λαλῶ." Τουτέστι, σφόδρα ὡμολογημένον λέγω καὶ σαφὲς, καὶ γινώσκουσι ταῦτα μετὰ ἀκριβείας ἅπαντα. "Ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ." Οὐκ
(90) εἶπε, τοῦ ἀνδρὸς, [u]οὐδὲ τῆς γυναικὸς, ἀλλὰ, "τοῦ ἀνθρώπου," ὅπερ ἐστὶ κοινὸν ἑκατέρου τοῦ ζώου ὄνομα. "Ὁ γὰρ ἀποθανὼν, φησὶ, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας." Οὐκοῦν τοῖς ζῶσιν ὁ νόμος κεῖται, τοῖς δὲ τεθνηκόσιν οὐκέτι διατάττεται. E
Ὁρᾷς πῶς διπλῆν τὴν ἐλευθερίαν ἐδήλωσεν; Εἶτα ἐν τοῖς προοιμίοις [w]τοῦτο αἰνιξάμενος, ἐπὶ τῆς γυναικὸς ἐν τῇ κατασκευῇ προάγει τὸν λόγον, οὕτω λέγων· [8]"Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. [y]Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς [x]χρηματίζει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ

[7] Cap. VII. v. 1. [8] v. 2, 3.

[i] γὰρ pro δὲ omnes. [k] τῆς om. I. [l] τὸν ἠθικὸν λόγον I. [m] δογματικὰ omnes. δόγματα Edd. Statim ἐμβαίνει A. [n] λέγω H. [o] ἐνταῦθα om. G. [p] οὐ om. I. Statim κυριεύσει G. [q] προτίθησι A.F.H.I. [r] κατασκευάσματα A.F.G. Statim ἓν in rasura pro μίαν habet F. [s] δευτέραν pro ἑτέραν A.B.D.E.G.I. δεύτερον F. δευτέρα H. [t] ἐκβαίνειν D.E.G.H. ἐμβαίνειν vulgo. [u] οὐδὲ] ἢ G. καὶ I. [w] τοῦτο] + ἐνταυτὸ (sic) G. [x] χρηματίσει A.D.E.G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν [y]ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ." Συνεχῶς αὐτὸ [z]περιστρέφει, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας· ἐπειδὴ σφόδρα θαρρεῖ τῷ [a]ἀπ' αὐτοῦ κατασκευαζομένῳ. Καὶ τίθησιν ἐν τάξει μὲν τοῦ ἀνδρὸς τὸν νόμον, ἐν τάξει δὲ τῆς γυναικὸς [b]τοὺς πιστεύσαντας ἅπαντας. Εἶτα τὸ συμπέρασμα οὐ κατὰ τὴν πρότασιν ἐπάγει. [c]Τοῦτο γὰρ ἀκόλουθον ἦν εἰπεῖν· ὥστε, ἀδελφοί μου, οὐ [d]κυριεύει ὑμῶν ὁ νόμος· ἀπέθανε γάρ. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐν μὲν τῇ προτάσει τοῦτο ᾐνίξατο· ἐν δὲ τῇ ἐπαγωγῇ [e]λοιπὸν, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον, τὴν γυναῖκα εἰσάγει τετελευτηκυῖαν, λέγων· [g]"Ὥστε, [f]ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ." Ὅταν γὰρ καὶ τοῦτο κἀκεῖνο γενόμενον τὴν αὐτὴν ἐλευθερίαν παρέχῃ, τί κωλύει χαρίσασθαι τῷ
B νόμῳ, τοῦ πράγματος μηδὲν παραβλαπτομένου; "Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ." Ποῦ [g]νῦν εἰσιν οἱ τὸν νόμον διαβάλλοντες; [h]Ἀκουέτωσαν πῶς καὶ εἰς ἀνάγκην ἐμπεσὼν, οὐ καθαιρεῖ αὐτοῦ τὸ ἀξίωμα, ἀλλὰ [i]καὶ μεγάλα περὶ τῆς ἐξουσίας αὐτοῦ διαλέγεται, εἴγε ζῶντος [k]αὐτοῦ δέδεται ὁ Ἰουδαῖος, καὶ μοιχοὶ χρηματίζουσιν οἱ παραβαίνοντες [l]καὶ ἀφιέντες αὐτὸν ζῶντα. Εἰ δὲ τελευτήσαντα [m]εἴασαν, οὐδὲν θαυμαστόν· καὶ γὰρ ἐπ' ἀνθρώπων οὐ διαβάλλεται ὁ τοῦτο ποιῶν. "Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου
C τοῦ ἀνδρός." Εἶδες πῶς ἐν τῷ παραδείγματι τὸν νόμον δείκνυσι τετελευτηκότα; Ἀλλ' οὐκ ἐν τῇ ἐπαγωγῇ τοῦτο ποιεῖ. "Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς [n]χρηματίζει ἡ γυνή." [o]Ὅρα πῶς ἐνδιατρίβει ταῖς κατηγορίαις τῶν τὸν νόμον παραβαινόντων ζῶντα. [p]Ἐπεὶ δὲ αὐτὸν ἔπαυσε, [q]λοιπὸν μετὰ ἀσφαλείας ἁπάσης [r]αὐτῷ χαρίζεται, τὴν πίστιν οὐδὲν παραβλάπτων ἐντεῦθεν. "Ζῶντος γὰρ, φησὶ, [s]τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίζει ἡ γυνὴ, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ." "Ὥστε, ἀδελφοί
D μου, καὶ [t]ὑμεῖς" ἀκόλουθον ἦν εἰπεῖν, τοῦ νόμου τελευτήσαντος,

[g] v. 4.

[y] ἀπὸ τοῦ νόμου om. G. Veron. [z] μεταστρέφει G. [a] ἀπ' αὐτοῦ pro ὑπ' αὐτοῦ B.D.F.H.I. τὸ ὑπ' αὐτοῦ κατασκευαζόμενον G. [b] τοὺς]+πιστεύοντας καὶ G. [c] τοῦτο pro τὸ A.B.D.E.F.H.I. [d] κυριεύει pro κυριεύσει omnes. [e] λοιπὸν]+καὶ τοῦτο G. [f] Verba ἀδελφοί μου post ὑμεῖς transp. A.D.E.H.I. Mosq. 3. post ἐθανατώθητε G. [g] νῦν] οὖν A.D.E.F. [h] ἀκουσάτωσαν G. [i] καὶ accessit ex A.E.F.G.H.I. [k] αὐτοῦ om. B. [l] καὶ οἱ ἀφ. I. [m] εἴασαν A.B.D.E.G.H.I. εἴασεν Edd. [n] χρηματίσει A.D.E. [o] ὁρᾷς G.H. [p] ἐπεὶ δὲ] ἐπειδὴ A.E.H.I. ἐπειδὴ δὲ B. ἐπειδὴ γὰρ G. [q] λοιπὸν]+γὰρ A.F.H.I. [r] αὐτῷ χ. τὴν πίστιν] Sic A.B.E.F.G.H.I. Edebatur αὐτὸν χαρίζεται τῇ πίστει. [s] τοῦ ἀνδρὸς om. G. Mox χρηματίζει A.E.F.G.H. χρηματίσει Edd. [t] ὑμῖν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ κρίνεσθε μοιχείας, ἀνδρὶ γενόμενοι ἑτέρῳ. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ πῶς; "Ἐθανατώθητε τῷ νόμῳ." Εἰ νεκροὶ γεγόνατε, οὐκ ἐστὲ [v]ὑπὸ νόμον. Εἰ γὰρ τελευτήσαντος τοῦ ἀνδρὸς οὐκ ἔστιν ὑπεύθυνος ἡ γυνὴ, πολλῷ μᾶλλον [w]αὕτη τετελευτηκυῖα ἀπήλλακται [x]τούτου. Εἶδες Παύλου σοφίαν, πῶς τὸν νόμον ἔδειξε τοῦτο βουλόμενον, τὸ ἀποστῆναι αὐτοῦ καὶ γενέσθαι ἀνδρὶ ἑτέρῳ; Οὐ γὰρ κωλύει, φησὶν, ἑτέρῳ συνεῖναι ἀνδρὶ, τελευτήσαντος τοῦ προτέρου. Πῶς γὰρ, ὅπου γε καὶ ζῶντος [y]ἐπιτρέπει, βιβλίον ἀποστασίου λαβοῦσαν; [z]Ἀλλὰ τοῦτο οὐ τίθησιν, ὅπερ ἔγκλημα ἦν μᾶλλον τῶν γυναικῶν· εἰ Ε
γὰρ καὶ [a]συγκεχώρητο, ἀλλ' ὅμως οὐκ ἦν αἰτίας ἀπηλλαγμένον. Ὅταν γὰρ ἀπὸ τῶν ἀναγκαίων καὶ δοκίμων ἔχῃ τὰ νικητήρια, οὐ ζητεῖ τὰ περιττά· οὐ γάρ ἐστι γλίσχρος. Τὸ τοίνυν θαυμαστὸν τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ νόμος ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς ἀποστάντας [b]αὐτοῦ. Ὥστε αὐτοῦ [c]βούλημα γενέσθαι ἡμᾶς τοῦ Χριστοῦ. Καὶ γὰρ καὶ αὐτὸς τέθνηκε, καὶ ἡμεῖς τεθνήκαμεν, καὶ διπλῇ τὰ τῆς ἐξουσίας ἀνῄρηται. Ὁ δὲ [d]οὐδὲ τούτοις ἀρκεῖται μόνοις, ἀλλὰ καὶ τὸν αἴτιον προστίθησιν. Οὐδὲ γὰρ ἁπλῶς τέθεικε τὸν θάνατον, ἀλλὰ πάλιν τὸν 546
ταῦτα ἐργασάμενον τὸν σταυρὸν εἰσήγαγε, καὶ ταύτῃ ποιῶν ἡμᾶς ὑπευθύνους. Οὐ γὰρ ἁπλῶς ἀπηλλάγητε, φησὶν, ἀλλὰ διὰ τοῦ θανάτου τοῦ δεσποτικοῦ. "Ἐθανατώθητε γὰρ, φησὶ, τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ." Οὐκ ἐντεῦθεν δὲ προτρέπει μόνον, ἀλλὰ καὶ ἐκ τῆς ὑπεροχῆς τοῦ δευτέρου ἀν-
(91) δρός· διὸ καὶ ἐπήγαγεν· "Εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι." Εἶτα, ἵνα μὴ λέγωσι, τί οὖν ἂν μὴ βουλώμεθα δευτέρῳ ὁμιλῆσαι ἀνδρί; ὁ γὰρ νόμος τὴν [e]χηρεύσασαν οὐ ποιεῖ μὲν εἶναι μοιχαλίδα δευτέροις ὁμιλήσασαν γάμοις, οὐ μὴν ἀναγκάζει ὁμιλῆσαι· ἵν' οὖν μὴ τοῦτο λέγωσι, δείκνυσιν ὅτι Β
καὶ ἐκ τῶν ὑπηργμένων [f]ἤδη ἡμῖν βουληθῆναι δεῖ· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον [g]τίθησι, λέγων, [10] "Οὐκ ἐστὲ ἑαυτῶν·" καὶ, "Τιμῆς ἠγοράσθητε·" καὶ, "Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων·" καὶ πάλιν, [11] "Εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες [h]μηκέτι

[10] 1 Cor. vi. 19, 20. vii. 23. [11] 2 Cor. v. 15.

[v] ὑπὸ τὸν νόμον Edd. τὸν om. B.E.F.G.H.I. [w] αὐτὴ vel αὐτῇ E.H. [x] τούτου] τοῦ νόμου A.D.E.F.H.I. [y] ἐπιτρέπει] κελεύει G. Post λαβοῦσαν ndd. corr. in marg. F. ἐλευθέραν εἶναι. [z] ἀλλὰ καὶ τοῦτο Edd. καὶ om. A.D.F.G.H.I. [a] συγκεχώρηται G. [b] ἀπ' αὐτοῦ G. [c] βούλημα γενέσθαι] Sic D.E.G. βουλήματι γενέσθαι A.B.F.H.I. βούλημα τὸ γενέσθαι Edd. [d] οὐδὲ] οὐ A.E.F.H.I. Mox μόνον G. [e] χηρεύουσαν A.D.E.F.H.I. [f] ἤδη ἡμῖν βουληθῆναι δεῖ· ὅπερ] ἤδη ἡμῖν δουλωθῆναι (hoc ex corr.) δεῖ· διόπερ B. δεῖ ἡμῖν βουληθῆναι· διόπερ G. ἔδει ἡμᾶς βουληθῆναι· διόπερ Veron. [g] τίθησι] σοι G. [h] μηκέτι] μὴ I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι." Τοῦτο γοῦν καὶ ἐνταῦθα ἠνίξατο εἰπών, "διὰ τοῦ σώματος." Εἶτα καὶ προτρέπει ταῖς κρείττοσιν ἐλπίσι, [i]λέγων· "Ἵνα καρποφορήσωμεν τῷ θεῷ." Τότε μὲν γὰρ ἐκαρποφορεῖτε τῷ θανάτῳ, φησὶ, [k]νυνὶ δὲ τῷ θεῷ. 12 "Ὅτε [l]γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ C παθήματα τῶν [m]ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ." Εἶδες τοῦ προτέρου ἀνδρὸς τὸ κέρδος; Καὶ οὐκ εἶπεν, ὅτε ἦμεν ἐν τῷ νόμῳ, πανταχοῦ φειδόμενος δοῦναι αἱρετικοῖς λαβήν· ἀλλ', "ὅτε ἦμεν ἐν τῇ σαρκὶ," τουτέστι, ταῖς πονηραῖς πράξεσι, τῷ σαρκικῷ βίῳ. Οὐ γὰρ τοῦτό φησιν, ὅτι πρὸ τούτου μὲν [n]ἐν σαρκὶ ἦσαν, νῦν δὲ ἀσώματοι γενόμενοι περιήεσαν. Τοῦτο δὲ εἰπὼν, οὔτε αἴτιον εἶναί φησιν ἁμαρτημάτων τὸν νόμον, οὔτε ἀπαλλάττει αὐτὸν ἀπεχθείας. Κατηγόρου γὰρ τάξιν ἐπεῖχε D πικροῦ, ἀπογυμνῶν τὰ ἁμαρτήματα. Ὁ γὰρ τῷ μηδὲν πείθεσθαι βουλομένῳ πλείονα ἐπιτάττων, πλεονάζει [o]τὸ παράπτωμα. Διὰ τοῦτο οὐκ εἶπε, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ ὑπὸ τοῦ νόμου γινόμενα, [p]ἀλλὰ, "τὰ διὰ τοῦ νόμου," καὶ οὐ προσέθηκε, γινόμενα, ἀλλ' ἁπλῶς, "διὰ τοῦ νόμου," τουτέστι, τὰ διὰ τοῦ νόμου φαινόμενα, [q]γνωριζόμενα. Εἶτα, ἵνα μηδὲ τῆς σαρκὸς [r]κατηγορήσῃ, οὐκ εἶπεν, ἃ [s]ἐνήργει τὰ μέλη, [t]ἀλλ' ἃ "ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν·" δεικνὺς ἑτέρωθεν οὖσαν [v]τὴν ἀρχὴν τῆς πονηρίας, ἀπὸ τῶν ἐνεργούντων λογισμῶν, οὐκ ἀπὸ τῶν ἐνεργουμένων μελῶν. Ἡ μὲν γὰρ ψυχὴ τεχνίτου E τάξιν ἐπεῖχε, κιθάρας δὲ τῆς σαρκὸς ἡ φύσις, οὕτως ἠχοῦσα, ὡς ἠνάγκαζεν ὁ τεχνίτης. Οὐκοῦν [w]οὐ ταύτῃ τὸ ἀπηχὲς μέλος, ἀλλ' ἐκείνῃ πρὸ ταύτης λογιστέον ἡμῖν.

13 "[x]Νυνὶ δὲ, φησὶ, κατηργήθημεν ἀπὸ τοῦ νόμου." [y]Ὁρᾷς πῶς πάλιν ἐνταῦθα [z]καὶ τῆς σαρκὸς καὶ τοῦ νόμου φείδεται; Οὐ γὰρ εἶπεν, [a]ὅτι κατηργήθη ὁ νόμος, [b]οὐδ' ὅτι κατηργήθη ἡ σὰρξ, ἀλλ' ὅτι κατηργήθημεν ἡμεῖς. Καὶ πῶς ἡμεῖς κατηργήθημεν; Τοῦ κατεχομένου παρὰ τῆς ἁμαρτίας ἀνθρώπου [c]παλαιοῦ ἀποθανόντος καὶ ταφέντος· τοῦτο γὰρ ἐδήλωσεν εἰπών·

12 v. 5. 13 v. 6.

[i] λέγων om. B. [k] νυνὶ pro νῦν A.B.D.E.F.G.H. [l] γὰρ] μὲν γὰρ G. [m] ἁμαρτημάτων A.D.E.F.H.I. et Mosqq. [n] ἐν τῇ σαρκὶ F. Statim νῦν pro νυνὶ B.D.E.F.G.I. [o] τὰ παραπτώματα A.E.F.I. [p] ἀλλὰ——γινόμενα et mox τουτέστι τὰ διὰ τοῦ νόμου om. I. [q] ἡ γνωριζόμενα Edd. ἡ om. A.E.F.G.H.I. [r] κατηγορήσῃς G. [s] ἐνεργεῖ G. [t] ἀλλ' ἃ] ἀλλὰ B.H. [v] τὴν ἀρχὴν τ. π. pro τ. π. τὴν ἀρχὴν A.B.F.G.H.I. [w] οὐ om. G. [x] νυνὶ pro νῦν A.B.D.E.F.G.H. [y] ὅρα E.F.G. [z] καὶ accessit ex A.E.F.G.H.I. [a] ὅτι om. G.H. [b] οὐδ' ὅτι] οὐδὲ G. οὐδὲ ὅτι B. [c] τοῦ παλαιοῦ I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

" Ἀποθανόντες ἐν ᾧ κατειχόμεθα." Ὡσανεὶ ἔλεγεν, ὁ δεσμὸς, δι' οὗ κατειχόμεθα, ἐνεκρώθη καὶ διερρύη, ὥστε τὸν κατέχοντα μηδὲν κατέχειν λοιπὸν, τουτέστι, τὴν ἁμαρτίαν. Ἀλλὰ μὴ ἀναπέσῃς, μηδὲ ῥᾳθυμότερος γένῃ· κατηργήθης γὰρ [d]ὥστε δου- 547
λεύειν πάλιν, [e]ἀλλ' οὐχ ὁμοίως, ἀλλ', " Ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος." Τί [f]δέ ἐστιν, ὅ φησιν; ἀναγκαῖον γὰρ αὐτὸ ἤδη ἐκκαλύψαι, ἵν', ὅταν εἰς τὸ χωρίον ἐμπέσωμεν, μὴ θορυβώμεθα. Ὅτε [g]γὰρ, φησὶν, ἥμαρτεν ὁ Ἀδὰμ, καὶ τὸ σῶμα αὐτοῦ γέγονε θνητὸν καὶ παθητὸν, καὶ πολλὰ ἐλαττώματα ἐδέξατο φυσικὰ, καὶ βαρύτερος καὶ [h]δυσήνιος ὁ ἵππος κατέστη· ἀλλ' ὁ Χριστὸς ἐλθὼν, διὰ τοῦ βαπτίσματος κουφότερον ἡμῖν [i]αὐτὸ ἐποίησε, τῷ πτερῷ τοῦ πνεύ- B
ματος διεγείρων. Διὰ δὴ τοῦτο οὐδὲ τὰ αὐτὰ κεῖται τοῖς παλαιοῖς καὶ ἡμῖν σκάμματα, ἐπειδὴ [k]οὐδὲ οὕτω τότε εὔκολος ὁ δρόμος ἦν. Διὸ καὶ αὐτὸς οὐχὶ φόνων ἀπαιτεῖ καθαροὺς εἶναι μόνον, ὥσπερ τοὺς ἀρχαίους, ἀλλὰ καὶ ὀργῆς· οὐδὲ μοιχείας, ἀλλὰ καὶ ἀκολάστου ὄψεως ἀπηλλάχθαι κελεύει· οὐδὲ ἐπιορκίας, ἀλλὰ καὶ εὐορκίας ἐκτὸς εἶναι, καὶ μετὰ τῶν [l]οἰκείων καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν ἐπιτάττει. Καὶ ἐν τοῖς ἄλλοις [m]δὲ ἅπασι μακροτέρους ἐποίησε τοὺς διαύλους, κἂν μὴ πειθώμεθα, καὶ γέενναν ἠπείλησε, δεικνὺς ὅτι οὐ τῆς φιλοτιμίας τῶν [n]ἀγω-
(92) νιζομένων τὰ [o]ζητούμενα, ὥσπερ ἡ παρθενία καὶ ἡ ἀκτημοσύνη, C
ἀλλὰ πάντως αὐτὰ ἀνυσθῆναι δεῖ. Καὶ γὰρ τῶν ἀναγκαίων ἐστὶ καὶ κατεπειγόντων, καὶ ὁ μὴ ποιήσας τὴν ἐσχάτην δίδωσι δίκην. Διὰ τοῦτο ἔλεγεν· [14]" Ἐὰν μὴ [p]περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν." Ὁ δὲ τὴν βασιλείαν οὐχ ὁρῶν, [q]εἰς γέενναν ἐμπεσεῖται πάντως. Διὰ τοῦτο καὶ [r]Παῦλος ἔλεγεν· " [r]Ἁμαρτία [s]γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν" καὶ ἐνταῦθα πάλιν, " Ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος." Οὐ γάρ ἐστι γράμμα καταδικάζον, τουτέστιν, D
ὁ νόμος ὁ παλαιὸς, [t]ἀλλὰ πνεῦμα βοηθοῦν. Διὰ τοῦτο ἐπὶ

14 Matth. v. 20.

[d] ὥστε]+μὴ G. [e] ἀλλ' om. E. [f] δὲ] οὖν G. δὲ om. E. [g] γὰρ om. D.E. [h] εὐήνιος G. [i] αὐτὸν B.G. Brix. Mox τοῦ πν. διεγείρων pro διεγείρων τοῦ πν. A.B.D.F.G.H.I. [k] οὐδὲ] οὐχ G. Statim εὔκολος ὁρ. sine artic. idem. ὁ ὁρ. εὔκολος inverso ord. A.D.F.H.I. [l] οἰκείων A.F.G.H.I. φίλων Edd. [m] δὲ accessit ex omnibus. [n] ἐργαζομένων A.D.E.F.I. [o] λεγόμενα B.G. Veron. [p] περισσεύει G. [q] εἰς τὴν γ. G. Statim ἐμπεσεῖται A.B.D.E.H.I. πεσεῖται Edd. [r] ὁ Παῦλος Edd. ὁ om. A.B.E.F.G.H.I. [s] γὰρ om. A.D.E. [t] ἀλλὰ πν. β. om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν τῶν παλαιῶν εἴ που τις ἐφάνη παρθενίαν ἀσκῶν, [v]σφόδρα ἔκπληκτον ἦν· [w]νυνὶ δὲ πανταχοῦ τῆς οἰκουμένης τὸ πρᾶγμα ἔσπαρται· καὶ θανάτου τότε μὲν ὀλίγοι μόλις ὑπερεῖδον ἄνδρες· νυνὶ δὲ καὶ ἐν κώμαις καὶ [x]ἐν πόλεσι δῆμοι μαρτύρων ἄπειροι, οὐκ ἐξ ἀνδρῶν μόνον, ἀλλὰ καὶ ἐκ γυναικῶν συνεστηκότες.

Εἶτα ἐπειδὴ ταῦτα εἶπεν, ἀντίθεσιν πάλιν ἀνακύπτουσαν λύει, [y]ἐν τῇ λύσει κατασκευάζων ὃ βούλεται. Διόπερ οὐδὲ Ε προηγουμένως [z]εἰσάγει τὴν λύσιν, ἀλλ' ἐξ ἀντιλογίας, ἵνα τῇ ἀνάγκῃ τῆς λύσεως ἀφορμὴν εἰς τὸ εἰπεῖν ἃ βούλεται λάβῃ, καὶ [a]ἀνεπαχθεστέραν ποιήσῃ τὴν κατηγορίαν. Ἐπειδὴ γὰρ εἶπεν, "Ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος," ἐπήγαγε· [15] "Τί [b]οὖν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο." Καὶ γὰρ πρὸ τούτου ἦν εἰρηκὼς, ὅτι "Τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν·" καὶ, "Ἁμαρτία ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ [c]νόμον·" καὶ ὅτι, "Οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις·" καὶ, "Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα·" καὶ, "Ὁ νόμος ὀργὴν κατεργάζεται." Ἐπεὶ οὖν [d]ταῦτα πάντα ἐδόκει διαβολὴν φέρειν τῷ νόμῳ, [e]ὡς διορθούμενος τὴν ἐκ τούτων ὑπό- 548 νοιαν, τίθησι καὶ ἀντίθεσιν, καί φησι· "Τί οὖν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο." Πρὸ τῆς [f]κατασκευῆς ἀπηγόρευσε, τὸν ἀκροατὴν οἰκειούμενος, καὶ τὸν σκανδαλιζόμενον θεραπεύων. Λοιπὸν γὰρ [g]ἀκούσας, καὶ [h]ὑπὲρ τῆς διαθέσεως αὐτοῦ πληροφορηθεὶς, ζητεῖ [i]μετ' αὐτοῦ τὸ δοκοῦν εἶναι ἄπορον, καὶ οὐχ ὑποπτεύει τὸν λέγοντα. Διὸ καὶ τὴν ἀντίθεσιν [k]προσλαβὼν ἐκεῖνον τέθεικεν. Οὐδὲ γὰρ εἶπε, τί οὖν [l]εἴποιμι ἄν; ἀλλὰ, "Τί [m]οὖν ἐροῦμεν;" ὡς βουλῆς καὶ γνώμης προκειμένης, καὶ ἐκκλησίας κοινῆς συγκεκροτημένης, καὶ οὐ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τῆς τῶν εἰρημένων ἀκολουθίας [n]καὶ τῆς τῶν πραγμάτων Β ἀληθείας τῆς ἀντιθέσεως φανείσης. Ὅτι μὲν [o]γὰρ τὸ γράμμα [p]ἀποκτείνει, οὐδεὶς ἀντερεῖ, φησί· καὶ ὅτι τὸ πνεῦμα ζωοποιεῖ,

[15] v. 7.

[v] *σφόδρα* om. I. Statim *ἐκπλήττον* G. [w] *νυνὶ* pro *νῦν* A.D.E.F.G.H. [x] *ἐν* assumtum ex A.D.E.F.G.I. [y] *ἐν τῇ λύσει* om. H. [z] *ἄγει* E. [a] *ἀνεπαχθεστέραν* pro *-έστερον* dant A.B.D.E.F.G.I. [b] *οὖν*]+*ἐροῦμεν* Edd. Abest a nostris A.D.E.F.H.I. et Mosqq. [c] *νόμον*]+*ἀλλ' ὑπὸ χάριν* Edd. repugnantibus libris. [d] *ταῦτα πάντα*] *ταῦτα ἅπαντα* F.H.I. *ἅπαντα ταῦτα* A. *πάντα ταῦτα* B.E. [e] *ὡς* om. I. Mox *ἀπόνοιαν* H. [f] *παρασκευῆς* G. [g] *ὁ ἀκούσας* A.D.E.F. [h] *ὑπὲρ* pro *περὶ* omnes. [i] *μετὰ τοῦτο* G. [k] *προσλαβὼν* pro *προλαβὼν* E. Statim *ἐκεῖνον* B.H.I. *ἐκεῖνο* D. *ἐκείνων* ex corr. A. *ἐκείνην* Edd. [l] *εἴποιμι ἄν*] *εἴποι ἄν* B. *ἂν εἴποιμεν ἂν* G. [m] *οὖν* est in libris omnibus, non in Edd. [n] *καὶ τῆς τ. π. ἀληθείας* om. G. [o] *γὰρ* deerat ante Montef. invitis libris. [p] *ἀποκτέννει* B.D.E.G. Veron. *ἀποκτένει* H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τοῦτο δῆλον, καὶ οὐδεὶς ἂν φιλονεικήσειεν. Εἰ τοίνυν ταῦτα ὡμολογημένα, τί ἂν εἴποιμεν περὶ τοῦ νόμου; ὅτι ἁμαρτία; Μὴ γένοιτο. Λῦσον οὖν τὴν ἀπορίαν. Εἶδες πῶς [q]μεθ' ἑαυτοῦ τὸν ἀντίδικον ἵστησι, καὶ τὸ τοῦ [r]διδάσκοντος ἀξίωμα [s]λαβὼν, ἐπὶ τὴν λύσιν ἔρχεται; Τίς οὖν ἡ λύσις; Ἁμαρτία μὲν οὐκ ἔστι, [t]φησί· "Τὴν δὲ ἁμαρτίαν οὐκ ἂν ἔγνων, εἰ μὴ διὰ νόμου." Ὅρα σοφίας ἐπίτασιν. Ὅπερ [v]γὰρ οὐκ ἔστιν ὁ νόμος, ἐξ ἀντιθέσεως τέθεικεν, ἵνα ἀναιρῶν τοῦτο, καὶ ταύτῃ χαριζόμενος τῷ Ἰουδαίῳ, πείσῃ τὸ ἔλαττον αὐτὸν καταδέξασθαι. Τί δέ ἐστι τὸ ἔλαττον; Ὅτι "τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου." "Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, C φησὶν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις." [w]Ὁρᾷς πῶς κατὰ μικρὸν [x]οὐχὶ μόνον κατήγορον αὐτὸν ὄντα δείκνυσι τῆς ἁμαρτίας, [y]ἀλλὰ ἠρέμα καὶ κατασκευαστικόν; οὐ μὴν παρὰ τὴν αἰτίαν τὴν αὐτοῦ, ἀλλὰ παρὰ [z]τὴν τῶν ἀγνωμόνων Ἰουδαίων ἀποφαίνει τοῦτο [a]συμβαῖνον. Καὶ γὰρ καὶ Μανιχαίων [b]ἐσπούδακεν ἐμφράξαι τὰ στόματα τῶν κατηγορούντων τοῦ νόμου. Εἰπὼν γὰρ, ὅτι "Τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου, καὶ τὴν ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις," ἐπήγαγεν· [16]"Ἀφορμὴν [c]δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ D
(93) τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν." Εἶδες πῶς αὐτὸν ἀπήλλαξεν ἐγκλημάτων; Ἀφορμὴν γὰρ λαβοῦσα, φησὶν, ἡ ἁμαρτία, οὐχ ὁ νόμος, ἠύξησε τὴν ἐπιθυμίαν, καὶ τοὐναντίον οὗπερ ἐβούλετο ὁ νόμος, γέγονεν· ὅπερ ἀσθενείας ἦν, οὐ πονηρίας. Ὅταν [d]γὰρ ἐπιθυμῶμεν, εἶτα [e]κωλυώμεθα, αἴρεται μᾶλλον τῆς ἐπιθυμίας ἡ φλόξ. Ἀλλ' οὐ παρὰ τὸν νόμον τοῦτο· αὐτὸς μὲν γὰρ [f]ἐκώλυσεν, ὥστε ἀπαγαγεῖν· ἡ δὲ ἁμαρτία, τουτέστιν, [g]ἡ ῥαθυμία ἡ σὴ καὶ ἡ γνώμη ἡ πονηρὰ, E [h]τῷ καλῷ πρὸς τὸ ἐναντίον ἐχρήσατο. Ἀλλ' οὐ τοῦ [i]ἰατροῦ τοῦτο ἔγκλημα, ἀλλὰ τοῦ ἀρρωστοῦντος τῷ φαρμάκῳ κακῶς χρησαμένου. Οὐ γὰρ διὰ τοῦτο [k]ἔδωκε τὸν νόμον, ἵνα ἀνάψῃ τὴν ἐπιθυμίαν, ἀλλ' ἵνα σβέσῃ· τοὐναντίον δὲ ἐξέβη· ἀλλ' οὐκ

16 v. 8.

[q] μεθ' ἑαυτοῦ omnes. μετ' αὐτοῦ Edd. [r] δικάζοντος A.E. [s] λαβὼν] + λοιπὸν G. [t] φησί· τὴν δὲ ἁμαρτίαν] Sic omnes. φησίν· ἁμαρτίαν δὲ Edd. [v] γὰρ accessit ex omnibus. [w] ὅρα A.B.E.G.H. [x] οὐχὶ] οὐ E. [y] ἀλλὰ (ἀλλ' I.) ἠρέμα καὶ] Sic A.B.D.E.I. ἀλλὰ ἠρέμα (sine καὶ) H. ἀλλὰ καὶ ἠρέμα Edd. [z] τὴν] + αἰτίαν G. [a] συνέβαινεν G. [b] ἐσπούδασεν G. [c] δὲ om. G.H. [d] γὰρ] + ὅτου G. + τούτου H. + τινος A.D.E.F. Hoc ediderunt Sav. Mor. Ben. τινος om. B. Veron. γ' ὅτου pro γὰρ I. [e] κωλυόμεθα F.G.H. [f] ἐκώλυσεν] ἐσπούδαζεν D.E. [g] ἡ σὴ ῥαθυμία καὶ I. [h] τὸ καλὸν H. [i] τοῦτο] τὸ G. [k] ἔδωκε τὸν νόμον] ἐδόθη ὁ νόμος A.D.E.F.H.I. ἔδωκε νόμον G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκείνου, ἀλλ' ἡμῶν ἡ κατηγορία. Οὐδὲ γὰρ, εἴ τις τῷ πυρέττοντι, καὶ ψυχροποσίας ἀκαίρως ἐπιθυμοῦντι, μὴ παρασχὼν ἐμφορηθῆναι, τῆς ὀλεθρίας ταύτης ἡδονῆς αὐξήσειε τὴν ἐπιθυμίαν, [l]ἐγκαλοῖτ' ἂν δικαίως· [m]τοῦ γὰρ ἰατροῦ τὸ κωλῦσαι ἦν μόνον,
549 τὸ δὲ [n]ἀποσχέσθαι τοῦ κάμνοντος. Τί γὰρ εἰ ἡ ἁμαρτία [o]ἐξ αὐτοῦ τὴν ἀφορμὴν ἔλαβε; Πολλοὶ γὰρ [p]καὶ τῶν πονηρῶν ἐξ ἀγαθῶν ἐπιταγμάτων τὴν [q]ἑαυτῶν πονηρίαν αὔξουσιν. [r]Ἐπεὶ καὶ ὁ διάβολος οὕτω τὸν Ἰούδαν ἀπώλεσεν, εἰς φιλοχρηματίαν ἐμβαλών, καὶ κλέπτειν τὰ τῶν πενήτων ποιήσας· ἀλλ' οὐ τὸ πιστευθῆναι τὸ γλωσσόκομον αὐτὸν τοῦτο εἰργάσατο, ἀλλ' ἡ τῆς γνώμης πονηρία. Καὶ ἡ Εὔα [s]δὲ τὸν Ἀδὰμ ἀπὸ τοῦ ξύλου παρασκευάσασα φαγεῖν, ἐξέβαλεν [t]ἐκ τοῦ παραδείσου· ἀλλ' οὐδὲ ἐκεῖ τὸ δένδρον αἴτιον, εἰ καὶ [v]δι' αὐτοῦ ἡ ἀφορμὴ γέγονεν. Εἰ δὲ σφοδρότερον κέχρηται τῷ λόγῳ τῷ περὶ
B τοῦ νόμου, μὴ θαυμάσῃς· πρὸς γὰρ τὸ κατεπεῖγον ὁ Παῦλος ἵσταται, οὐκ [w]ἀφιεὶς μὲν οὐδὲ τοῖς ἄλλως ὑποπτεύουσι τὰ λεγόμενα λαβὴν παρασχεῖν, πολλὴν δὲ σπουδὴν ποιούμενος τὸ παρὸν διορθῶσαι. Μὴ τοίνυν γυμνὰ ἐξέταζε τὰ [x]ἐντεῦθεν λεγόμενα, ἀλλὰ καὶ τὴν ὑπόθεσιν προστίθει, δι' ἣν ταῦτα εἰπεῖν προάγεται, καὶ τὴν μανίαν λογίζου τὴν Ἰουδαϊκὴν, καὶ τὴν εὔτονον αὐτῶν φιλονεικίαν, ἣν καταλῦσαι [y]σπεύδων δοκεῖ [z]πολὺς κατὰ τοῦ νόμου πνεῖν, οὐχ ἵνα ἐκεῖνον διαβάλῃ, ἀλλ' ἵνα τούτων ἐκλύσῃ τὸν τόνον. Εἰ [a]γὰρ ἔγκλημα τοῦ νόμου, τὸ δι' αὐτοῦ
C τὴν ἁμαρτίαν ἀφορμὴν λαβεῖν, [b]εὑρεθήσεται καὶ ἐν τῇ καινῇ [c]τοῦτο συμβαῖνον. Καὶ γὰρ καὶ ἐν τῇ καινῇ νόμοι μυρίοι, καὶ περὶ [d]πολλῷ μειζόνων πραγμάτων· καὶ [e]τὸ αὐτὸ ἴδοι τις ἂν [f]ἐκβαῖνον κἀκεῖ, οὐκ ἐπὶ τῆς ἐπιθυμίας μόνον, ἀλλ' ἐπὶ πάσης ἁπλῶς κακίας. [17]"Εἰ [g]γὰρ μὴ ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον." Οὐκοῦν ἐντεῦθεν ἡ ἁμαρτία τὴν ὑπόθεσιν ἔλαβε, καὶ ἡ μείζων κάλασις. Καὶ πάλιν περὶ τῆς

17 Joan. xv. 22.

[l] ἐγκαλοῖτ' ἂν pro ἐγκαλοῖτο ἂν A.B.D.E.H.I. [m] τοῦ] τοῦτο H. [n] ἀπέχεσθαι I. [o] ἐξ αὐτοῦ τὴν ἀ. pro τὴν ἀ. ἐξ αὐτοῦ A.D.E.F.G.H.I. [p] καὶ om. G. [q] ἑαυτῶν pro αὑτῶν omnes. [r] ἐπεὶ] οὕτω (mox οὕτω om.) D.E. [s] δὲ om. G.I. Statim τῷ Ἀδὰμ F. [t] ἐκ] ἀπὸ A.D.E.F.H.I. [v] δι' om. G. [w] ἀφιεὶς pro ἀφεὶς A.B.E.F.G.H.I. Statim μὲν om. B. [x] ἐνταῦθα A.D.E. F.H.I. [y] σπεύδων δοκεῖ] Sic omnes. Edebatur ἔσπευδε. δοκεῖ δέ. [z] πολὺ G. [a] γὰρ]+καὶ I. [b] εὑρ. καὶ ἐν τῇ καινῇ] εὑρ. καὶ νῦν D. καὶ νῦν εὑρ. E. [c] τοῦτο] τὸ G. [d] πολλῷ pro πολλῶν D.E.I. et ῳ eraso B. πολλῶν μειζόνων (sic) A. [e] τὸ αὐτὸ] τοῦτο A.F.H.I. τοῦτο αὐτὸ B.D.E. [f] ἐκβαῖνον] συμβαῖνον B. ἐκβαῖνον ὁ E. [g] γὰρ μὴ] μὴ γὰρ I. γὰρ καὶ μὴ H. Statim φησὶ om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάριτος [h]ὁ Παῦλος διαλεγόμενος, φησί· 18" Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας;" Οὐκοῦν καὶ ἡ χείρων τιμωρία [i]τὴν ἀφορμὴν ἐντεῦθεν ἔχει ἀπὸ τῆς μείζονος εὐεργεσίας. Καὶ τοὺς Ἕλληνας δέ φησι διὰ τοῦτο ἀναπολογήτους εἶναι, ὅτι καὶ λόγῳ τιμηθέντες, καὶ τῆς κτίσεως τὸ κάλλος καταμαθόντες, καὶ ἀπ' αὐτῆς δυνάμενοι πρὸς τὸν δημιουργὸν χειραγωγηθῆναι, τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ εἰς δέον ἐχρήσαντο. [k]Ὁρᾷς πανταχοῦ τοῖς πονηροῖς τὰς ἀφορμὰς τοῦ μειζόνως κολάζεσθαι ἀπὸ τῶν ἀγαθῶν γινομένας πραγμάτων; Ἀλλ' οὐ δήπου διὰ τοῦτο κατηγορήσομεν τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ἀλλὰ ταύτας μὲν θαυμασόμεθα μειζόνως καὶ μετὰ ταῦτα, τὴν δὲ γνώμην τῶν εἰς τἀναντία τοῖς ἀγαθοῖς κεχρημένων διαβαλοῦμεν. Τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ νόμου ποιῶμεν. Ἀλλὰ τοῦτο μὲν ῥᾴδιον καὶ εὔκολον, τὸ δὲ ἄπορον ἐκεῖνό ἐστι· πῶς φησι, τὴν ἐπιθυμίαν οὐκ [l]ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις; Εἰ γὰρ οὐκ ᾔδει τὴν ἐπιθυμίαν πρὶν [m]ἢ λαβεῖν τὸν νόμον [n]ὁ ἄνθρωπος, πόθεν ὁ κατακλυσμὸς γέγονε; πόθεν τὰ Σόδομα ἐνεπρήσθη; Τί οὖν φησι; Τὴν [o]ἐπιτεταμένην. Διὰ τοῦτο οὐκ εἶπε, κατειργάσατο ἐν ἐμοὶ ἐπιθυμίαν, ἀλλὰ, " πᾶσαν ἐπιθυμίαν," τὸ σφοδρὸν ἐνταῦθα αἰνιττόμενος. Καὶ τί τοῦ νόμου τὸ κέρδος, εἰ τὸ πάθος ηὔξησε, φησίν; Οὐδέν, ἀλλὰ καὶ πολὺ τὸ βλάβος· ἀλλ' οὐ τοῦ νόμου τὸ ἔγκλημα, ἀλλὰ τῆς ῥᾳθυμίας τῶν δεξαμένων. Ἡ γὰρ ἁμαρτία αὐτὸ κατειργάσατο, ἀλλὰ διὰ νόμου· ἀλλ' οὐ τοῦτο τοῦ νόμου σπουδάζοντος, ἀλλὰ [p]καὶ τὸ ἐναντίον. Ἰσχυροτέρα οὖν γέγονε, [q]φησίν, ἡ ἁμαρτία, καὶ σφοδρά. Ἀλλ' οὐδὲ τοῦτο ἔγκλημα τοῦ νόμου πάλιν, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. " Χωρὶς γὰρ νόμου [r]ἡ ἁμαρτία νεκρά" τουτέστιν, οὐχ οὕτω γνώριμος. Ἤιδεσαν μὲν γὰρ καὶ οἱ πρὸ τοῦ νόμου, ὅτι ἡμάρτανον, ἀκριβέστερον δὲ ἔμαθον μετὰ [s]τὴν τοῦ νόμου δόσιν. Διὰ τοῦτο καὶ μείζονος ἦσαν κατηγορίας ὑπεύθυνοι. Οὐδὲ γὰρ ἴσον ἦν φύσιν ἔχειν [t]κατήγορον, καὶ μετὰ τῆς φύσεως καὶ τὸν νόμον φανερῶς διαγορεύοντα ἅπαντα.

19" Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ." Πότε, εἰπέ μοι;

18 Heb. x. 29. 19 v. 9.

[h] ὁ accessit ex omnibus. ὁ Π. περὶ τ. χ. φησὶ διαλεγόμενος hoc ord. G. [i] τὴν om. A.E.F.H.I. [k] ὁρᾷς pro ὅρα A.E.G.H.I. ὁρᾷς πῶς πανταχοῦ H. [l] εἰδέναι I. [m] ἢ om. G. Statim λαβεῖν pro λάβῃ A.D.E.F.G.H.I. [n] ὁ om. G. [o] ἐπιτεταγμένην G. Post ἐπιτεταμ. add. ἐπιθυμίαν D.E. [p] καὶ accessit ex A.D.E.F.G.I. Recepit etiam Montef. [q] φησὶν est in B.D.E. F.H.I. non in Edd. φησὶ ante γέγονεν habet G. [r] ἡ om. G.I. [s] τὴν aberat ante Montef. invitis libris. [t] κατήγ.] ὑπὸ κατήγ. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B Πρὸ Μωϋσέως. Ὅρα πῶς [v]δείξαι σπουδάζει, καὶ ἀφ' ὧν ἐποίησε, καὶ ἀφ' ὧν οὐκ ἐποίησε, βαρήσαντα τὴν ἀνθρωπίνην φύσιν. Ὅτε γὰρ χωρὶς νόμου ἔζων, φησὶν, οὐχ οὕτω κατεδικαζόμην· "Ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία [w]ἀνέζησεν, [20]ἐγὼ δὲ ἀπέθανον." Τοῦτο δοκεῖ μὲν εἶναι κατηγορία τοῦ νόμου· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἐγκώμιον αὐτοῦ φανεῖται [x]ὄν. Οὐ γὰρ μὴ οὖσαν ὑπεστήσατο, ἀλλὰ κρυπτομένην ἔδειξεν· ὅπερ καὶ ἔπαινός ἐστι τοῦ νόμου, εἴγε πρὸ τούτου μὲν ἀνεπαισθήτως ἡμάρτανον, τούτου δὲ ἐλθόντος, εἰ καὶ μηδὲν C ἕτερον ἐκαρπώσαντο, τοῦτο γοῦν αὐτὸ ἀκριβῶς ἔμαθον, ὅτι ἡμάρτανον· ὅπερ οὐκ ἂν εἴη μικρὸν εἰς κακίας ἀπαλλαγήν. Εἰ δὲ μὴ ἀπηλλάγησαν τῆς κακίας, οὐδὲν τοῦτο πρὸς τὸν πάντα ὑπὲρ τούτου ποιήσαντα νόμον, [y]ἀλλ' ἡ πᾶσα κατηγορία τῆς ἐκείνων γνώμης ἐστὶ, παρ' ἐλπίδα πᾶσαν διαφθαρείσης. Οὐδὲ γὰρ κατὰ λόγον ἦν τὸ γινόμενον, τὸ διὰ τῶν ὠφελούντων βλάπτεσθαι. Διὸ καὶ [z]ἔλεγεν, "Εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον." Οὐκ [a]εἶπε, γέγονε θάνατος, [b]οὐδὲ, ἔτεκε θάνατον, ἀλλ', "εὑρέθη," τὸ καινὸν καὶ παράδοξον τῆς ἀτοπίας οὕτως ἑρμηνεύων, καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπων D κεφαλήν. [s]Ἂν γὰρ τὸν σκοπὸν αὐτῆς ἐθέλῃς ἰδεῖν, εἰς ζωὴν ἦγε, φησὶ, καὶ διὰ τοῦτο ἐδόθη· εἰ δὲ θάνατος ἐντεῦθεν ἐξέβη, τῶν λαβόντων [c]τὴν ἐντολὴν τὸ ἔγκλημα, οὐ τῆς ἐπὶ τὴν ζωὴν ἀγούσης. Σαφέστερον δὲ αὐτὸ τοῦτο καὶ διὰ τῶν ἑξῆς ἐδήλωσεν, εἰπών· [21]"Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν." Εἶδες [d]πῶς παντα-χοῦ τῆς ἁμαρτίας ἔχεται, τὸν νόμον ἀπαλλάττων κατηγορίας ἁπάσης; Διὸ καὶ ἐπήγαγε λέγων· [22]"Ὥστε [e]ὁ νόμος ἅγιος, καὶ E ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή." Ἀλλ', εἰ βούλεσθε, καὶ τῶν παραποιούντων τὰς ἐξηγήσεις [f]ταύτας εἰς μέσον τὸν λόγον ἀγάγωμεν· οὕτω γὰρ σαφέστερα ἔσται τὰ παρ' ἡμῶν λεγόμενα. Τινὲς γὰρ ἐνταῦθα οὐ περὶ τοῦ νόμου Μωϋσέως αὐτόν φασι λέγειν τὰ [g]λεγόμενα, ἀλλ' οἱ μὲν περὶ τοῦ φυσικοῦ, οἱ δὲ περὶ τῆς ἐντολῆς τῆς ἐν τῷ παραδείσῳ δοθείσης. Καὶ μὴν πανταχοῦ σκοπὸς τῷ Παύλῳ [h]τοῦτον ἀναπαῦσαι τὸν νόμον,

[20] v. 10. [21] v. 11. [22] v. 12.

[v] δεῖξαι] +τὸν νόμον Edd. repugnantibus libris. [w] ἔζησεν H. [x] ὂν accessit ex omnibus. [y] ἀλλ' ἡ (ἡ H.) πᾶσα κ.] Sic omnes. ἀλλὰ πᾶσα ἡ κ. Edd. [z] ἔλεγε, καὶ εὑρέθη Edd. καὶ deest in omnibus. [a] εἶπε] +δὲ A.E. [b] οὐδὲ] ἢ A.D.E. [c] τὴν ἐντολὴν] αὐτὴν D.E. [d] πῶς om. A.H. [e] ὁ] καὶ ὁ G. [f] ταύτας] τούτων G. [g] γενόμενα G. [h] τοῦτον ἀ. τὸν ν.] τὸν ν. τοῦ Μωϋσέως εὐθύνειν I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς δὲ ἐκείνους οὐδένα λόγον [i]ἔχει· καὶ μάλα εἰκότως· [k]τοῦτον γὰρ οἱ Ἰουδαῖοι δεδοικότες καὶ φρίττοντες, ἐφιλονείκουν τῇ χάριτι. Τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ οὐδὲ νόμον [l]ποτὲ φαίνεται καλέσας, [m]οὔτε αὐτὸς οὔτε ἄλλος οὐδείς. Ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν εἰρημένων [n]τοῦτο σαφέστερον γένηται, 551
ἐπεξέλθωμεν τοῖς ῥήμασι, μικρὸν [o]ἀνωτέρω τὸν λόγον ἀναγαγόντες. Περὶ γὰρ πολιτείας [p]ἀκριβοῦς αὐτοῖς διαλεχθεὶς, ἐπήγαγε λέγων· "Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; Ὥστε [q]καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ." Οὐκοῦν εἰ περὶ τοῦ φυσικοῦ ταῦτα εἴρηται, εὑρεθησόμεθα [r]μὴ ἔχοντες νόμον φυσικόν· εἰ δὲ τοῦτο ἀληθὲς, τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Περὶ [s]γὰρ τοῦ ἐν τῷ παραδείσῳ οὐδὲ φιλονεικεῖν ἀναγκαῖον, ἵνα μὴ περιττὸν ἀναδεξώμεθα [t]πόνον, πρὸς τὰ ὡμολογημένα ἀποδυόμενοι. Πῶς οὖν φησι, "Τὴν ἁμαρτίαν οὐκ B
ἔγνων, εἰ μὴ διὰ νόμου;" Οὐ τὴν καθόλου [v]λέγων ἄγνοιαν, ἀλλὰ τὴν ἀκριβεστέραν γνῶσιν. Εἰ γὰρ περὶ τοῦ φυσικοῦ
(95) τοῦτο [w]εἴρηται, πῶς ἂν τὸ ἐξῆς ἔχοι λόγον; "Ἐγὼ γὰρ, φησὶν, ἔζων χωρὶς νόμου ποτέ." Οὔτε γὰρ ὁ Ἀδὰμ, οὔτε ἄλλος [x]ἄνθρωπος οὐδεὶς οὐδέποτε φαίνεται χωρὶς νόμου ζήσας φυσικοῦ· ὁμοῦ τε γὰρ αὐτὸν ἔπλαττεν ὁ θεὸς, καὶ ἐκεῖνον [y]ἐνετίθει τὸν νόμον αὐτῷ, σύνοικον ἀσφαλῆ παρακαθιστὰς τῇ φύσει πάσῃ. Χωρὶς [z]δὲ τούτων οὐδαμοῦ φαίνεται ἐντολὴν τὸν φυσικὸν νόμον καλέσας· τοῦτον δὲ καὶ ἐντολὴν, καὶ δικαίαν καὶ ἁγίαν καλεῖ, καὶ νόμον πνευματικόν. Ὁ δὲ φυσικὸς οὐκ ἀπὸ C
πνεύματος ἡμῖν ἐδόθη· καὶ γὰρ καὶ βάρβαροι καὶ Ἕλληνες καὶ πάντες [a]τὸν νόμον τοῦτον ἔχουσιν ἄνθρωποι. Ὅθεν δῆλον, ὅτι περὶ τοῦ Μωϋσαϊκοῦ καὶ ἄνω καὶ κάτω [b]καὶ πανταχοῦ διαλέγεται. Διὸ καὶ ἅγιον αὐτὸν καλεῖ λέγων· "Ὥστε ὁ [c]μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή." Εἰ γὰρ καὶ ἀκάθαρτοι γεγόνασιν [d]οἱ Ἰουδαῖοι μετὰ τὸν νόμον, καὶ ἄδικοι καὶ πλεονέκται, οὐ καταργεῖ τοῦτο τοῦ νόμου [e]τὴν

[i] ἔχειν Edd. ante Ben. ἴσ. ἔχει Sav. marg. ἔχει est in A.B.D.F.G.H.I. [k] τοῦτον pro τοῦτο A.B.D.E.F.H.I. [l] ποτὲ φ. pro φ. ποτε omnes. [m] οὔτε αὐτὸς om. G. add. corr. οὔτε οὗτος. [n] τοῦτο om. G. [o] ἀνωτέρω] ἄνω πρῶτον G. Statim ἀγαγόντες G.I. [p] ἀκριβοῦς omnes. ἀκριβῶς Edd. [q] καὶ accessit ex omnibus. [r] μὴ ἔχοντες νόμον pro νόμον μὴ ἔχοντες omnes. [s] γὰρ] δὲ D.E. [t] πόνον pro πόλεμον A.B.D.E.F.H.I. [v] λέγει I. [w] εἴρηται A.D.E. Mox τὰ ἑξῆς G. [x] ἀνθρώπων D.E. Statim οὐδὲ εἰς A.D.E.F. [y] ἐτίθει I. [z] δὲ om. G. [a] τὸν ν. τοῦτον ἔχουσιν ἄνθρωποι] Sic omnes. ἄνθρωποι τοῦτον τὸν ν. ἔχουσιν Edd. [b] καὶ om. G. [c] μὲν om. G. Mox καὶ δικαία om. idem. [d] οἱ et p.p. τὸν om. G. [e] τὴν ἀρετὴν] τὸν θεραπευτὴν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρετὴν, ὥσπερ τοῦ θεοῦ τὴν πίστιν οὐκ ἀναιρεῖ ἡ ἀπιστία
D αὐτῶν. Ὥστε ἐξ ἁπάντων τούτων δῆλον, ὅτι περὶ τοῦ [f]Μωϋσέως ταῦτα διαλέγεται νόμου.

23 "[g]Τὸ οὖν ἀγαθὸν, φησὶν, ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο· ἀλλ' ἡ ἁμαρτία, ἵνα φανῇ [h]ἡ ἁμαρτία." Τουτέστιν, ἵνα δειχθῇ ὅσον κακὸν ἡ ἁμαρτία, ἡ ῥᾳθυμος προαίρεσις καὶ ἡ ἐπὶ τὸ χεῖρον ὁρμὴ, [i]καὶ αὐτὴ δὲ ἡ πρᾶξις, καὶ ἡ διεφθαρμένη γνώμη· τοῦτο γὰρ [k]πάντων αἴτιον τῶν κακῶν. Αὔξει δὲ αὐτὴν, δεικνὺς τῆς τοῦ Χριστοῦ χάριτος τὴν ὑπερβολὴν, καὶ διδάσκων οἷου κακοῦ τὸ τῶν ἀνθρώπων ἀπήλλαξε γένος, ὃ καὶ διὰ τῶν [l]ἰατρικῶν φαρμάκων χεῖρον ἐγίνετο, καὶ διὰ τῶν κω-
E λυόντων ηὔξετο. Διὸ καὶ [m]ἐπάγει λέγων· "Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." Εἶδες [n]πανταχοῦ πῶς ταύτῃ συμπλέκεται· καὶ δι' ὧν αὐτῆς κατηγορεῖ, δείκνυσι πάλιν μειζόνως τοῦ νόμου τὴν ἀρετήν; Οὐδὲ γὰρ μικρὸν ἤνυσε δείξας ὅσον [o]ἡ ἁμαρτία κακὸν, καὶ πάντα τὸν ἰὸν αὐτῆς ἐκκαλύψας, καὶ εἰς μέσον προθείς· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς." Τουτέστιν, ἵνα φανῇ ἡλίκον κακὸν, ἡλίκος ὅλεθρος ἡ ἁμαρτία· τοῦτο δὲ διὰ τῆς ἐντολῆς ἐδείχθη. Ἐκ τούτων καὶ τὴν ὑπεροχὴν δείκνυσι τῆς χάριτος πρὸς τὸν
552 νόμον· τὴν ὑπεροχὴν, οὐ τὴν μάχην. Μὴ γὰρ τοῦτο ἴδῃς, ὅτι χείρους ἐγένοντο οἱ δεξάμενοι, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι οὐ [p]μόνον εἰς ἐπίτασιν τὴν κακίαν [q]ἀγαγεῖν οὐκ ἤθελεν ὁ νόμος, ἀλλὰ καὶ τὴν προϋπάρχουσαν [r]ἐκκόψαι ἐσπούδαζεν. Εἰ δὲ οὐκ ἴσχυσε, [s]στεφάνου μὲν ἐκεῖνον ἀπὸ τῆς γνώμης· προσκύνει δὲ μειζόνως τοῦ Χριστοῦ τὴν δύναμιν, [t]ἢ ποικίλον οὕτω κακὸν καὶ δυσκαταγώνιστον ἠφάνισέ τε καὶ πρόρριζον ἐκτεμοῦσα ἀνέσπασεν. Ἁμαρτίαν δὲ ὅταν ἀκούσῃς, μὴ δύναμίν τινα ἐνυπόστατον νομίσῃς, ἀλλὰ τὴν πρᾶξιν τὴν πονηρὰν, ἐπιγινομένην τε καὶ ἀπογινομένην ἀεὶ, [v]καὶ οὔτε πρὸ τοῦ γενέσθαι οὖσαν, καὶ μετὰ
B τὸ γενέσθαι πάλιν ἀφανιζομένην. Διὰ γὰρ τοῦτο καὶ [w]νόμος ἐδόθη· νόμος δὲ οὐδέποτε ἐπ' ἀναιρέσει τῶν φυσικῶν δίδοται,

23 v. 13.

[f] Μωϋσέως omnes. Μωϋσαϊκοῦ Edd. [g] τὸ] τί H. [h] ἡ om. B.D.E.G.I. non Mosqq. [i] καὶ αὐτὴ δὲ ἡ πρᾶξις om. D.E. [k] ἁπάντων A.D.E.F.H. [l] ἰατρικῶν B.D.E.F.G.H.I. ἰατικῶν Veron. Sav. Mor. [m] ἐπήγαγε A.F.H.I. [n] πανταχοῦ πῶς] πῶς πανταχοῦ A.D.E.F.H.I. Statim ταύτῃ pro ταυτὶ omnes. [o] ἡ om. A.E.F.I. [p] μόνον]+ἂν G. [q] ἀναγαγεῖν B. Statim ἠθέλησεν I. [r] ἐγκόψαι F. [s] στεφάνου μὲν] στεφανοῖ μὲν A.F. στεφανοῦμεν G. Mox προσκυνεῖ F. [t] ἢ pro ὅτι A.B.D.F.H.I. ᾗ E.G. [v] καὶ οὔτε——οὖσαν om. G. [w] νόμος] ὁ νόμος D.E.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἐπὶ διορθώσει τῆς κατὰ προαίρεσιν πονηρᾶς πράξεως. Καὶ τοῦτο [x]καὶ οἱ ἔξωθεν ἴσασι νομοθέται, καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις. Τὰ γὰρ ἐκ ῥᾳθυμίας γινόμενα κακὰ [y]ἀναστέλλουσι μόνον, οὐ τὰ τῇ φύσει συγκεκληρωμένα ἐπαγγέλλονται ἐκκόπτειν· οὐδὲ γὰρ δυνατόν. Τὰ γὰρ τῆς φύσεως ἀκίνητα μένει, ὃ πολλάκις πρὸς ὑμᾶς [z]καὶ ἐν ἑτέραις εἰρήκαμεν διαλέξεσι.

[a]Διόπερ τοὺς ἀγῶνας [b]τούτους ἀφέντες, τὸν ἠθικὸν πάλιν γυμνάσωμεν λόγον· μᾶλλον δὲ καὶ τοῦτο [c]τὸ μέρος τῶν ἀγώνων ἐκείνων ἐστίν. [d]Ἂν γὰρ κακίαν [d]ἐκβάλωμεν, καὶ ἀρετὴν εἰσαγάγωμεν, καὶ διὰ [e]τούτων σαφῶς [f]διδάξομεν, ὅτι οὐ φύσει πονηρὸν ἡ κακία, καὶ τοὺς ζητοῦντας πόθεν τὰ κακά, οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ ἀπὸ [g]τῶν πραγμάτων ἐπιστομίσαι δυνησόμεθα ῥᾳδίως, τῆς μὲν αὐτῆς κοινωνοῦντες αὐτοῖς φύσεως, ἀπηλλαγμένοι δὲ τῆς πονηρίας αὐτῶν. Μὴ γὰρ [h]δὴ τοῦτο ἴδωμεν, ὅτι ἐπίπονον ἡ ἀρετὴ, ἀλλ' ὅτι κατορθωθῆναι δυνατόν· ἐὰν [i]δὲ σπουδάζωμεν, καὶ κοῦφον ἡμῖν [k]ἔσται καὶ εὔκολον. Εἰ
(96) δὲ τὴν ἡδονήν μοι λέγεις τῆς κακίας, λέγε καὶ τὸ τέλος αὐτῆς· εἰς γὰρ θάνατον [l]αὕτη καταστρέφει, καθάπερ ἡ ἀρετὴ εἰς ζωὴν ἡμᾶς χειραγωγεῖ. Μᾶλλον δὲ, εἰ δοκεῖ, καὶ πρὸ τοῦ τέλους [m]ἑκατέραν αὐτῶν ἐξετάσωμεν· ὀψόμεθα γὰρ τὴν μὲν κακίαν πολλὴν ἔχουσαν τὴν ὀδύνην, τὴν δὲ ἀρετὴν [n]τὴν ἡδονήν. Τί γὰρ ἀλγεινότερον, εἰπέ μοι, συνειδότος πονηροῦ; τί δὲ ἥδιον ἐλπίδος χρηστῆς; Οὐδὲν γὰρ οὕτως, οὐδὲν κόπτειν ἡμᾶς εἴωθεν καὶ πιέζειν, ὡς προσδοκία πονηρά· [o]οὐδὲν οὕτως ἀνέχει, καὶ μικροῦ [p]πέτεσθαι ποιεῖ, ὡς συνειδὸς ἀγαθόν. Καὶ τοῦτο [q]καὶ ἀπὸ τῶν παρ' ἡμῖν γινομένων ἔστι [r]μαθεῖν. Τῶν γὰρ διὰ τοῦ στενωποῦ χωρούντων ἐπαιτῶν, καὶ μηδὲν [s]ἑαυτοῖς συνειδότων πονηρὸν, οἱ τὸ δεσμωτήριον οἰκοῦντες καὶ καταδίκην ἀναμένοντες, κἂν [t]μυριάκις τρυφῆς ἀπολαύωσιν, ἀλγεινότερον ζῶσιν·

[x] καὶ om. B. [y] ἀναγγέλλουσι A.F.I. [z] καὶ om. G. Statim εἰρήκαμεν pro εἴρηκα A.B.D.E.F.G.I. [a] ΗΘΙΚΟΝ. Περὶ διαφόρων νεκρότητος τρόπων, καὶ κατὰ φιλαργύρων καὶ πλεονεκτῶν. Veron. [b] τούτων H. [c] τὸ om. B.D.E.F.H.I. [d] ἐκβάλωμεν A.B.D.E.F.G.I. ἐκβάλλωμεν Edd. [e] τοῦτο H. [f] διδάξωμεν Edd. ἴσ. διδάξομεν Sav. marg. διδάξομεν D. et ex corr. A. δείξωμεν G. [g] τῶν om. A.D.E.H.I. Mox δυνησόμεθα ῥᾳδίως ἐπιστομίσαι hoc ord. Edd. repugnantibus libris. [h] δὴ τοῦτο omnes. τοῦτο δὴ Edd. [i] δὲ om. G. [k] ἐστι G. [l] αὐτὴ E.F.H.I. [m] ἑκατέραν A.B.D.E.F.H.I. ἑκάτερον Edd. [n] τὴν om. G.H. [o] οὐδὲν]+γὰρ F. [p] πέτασθαι G. πετασθῆναι A.E.F.H.I. [q] καὶ accessit ex A.B.D.E.F.G.H. [r] μαθεῖν pro καταμαθεῖν A.B.D.E.F.H.I. [s] ἑαυτοῖς omnes. ἑαυτῶν Veron. Sav. Mor. Correxit Montef. [t] μυριάκις A.D.E.F.G.H.I. μυρίας Edd. Statim τρυφῆς pro τροφῆς omnes. Deinceps ἀπολαύωσιν pro ἀπολαύσωσιν A.B.D.E.F.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ γὰρ προσδοκία τῶν δεινῶν οὐκ ἀφίησι τῶν ἐν χερσὶν ἡδέων αἰσθάνεσθαι. Καὶ τί λέγω τοὺς δεσμώτας; Τῶν γὰρ ἔξω διατριβόντων καὶ πλουτούντων, πονηρά [v] τε συνειδότων ἑαυτοῖς, ἄμεινόν εἰσι πολλῷ διακείμενοι οἱ [w] κάμνοντες χειροτέχναι, καὶ δι' ὅλης [x] ἡμέρας πόνοις συζῶντες. Καὶ τοὺς [y] μονομάχους δὲ διὰ τοῦτο ταλανίζομεν, καίτοιγε ἐν καπηλείοις ὁρῶντες μεθύ-
553 οντας, τρυφῶντας, γαστριζομένους, καὶ πάντων ἀθλιωτέρους εἶναί φαμεν, ὅτι πολλῷ [z] μείζων τῆς ἡδονῆς ἐκείνης ἡ τῆς προσδοκωμένης τελευτῆς συμφορά. Εἰ δὲ ἐκείνοις [a] ἡδὺς οὗτος ὁ βίος εἶναι δοκεῖ, ἀναμνήσθητε τοῦ λόγου, οὗ συνεχῶς λέγω πρὸς ὑμᾶς, [b] ὅτι οὐδὲν θαυμαστὸν μὴ [c] φυγεῖν κακίας πικρίαν καὶ λύπην ἐν κακίᾳ ζῶντα. Ἰδοὺ γὰρ πρᾶγμα οὕτως ἐπάρατον ἐπέραστον τοῖς [d] μετιοῦσιν εἶναι δοκεῖ. Ἀλλ' οὐ διὰ τοῦτο αὐτοὺς μακαρίζομεν, ἀλλὰ καὶ δι' αὐτὸ μὲν [e] οὖν τοῦτο ταλανίζομεν, ὅτι οὐδὲ [f] οἱ τῶν κακῶν εἰσιν, ἴσασι. Τί δὲ ἂν εἴποις περὶ τῶν
B [g] μοιχῶν, οἳ διὰ μικρὰν ἡδονὴν καὶ δουλείαν ἀπρεπῆ καὶ χρημάτων δαπάνην καὶ φόβον διηνεκῆ καὶ βίον ἁπλῶς [h] τὸν τοῦ Καΐν ὑπομένουσι, μᾶλλον δὲ καὶ ἐκείνου πολλῷ χαλεπώτερον, καὶ τὰ παρόντα δεδοικότες καὶ τὰ μέλλοντα [i] τρέμοντες, καὶ φίλους καὶ ἐχθροὺς ὑποπτεύοντες, καὶ τοὺς εἰδότας καὶ τοὺς μηδὲν εἰδότας; Καὶ οὐδὲ ἡνίκα ἂν καθεύδωσι, ταύτης ἀπαλλάττονται τῆς ἀγωνίας, τοῦ πονηροῦ συνειδότος ὀνείρατα πολλῶν γέμοντα φόβων ἀναπλάττοντος αὐτοῖς, καὶ ἐκδειματοῦντος οὕτως. Ἀλλ' [k] οὐχ ὁ σώφρων [l] τοιοῦτος, ἀλλ' ἐν ἀνέσει καὶ ἐλευθερίᾳ πολλῇ τὸν [m] ἅπαντα διάγει βίον. Ἀντίστησον τοί-
C νυν [n] ἐκείνῃ τῇ μικρᾷ ἡδονῇ τὰ πολλὰ κύματα τῶν φόβων τούτων, καὶ τῷ βραχεῖ πόνῳ τῆς ἐγκρατείας τὴν γαλήνην τῆς διηνεκοῦς ζωῆς, καὶ ὄψει ταύτην ἐκείνης οὖσαν ἡδίω. Ὁ δὲ ἁρπάζειν βουλόμενος, εἰπέ μοι, καὶ τοῖς ἀλλοτρίοις ἐπιτίθεσθαι [o] χρήμασιν, οὐχὶ μυρίους ὑπομένει πόνους, περιτρέχων, κολακεύων δούλους, ἐλευθέρους, θυρωροὺς, φοβῶν, ἀπειλῶν, ἀναισχυντῶν, ἀγρυπνῶν, τρέμων, ἀγωνιῶν, ὑφορώμενος [p] ἅπαντα; Ἀλλ'

[v] τε, quod aberat, est in A.D.F.H.I. δὲ pro τε G. [w] πονοῦντες D.E. [x] τῆς ἡμέρας B. [y] μοναχοὺς H. μοιχοὺς corr. ex μοναχοὺς G. [z] μεῖζον F.H. [a] ἡδὺς οὗτος] οὕτως G. [b] ὅτι] καὶ B. [c] φεύγειν G. Mox ζῶντα om. G. Veron. [d] μετιοῦσιν] πολλοῖς E. [e] οὖν om. H. [f] οἱ] οἷον Veron. οἷον κακῶν εἰσιν ἄξιοι αἰσθάνονται pro οἱ τῶν κ. εἰσιν ἴσασι G. [g] μοιχῶν] μικρῶν G. Statim οἱ καὶ διὰ D.G. [h] τὸν om. H. [i] τρέμοντες καὶ φ. καὶ ἐχθροὺς om. A.H.I. τρέμοντες om. B. Tum ὑποπ. καὶ φ. καὶ ἐχθροὺς inverso ord. idem. τρέμοντες καὶ φ. ὑποπ. καὶ ἐχθροὺς E. [k] οὐχ pro οὐχὶ D.E.F.G.I. [l] τοιοῦτος] οὕτως I. [m] ἅπαντα A.D.E.F.H.I. πάντα B.G. παρόντα Edd. [n] ἐκείνῃ accessit ex B. E. F. G. H. I. [o] πράγμασιν G. [p] ἅπαντας A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐχ ὁ χρημάτων καταφρονῶν τοιοῦτος, ἀλλὰ καὶ οὗτος πάλιν πολλῆς ἀπολαύει τῆς ἡδονῆς, ἐν ἀδείᾳ ζῶν [q]καὶ μετὰ ἀσφαλείας ἁπάσης. Καὶ τὰ ἄλλα δὲ εἴ τις ἐπέλθοι τῆς κακίας μέρη, D πολὺν τὸν θόρυβον ὄψεται, πολλοὺς τοὺς σκοπέλους. Καὶ τὸ δὴ μεῖζον, ὅτι ἐπὶ μὲν τῆς ἀρετῆς [r]πρῶτα μὲν τὰ [s]ἐπίπονα, μετὰ δὲ ταῦτα τὰ ἡδέα· ὥστε καὶ [t]ταύτῃ τὸν πόνον κουφίζεσθαι· ἐπὶ δὲ τῆς κακίας ἀντιστρόφως· μετὰ τὴν ἡδονὴν [v]αἱ ὀδύναι καὶ αἱ κολάσεις· ὥστε καὶ ἐντεῦθεν τὴν ἡδονὴν ἀφανίζεσθαι. Ὥσπερ γὰρ ὁ στεφάνους ἀναμένων, οὐδενὸς αἰσθάνεται τῶν παρόντων φορτικῶν· οὕτως ὁ μετὰ τὴν ἡδονὴν κολάσεις προσδοκῶν, οὐ δύναται καρποῦσθαι καθαρὰν εὐφροσύνην, τοῦ φόβου πάντα διαταράττοντος. Μᾶλλον δὲ, εἴ τις ἀκριβῶς E ἐξετάσειε, καὶ πρὸ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης πολλὴν [w]καὶ ἐν αὐτῷ τῷ τολμᾶσθαι τὴν κακίαν ὀδύνην εὕροι τις ἂν γινομένην. Καὶ εἰ δοκεῖ, τοῦτο ἐπὶ τῶν τὰ ἀλλότρια ἁρπαζόντων ἐξετάσωμεν, ἢ καὶ τῶν ὀπωσοῦν [x]χρήματα περιβαλλομένων· καὶ φόβους ἀποστήσαντες καὶ κινδύνους καὶ τρόμον καὶ ἀγωνίαν καὶ φροντίδα καὶ πάντα ταῦτα, ὑποθώμεθα εἶναί τινα ἀπραγμόνως πλουτοῦντα, καὶ περὶ τῆς φυλακῆς τῶν ὄντων θαρροῦντα, ὅπερ ἀμήχανον, πλὴν ἀλλ' ὅμως κείσθω τῷ λόγῳ· (97) ποίαν οὖν οὗτος καρπώσεται ἡδονήν; Ὅτι πολλὰ [y]περιεβάλετο; Ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο οὐκ ἀφίησιν αὐτὸν εὐφραί- 554
νεσθαι· ἕως γὰρ ἂν [z]ἑτέρων πλειόνων ἐπιθυμῇ, ἐπιτείνεται τὰ τῆς βασάνου. Ἡ γὰρ ἐπιθυμία, ὅταν στῇ, τότε παρέχει τὴν ἡδονήν· ἐπεὶ καὶ [a]διψῶντες τότε ἀνακτώμεθα ἑαυτοὺς, ὅταν ὅσον [b]βουλόμεθα πίνωμεν· ἕως δ' ἂν διψῶμεν, κἂν πάσας ἐξαντλήσωμεν τὰς πηγὰς, μεῖζων ἡμῖν ἡ βάσανος γίνεται, κἂν μυρίους [c]ἐκπίωμεν ποταμοὺς, χαλεπώτερα τὰ τῆς κολάσεως. Καὶ σὺ τοίνυν ἂν τὰ τοῦ κόσμου [d]λάβῃς, ἔτι δὲ ἐπιθυμῇς, μείζονα εἰργάσω τὴν κόλασιν, ὅσῳ πλειόνων ἀπεγεύσω. Μὴ τοίνυν ἀπὸ τοῦ πολλὰ περιβάλλεσθαι νόμιζέ σοι προσγίνεσθαί B τινα ἡδονὴν, ἀλλ' ἀπὸ τοῦ μὴ θέλειν πλουτεῖν· ἐὰν [e]γὰρ ἐπιθυμῇς πλουτεῖν, οὐδέποτε παύσῃ μαστιζόμενος. Ἔρως γάρ

[q] καὶ om. G. [r] πρῶτον A.D.E.H.I. [s] ἐπίπονα] τραχέα καὶ δυσαχθῆ G. [t] ταύτῃ pro ταυτὶ omnes. ἴσ. ταύτῃ Sav. marg. [v] αἱ bis om. H.I. καὶ ὀδύναι καὶ κολάσεις A.F. [w] καὶ om. H. [x] χρημάτων μεταβαλλομένων H. [y] περιεβάλετο pro περιεβάλλετο B.D.E.F.H. [z] τῶν ἑτέρων Edd. τῶν abest ab A.B.E.I. Floril. p. 178. (Tom. xii. p. 509 B.) πλειόνων ἑτέρων hoc ord. A. Flor. Tum ἐπιθυμεῖ E. et ante corr. I. Locus sic legitur in G. ἕως μὲν γὰρ τῶν ἑτέρων ἐπιθυμεῖ, πλεῖον ἐπιτείνεται τ. τ. β. [a] οἱ διψῶντες A. [b] βουλώμεθα H.I. Statim ποιῶμεν (i. e. πίωμεν) G. [c] ἐκπίωμεν om. G. [d] λάβῃς pro λάβοις omnes. [e] γὰρ pro δὲ A.B.D.E.F.G. Flor. ἐὰν——πλουτεῖν om. H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστιν οὗτος ἀτέλεστος, καὶ ὅσῳπερ ἂν πλείονα προέλθῃς ὁδὸν, [f]τοσούτῳ μᾶλλον τοῦ τέλους ἀφέστηκας. [g]Ἆρ' οὖν οὐκ αἴνιγμα τοῦτο καὶ παραπληξία καὶ ἐσχάτη μανία; [g]Ἀποστῶμεν τοίνυν ἐκ πρώτης τῶν κακῶν· μᾶλλον δὲ μηδὲ ὅλως ἁψώμεθα τῆς τοιαύτης ἐπιθυμίας· κἂν ἁψώμεθα δὲ, [h]ἐκ προοιμίων ἀποπηδήσωμεν· [i]ὅπερ ὁ παροιμιαστὴς περὶ πόρνης γυναικὸς παραινεῖ C λέγων· [24]"Ἀποπήδησον, μὴ [k]ἐγχρονίσῃς, καὶ μὴ ἔλθῃς ἐπὶ [l]θύραις οἴκων αὐτῆς." Τοῦτό σοι καὶ ἐγὼ [m]περὶ τῆς φιλοχρηματίας λέγω. [n]Ἂν γὰρ ἐμπέσῃς κατὰ μικρὸν εἰς τὸ πέλαγος εἰσιὼν τῆς μανίας ἐκείνης, δυσκόλως ἐπανελθεῖν δυνήσῃ. Καὶ καθάπερ [o]ἐν τοῖς ἰλίγγοις κἂν μυριάκις φιλονεικῇς, οὐ περιέσῃ ῥᾳδίως· οὕτω, καὶ πολλῷ χαλεπώτερον, εἰς τὸ βάθος τῆς ἐπιθυμίας ταύτης ἐμπεσὼν, [p]ἀπολεῖς σεαυτὸν μετὰ τῶν ὄντων ἁπάντων.

Διὸ, παρακαλῶ, τὴν ἀρχὴν φυλαττώμεθα, καὶ τὰ μικρὰ [q]φεύγωμεν κακά· τὰ γὰρ μεγάλα ἀπὸ τούτων τίκτεται. Ὁ γὰρ καθ' ἕκαστον ἁμάρτημα μαθὼν λέγειν, οὐδὲν παρὰ τοῦτο, κατὰ D μικρὸν πάντα ἀπολεῖ. Τοῦτο γοῦν τὴν κακίαν [r]εἰσήγαγε, τοῦτο τὰς θύρας ἀνέῳξε τῷ [s]ληστῇ, τοῦτο τῆς πόλεως τὰ τείχη κατέβαλε, τὸ καθ' ἕκαστον λέγειν, οὐδὲν παρὰ τοῦτο. Οὕτω καὶ ἐπὶ τῶν [t]σωμάτων τὰ μέγιστα αὔξεται νοσήματα, ὅταν [v]τὰ μικρὰ καταφρονῆται. Ὁ Ἡσαῦ εἰ μὴ προέδωκε τὰ πρωτοτόκια, οὐκ ἂν ἀνάξιος ἐγένετο τῶν εὐλογιῶν· εἰ μὴ τῶν εὐλογιῶν ἀνάξιον ἑαυτὸν κατέστησεν, οὐκ ἂν εἰς ἀδελφοκτονίαν προελθεῖν ἐπεθύμησεν. Ὁ Καΐν εἰ μὴ τῶν πρωτείων ἠράσθη, ἀλλὰ τῷ θεῷ παρεχώρησε τούτων, οὐκ ἂν ἔσχε τὰ [w]δευτερεῖα· τὰ δευτερεῖα ἔχων [x]πάλιν, εἰ τῆς παραινέσεως ἤκουσεν, οὐκ ἂν E ᾤδινε τὸν φόνον· πάλιν τὸν φόνον ἐργασάμενος, εἰ πρὸς μετάνοιαν ἦλθε, τοῦ θεοῦ καλοῦντος αὐτὸν, [y]καὶ μὴ ἀναισχύντως ἀπεκρίνατο, οὐκ ἂν τὰ μετὰ ταῦτα ὑπέμεινε δεινά. Εἰ δὲ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ῥᾳθυμίας ταύτης κατὰ μικρὸν εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας ἦλθον, ἐννόησον τί πεισόμεθα ἡμεῖς οἱ

24 Prov. v. 8.

[f] τοσοῦτο B.E. [g] ἀποσχώμεθα G. [h] ἐκ] ἀπὸ G. [i] ὅπερ]+γὰρ A. Mox περὶ π. γ. παραινεῖ A.D.E.F.H.I. περὶ π. παραινεῖ γ. B. παραινεῖ π. π. γ. Edd. [k] χρονίσῃς G. [l] θύραις pro θύρας B.D.E.F.H.I. θυρῶν G. [m] περὶ τῆς χρηματίας H. περὶ χρημάτων G. [n] ἐὰν D.E.H.I. [o] ἐν] ἐπὶ I. Statim ἰλίγγοις pro ἴλιγξι B.D.E.F.G.I. ἠλίγγοις H. [p] ἀπολέσεις G. [q] φεύγωμεν pro φύγωμεν E.F.G.I. [r] ἐπήγαγε G. [s] ληστῇ] διαβόλῳ B.D.E. et ex corr. A. [t] σωμάτων]+τότε D.E. [v] τὰ om. H. [w] δεύτερα B. δευτέρια bis H. [x] πάλιν om. F. πάλιν τὰ δ. ἔχων hoc ord. A.H.I. [y] καὶ] +εἰ G. Mox ἀπεκρίνατο pro ἀπεκρίνετο A.B.D.E.G.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς μείζονα καλούμενοι σκάμματα, ἂν μὴ μετὰ ἀκριβείας ἑαυτοῖς προσέχωμεν, καὶ τοὺς σπινθῆρας τῶν κακῶν, πρὶν ἢ τὴν πυρὰν ἀναφθῆναι, προλαβόντες σβεννύωμεν. Οἷόν τι λέγω· ἐπιορκεῖς συνεχῶς; Μὴ πρὸς τοῦτο στῆς μόνον, ἀλλὰ καὶ τὸ ὀμνύναι ἄνελε, καὶ οὐ δείσῃ πόνου λοιπόν· πολὺ γὰρ δυσκολώτερον, ὀμνύντα μὴ ἐπιορκεῖν, ἢ μηδὲ ὀμνύναι ὅλως. Ὑβριστὴς εἶ καὶ λοίδορος καὶ πλήκτης; Γράψον [z]σεαυτῷ νόμον μὴ ὀργί- 555
ζεσθαι μηδὲ κράζειν ὅλως, καὶ συναναιρεῖται τῇ ῥίζῃ [a]καὶ ὁ καρπός. Λάγνος [b]καὶ ἄσωτος εἶ; [c]Τίθει σαυτῷ πάλιν ὅρον, ὥστε μὴ ὁρᾶν [d]εἰς γυναῖκα, [e]μήτε εἰς θέατρον ἀναβαίνειν, μηδὲ ἐν ἀγορᾷ τὰ ἀλλότρια περιεργάζεσθαι κάλλη. Πολὺ γὰρ εὐκολώτερον, τὴν ἀρχὴν [f]μὴ ἰδεῖν εὔμορφον γυναῖκα, ἢ θεασάμενον, καὶ δεξάμενον τὴν ἐπιθυμίαν, [g]ἐκβαλεῖν τὸν ἐκ ταύτης θόρυβον. Κουφότεροι γὰρ ἐν προοιμίοις οἱ ἀγῶνες· μᾶλλον δὲ οὐδὲ ἀγῶνος ἡμῖν δεῖ, ἂν μὴ τὰς θύρας ἀνοίξωμεν τῷ πολεμίῳ, B
μηδὲ τὰ σπέρματα τῆς κακίας δεξώμεθα. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν ἀκολάστως ὁρῶντα εἰς γυναῖκα [h]ἐκόλασεν, ἵνα πλείονος ἡμᾶς ἀπαλλάξῃ πόνου, πρὶν ἢ γενέσθαι τὸν ἀνταγωνιστὴν ἰσχυρὸν κελεύων [i]ἐκβάλλειν τῆς οἰκίας, ὅτε καὶ εὐκόλως ἐκβάλλεσθαι δύναται. Ποία γὰρ ἀνάγκη πράγματα ἔχειν περιττὰ, καὶ συμπλέκεσθαι τοῖς ἀνταγωνισταῖς, παρὸν χωρὶς συμπλοκῆς στῆσαι τὸ τρόπαιον, καὶ πρὸ τῆς πάλης ἁρπάσαι
(98) τὸ βραβεῖον; Οὐ γὰρ τοσοῦτος πόνος μὴ ὁρᾶν γυναῖκας ὡραίας, C
ὅσος πόνος ὁρῶντα κατέχειν· μᾶλλον δὲ [k]οὐδὲ πόνος τὸ πρότερον ἂν εἴη, [l]ἀλλ' ὁ πολὺς ἱδρὼς καὶ μόχθος μετὰ τὸ ἰδεῖν ἐγγίνεται. Ὅταν οὖν καὶ ὁ [m]πόνος ἐλάττων ᾖ, μᾶλλον δὲ [n]μηδὲ ὅλως ᾖ μόχθος τις μηδὲ πόνος, καὶ τὸ κέρδος μεῖζον, τί σπουδάζομεν εἰς τὸ πέλαγος ἐμπεσεῖν τῶν μυρίων κακῶν; [o]Οὐδὲ γὰρ εὐκολώτερον μόνον [p]ὁ μὴ ὁρῶν γυναῖκα, ἀλλὰ καὶ καθαρώτερον περιέσται τῆς τοιαύτης ἐπιθυμίας, ὥσπερ [q]οὖν ὁ ὁρῶν καὶ μετὰ πόνου πλείονος καὶ μετὰ κηλῖδός τινος ἀπαλλάττεται, ἐὰν ἄρα [r]ποτὲ ἀπαλλαγῇ. Ὁ μὲν γὰρ μὴ ἰδὼν τὴν εὔμορφον ὄψιν, [s]καὶ τῆς ἐπιθυμίας τῆς ἐντεῦθέν [t]ἐστι καθαρός· ὁ δὲ ἐπιθυμήσας D

[z] ἑαυτῷ G. [a] καὶ om. G. [b] καὶ ἄσωτος εἶ pro εἶ καὶ ἄσωτος A.B.D.E. F.H.I. [c] τίθει] θὲς I. Statim σαυτῷ pro σεαυτῷ A.B.D.E.H.I. πάλιν ὅρον σαυτῷ hoc ord. B.D.E. [d] εἰς om. I. [e] μήτε εἰς θ.] Sic nostri omnes. μήτι δὲ εἰς τὸ θ. Edd. [f] μὴ pro μηδὲ A.D.E.G.H. [g] ἐκβαλεῖν A.B.D.E. F.G.H. ἐκβάλλειν Edd. [h] ἐκώλυσεν B. [i] ἐκβαλεῖν A.E.F.H.I. [k] οὐδὲ] οὐ G. [l] ἀλλ' ὁ πολὺς] Sic A.E.F.I. ἀλλὰ πολὺς Edd. πολὺς δὲ G. [m] πόνος]+τοῖς ἀκολάστοις A.B.D.E.F.H.I. invitis Interpp. [n] μηδὲ ὅλως ᾖ omnes. μὴ ὅλως εἴη Edd. [o] οὐδὲ]οὐ F.H.I. [p] ὁ μὴ ὁρῶν] Sic omnes. τὸ μὴ ὁρᾶν Edd. ἴσ. ὁ μὴ ὁρῶν Sav. marg. [q] οὖν om. A.D.E.F.I. [r] ποτὲ] καὶ G. [s] καὶ accessit ex A.D.E.F.G.H.I. [t] ἔσται A.D.E.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδεῖν, πρότερον καταβαλὼν τὸν λογισμὸν, καὶ μολύνας αὐτὸν μυριάκις, τότε ἐκβάλλει τὴν ἀπὸ τῆς ἐπιθυμίας κηλῖδα, [v]ἂν ἄρα καὶ ἐκβάλῃ. Διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς, ἵνα μὴ [w]ταῦτα πάσχωμεν, οὐ φόνον κωλύει μόνον, ἀλλὰ καὶ ὀργήν· οὐ μοιχείαν, ἀλλὰ καὶ ὄψιν ἀκόλαστον· οὐκ ἐπιορκίαν, ἀλλὰ καὶ τὸ ὀμνύναι καθόλου. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται τοῦ μέτρου τῆς ἀρετῆς, ἀλλ' ἐπειδὴ ταῦτα ἐνομοθέτησε, καὶ ἐπὶ τὸ μεῖζον πρόεισιν. Ἀποστήσας γὰρ [x]τῶν φόνων, καὶ κελεύσας καθαρὸν εἶναι ὀργῆς, κελεύει [y]καὶ πρὸς τὸ πάσχειν κακῶς [z]ἕτοιμον εἶναι, καὶ μὴ
Ε τοσοῦτον παρεσκευάσθαι παθεῖν, ὅσον ὁ ἐπιβουλεύων βούλεται, [a]ἀλλ' ὑπερβαίνειν περαιτέρω, καὶ νικᾶν αὐτοῦ τῆς μανίας τὴν ὑπερβολὴν τῇ τῆς οἰκείας φιλοσοφίας περιουσίᾳ. Οὐδὲ γὰρ [b]εἶπεν, ἐάν τις σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, [c]φέρε γενναίως καὶ ἡσύχαζε, ἀλλὰ προσέθηκε [d]τούτῳ καὶ τὸ τὴν ἑτέραν αὐτῷ παρασχεῖν· [25] "Στρέψον [e]γὰρ αὐτῷ, φησὶ, καὶ τὴν ἄλλην." Τοῦτο γὰρ ἡ λαμπρὰ νίκη, τὸ [f]πλείονα αὐτῷ παρασχεῖν ὧν βούλεται, καὶ τοὺς ὅρους τῆς πονηρᾶς ἐπιθυμίας αὐτοῦ τῇ δαψιλείᾳ τῆς οἰκείας ὑπερβῆναι μακροθυμίας. Οὕτω [g]γὰρ καὶ τὴν ἐκείνου καταλύσεις μανίαν, καὶ τοῦ προτέρου λήψῃ μισθὸν ἐκ τοῦ δευτέρου, καὶ τὴν ἐπ' ἐκείνῳ [h]καταλύσας ὀργήν. Ὁρᾷς, ὅτι πανταχοῦ [i]τοῦ μὴ κακῶς πάσχειν ἡμεῖς ἐσμεν κύριοι, οὐχ οἱ
556 ποιοῦντες ἡμᾶς; Μᾶλλον δὲ οὐ τοῦ μὴ πάσχειν κακῶς μόνον, ἀλλὰ καὶ [k]τοῦ παθεῖν εὖ αὐτοὶ τὴν ἐξουσίαν ἔχομεν· ὃ δὴ μάλιστά ἐστι θαυμαστὸν, ὅτι οὐ μόνον οὐκ ἀδικούμεθα, ἐὰν νήφωμεν, ἀλλὰ καὶ εὐεργετούμεθα, καὶ δι' αὐτῶν ὧν ἀδικούμεθα [l]παρ' ἑτέρων. Σκόπει δέ. Ὕβρισεν ὁ δεῖνα; [m]Κύριος εἶ σὺ ποιῆσαι τὴν ὕβριν ταύτην ἐγκώμιον σόν. Ἂν μὲν γὰρ ἀνθυβρίσῃς, [n]ἐπέτεινας τὴν αἰσχύνην· [o]ἂν δὲ εὐλογήσῃς τὸν ὑβρικότα, πάντας ὄψει τοὺς παρόντας στεφανοῦντάς σε καὶ ἀνακηρύττοντας.

[25] Matt. v. 39.

[v] ἂν (ἐὰν E.) ἄρα καὶ ἐκβάλῃ] Sic D.E.G. ἐὰν ἐκβάλῃ ἄρα (vel ἆρα) A.F.H.I. ἐὰν ἄρα ἐκβάλῃ Edd. [w] τοῦτο G. [x] τῶν φόβων G. τὸν φόνον Veron. [y] καὶ om. G. [z] ἕτοιμος H. [a] ἀλλ' ὑπερβαίνειν] ἀλλὰ χωρεῖν D.E. [b] εἶπεν om. G. Idem post σιαγόνα add. φησίν. [c] φέρε γ. καὶ om. I. Statim ἡσύχαζε pro ἡσύχασον omnes. [d] τοῦτο B. Statim τὸ καὶ pro καὶ τὸ D.G. [e] γὰρ] οὖν (et om. φησὶ) I. [f] πλείονα D.E.F.G.I. πλεῖον Edd. Mox ὃ pro ὧν G. [g] γὰρ pro γοῦν omnes. [h] καταλύσας omnes. καταλύσεις Edd. [i] τοῦ om. E.G. [k] τοῦ παθεῖν εὖ] Sic E.G. ut conjecerat Sav. Ante Montef. edebatur τοῦ μὴ παθεῖν (sine εὖ). τοῦ παθεῖν A.F.H. τοῦ καλῶς παθεῖν I. In G. locus sic legitur: μᾶλλον δὲ οὐ τοῦ πάσχειν μόνον, ἀλλὰ καὶ τοῦ παθεῖν εὖ, αὐτοὶ ἔχομεν τὴν ἐξουσίαν. [l] ἢ παρ' ἑτέρων Edd. ἦ, seclusum a Savilio, deest in A.B.F.H.I. [m] κ. εἶ σὺ pro σὺ κ. εἶ omnes. [n] ἐπέτεινας B.D.E. F.G.H. ἐπέτεινες Edd. [o] ἂν pro ἐὰν omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶδες πῶς δι' ὧν ἀδικούμεθα, εὐεργετούμεθα, [p]ἂν ἐθέλωμεν; Τοῦτο καὶ ἐπὶ χρημάτων, τοῦτο καὶ ἐπὶ πληγῶν, τοῦτο καὶ B
ἐπὶ τῶν ἄλλων ἁπάντων ἔστιν ἰδεῖν συμβαῖνον. [a]Ἂν γὰρ τοῖς ἐναντίοις αὐτοὺς ἀμειβώμεθα, καὶ ὑπὲρ ὧν κακῶς ἐπάθομεν, καὶ ὑπὲρ ὧν εὐεργετοῦμεν, διπλοῦν ἑαυτοῖς ὑφαίνομεν στέφανον. [b]Ὅταν τοίνυν ἐλθών τις [q]εἴπῃ, ὅτι ὁ δεινά σε ὕβρισε, καὶ κακῶς σε πρὸς ἅπαντας λέγων [r]διατελεῖ, ἐπαίνεσον πρὸς τοὺς λέγοντας τὸν [s]εἰρηκότα· οὕτω γὰρ, κἂν ἀμύνασθαι βουληθῇς, δυνήσῃ δίκην λαβεῖν. Οἱ γὰρ ἀκούοντες κἂν σφόδρα ἀνόητοι ὦσι, σὲ μὲν ἐπαινέσονται, μισήσουσι δὲ ἐκεῖνον ὡς θηρίου παντὸς [t]χαλεπώτερον, ὅτι ὁ μὲν οὐδὲν ἠδικημένος ἐλύπησε, σὺ δὲ καὶ κακῶς παθὼν, τοῖς ἐναντίοις ἠμείψω. Καὶ τὰ εἰρημένα δὲ C
πάντα οὕτω [v]δεῖξαι δυνήσῃ ἕωλα ὄντα. Ὁ μὲν γὰρ δακνόμενος τοῦ συνειδέναι τοῖς εἰρημένοις ἀπόδειξιν [w]παρέχεται τὸ ἀλγεῖν· ὁ δὲ καταγελάσας, αὐτῷ τούτῳ [x]παρὰ τοῖς παροῦσι πάσης ἑαυτὸν ἀπήλλαξεν ὑποψίας. Σκόπει τοίνυν πόσα ἐκ τούτου συλλέγεις καλά. Πρότερον ἀπαλλάττεις [y]σεαυτὸν θορύβου καὶ ταραχῆς· [z]εἶτα, μᾶλλον δὲ τοῦτο κείσθω πρῶτον, κἂν ἁμαρτήματα ἔχῃς, [a]καὶ ταῦτα ἀποδύῃ, καθάπερ ὁ τελώνης τὴν τοῦ Φαρισαίου [b]κατηγορίαν πράως ἐνεγκών. Πρὸς [c]τούτοις, φιλόσοφον κατασκευάζεις [d]σου τὴν ψυχὴν τῇ τοιαύτῃ μελέτῃ, καὶ D
μυρίων παρὰ πάντων ἀπολαύσεις ἐπαίνων, καὶ τὴν ἐπὶ τοῖς εἰρημένοις ὑποψίαν [e]ἀποδύσῃ πᾶσαν. Εἰ δὲ καὶ ἐκεῖνον [f]ἀμύνεσθαι ἐπιθυμεῖς, καὶ τοῦτο ἐκ περιουσίας ἕψεται, καὶ τοῦ θεοῦ κολά-
(99) ζοντος αὐτὸν ἀνθ' ὧν εἴρηκε, καὶ πρὸ τῆς κολάσεως ἐκείνης τῆς σῆς φιλοσοφίας ἀντὶ καιρίας αὐτῷ γινομένης πληγῆς. Οὐδὲν γὰρ οὕτω τοὺς ὑβρίζοντας ἡμᾶς δάκνειν εἴωθεν, ὡς τὸ τοὺς ὑβριζομένους ἡμᾶς τῶν ὕβρεων καταγελᾶν. Ὥσπερ οὖν ἐκ τοῦ φιλοσοφεῖν τοσαῦτα ἔσται καλὰ, οὕτως ἐκ τοῦ μικροψύχους εἶναι τὰ ἐναντία συμβήσεται ἅπαντα. Καὶ γὰρ ἑαυτοὺς κα- E
ταισχύνομεν, καὶ ὑπεύθυνοι παρὰ τοῖς παροῦσι δοκοῦμεν εἶναι τοῖς λεγομένοις, καὶ τὴν ψυχὴν θορύβου πληροῦμεν, καὶ τὸν

[p] ἐὰν H.I. Statim ἐθέλωμεν pro θέλωμεν A.B.E.F.H.I. In G. sic: εἶδες πῶς δι' ὧν ἀδικούμεθα, δι' αὐτῶν μᾶλλον εὐεργετούμεθα, ἐὰν νήφωμεν; τοῦτο κ. τ. ἑ. [q] εἴπῃ A.B.E.F.G.H.I. εἴποι Edd. [r] διατελῇ A.F. [s] εἰρηκότα A.F.G.H.I. ὑβρικότα (sic) eadem manu Ven. b. unde ὑβρικότα migravit in Edd. [t] πονηρότερον B.G. Veron. [v] δυνήσῃ δεῖξαι inverso ord. A.D. E.F.H.I. [w] παρέχεται τὸ] παρέχει τοῦ H. [x] παρὰ om. G. [y] σαυτὸν B.D.E.H.I. [z] εἶτα μᾶλλον δὲ pro εἶτα δὲ μᾶλλον omnes, ut jam volebat Dun. εἶτα μᾶλλον (sine δὲ) Veron. [a] καὶ ταῦτα ἀποδύῃ] ἀποδύῃ ταῦτα B. ἀποδύῃ pro ἀποδύσῃ omnes. [b] κακηγ. B.D.E. [c] τούτοις]+δὲ G. [d] σοι G. [e] ἀποδύῃ A.F.G.H.I. [f] ἀμύνεσθαι F.G.H.I. ἀμύνασθαι Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐχθρὸν εὐφραίνομεν, καὶ τὸν θεὸν παροξύνομεν, καὶ τοῖς ἁμαρτήμασι προστίθεμεν τοῖς [g]προτέροις. Ταῦτ' οὖν ἅπαντα [h]ἐννοήσαντες, φύγωμεν τῆς μικροψυχίας τὸ βάραθρον, καὶ πρὸς τὸν λιμένα τῆς μακροθυμίας καταδράμωμεν, ἵνα καὶ ἐνταῦθα εὕρωμεν ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν, καθὼς καὶ ὁ Χριστὸς ἀπεφήνατο, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι
557 καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΔ.

[1]Οἴδαμεν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

B ΕΠΕΙΔΗ εἶπεν, ὅτι μεγάλα γέγονε κακὰ, καὶ ἡ ἁμαρτία δυνατωτέρα κατέστη τῆς ἐντολῆς ἐπιλαβομένη, καὶ τοὐναντίον [a]οὗπερ ἐσπούδαζεν ὁ νόμος ἐξέβη, καὶ εἰς πολλὴν τὸν ἀκροατὴν ἐνέβαλεν ἀπορίαν, λέγει καὶ τὸν λογισμὸν λοιπὸν, καθ' ὃν ταῦτα γέγονε, πρότερον ἀπαλλάξας τὸν νόμον [b]πονηρᾶς ὑποψίας. Ἵνα γὰρ μὴ ἀκούων, ὅτι διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀφορμὴν ἔλαβε, καὶ ὅτι ἐλθούσης αὐτῆς ἡ ἁμαρτία ἀνέζησε, καὶ ὅτι δι' αὐτῆς ἐξηπάτησε καὶ [c]ἀπέκτεινε, τὸν νόμον τῶν
C κακῶν τούτων [d]νομίσῃ τις αἴτιον εἶναι, πρότερον τὴν ὑπὲρ αὐτοῦ τίθησιν ἀπολογίαν μετὰ πολλῆς τῆς περιουσίας, οὐ μόνον κατηγορίας αὐτὸν ἀπαλλάττων, ἀλλὰ καὶ ἐγκώμιον αὐτῷ πλέκων μέγιστον. Καὶ τοῦτο οὐχ ὡς αὐτὸς χαριζόμενος τίθησιν, ἀλλ' ὡς κοινὴν ἐκφέρων ψῆφον. "Οἴδαμεν γὰρ, [e]φησὶν, ὅτι ὁ νόμος πνευματικός ἐστιν." Ὡσανεὶ ἔλεγεν, ὡμολογημένον τοῦτο καὶ δῆλόν [f]ἐστιν, ὅτι πνευματικός ἐστι· τοσοῦτον ἀπέχει ἁμαρτίας αἴτιος εἶναι, καὶ τῶν γεγενημένων κακῶν [g]ὑπεύθυνος. Ὅρα πῶς οὐ κατηγορίας αὐτὸν ἀπαλλάττει μόνον, ἀλλὰ καὶ ἐπαινεῖ μεθ' ὑπερβολῆς ἁπάσης. Πνευματικὸν γὰρ εἰπὼν, διδάσκαλον αὐτὸν [h]ἀρετῆς δείκνυσιν ὄντα, καὶ κακίας
D πολέμιον· τοῦτο γάρ ἐστιν εἶναι πνευματικὸν, τὸ πάντων

[1] Cap. VII. v. 14.

[g] *προτέροις*] ἡμετέροις A.D.E.F.H.I. receptum a Sav. Mor. Ben. [h] *ἐννοοῦντες* G. Hom. XIV. [a] *ὅπερ* B. [b] *τῆς πονηρᾶς* Edd. *τῆς* om. A.B.D.E.F.H.I. [c] *ἀπέκτεινε*]+*ἵν' οὖν μὴ* Edd. Haec absunt a nostris praeter B. ubi *ἵνα οὖν μὴ* legitur. Habet ea Cat. in marg. a manu recenti. [d] *νομ. τις αἴτιον* omnes. *αἴτιον νομ. τις* Edd. [e] *φησὶν* om. G. [f] *ἐστιν* om. G. [g] *ἀνεύθυνος* F.H.I. Statim *καὶ ὅρα πῶς* Edd. *καὶ* om. A.F.G.H.I. Cat. *ὁρᾷς* pro *ὅρα* A.F.H.I. Cat. [h] *δείκνυσιν ἀρετῆς* inverso ord. A.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[i]ἁμαρτημάτων ἀπάγειν· ὅπερ οὖν καὶ ὁ νόμος ἐποίει, φοβῶν, νουθετῶν, κολάζων, διορθούμενος, τὰ περὶ ἀρετῆς συμβουλεύων ἅπαντα. Πόθεν [k]οὖν ἡ ἁμαρτία [l]γέγονεν, εἰ οὕτω θαυμαστὸς ὁ διδάσκαλος; Παρὰ τὴν τῶν μαθητῶν ῥᾳθυμίαν. [m]Διὸ ἐπήγαγε λέγων, "ἐγὼ δὲ σαρκικός εἰμι," τὸν ἐν τῷ νόμῳ καὶ πρὸ τοῦ νόμου πολιτευόμενον ἄνθρωπον [n]ὑπογράφων νῦν. "[o]Πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν." Μετὰ γὰρ [p]τοῦ θανάτου, φησὶ, καὶ ὁ τῶν παθῶν ἐπεισῆλθεν ὄχλος. Ὅτε γὰρ θνητὸν ἐγένετο τὸ σῶμα, ἐδέξατο [q]καὶ ἐπιθυμίαν ἀναγκαίως λοιπὸν, καὶ ὀργὴν καὶ λύπην καὶ τὰ ἄλλα πάντα· ἃ πολλῆς ἐδεῖτο φιλοσοφίας, ἵνα μὴ πλημμύραντα ἐν ἡμῖν καταποντίσῃ [r]τὸν λογισμὸν εἰς τὸν τῆς ἁμαρτίας βυθόν. Αὐτὰ μὲν γὰρ οὐκ ἦν ἁμαρτία· ἡ δὲ ἀμετρία αὐτῶν μὴ χαλινουμένη, τοῦτο εἰργάζετο. Οἷον, ἵνα ὡς ἐπὶ ὑποδείγματος ἓν αὐτῶν μεταχειρίσας εἴπω, ἡ ἐπιθυμία ἁμαρτία μὲν οὐκ ἔστιν· ὅταν δὲ εἰς [s]ἀμετρίαν ἐκπέσῃ, εἴσω τῶν τοῦ [t]γάμου νόμων οὐκ ἐθέλουσα μένειν, ἀλλὰ καὶ ἀλλοτρίαις ἐπιπηδῶσα γυναιξὶ, τότε λοιπὸν μοιχεία τὸ πρᾶγμα γίνεται, ἀλλ' οὐ παρὰ τὴν ἐπιθυμίαν, ἀλλὰ παρὰ τὴν [v]ταύτης πλεονεξίαν. Καὶ σκόπει σοφίαν Παύλου. Ἐγκωμιάσας γὰρ τὸν νόμον, ἐπὶ τὸν ἀνωτέρω χρόνον ἔδραμεν εὐθέως, ἵνα [w]δείξας 558
πῶς καὶ τότε τὸ γένος διέκειτο τὸ ἡμέτερον, καὶ ἡνίκα τὸν
(100) νόμον ἔλαβεν, ἀποφήνῃ τῆς χάριτος ἀναγκαίαν οὖσαν τὴν [x]παρουσίαν· ὅπερ πανταχοῦ κατασκευάσαι ἐσπούδακε. Τὸ γὰρ, "πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν," ὅταν λέγῃ, οὐ περὶ τῶν ἐν τῷ νόμῳ λέγει μόνον, ἀλλὰ καὶ [y]περὶ τῶν πρὸ τοῦ νόμου βεβιωκότων, καὶ [z]τῶν ἐξ ἀρχῆς γενομένων ἀνθρώπων.

Εἶτα καὶ τὸν τρόπον λέγει τῆς πράσεως καὶ τῆς ἐκδόσεως. 2"[a]Ὃ γὰρ κατεργάζομαι, φησὶν, οὐ γινώσκω." Τί ἐστιν, "οὐ γινώσκω;" Ἀγνοῶ. Καὶ πότε τοῦτο γέγονεν; οὐδεὶς B
γὰρ οὐδέποτε ἐν ἀγνοίᾳ ἥμαρτεν. Ὁρᾷς ὅτι [b]ἂν μὴ μετὰ τῆς προσηκούσης εὐλαβείας τὰς λέξεις [c]ἐκδεξώμεθα, καὶ πρὸς τὸν

2 v. 15.

[i] ἀπάγειν ἁμαρτ. hoc ord. A.D.E.F.H.I. Cat. τοῦτο γάρ ἐστιν εἶναι ἁμαρτημάτων ἀπαλλαγήν· ὅπερ οὖν G. [k] οὖν]+φησὶν Edd. φησὶν om. B.D.E.F. G.H.I. [l] γέγονεν A.F.G.H.I. ἐγεγόνει Edd. [m] διὸ]+καὶ E.G. [n] ὑπογράφει G. Statim νῦν accessit ex B.D.E.F.G.H.I. et Cat. [o] πεπραμένον B.G. [p] τὸν θάνατον G. τοῦ παθητοῦ ex corr. B. [q] καὶ τὴν ἐπ. G.I. Statim ἀνάγκη λοιπὸν G. [r] τὸν λ. omnes. Aberat articulus. [s] ἁμαρτίαν G. [t] γάμου νόμων B.D.E.F.G.H. Cat. Brix. Edebatur νόμου γάμων. [v] αὐτῆς B.E. [w] δείξῃ D.F.G. Cat. [x] παρουσίαν A.E.G.H.I. Cat. περιουσίαν vulgo. In B. haec ἀποφήνῃ—παρουσίαν absunt. [y] περὶ om. G. Cat. [z] τῶν om. B.G. [a] γὰρ om. A. [b] ἐὰν A.D.I. [c] ἐκδεξώμεθα A.B.D.E. F.H.I. Cat. Edebatur ἐκλεξώμεθα sine monito.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποστολικὸν ἴδωμεν σκοπὸν, μυρία ἕψεται [d]τὰ ἄτοπα; Εἰ γὰρ ἀγνοοῦντες ἡμάρτανον, οὐδὲ δίκην ἦσαν ἄξιοι δοῦναι. Ὥσπερ οὖν ἀνωτέρω ἔλεγε, "Χωρὶς γὰρ νόμου [e]ἁμαρτία νεκρὰ," οὐ τοῦτο δηλῶν, ὅτι οὐκ ἤδεσαν ἁμαρτάνοντες, ἀλλ' ὅτι ἤδεσαν μὲν, οὐχ οὕτω δὲ ἀκριβῶς· διόπερ ἐκολάζοντο μὲν, οὐχ οὕτω
C δὲ σφοδρῶς· καὶ πάλιν, "τὴν ἐπιθυμίαν οὐκ ἤδειν," οὐ τὴν καθόλου ἄγνοιαν δηλῶν, ἀλλὰ τὴν σαφεστάτην γνῶσιν ἐμφαίνων· ἔλεγε δὲ, ὅτι [f]καὶ κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν, οὐ τοῦτο λέγων, ὅτι ἡ ἐντολὴ τὴν ἐπιθυμίαν ἐποίησεν, ἀλλ' ὅτι τὴν ἐπίτασιν τῆς ἐπιθυμίας ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐπεισήγαγεν· οὕτω καὶ ἐνταῦθα οὐ τὴν καθόλου ἄγνοιαν δηλοῖ, λέγων, "[a]Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω" ἐπεὶ πῶς συνήδετο τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον; Τί οὖν ἐστιν, "οὐ γινώσκω;" Σκοτοῦμαι, φησὶ, συναρπάζομαι, ἐπήρειαν ὑπομένω, οὐκ οἶδα πῶς ὑποσκελίζομαι· ὅπερ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, οὐκ οἶδα πῶς ὁ δεῖνα ἐλθὼν [g]συνήρπασεν, οὐκ ἄγνοιαν προβαλλόμενοι, ἀλλὰ ἀπάτην τινὰ καὶ περίστασιν καὶ ἐπιβουλὴν ἐμφαίνοντες. "Οὐ γὰρ ὃ θέλω, τοῦτο [h]πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ." Πῶς οὖν οὐ γινώσκεις, ὃ κατεργάζῃ; Εἰ γὰρ θέλεις τὸ καλὸν, καὶ μισεῖς τὸ πονηρὸν, γνώσεως τοῦτο ἀπηρτισμένης ἐστίν. Ὅθεν δῆλον, [i]ὅτι καὶ τὸ, "ὃ οὐ
E θέλω," εἴρηκεν, οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν, οὐδὲ ἀνάγκην τινὰ εἰσάγων βεβιασμένην. Εἰ γὰρ οὐχ ἑκόντες, ἀλλ' ἀναγκαζόμενοι [k]ἡμαρτάνομεν, πάλιν τὰ τῶν κολάσεων τῶν ἔμπροσθεν γεγενημένων οὐκ ἂν ἔχοι λόγον. Ἀλλ' ὥσπερ, "οὐ γινώσκω," [l]εἰπὼν, οὐκ ἄγνοιαν ἐνέφηνεν, ἀλλ' ἅπερ εἰρήκαμεν· οὕτω καὶ τὸ "[m]ὃ οὐ θέλω," προσθεὶς, οὐκ ἀνάγκην ἐδήλωσεν, ἀλλὰ τὸ μὴ ἐπαινεῖν τὰ γινόμενα. Ἐπεὶ εἰ μὴ [n]τοῦτο ἦν δηλώσας [o]τῷ εἰπεῖν, "[a]Ὃ οὐ θέλω, τοῦτο πράσσω," [p]ἐπήγαγεν ἄν, ἀλλ' ὃ ἀναγκάζομαι καὶ βιάζομαι, τοῦτο ποιῶ· τοῦτο γὰρ [q]τῷ θέλειν καὶ τῇ ἐξουσίᾳ ἀντίκειται. Νυνὶ δὲ οὐ τοῦτο εἴρηκεν, ἀλλ' ἀντὶ τούτου τὸ, "[r]ὃ μισῶ," τέθεικεν, ἵνα μάθῃς [s]ὅτι καὶ ἐν τῷ
559 εἰπεῖν, "[t]ὃ οὐ θέλω," οὐ τὴν ἐξουσίαν ἀνεῖλε. Τί οὖν ἐστι [v]τὸ, "ὃ οὐ θέλω;" [d]Ὃ μὴ ἐπαινῶ, ὃ μὴ ἀποδέχομαι, ὃ μὴ

[d] τὰ accessit ex omnibus. [e] ἡ ἁμαρτία D.E.H.I. [f] καὶ assumtum ex A.D.E.F.G.H.I. [g] ἥρπασεν G. συνήρπασέ με Cat. [h] ποιῶ et πράσσω mutatis locis D.G. [i] ὅτι om. F.H.I. Mox ὁ ante οὐ θέλω accessit ex E.H.I. Idem tum hic, tum infra saepius in textum recepit Montef. [k] ἡμαρτάνομεν pro ἁμαρτάνομεν A.B.D.E.F.H.I. Cat. [l] εἰπὼν omnes. λέγων Edd. [m] ὃ assumtum ex B.D.E.I. [n] τοῦτο ἦν] ἦν τοῦτο A.F.H.I. Cat. [o] τῷ] τὸ H. μετὰ τὸ I. [p] ἐπήγαγεν ἄν (ἂν om. G.)] Sic omnes. πῶς οὐκ ἐπήγαγεν Edd. [q] τῷ θ. καὶ] καὶ τὸ μὴ θέλειν G. [r] ὃ accessit ex B.D.E.F. [s] ὅτι pro ὡς omnes. [t] ὃ assumtum ex B.D.E.F.I. [v] τὸ ὃ οὐ θ.] Sic B.D.E.F. ὃ οὐ θ. G. τὸ οὐ θ. Veron. Sav. Mor.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

φιλῶ· [w]οὗ πρὸς ἀντιδιαστολὴν καὶ τὰ ἑξῆς ἐπήγαγεν εἰπών, "'Αλλ' ὃ μισῶ, τοῦτο ποιῶ. [3]Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός."

[x]'Ορᾷς τέως τὴν διάνοιαν οὐ διεφθαρμένην, ἀλλὰ [y]καὶ ἐν τῇ πράξει τὴν οἰκείαν διατηροῦσαν εὐγένειαν; Εἰ γὰρ καὶ μετέρχεται τὴν κακίαν, ἀλλὰ μισοῦσα μετέρχεται, ὃ καὶ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ μέγιστον ἐγκώμιον ἂν εἴη. "Οτι γὰρ [z]καλὸς ὁ νόμος, φησὶ, δῆλον ἐξ ὧν [a]ἐμαυτοῦ κατηγορῶ, παρακούων τοῦ νόμου, καὶ μισῶν τὸ γεγενημένον. Καίτοι [b]εἰ ἁμαρτίας αἴτιος ἦν ὁ νόμος, πῶς αὐτῷ συνηδόμενος τὸ [c]ὑπ' αὐτοῦ κελευόμενον γενέσθαι [d]ἐμίσει; "Σύμφημι γὰρ τῷ νόμῳ, [e]φησὶν, B ὅτι καλός. [4]Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Οἶδα [f]γὰρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν." Ἐνταῦθα ἐπιτίθενται οἱ τὴν σάρκα διαβάλλοντες, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἀλλοτριοῦντες. Τί οὖν ἂν εἴποιμεν; [d]Α καὶ περὶ τοῦ νόμου πρώην διαλεγόμενοι εἰρήκαμεν· ὅτι, ὥσπερ ἐκεῖ τὸ πᾶν τῆς ἁμαρτίας εἶναί φησιν, οὕτω καὶ ἐνταῦθα. Οὐ γὰρ εἶπεν, ὅτι ἡ σὰρξ αὐτὸ κατεργάζεται, ἀλλὰ καὶ τοὐναντίον, ὅτι "[g]Οὐκ ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία." C
(101) Εἰ δὲ [h]λέγει, ὅτι οὐκ οἰκεῖ ἐν αὐτῇ ἀγαθὸν, οὕπω τοῦτο ἔγκλημα τῆς σαρκός· οὐ γὰρ τὸ μὴ οἰκεῖν [i]ἀγαθὸν ἐν αὐτῇ, πονηρὰν αὐτὴν δείκνυσιν οὖσαν. Ἡμεῖς δὲ ἐλάττονα μὲν [k]ὁμολογοῦμεν εἶναι τῆς ψυχῆς τὴν σάρκα καὶ καταδεεστέραν, οὐ μὴν ἐναντίαν οὐδὲ μαχομένην οὐδὲ πονηρὰν, ἀλλ' ὡς κιθάραν κιθαριστῇ, καὶ ὡς ναῦν κυβερνήτῃ. [l]οὕτως αὐτὴν ὑποκεῖσθαι τῇ ψυχῇ· ἅπερ οὐκ ἐναντία τοῖς ἄγουσι καὶ χρωμένοις ἐστὶν, ἀλλὰ καὶ σφόδρα συμβαίνοντα, οὐ μὴν ὁμότιμα τῷ τεχνίτῃ. "Ωσπερ οὖν ὁ λέγων, [m]ὅτι οὐκ ἐν τῇ κιθάρᾳ, οὐδὲ ἐν τῇ νηΐ ἡ τέχνη, ἀλλ' ἐν τῷ κυβερνήτῃ καὶ τῷ κιθαρῳδῷ, οὐ τὰ [n]ὄργανα D διέβαλεν, ἀλλὰ τὸ μέσον [o]τὸ πρὸς τὸν τεχνίτην ἔδειξεν· οὕτω

3 v. 16. 4 v. 17, 18.

[w] οὗ]+καὶ G. Mox καὶ τὸ ἑξῆς id. [x] ὅρα G. [y] καὶ accessit ex A.D.E.F.G.I. Cat. [z] καλὸν B.G. [a] ἐμαυτὸν H. Deinceps κατηγορῶν, παρακούω et μισῶ Cat. [b] εἰ]+καὶ G. [c] ὑπ'] παρ' A.F.G.I. Cat. [d] μισεῖ] A.F.G.H.I. [e] φησὶν om. B.G. φησὶ τῷ νόμῳ alio ord. I. [f] γὰρ] δὲ G. [g] οὐκ A.B.E.F.H.I. οὐκέτι Edd. Mox αὐτὸ om. G. [h] λέγοι A.D. et ex corr. H. etiam Cat. λέγει, prius λέγοι B. [i] ἀγαθὸν——οὖσαν] ἐν αὐτῇ ἀγαθὸν, πονηρὰν οὖσαν δείκνυσιν G. [k] ὁμολογοῦμεν B.D.F.G.H. Cat. ὁμολογῶμεν Veron. Sav. Mor. [l] οὕτως]+καὶ I. [m] ὅτι accessit ex A.B.D.E.H.I. Cat. [n] ὄργανα A.B.D.F.G.I. Cat. *instrumenta* Brix. Edebatur ἔργα sine animadversione. [o] τὸ πρὸς τὸν τεχνίτην] Sic omnes cum Cat. ὅσον πρὸς τ. τεχνίτην τῆς τέχνης Edd.

καὶ ὁ Παῦλος [p]εἰπών, "Οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου ἀγαθόν," οὐ τὸ σῶμα διέβαλεν, ἀλλὰ τὸ ὑπερέχον τῆς ψυχῆς ἔδειξεν. Αὕτη γάρ ἐστιν ἡ τὸ πᾶν ἐγκεχειρισμένη τῆς κυβερνήσεως καὶ τῆς κιθαρῳδίας· ὅπερ καὶ Παῦλος ἐνταῦθα δείκνυσι, τὸ κῦρος [q]τῇ ψυχῇ τιθέμενος. Καὶ εἰς δύο ταῦτα τὸν ἄνθρωπον διελὼν, ψυχὴν καὶ σῶμα, λέγει ὅτι ἀλογωτέρα μὲν ἡ σὰρξ, καὶ συνέ-
Ε σεως ἔρημος, καὶ τῶν ἀγομένων, ἀλλ' οὐ τῶν ἀγόντων· σοφωτέρα δὲ ἡ ψυχὴ, καὶ τὸ πρακτέον καὶ τὸ μὴ πρακτέον συνιδεῖν δυναμένη, οὐ μὴν ἀρκοῦσα πρὸς τὸ τὸν ἵππον ἄγχειν ὡς βούλεται· ὅπερ οὐ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς γένοιτ' ἂν ἔγκλημα, εἰδυίας μὲν ἅπερ δεῖ πράττειν, οὐκέτι δὲ εἰς ἔργον ἐκφερούσης τὰ δόξαντα. "Τὸ γὰρ θέλειν παράκειταί μοι, φησὶ, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω." [r]Πάλιν ἐνταῦθα εἰπὼν, "οὐχ εὑρίσκω," οὐκ ἄγνοιάν φησιν, οὐδὲ ἀπορίαν, ἀλλ' ἐπήρειάν τινα καὶ ἐπιβουλὴν τῆς ἁμαρτίας· ὅπερ [s]οὖν καὶ σαφέστερον δεικνὺς, ἐπήγαγεν· [5]"Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω. Εἰ δὲ
19 ο 1 [t]οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία." Εἶδες πῶς καὶ τὴν οὐσίαν τῆς ψυχῆς, καὶ τὴν οὐσίαν τῆς σαρκὸς ἀπαλλάξας ἐγκλήματος, τὸ πᾶν ἐπὶ τὴν πονηρὰν [v]πρᾶξιν μετέστησεν; Εἰ γὰρ οὐ θέλει τὸ κακὸν, ἀπήλλακται ἡ ψυχὴ, καὶ εἰ αὐτὸς αὐτὸ μὴ κατεργάζεται, ἠλευθέρωται καὶ τὸ σῶμα, καὶ μόνης τῆς [w]πονηρᾶς προαιρέσεώς ἐστι [x]τὸ πᾶν. Οὐ γὰρ ταὐτὸν ψυχῆς οὐσία καὶ σώματος, καὶ προαιρέσεως, ἀλλὰ [y]τὰ μὲν ἔστιν ἔργα θεοῦ, τὸ [z]δὲ ἐξ ἡμῶν
Β αὐτῶν γινομένη κίνησις, πρὸς ὅπερ ἂν [a]αὐτὴν βουληθῶμεν ἀγαγεῖν. Ἡ μὲν γὰρ βούλησις ἔμφυτον καὶ [b]παρὰ θεοῦ· ἡ δὲ [c]τοιάδε βούλησις ἡμέτερον καὶ τῆς γνώμης ἡμῶν.

6 "Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται." Ἀσαφὲς τὸ εἰρημένον. Τί οὖν ἐστι τὸ λεγόμενον; Ἐπαινῶ τὸν νόμον, φησὶ, κατὰ τὸ συνειδὸς, καὶ αὐτὸν δὲ εὑρίσκω ἐμοὶ τῷ βουλομένῳ τὸ καλὸν ποιεῖν συνήγορον, καὶ ἐπιτείνοντά μοι τὸ βούλημα· ὥσπερ γὰρ ἐγὼ αὐτῷ συνήδομαι, οὕτω καὶ αὐτὸς ἐπαινεῖ τὴν γνώμην τὴν

5 v. 19, 20. 6 v. 21.

[p] εἰπὼν]+ὅτι Edd. repugnantibus libris. [q] τῇ ψυχῇ omnes. τῆς ψυχῆς Edd. et Cat. [r] πάλιν ἐνταῦθα pro ἐνταῦθα πάλιν omnes. [s] οὖν om. B.D. [t] οὐ θ. ἐγὼ pro ἐγὼ οὐ θ. B.D.E.F.G.H. [v] τάξιν D. [w] πονηρᾶς om. G. Veron. [x] τὸ πᾶν om. D. [y] τὰ] ταῦτα G. [z] δὲ]+τῆς a secunda manu B. Mox γινομένη κινήσεως B. γενομένης κινήσεως F.G. γενομένη κίνησις Cat. [a] αὐτὴν om. B. post βουληθῶμεν transp. G. [b] παρὰ τοῦ θ. A.D.E.F.I. παρὰ τῷ θεῷ H. [c] τοιαύτη G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμήν. [d]Ὁρᾷς πῶς δείκνυσι τὴν μὲν τῶν καλῶν καὶ τῶν [e]οὐ τοιούτων γνῶσιν ἐξ ἀρχῆς ἡμῖν καταβεβλημένην, τὸν δὲ νόμου Μωϋσέως ἐπαινοῦντα αὐτὴν, καὶ ἐπαινούμενον παρ' αὐτῆς; C Οὐδὲ γὰρ ἀνωτέρω εἶπεν, ὅτι διδάσκομαι παρὰ τοῦ νόμου, ἀλλὰ, "σύμφημι τῷ νόμῳ·" οὔτε [f]προϊὼν, ὅτι παιδεύομαι παρ' αὐτοῦ, ἀλλ', ὅτι "συνήδομαι αὐτῷ." Τί [g]δέ ἐστι, "συνήδομαι;" Ὁμολογῶ ὡς καλῶς ἔχοντι, [h]ὥσπερ οὖν καὶ αὐτὸς ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν. [i]Ὥστε τὸ θέλειν τὸ καλὸν, καὶ τὸ μὴ θέλειν τὸ πονηρὸν, ἄνωθεν ἦν προκαταβεβλημένον· ὁ δὲ νόμος ἐλθὼν, καὶ ἐν τοῖς κακοῖς κατήγορος ἐγένετο [j]πλείων, καὶ ἐν τοῖς ἀγαθοῖς ἐπαινέτης μείζων. Ὁρᾷς πανταχοῦ ἐπίτασίν τινα καὶ προσθήκην αὐτῷ μαρτυροῦντα μόνον, [k]πλέον δὲ D οὐδέν; Καὶ γὰρ ἐπαινοῦντος αὐτοῦ, καὶ ἐμοῦ συνηδομένου καὶ θέλοντος τὸ καλὸν, τὸ κακὸν ἔτι παράκειται, καὶ ἡ πρᾶξις αὐτοῦ οὐκ ἀνήρηται. Ὥστε ὁ νόμος τῷ [l]προῃρημένῳ καλόν τι ποιῆσαι κατὰ τοῦτο σύμμαχος γίνεται μόνον, καθὸ καὶ αὐτὸς τὰ αὐτὰ αὐτῷ βούλεται. Εἶτα ἐπειδὴ ἀσαφῶς αὐτὸ τέθεικε, προϊὼν ἑρμηνεύει αὐτὸ καὶ σαφέστερον ποιεῖ, δεικνὺς πῶς τὸ κακὸν παράκειται, καὶ πῶς τῷ θέλοντι ποιεῖν τὸ καλὸν [m]μόνῳ
(102) νόμος ἐστὶν ὁ νόμος. [7]"Συνήδομαι γὰρ, φησὶ, τῷ νόμῳ τοῦ θεοῦ, κατὰ τὸν ἔσω ἄνθρωπον." [n]Ἤδειν μὲν γὰρ καὶ πρὸ τούτου, [n]φησὶ, τὸ καλὸν, εὑρὼν δὲ [o]αὐτὸ καὶ ἐν γράμμασι E κείμενον, ἐπαινῶ. [8]"Βλέπω δὲ ἕτερον [p]νόμον, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου." Νόμον ἐνταῦθα πάλιν ἀντιστρατευόμενον τὴν ἁμαρτίαν ἐκάλεσεν, οὐ διὰ τὴν [q]εὐταξίαν, ἀλλὰ διὰ τὴν σφοδρὰν ὑπακοὴν τῶν πειθομένων αὐτῇ. [r]Ὥσπερ οὖν κύριον τὸν [r]μαμωνᾶν καλεῖ, καὶ θεὸν τὴν κοιλίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν, ἀλλὰ διὰ τὴν πολλὴν τῶν ὑποτεταγμένων δουλείαν· οὕτω καὶ ἐνταῦθα νόμον ἐκάλεσεν [s]ἁμαρτίας, διὰ τοὺς οὕτως αὐτῇ δουλεύοντας καὶ φοβουμένους [t]αὐτὴν ἀφεῖναι, ὥσπερ δεδοίκασιν οἱ νόμον λαβόντες ἀφεῖναι τὸν νόμον. Αὕτη οὖν,

7 v. 22. 8 v. 23.

[d] ὅρα G. [e] οὐ pro μὴ A.B.D.E.F.G.I. [f] προϊὼν libri omnes et Cat. προεῖπεν Edd. [g] δὲ om. D.E.I. [h] ὥσπερ——θέλοντι] ὅπερ οὖν καὶ αὐτὸς ὁμοίως θέλοντι G. τῷ θέλειν τι pro τῷ θέλοντι F. [i] πλείων et μείζων pro πλειόνων et μειζόνων B.D.E.F.G.H.I. Cat. [k] πλέον omnes. πλεῖον Edd. [l] προειρημένῳ E.H. [m] μόνῳ (μόνον E.) νόμος ἐστὶν ὁ νόμος] Sic omnes cum Cat. ὁμοῦ ὁ νόμος ἐστὶ Edd. et Verss. [n] φησὶ ante καὶ πρὸ τούτου transp. A.E.H.I. [o] αὐτὸ om. G. Statim καὶ ἐν τῷ γράμματι H. καὶ ἐν γράμματι Veron. [p] νόμον]+ἐν τοῖς μέλεσί μου Edd. Haec desunt in nostris omnibus et Mosqq. [q] εὐταξίαν libri omnes et Cat. Edebatur ἀξίαν. [r] μαμωνᾶν (simplici μ) D.E.H. fortasse alii: necnon Cat. et Ed. Veron. [s] ἁμαρτίας omnes cum Cat. ἁμαρτίαν Edd. [t] αὐτὴν ἀφεῖναι pro ἀφεῖναι αὐτὴν omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

561 φησὶν, ἀντίκειται τῷ νόμῳ τῷ φυσικῷ· τοῦτο γάρ ἐστι, "[v]τῷ νόμῳ τοῦ νοός μου." Καὶ εἰσάγει λοιπὸν παράταξιν καὶ μάχην, καὶ τὸν ἀγῶνα ὅλον [w]ἀνατίθησι τῷ φυσικῷ νόμῳ. Ὁ γὰρ Μωϋσέως ἐκ περιουσίας ὕστερον προσετέθη· ἀλλ' ὅμως καὶ οὗτος κἀκεῖνος, ὁ μὲν διδάξας, ὁ δὲ ἐπαινέσας τὰ δέοντα, οὐδὲν ἐν τῇ μάχῃ ταύτῃ μέγα ἤνυσαν· τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννὶς, νικῶσα καὶ [x]περιγινομένη. Ὅπερ οὖν ὁ Παῦλος ἐμφαίνων, καὶ τὴν κατὰ κράτος ἧττταν δηλῶν ἔλεγε, "Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με." Οὐ γὰρ εἶπε, νικῶντα ἁπλῶς, [y]ἀλλ',
B "αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας." Οὐκ εἶπε, τῇ ὁρμῇ τῆς σαρκὸς, οὐδὲ, τῇ φύσει τῆς σαρκὸς, ἀλλὰ, "τῷ νόμῳ τῆς ἁμαρτίας," τουτέστι, τῇ τυραννίδι, τῇ δυνάμει. Πῶς οὖν φησι, "τῷ ὄντι ἐν τοῖς μέλεσί μου;" Καὶ τί τοῦτο; Οὐ γὰρ τοῦτο ἁμαρτίαν τὰ μέλη ποιεῖ, ἀλλὰ χωρίζει μάλιστα τῆς ἁμαρτίας· ἕτερον γὰρ τὸ ἔν τινι ὄν, καὶ τὸ ἐν ᾧ ἐστιν ἐκεῖνο. Ὥσπερ οὖν [z]καὶ ἡ ἐντολὴ οὐκ ἔστι πονηρὰ, ἐπειδὴ δι' αὐτῆς ἀφορμὴν ἔλαβεν ἡ ἁμαρτία· οὕτως οὐδὲ τῆς σαρκὸς ἡ φύσις, εἰ καὶ δι' αὐτῆς ἡμᾶς καταγωνίζεται· ἐπεὶ οὕτως ἔσται καὶ ἡ ψυχὴ πονηρὰ, καὶ πολλῷ μᾶλλον ἐκείνη, ὅσῳ καὶ τὸ κῦρος τῶν
C πρακτέων ἔχει. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐδὲ γὰρ εἰ θαυμαστὸν οἶκον καὶ βασιλικὰς αὐλὰς τύραννος [a]λάβοι καὶ λῃστὴς, διαβολὴ τῆς οἰκίας τὸ γινόμενον, ἀλλ' ἡ κατηγορία πᾶσα τῶν τὰ τοιαῦτα [b]ἐπιβουλευσάντων ἐστίν. Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ [c]μετὰ τῆς ἀσεβείας καὶ ἀνοίᾳ πολλῇ περιπίπτοντες, οὐκ αἰσθάνονται. Οὐδὲ γὰρ τῆς σαρκὸς μόνον κατηγοροῦσιν, ἀλλὰ καὶ τὸν νόμον διαβάλλουσι. Καίτοιγε εἰ πονηρὸν ἡ σὰρξ, καλὸν ὁ νόμος· ἀντιστρατεύεται γὰρ καὶ ἐναντιοῦται· εἰ δὲ οὐ καλὸν ὁ νόμος, καλὸν ἡ σάρξ· μάχεται γὰρ
D αὐτῷ κατ' ἐκείνους καὶ πολεμεῖ. Πῶς οὖν ἀμφότερα τοῦ διαβόλου φασὶν εἶναι, [d]ἐναντιούμενα ἀλλήλοις [e]εἰσάγοντες; Ὁρᾷς ὅση μετὰ τῆς ἀσεβείας [f]καὶ ἡ ἄνοια; Ἀλλ' οὐ τῆς ἐκκλησίας τὰ δόγματα τοιαῦτα, ἀλλὰ τὴν ἁμαρτίαν κατακρίνει μόνον, καὶ [g]τὸν νόμον ἑκάτερον παρὰ τοῦ θεοῦ δεδομένον, καὶ τὸν τῆς

[v] τῷ νόμῳ om. G. [w] ἐντίθησι Veron. ἀντιτίθησι, ut conjecerat Savilius, B.G. [x] περιγενομένη D.I. [y] ἀλλ'] ἀλλὰ καὶ A.B.D.E.F.I. Cat. [z] καὶ accessit ex A.B.D.E.F.H.I. Cat. [a] λάβοι A.B.D.E.F.G.H. Cat. λάβῃ Edd. [b] ἐπιβουλευσάντων A.B.D.E.F.G.I. Cat. Edebatur ἐπιβουλευσαμένων. Statim ἐστιν om. G. [c] μετὰ] καὶ μετὰ G. [d] ἐναντιούμενα pro ἐναντία omnes. [e] εἰσάγοντες] + μάχεται γὰρ αὐτῷ κατ' ἐκείνους καὶ πολεμεῖ A.H. μ. γὰρ αὐτὸς ἑαυτῷ κ. ἐ. κ. π. B. [f] καὶ om. G. [g] τῶν νόμων ex corr. B. Mox παρὰ τοῦ θ. A.D.E.F.G.H.I. Cat. Aberat τοῦ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Ηρακλείου

φύσεως, καὶ [h]τὸν Μωϋσέως, ταύτῃ πολέμιον εἶναί φησιν, οὐ τῇ σαρκί· οὐδὲ γὰρ τὴν σάρκα ἁμαρτίαν εἶναι, ἀλλ' ἔργον θεοῦ σφόδρα [i]καὶ πρὸς ἀρετὴν ἡμῖν ἐπιτήδειον, ἐὰν νήφωμεν.

[9] "Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" Εἶδες πόση τῆς κακίας ἡ τυραννὶς, E
ὅτι καὶ συνηδόμενον τῷ νόμῳ τὸν νοῦν νικᾷ; Οὐδὲ γὰρ ἔχει τις εἰπεῖν, φησὶν, ὅτι μισοῦντά με τὸν νόμον καὶ ἀποστρεφόμενον ἡ ἁμαρτία χειροῦται· συνήδομαι γὰρ αὐτῷ καὶ σύμφημι, καὶ καταφεύγω πρὸς αὐτόν· ἀλλ' ὅμως ἐκεῖνος μὲν οὐδὲ [k]φυγόντα πρὸς αὐτὸν ἴσχυσε σῶσαι, ὁ δὲ Χριστὸς [l]καὶ φεύγοντα ἀπ' αὐτοῦ ἔσωσεν. Εἶδες [m]ὅση τῆς χάριτος ἡ ὑπερβολή; Ἀλλ' οὕτω μὲν οὐκ ἔθηκεν αὐτὸ ὁ ἀπόστολος· ἀνοιμώξας δὲ μόνον καὶ θρηνήσας μέγα, ὡς ἐν [n]ἐρημίᾳ τῶν βοηθησόντων, διὰ τῆς [o]ἀπορίας δείκνυσι τοῦ Χριστοῦ τὴν δύναμιν, καί φησι, "Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" Νόμος οὐκ ἴσχυσε, τὸ συνειδὸς οὐκ ἤρκεσε, καίτοιγε [p]ἐπαινοῦν τὰ καλὰ, καὶ οὐκ ἐπαινοῦν μόνον, ἀλλὰ καὶ 562
ἀπομαχόμενον πρὸς τὰ ἐναντία. Τῷ γὰρ εἰπεῖν, "ἀντιστρατευόμενον," ἔδειξε καὶ [q]αὐτὸν ἀντιταττόμενον. Πόθεν [r]οὖν
(103) ἔσται σωτηρίας ἐλπίς; [10] "Εὐχαριστῶ τῷ [s]θεῷ, φησὶ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν." Εἶδες πῶς ἔδειξεν ἀναγκαίαν τῆς χάριτος τὴν παρουσίαν, καὶ κοινὰ πατρὸς καὶ υἱοῦ τὰ κατορθώματα; Εἰ γὰρ καὶ τῷ πατρὶ εὐχαριστεῖ, ἀλλὰ τῆς εὐχαριστίας ταύτης καὶ ὁ υἱὸς αἴτιος. Ὅταν δὲ ἀκούσῃς λέγοντος αὐτοῦ, "τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" μὴ νόμιζε τῆς σαρκὸς [t]αὐτὸν κατηγορεῖν. Οὐδὲ γὰρ B
εἶπε, σῶμα ἁμαρτίας, ἀλλὰ σῶμα θανάτου· τουτέστι, τὸ θνητὸν σῶμα, τὸ χειρωθὲν ὑπὸ τοῦ θανάτου, οὐ τὸ γεννῆσαν [v]τὸν θάνατον· ὅπερ οὐ τῆς πονηρίας τῆς σαρκὸς, ἀλλὰ τῆς ἐπηρείας ἧς ὑπέμεινε, δεῖγμά ἐστιν. [w]Ὥσπερ ἂν εἴ τις αἰχμαλωτισθεὶς [x]παρὰ βαρβάρων, [y]λέγοιτο εἶναι τῶν βαρβάρων, οὐκ ἐπειδὴ βάρβαρός [z]ἐστιν, ἀλλ' ἐπειδὴ ὑπ' ἐκείνων κατέχεται· οὕτω καὶ

[9] v. 24. [10] v. 25.

[h] τὸν]+τοῦ Edd. repugnantibus libris. [i] καὶ om. D.E. [k] φυγόντα A.D. E.F.H.I. Cat. φεύγοντα Edd. [l] καὶ om. G. [m] ὅση pro πόση A.E.F.G.I. Cat. [n] ἐρημίᾳ B.D.E.F.G.H. Cat. Ante Montef. legebatur ἠρεμίᾳ. Statim βοηθησόντων A.B.D.E.F. et ex corr. H. etiam Cat. βοηθησάντων Veron. Sav. Mor. [o] ἀπειρίας G. [p] ἐπαινοῦν bis pro ἐπῄνουν A.B.D.E.F.I. Cat. ἐπαινοῦντα bis G. ἐπαινοῦν in priore loco H. qui haec καὶ οὐκ ἐπαινοῦν μόνον ἀλλὰ om. Dein ἀπομαχόμενον omnes. ἐπεμαχόμην Edd. [q] αὐτὸ I. Cat. [r] οὖν om. B. Statim ἐστὶ A.E.F.H.I. Cat. [s] θεῷ]+μου G. [t] αὐτοῦ A.F.H.I. [v] τὸν om. A.E.F.H.I. Cat. [w] ὥσπερ]+γὰρ E. [x] παρὰ] ὑπὸ I. [y] λέγοιτο—ἐστιν, ἀλλ'] βάρβαρος καλῆται G. [z] ἐστιν om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ [a]σῶμα θανάτου λέγεται, ἐπειδὴ κατεσχέθη παρ' αὐτοῦ, οὐκ ἐπειδὴ προεξένησεν αὐτόν. Διόπερ οὐδὲ αὐτὸς τοῦ σώματος ῥυσθῆναι βούλεται, ἀλλὰ τοῦ θνητοῦ σώματος, αἰνιττόμενος ὃ
C πολλάκις ἔφην, ὅτι ἐκ τοῦ [b]παθητὸν γενέσθαι, καὶ εὐεπιχείρητον γέγονε τῇ ἁμαρτίᾳ. Καὶ τίνος ἕνεκεν, φησὶν, εἰ τοσαύτη τῆς ἁμαρτίας ἡ τυραννὶς πρὸ τῆς χάριτος [c]ἦν, ἐκολάσθησαν οἱ [d]ἁμαρτάνοντες; Ὅτι τοιαῦτα ἐπετάγησαν, οἷα δυνατὸν ἦν καὶ τῆς ἁμαρτίας κρατούσης κατορθοῦν. Οὐδὲ γὰρ εἰς ἄκραν αὐτοὺς εἶλκε πολιτείαν, ἀλλὰ καὶ χρημάτων ἀπολαύειν ἐπέτρεπε, καὶ γυναιξὶ κεχρῆσθαι πλείοσιν οὐκ ἐκώλυε, καὶ θυμῷ [e]χαρίσασθαι μετὰ τοῦ δικαίου, καὶ τρυφῇ [f]κεχρῆσθαι συμμέτρῳ· καὶ τοσαύτη ἦν ἡ συγκατάβασις, ὡς καὶ ἐλάττονα ὢν ὁ φυσικὸς
D [g]διηγόρευε νόμος, τὸν γραπτὸν ἀπαιτεῖν. Ὁ μὲν γὰρ τῆς φύσεως νόμος ἕνα ἄνδρα μιᾷ γυναικὶ διηνεκῶς ὁμιλεῖν ἐκέλευεν· ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν, ὅτι [11] "Ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς." Ὁ δὲ Μωϋσέως νόμος οὔτε τὴν μὲν [h]ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν ἐκώλυεν, οὔτε δύο [i]κατ' αὐτὸν ἔχειν ἀπηγόρευε. Χωρὶς δὲ τούτου, καὶ ἕτερα πλείονα τῶν ἐν τῷ νόμῳ τοὺς πρὸ τούτου κατωρθωκότας ἴδοι τις ἂν τῷ τῆς φύσεως παιδευομένους νόμῳ. Οὐ τοίνυν ἐπηρεάσθησαν οἱ ἐν τῇ παλαιᾷ πολιτευσάμενοι, συμμέτρου νομοθεσίας
E οὕτως εἰσενεχθείσης αὐτοῖς. Εἰ δὲ [k]μηδὲ οὕτως ἤρκεσαν περιγενέσθαι, τῆς αὐτῶν ῥᾳθυμίας τὸ ἔγκλημα. Διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχαριστεῖ, ὅτι οὐδὲν τούτων ἀκριβολογησάμενος ὁ Χριστὸς, οὐ μόνον τῶν [l]συμμέτρων οὐκ ἀπήτησεν εὐθύνας, ἀλλὰ καὶ ἐπιτηδείους ἐποίησε πρὸς μείζονα δρόμον. Διό φησιν, "Εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ." Καὶ τὴν σωτηρίαν [m]ἀφεὶς ὡς ὡμολογημένην, ἐκ τῶν ἤδη κατασκευασθέντων ἐπ' ἄλλο μεταβαίνει πλέον λέγων, ὅτι οὐ τῶν προτέρων ἀπηλλάγημεν μόνον, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχείρωτοι
563 γεγόναμεν. [12] "Οὐδὲν γὰρ, φησὶ, κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν." Ἀλλ' οὐ πρότερον αὐτὸ εἴρηκεν, ἕως ἀνέμνησε πάλιν τῆς προτέρας [n]καταστάσεως.

11 Matth. xix. 4. 12 Cap. VIII. v. 1.

[a] σῶμα]+σῶμα D.E. [b] παθητὸν]+αὐτὸ Edd. αὐτὸ om. B.D.E.F.H.I. Cat. [c] ἦν om. G. [d] ἁμαρτόντες B.D.F.I. ἁμαρτῶντες H. [e] χρήσασθαι G. [f] κεχρῆσθαι A.D.E.F.G.H.I. Cat. χρήσασθαι Edd. [g] διηγόρευε A.D.E.F. H.I. Cat. διηγόρευσε Edd. [h] ἐκβάλλειν pro ἐκβαλεῖν omnes. Mox ἐκώλυσε et ἀπηγόρευσε G. [i] κατὰ ταὐτὸν B.D.E.I. Cat. Recepit Montef. [k] μηδὲ pro μὴ A.B.D.E.F.I. [l] συμμέτρων] Sic I. ἡμαρτημένων D.E. Cat. ἡμετέρων Edd. sine monito. [m] ἀφεὶς ὡς ὡμ.] Sic B.D.E. ἀφεὶς om. H.I. et ante corr. F. ὡς om. Edd. ὡμ. θεὶς A. [n] ἀποκαταστάσεως E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρότερον γὰρ εἰπὼν, "Ἆρα οὖν [o]αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω [p]νόμῳ θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας," τότε ἐπήγαγεν· "Οὐδὲν ἄρα κατάκριμα [q]νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ." Εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολλοὺς καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνειν, διὰ τοῦτο πρὸς αὐτὸ ἐπείγεται, καὶ οὐχ ἁπλῶς φησι, "τοῖς ἐν Χριστῷ Ἰησοῦ," ἀλλὰ, "τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι·" δεικνὺς, ὅτι ἐκ ῥᾳθυμίας τὸ πᾶν λοιπὸν τῆς ἡμετέρας. Δυνατὸν [r]γὰρ νῦν μὴ κατὰ σάρκα περιπατεῖν, [s]τότε δὲ δύσκολον ἦν.

Εἶτα καὶ ἑτέρως αὐτὸ κατασκευάζει διὰ τῶν ἑξῆς λέγων· 13 "Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ [t]με" B νόμον πνεύματος ἐνταῦθα [v]τὸ πνεῦμα καλῶν. Ὥσπερ γὰρ νόμον ἁμαρτίας τὴν ἁμαρτίαν, οὕτω νόμον πνεύματος τὸ πνεῦμά φησι. [w]Καίτοι καὶ τὸν Μωϋσέως οὕτως [x]ἐκάλει λέγων, "Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι·" τί οὖν τὸ μέσον; Πολὺ καὶ ἄπειρον· ἐκεῖνος μὲν γὰρ [y]πνευματικὸς, οὗτος δὲ νόμος πνεύματος. Καὶ τί τοῦτο ἐκείνου διέστηκεν; Ὅτι ὁ μὲν [z]ὑπὸ πνεύματος ἐδόθη μόνον, οὗτος δὲ καὶ πνεῦμα ἐχορήγει τοῖς δεχομένοις αὐτὸν [a]δαψιλές. Διὸ καὶ ζωῆς αὐτὸν νόμον ἐκάλεσε, C πρὸς ἀντιδιαστολὴν ἐκείνου τοῦ τῆς ἁμαρτίας, οὐ τοῦ Μωϋσαϊκοῦ. Ὅταν γὰρ λέγῃ, "Ἠλευθέρωσέ [b]με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου," οὐ τὸν Μωϋσέως [c]νόμον λέγει (104) ἐνταῦθα· οὐδαμοῦ γὰρ αὐτὸν νόμον ἁμαρτίας καλεῖ· πῶς γάρ, ὃν δίκαιον καὶ ἅγιον πολλάκις ὠνόμασε, καὶ ἁμαρτίας ἀναιρετικόν; ἀλλ' ἐκεῖνον τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός. Τοῦτον γὰρ τὸν χαλεπὸν κατέλυσε πόλεμον θανατώσασα τὴν ἁμαρτίαν ἡ τοῦ πνεύματος χάρις, καὶ ποιήσασα τὸν ἀγῶνα κοῦφον ἡμῖν, καὶ πρότερον στεφανώσασα, καὶ τότε μετὰ πολλῆς τῆς συμμαχίας ἐπὶ τὰ παλαίσματα [d]ἐλκύσασα. [e]Εἶτα ὅπερ D ἀεὶ ποιεῖ, ἀπὸ τοῦ υἱοῦ εἰς τὸ πνεῦμα [f]μεταβαίνων, ἀπὸ τοῦ πνεύματος εἰς τὸν υἱὸν καὶ τὸν πατέρα, [g]καὶ τῇ τριάδι πάντα [h]τὰ παρ' ἡμῶν λογιζόμενος· τοῦτο καὶ ἐνταῦθα ἐργάζεται.

13 v. 2.

[o] αὐτὸς—νοῒ] ἐγὼ αὐτὸς ἐν τῷ νοΐ μου G. [p] νόμῳ θεοῦ pro θεῷ omnes. [q] νῦν τοῖς] Sic A.D.E.F.G.H.I. νῦν om. Edd. τοῖς om. B. [r] γὰρ] μὲν γὰρ D.E. [s] τότε δὲ δ. ἦν] ὃ τότε δ. ἦν I. et ex corr. F. (prius ὃ τότε δὲ δ. ἦν F.) τὸ τότε δύσκολον G. τότε δὲ δύσκολον B. [t] με] σε A.F. [v] τὸ πνεῦμα] τὸν πνευματικὸν A.I. [w] καίτοι] τοιγαροῦν G. [x] ἐκάλεσε A.D.E. F.H.I. Cat. [y] πνευματικὸς] + ἐστιν I. [z] ὑπὸ τοῦ πνεύματος Edd. repugnantibus libris. [a] δαψιλὲς post ἐχορήγει transp. A.F.H.I. Cat. [b] με E.F.G.I. Cat. σε Edd. [c] νόμον om. G. Mox νόμον ante ἁμαρτίας om. F. [d] ἕλκουσα G. [e] εἶτα pro καὶ omnes. [f] καταβαίνων I. [g] καὶ om. A.E.F.I. Cat. [h] τὰ παρ' ἡμῶν] παρ' ἡμῖν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ γὰρ εἰπὼν, " Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" ἔδειξε [i]τὸν πατέρα διὰ τοῦ υἱοῦ τοῦτο ποιοῦντα· εἶτα πάλιν τὸ πνεῦμα τὸ ἅγιον μετὰ τοῦ υἱοῦ· " Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ [k]με," φησίν· εἶτα πάλιν τὸν πατέρα καὶ τὸν υἱόν· [14]" Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησὶν, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς
E τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, [l]καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." Πάλιν δοκεῖ μὲν διαβάλλειν τὸν νόμον· εἰ δέ τις ἀκριβῶς [m]προσέχοι, καὶ σφόδρα αὐτὸν ἐπαινεῖ, σύμφωνον τῷ Χριστῷ δεικνὺς, καὶ τὰ αὐτὰ [n]προῃρημένον. Οὐδὲ γὰρ εἶπε, τὸ πονηρὸν τοῦ νόμου, ἀλλὰ, " τὸ ἀδύνατον·" καὶ πάλιν, " ἐν ᾧ ἠσθένει," οὐκ, ἐν ᾧ ἐκακούργει, ἢ ἐπεβούλευε. Καὶ οὐδὲ τὴν ἀσθένειαν αὐτῷ λογίζεται, ἀλλὰ τῇ σαρκὶ, λέγων, " ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός·" σάρκα πάλιν ἐνταῦθα οὐχὶ τὴν οὐσίαν αὐτὴν καὶ τὸ ὑποκείμενον, ἀλλὰ τὸ σαρκικώτερον φρόνημα [o]καλῶν· δι' ὧν καὶ τὸ σῶμα καὶ τὸν νόμον ἀπαλλάττει κατηγορίας. Οὐ διὰ τούτων δὲ
564 μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. Εἰ [p]γὰρ ἐναντίος ἦν ὁ νόμος, πῶς ὁ Χριστὸς εἰς βοήθειαν αὐτοῦ παραγέγονε, καὶ τὸ δικαίωμα αὐτοῦ πληροῖ, καὶ χεῖρα ὤρεξε, κατακρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; Τοῦτο γὰρ [q]ὑπολέλειπτο, ἐπειδήπερ ἐν τῇ ψυχῇ πάλαι ὁ νόμος αὐτὴν κατακρίνας ἦν. Τί οὖν; τὸ μεῖζον ὁ νόμος ἐποίησε, τὸ δὲ ἔλαττον ὁ τοῦ θεοῦ μονογενής; Οὐδαμῶς. Μάλιστα μὲν [r]γὰρ κἀκεῖνο ὁ θεὸς εἰργάσατο, ὁ τὸν φυσικὸν
B δεδωκὼς νόμον, καὶ τὸν γραπτὸν προσθείς· ἄλλως δὲ, οὐδὲν ὄφελος τοῦ μείζονος ἦν, τοῦ ἐλάττονος μὴ [s]προσκειμένου. Τί γὰρ ὄφελος εἰδέναι τὰ πρακτέα [t]μὴ μετιόντα αὐτά; Οὐδὲν, ἀλλὰ καὶ [v]μεῖζον κατάκρισις. [w]Ὥστε ὁ καὶ τὴν ψυχὴν σώσας, οὗτός ἐστιν ὁ [w]τὴν σάρκα εὐήνιον [x]καταστήσας. Τὸ μὲν γὰρ διδάξαι, εὔκολον· τὸ δὲ καὶ ὁδόν τινα δεῖξαι, δι' ἧς μετ' εὐκολίας ταῦτα [y]ἐγίνετο, τοῦτό ἐστι τὸ θαυμαστόν. Διὰ [z]δὴ τοῦτο

[14] v. 3.

[i] *τὸν πατέρα* omnes. Statim *διὰ τοῦ υἱοῦ* A.D.E.F.H.I. Cat. Edebatur *πατέρα διὰ υἱοῦ* sine articulis. [k] *με* pro *σε* A.B.E.G.I. Cat. Verba *ἐν Χριστῷ Ἰησοῦ* om. B. post *φησὶν* transp. G. Cat. [l] *καὶ περὶ ἁμαρτίας* om. G. [m] *προσέχει* E.G. Cat. [n] *προειρημένον* E.H. Post *προῃρ.* add. *τῷ Χριστῷ* G. [o] *καλῶν*] *λέγων* G. Statim *διὸ* pro *δι' ὧν* D.E. [p] *γὰρ*]+*καὶ* H. *δὲ* pro *γὰρ* D.E. [q] *ὑπολέλειπτο* A.F.H.I. Cat. *ὑπελέλειπτο* B.D.E. *ὑπελείπετο* G. Edebatur *ἐπιλέλειπτο*. [r] *γὰρ* accessit ex omnibus. [s] *προκειμένου* G.H. Veron. [t] *μὴ μετίοντα*] Sic libri omnes et Cat. Edebatur *μηκέτι ὄντα*. Tandem mendum sustulit Editor Ben. 2dae. [v] *μεῖζον* (hoc ex corr.) *κατάκριμα* B. [w] *τὴν*] *καὶ τὴν* Edd. *καὶ* om. A.B.E.F.H.I. [x] *ποιήσας* A.E. F.H.I. Cat. [y] *ἐγίνετο* pro *ἐγένετο* A.B.D.E.F.G.H. Cat. [z] *δὴ* pro *δὲ* omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἦλθεν ὁ μονογενὴς, καὶ οὐ πρότερον ἀπέστη, ἕως [a]ἂν ἀπήλλαξε τῆς δυσκολίας ἡμᾶς ἐκείνης. Καὶ τὸ [b]δὴ μεῖζον, ὁ τρόπος τῆς νίκης. Οὐδὲ γὰρ ἑτέραν ἔλαβε σάρκα, ἀλλ' αὐτὴν [c]ταύτην τὴν καταπονουμένην· ὥσπερ [d]ἂν εἴ τις ἐν ἀγορᾷ γυναῖκα εὐτελῆ καὶ [e]ἀγοραῖον τυπτομένην ἰδὼν, εἴποι αὐτῆς [f]υἱὸς εἶναι, βασιλέως C ὢν υἱὸς, καὶ [g]οὕτως αὐτὴν ἀπαλλάξειε τῶν ἐπηρεαζόντων. [h]Ὅπερ αὐτὸς ἐποίησε, καὶ υἱὸς ἀνθρώπου εἶναι ὁμολογήσας, καὶ παραστὰς αὐτῇ, καὶ κατακρίνας τὴν ἁμαρτίαν. Οὐ τοίνυν ἐτόλμησεν [i]αὐτὴν τυπτῆσαι λοιπόν· μᾶλλον δὲ ἐτύπτησε μὲν τῇ τοῦ θανάτου πληγῇ, [k]τούτῳ δὲ αὐτῷ κατεκρίθη καὶ ἀπώλετο, οὐχ ἡ τυπτηθεῖσα σὰρξ, ἀλλ' ἡ τυπτήσασα ἁμαρτία· ὅπερ ἁπάντων ἐστὶ [l]θαυμαστότατον. Καὶ γὰρ εἰ μὴ ἐν τῇ σαρκὶ [m]ἡ νίκη γέγονεν, οὐχ οὕτω θαυμαστὸν ἦν, ἐπεὶ καὶ ὁ νόμος τοῦτο εἰργάζετο· τὸ δὲ θαυμαστὸν, [n]ὅτι μετὰ σαρκὸς τὸ τρόπαιον D ἔστη, καὶ [o]ἡ μυριάκις ὑπὸ τῆς ἁμαρτίας καταβληθεῖσα, [p]αὕτη λαμπρὰν κατ' αὐτῆς τὴν νίκην ἤρατο. Ὅρα γὰρ πόσα τὰ παράδοξα γέγονεν· ἓν μὲν, ὅτι οὐκ ἐνίκησεν ἡ ἁμαρτία τὴν σάρκα· ἕτερον [q]δὲ, ὅτι καὶ ἐνικήθη, καὶ παρ' αὐτῆς ἐνικήθη· οὐ γάρ ἐστιν [r]ἴσον μὴ νικηθῆναι, καὶ νικῆσαι τὴν ἀεὶ καταβάλλουσαν. Τρίτον, ὅτι οὐ μόνον ἐνίκησεν, ἀλλὰ καὶ ἐκόλασε. Τῷ μὲν γὰρ μὴ [s]ἁμαρτεῖν οὐκ ἐνικήθη· τῷ δὲ [t]καὶ ἀποθανεῖν ἐνίκησε καὶ κατέκρινεν αὐτὴν, φοβερὰν αὐτῇ τὴν σάρκα ἀποφήνας τὴν πρότερον οὖσαν εὐκαταφρόνητον. Οὕτω γοῦν [v]αὐτῆς καὶ τὴν E δύναμιν ἐξέλυσε, καὶ τὸν δι' αὐτῆς εἰσενεχθέντα θάνατον ἀνεῖλεν.

(105) [w]Ἕως μὲν γὰρ ἁμαρτωλοὺς ἐλάμβανε, κατὰ τὸν τοῦ δικαίου λόγον ἐπῆγε τὴν τελευτήν· ἐπειδὴ δὲ ἀναμάρτητον εὗροῦσα σῶμα τῷ θανάτῳ παρέδωκεν, ὡς ἀδικήσασα κατεκρίθη. Ὁρᾷς ὅσα τὰ νικητήρια γέγονε; τὸ μὴ ἡττηθῆναι τὴν σάρκα [x]ὑπὸ τῆς ἁμαρτίας, τὸ καὶ νικῆσαι αὐτὴν καὶ καταδικάσαι, τὸ μὴ ἁπλῶς καταδικάσαι, ἀλλὰ καὶ ὡς ἁμαρτοῦσαν καταδικάσαι; Πρότερον γὰρ ἐλέγξας ἠδικηκυῖαν, οὕτως αὐτὴν κατεδίκασεν, οὐχ ἁπλῶς ἰσχύϊ καὶ ἐξουσίᾳ, ἀλλὰ [x]καὶ τῷ τοῦ δικαίου λόγῳ.

[a] ἂν] οὖ G. ἂν om. B.E. Mox τῆς δ. ἡμᾶς pro ἡμᾶς τῆς δ. A.B.E.F.H. Cat. [b] δὴ pro δὲ omnes. [c] ταύτην om. G. [d] ἂν pro γὰρ omnes. [e] ἀγοραῖον B.D.E.F.H.I. ἀγοραίαν Edd. [f] υἱὸς εἶναι pro εἶναι υἱὸς omnes. [g] οὕτως] αὐτὸς B.D.E. [h] ὅπερ] τοῦτο καὶ D.E. Iidem post ἐποίησεν add. ὁ μονογενής. [i] αὐτὴν τυπτῆσαι pro τυπτῆσαι αὐτὴν omnes. [k] τούτῳ δὲ αὐτῷ omnes. τοῦτο δὲ αὐτὸ Edd. [l] θαυμαστότατον B.D.E.F.G.H.I. Cat. θαυμαστότερον Edd. Statim καὶ γὰρ εἰ μὴ pro εἰ μὴ γὰρ omnes. [m] ἡ accessit ex omnibus. [n] ὅτι]+καὶ H. [o] ἡ om. I. [p] αὐτὴ G. Cat. [q] δὲ accessit ex A.B.D.E.F.H.I. Cat. Statim καὶ post ὅτι receptum ex iisdem. [r] ἴσον om. G. [s] ἁμαρτάνειν G. [t] καὶ, quod aberat, assumtum ex A.B. D.E.F.H. μὴ pro καὶ G. [v] αὐτῆς καὶ τ. δ. pro καὶ τ. δ. αὐτῆς omnes. [w] ὑπὸ pro ἀπὸ omnes. [x] καὶ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

565 Τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "Περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·" ὡσανεὶ ἔλεγεν, ὅτι [y]μέγα ἡμαρτηκυῖαν ἤλεγξε, καὶ τότε αὐτὴν κατεδίκασεν. Ὁρᾷς πανταχοῦ τὴν ἁμαρτίαν καταδικαζομένην, οὐχὶ τὴν σάρκα, [z]ἀλλὰ ταύτην καὶ στεφανουμένην, καὶ τὴν ἀπόφασιν κατ' αὐτῆς [a]ἐκφέρουσαν; Εἰ δὲ ἐν ὁμοιώματι σαρκὸς φησι πέμψαι τὸν υἱὸν, μὴ διὰ τοῦτο ἄλλην ἐκείνην [b]σάρκα εἶναι νόμιζε· ἐπειδὴ γὰρ εἶπεν ἁμαρτίας, διὰ τοῦτο καὶ τὸ ὁμοίωμα τέθεικεν. Οὐδὲ γὰρ ἁμαρτωλὸν σάρκα εἶχεν ὁ Χριστὸς, ἀλλ' ὁμοίαν μὲν τῇ ἡμετέρᾳ τῇ ἁμαρ-
B τωλῷ, ἀναμάρτητον δὲ, [c]καὶ τῇ φύσει [d]τὴν αὐτὴν ἡμῖν. [e]Ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐκ ἦν πονηρὰ τῆς σαρκὸς ἡ φύσις. Οὔτε [c]γὰρ ἑτέραν ἀντὶ τῆς προτέρας λαβὼν ὁ Χριστὸς, οὔτε αὐτὴν ταύτην μεταβαλὼν κατ' οὐσίαν, οὕτως αὐτὴν [f]ἀναμαχέσασθαι παρεσκεύασεν· ἀλλ' ἀφεὶς μένειν ἐπὶ τῆς αὐτῆς φύσεως, τὸν στέφανον ἀναδήσασθαι ἐποίησε κατὰ τῆς ἁμαρτίας· καὶ τότε αὐτὴν μετὰ τὴν νίκην ἀνέστησε, καὶ ἀθάνατον εἰργάσατο.

Τί οὖν [g]πρός με τοῦτο, φησὶν, εἰ ταῦτα [h]ἐν ἐκείνῃ τῇ σαρκὶ γέγονε; Πρὸς σὲ μὲν οὖν μάλιστα· διὸ καὶ ἐπήγαγεν, [15]"Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα
C περιπατοῦσι." Τί ἐστι, "τὸ δικαίωμα;" Τὸ τέλος, ὁ σκοπὸς, τὸ κατόρθωμα. Τί γὰρ ἐκεῖνος ἐβούλετο, καὶ τί ποτε [i]ἐπέταττεν; Ἀναμάρτητον εἶναι. Τοῦτο τοίνυν κατώρθωται νῦν ἡμῖν διὰ [k]τοῦ Χριστοῦ· καὶ τὸ μὲν ἀντιστῆναι καὶ περιγενέσθαι, γέγονεν ἐκείνου· τὸ δὲ ἀπολαῦσαι τῆς νίκης, ἡμέτερον. Οὐκοῦν οὐχ ἁμαρτησόμεθα λοιπόν; Οὐχ ἁμαρτησόμεθα, [l]ἂν μὴ σφόδρα ὦμεν ἐκλελυμένοι καὶ ἀναπεπτωκότες· διὸ καὶ προσέθηκε, "τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν." Ἵνα γὰρ μὴ, ἀκούσας ὅτι σε ἐρρύσατο ὁ Χριστὸς τοῦ πολέμου τῆς ἁμαρτίας, καὶ ὅτι τὸ δικαίωμα τοῦ νόμου πεπλήρωται ἐν σοὶ, τῆς ἁμαρτίας κατακριθείσης ἐν τῇ σαρκὶ, καταλύσῃς τὴν παρα-
D σκευὴν ἅπασαν· διὰ τοῦτο καὶ ἐκεῖ εἰπὼν, "Οὐδὲν ἄρα κατάκριμα," προσέθηκε, "τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι·" καὶ [m]ἐνταῦθα, "Ἵνα πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου ἐν ἡμῖν," λέγων, τὸ αὐτὸ τοῦτο ἐπήγαγε. Μᾶλλον δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ πλέον. Εἰπὼν γὰρ, [n]ὅτι "Ἵνα τὸ δικαίωμα

[15] v. 4.

[y] μεγάλα G. [z] ἀλλὰ]+καὶ F.H. [a] φέρουσαν G. [b] εἶναι σάρκα inverso ord. D.G. [c] καὶ] εἰ καὶ I. κἂν ex corr. B. Verba ἀναμάρτητον δὲ post ἡμῖν transp. Cat. [d] τὴν αὐτὴν] τῇ ἐν G. [e] γὰρ om. G. [f] ἀναμαχέσασθαι B.D.E. Cat. ἀναμάχεσθαι A.F.G.H.I. ἀναμαχήσασθαι Edd. [g] πρός με τοῦτο, φησὶν pro φησὶ, πρός με τοῦτο omnes. [h] ἐν om. G. [i] ἔπραττεν Veron. [k] τοῦ accessit ex omnibus. [l] ἂν] δὲ E. Mox λελυμένοι G. [m] ἐνταῦθα]+πάλιν G. [n] ὅτι accessit ex A.B.D.E.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν," ἐπήγαγεν, "Ἀλλὰ κατὰ πνεῦμα·" δεικνὺς, ὅτι οὐ κακῶν ἀπέχεσθαι δεῖ μόνον, ἀλλὰ καὶ ἐν [o]ἀγαθοῖς κομᾶν. Τὸ μὲν γὰρ δοῦναί σοι τὸν στέφανον, ἐκείνου· τὸ δὲ κατασχεῖν [p]δοθέντα, σόν. Καὶ γὰρ ὅπερ ἦν δικαίωμα [q]νόμου, τὸ μὴ γενέσθαι ὑπεύ- E
θυνον τῇ ἁρᾷ, τοῦτο ἤνυσέ σοι ὁ Χριστός. Μὴ τοίνυν προδῷς τὴν τοσαύτην δωρεὰν, ἀλλὰ μένε φυλάττων τὸν καλὸν τοῦτον θησαυρόν. Δείκνυσι γὰρ ἐνταῦθά σοι, ὅτι οὐκ ἀρκεῖ τὸ λουτρὸν ἡμῖν εἰς σωτηρίαν, ἂν μὴ μετὰ [r]τὸ λουτρὸν ἄξιον ἐπιδειξώμεθα βίου τῆς δωρεᾶς. Ὥστε πάλιν τῷ νόμῳ συνηγορεῖ, ταῦτα λέγων. Καὶ [s]γὰρ μετὰ τὸ πεισθῆναι τῷ Χριστῷ, πάντα [t]δεῖ ποιεῖν καὶ πραγματεύεσθαι, ὥστε τὸ ἐκείνου δικαίωμα μένειν ἐν ἡμῖν, ὅπερ ἐπλήρωσεν ὁ Χριστὸς, καὶ μὴ διαφθαρῆναι. [16]"Οἱ γὰρ κατὰ σάρκα ὄντες, φησὶ, τὰ τῆς σαρκὸς [v]φρονοῦσιν." Ἀλλ' οὐδὲ τοῦτο διαβολὴ τῆς σαρκός. 566
Ἕως μὲν γὰρ ἂν τὴν οἰκείαν φυλάττῃ τάξιν, οὐδὲν ἄτοπον
(106) γίνεται· ὅταν δὲ αὐτῇ πάντα ἐπιτρέπωμεν. [w]καὶ τοὺς οἰκείους ὑπερβᾶσα ὅρους κατεξανιστᾶται τῆς ψυχῆς, [x]τότε πάντα ἀπόλλυσι καὶ διαφθείρει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀμετρίαν καὶ τὴν ἐκ ταύτης ἀταξίαν. "Οἱ δὲ κατὰ B
πνεῦμα, τὰ τοῦ πνεύματος. [17]Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος." Οὐκ εἶπεν, ἡ γὰρ τῆς σαρκὸς φύσις, [y]οὐδὲ ἡ οὐσία τοῦ σώματος, ἀλλὰ, "τὸ φρόνημα·" ὃ διορθωθῆναι δύναιτ' ἂν καὶ ἀναιρεθῆναι. Τοῦτο δὲ λέγει, οὐ τῇ σαρκὶ λογισμὸν διδοὺς ἴδιον, ἄπαγε, ἀλλὰ τὴν παχυτέραν τῆς διανοίας [z]ὁρμὴν ἐνδεικνύμενος, καὶ ἀπὸ τοῦ χείρονος αὐτὴν καλῶν, ὥσπερ οὖν καὶ σάρκα πολλάκις [a]ὁλόκληρον ἄνθρωπον καὶ ψυχὴν ἔχοντα εἴωθε καλεῖν. "Τὸ δὲ φρόνημα τοῦ [b]πνεύματος." Πάλιν κἀνταῦθα C
τὴν πνευματικὴν διάνοιαν λέγει, ὥσπερ οὖν καὶ προϊὼν φησιν, [18]"Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε [c]τί τὸ φρόνημα τοῦ πνεύματος·" καὶ δείκνυσι πολλὰ τὰ ἐκ ταύτης ἀγαθὰ καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι. Τῶν γὰρ κακῶν, ὧν τὸ φρόνημα εἰσάγει τὸ σαρκικὸν, πολλῷ πλείονα ἀγαθὰ παρέχει [d]τὸ πνευματικόν· ἅπερ ἐδήλωσεν εἰπὼν, "Ζωὴ καὶ εἰρήνη·" τὸ μὲν πρὸς

[16] v. 5. [17] v. 6. [18] Rom. viii. 27.

[o] ἀγαθοῖς pro ἀγαθῷ omnes. [p] τὰ δοθέντα Edd. τὰ abest ab omnibus. [q] νόμου omnes. τοῦ νόμου Edd. [r] τοῦ λουτροῦ G. Cat. [s] γὰρ]+καὶ A. B.D.F.H. Cat. [t] δεῖ] δὴ E. δέον A. [v] φρονοῦσιν]+οἱ δὲ κατὰ πνεῦμα κ. τ. ἑ. usque ad finem v. 7. οὐδὲ γὰρ δύναται Edd. Haec in libris non leguntur. [w] καὶ] τότε E. [x] τότε] καὶ B.D.E. [y] οὐδὲ] καὶ I. [z] ὁρμὴν] ἑρμηνείαν G. [a] τὸν ὁλόκληρον D.E. [b] πνεύματος]+ζωὴ καὶ εἰρήνη G. [c] τί om. H. [d] τῶν πνευματικῶν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀντιδιαστολὴν τοῦ προτέρου· "Τὸ [e]γὰρ φρόνημα, φησὶ, τῆς σαρκὸς θάνατος·" τὸ δὲ πρὸς ἀντιδιαστολὴν τοῦ ἐξῆς. Εἰπὼν γὰρ, "εἰρήνη," ἐπήγαγε, [19]"Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν·" ὃ τοῦ θανάτου χεῖρόν ἐστιν. Εἶτα [f]δείκνυσι, πῶς καὶ θάνατος καὶ ἔχθρα. "Τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ
D [g]ὑποτάσσεται· οὐδὲ γὰρ δύναται." Ἀλλὰ μὴ θορυβηθῇς ἀκούων, "οὐδὲ γὰρ δύναται·" καὶ γὰρ εὔκολον ἡ ἀπορία αὕτη τὴν λύσιν ἔχει. Φρόνημα γὰρ σαρκὸς ἐνταῦθά φησι τὸν γεώδη λογισμὸν, τὸν παχὺν, τὸν πρὸς τὰ βιωτικὰ καὶ τὰς πονηρὰς πράξεις ἐπτοημένον· τοῦτόν φησιν ἀδύνατον εἶναι ὑποταγῆναι [h]θεῷ. Καὶ ποία λοιπὸν ἐλπὶς σωτηρίας, εἰ ἀδύνατον κακὸν ὄντα γενέσθαι καλόν; Οὐ τοῦτό φησιν· ἐπεὶ πῶς ὁ Παῦλος ἐγένετο τοιοῦτος; πῶς ὁ λῃστής; πῶς ὁ Μανασσῆς; πῶς οἱ Νινευῖται; πῶς ὁ Δαυὶδ πεσὼν ἑαυτὸν ἀνεκτήσατο; πῶς ὁ Πέτρος ἀρνησάμενος ἑαυτὸν ἀνέλαβε; πῶς ὁ πεπορνευκὼς εἰς
E τὴν ἀγέλην [i]κατελέγη τοῦ Χριστοῦ; πῶς οἱ Γαλάται τῆς χάριτος ἐκπεσόντες πρὸς τὴν προτέραν ἐπανῆλθον εὐγένειαν; Οὐ τοίνυν τοῦτό φησιν, ὅτι ἀδύνατον [k]τὸν πονηρὸν γενέσθαι καλὸν, ἀλλ' ὅτι ἀδύνατον πονηρὸν μένοντα ὑποταγῆναι τῷ θεῷ· [l]μεταβαλλόμενον μέντοι, καλὸν γενέσθαι καὶ ὑποταγῆναι ῥᾴδιον. Οὐ γὰρ εἶπεν, ὅτι [m]ὁ ἄνθρωπος οὐ δύναται ὑποταγῆναι [n]τῷ θεῷ, ἀλλ' ὅτι [o]ἡ πονηρὰ πρᾶξις οὐ δύναται εἶναι καλή· ὡσανεὶ ἔλεγεν, ἡ πορνεία οὐ δύναται εἶναι σωφροσύνη, οὐδὲ ἡ κακία ἀρετή. Ὅπερ οὖν καὶ ἐν τῷ εὐαγγελίῳ φησὶν, [20]"Οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν·" οὐ τὴν ἀπὸ κακίας εἰς ἀρετὴν μεταβολὴν κωλύων, ἀλλὰ τὴν ἐν τῇ κακίᾳ
567 διατριβὴν λέγων μὴ δύνασθαι φέρειν καρποὺς καλούς. Οὐ γὰρ [p]εἶπεν, οὐ δύναται δένδρον [q]πονηρὸν καλὸν γενέσθαι, ἀλλ' ὅτι φέρειν καρποὺς καλοὺς οὐ δύναται μένον πονηρόν. Ἐπεὶ ὅτι γε δυνατὸν μεταβληθῆναι, καὶ ἐντεῦθεν καὶ ἐξ ἄλλης ἔδειξε τοῦτο παραβολῆς, ὅταν εἰσάγῃ τὰ ζιζάνια [r]γινόμενα σῖτον· διὸ καὶ ἐκριζῶσαι αὐτὰ κωλύει· [21]"Μήποτε [s]γὰρ, φησὶ, σὺν αὐτοῖς ἀνασπάσητε καὶ τὸν σῖτον" τουτέστι, τὸν μέλλοντα [t]γίνεσθαι ἐξ αὐτῶν. Φρόνημα τοίνυν σαρκὸς τὴν κακίαν φησὶ,

19 v. 7. 20 Matth. vii. 18. 21 Matth. xiii. 29.

[e] γὰρ om. G. [f] δείκνυσι pro δεικνὺς E. Cat. Brix. δεικνύει B.D. [g] ὑποτάσσεται]+φησὶν Edd. φησὶν om. B.D.E.G.H.I. Cat. [h] τῷ θεῷ D. [i] κατελ. τοῦ Χρ.] τοῦ Χρ. κατελ. πάλιν G. [k] τὸν] τὸ G.H. τὸν om. I. [l] μεταβαλόμενον B. Cat. [m] ὁ om. G.I. Cat. [n] τῷ om. D. Cat. [o] ἡ om. G. [p] εἶπεν]+ὅτι G. [q] πονηρὸν] σαπρὸν I. [r] γινόμ. σῖτον pro σῖτον γινόμ. B.D.E.F.H.I. Cat. [s] γὰρ om. A.B.E.F.H.I. [t] τίκτεσθαι A.D.E. γενέσθαι Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φρόνημα πνεύματος τὴν χάριν τὴν [v]δεδομένην, καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κρινομένην τῇ χρηστῇ, οὐδαμοῦ B
περὶ ὑποστάσεως [w]καὶ οὐσίας ἐνταῦθα διαλεγόμενος, ἀλλὰ περὶ ἀρετῆς καὶ κακίας. [x]Ὅπερ γὰρ οὐκ ἴσχυσας ἐν τῷ νόμῳ, φησὶ, τοῦτο δυνήσῃ νῦν, ὀρθὰ βαδίζειν καὶ ἀδιάπτωτα, εἰ τῆς τοῦ πνεύματος [x]ἐπιλάβοιο βοηθείας. Οὐ γὰρ ἀρκεῖ τὸ μὴ κατὰ σάρκα περιπατεῖν, ἀλλὰ δεῖ καὶ κατὰ πνεῦμα βαδίζειν· [y]ἐπειδήπερ οὐκ ἀπόχρη πρὸς σωτηρίαν ἡμῖν [z]ἐκκλῖναι ἀπὸ κακοῦ, ἀλλὰ δεῖ καὶ [a]τὰ ἀγαθὰ ποιεῖν. Τοῦτο δὲ ἔσται, ἂν τῷ πνεύματι τὴν ψυχὴν ἐκδῶμεν, καὶ τὴν σάρκα [b]πείσωμεν τὴν οἰκείαν τάξιν ἐπιγινώσκειν. Οὕτω γὰρ καὶ αὐτὴν [c]ἐργασόμεθα πνευματικήν· ὥσπερ οὖν, ἐὰν [d]ῥᾳθυμῶμεν, καὶ τὴν ψυχὴν [e]ποιήσομεν σαρκικήν. C
(107) Ἐπειδὴ γὰρ οὐκ ἀνάγκῃ φύσεως τὸ δῶρον ἐνέθηκεν, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως [f]ἐνεχείρισεν, ἐν σοὶ λοιπόν ἐστι [g]καὶ τοῦτο γενέσθαι κἀκεῖνο. Τὰ γὰρ παρ' αὐτοῦ πάντα [h]ἀπήρτισται. Οὐδὲ γὰρ ἀντιστρατεύεται τῷ νόμῳ τοῦ νοὸς ἡμῶν ἡ ἁμαρτία, οὐδὲ αἰχμαλωτίζει, καθάπερ ἔμπροσθεν, ἀλλὰ πάντα ἐκεῖνα πέπαυται καὶ καταλύεται, [i]καὶ κατέπτηχε τὰ πάθη δεδοικότα καὶ τρέμοντα τὴν τοῦ πνεύματος χάριν. Εἰ δὲ σὺ τὸ φῶς σβεννύεις, καὶ τὸν ἡνίοχον ἐκβάλλεις, καὶ τὸν κυβερνήτην ἐλαύνεις, [k]σαυτῷ λογίζου λοιπὸν τὸ κλυδώνιον. D

[l]Ὅτι γὰρ νῦν εὐκολωτέρα ἡ ἀρετὴ γέγονε, διὸ καὶ πολλὴ ἡ ἐπίτασις τῆς φιλοσοφίας, κατάμαθε πῶς μὲν, ἡνίκα ὁ νόμος ἐκράτει, τὰ τῶν ἀνθρώπων διέκειτο πράγματα, πῶς δὲ νῦν, ἐπειδὴ ἡ χάρις [l]ἔλαμψεν. [m]Α γὰρ μηδενὶ πρότερον [m]ἐδόκει εἶναι δυνατὰ, παρθενία καὶ θανάτου ὑπεροψία καὶ τῶν ἄλλων τῶν πλειόνων [n]παθῶν, ταῦτα πανταχοῦ τῆς οἰκουμένης κατώρθωται νῦν. Καὶ οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ Σκύθαις καὶ Θραξὶ καὶ Ἰνδοῖς καὶ Πέρσαις, καὶ ἑτέροις δὲ βαρβάροις E
πλείοσι, καὶ παρθένων χοροὶ, καὶ μαρτύρων δῆμοι, καὶ μοναχῶν συμμορίαι, καὶ πλείους οὗτοι λοιπὸν τῶν γεγαμηκότων εἰσὶ, καὶ νηστείας ἐπίτασις, καὶ ἀκτημοσύνης ὑπερβολή· ἅπερ, πλὴν ἑνὸς ἢ [o]δυοῖν, οὐδὲ φαντασθῆναι ὄναρ οἱ κατὰ τὸν νόμον ἠδυνήθησαν

[v] διδομένην B.G. [w] ἐνταῦθα καὶ οὐσίας διαλεγ. hoc ord. G. καὶ οὐσίας διαλεγ. ἐνταῦθα Edd. invitis libris. [x] ἐπιλάβοις Veron. Sav. Mor. ἴσ. ἐπιλάβοιο Sav. marg. ἐπιλάβοιο est in A.B.D.E.G.H.I. Cat. ἐπιλάβοι F. [y] ἐπειδ. οὐκ ἀπόχρη] οὐκ ἀπόχρη γὰρ G. [z] τὸ ἐκκλῖναι Edd. τὸ om. B.D. E.F.G.I. [a] τὰ ἀγ. π.] ἀγαθοποιεῖν G. [b] πείσωμεν A.E.F.H. Cat. [c] ἐργασώμεθα E.H. [d] ῥᾳθυμήσωμεν G. [e] ποιήσομεν A.B.D.G. Cat. ποιήσωμεν Edd. [f] ἐνεχείρησεν E.H. [g] καὶ τούτου γ. κἀκείνου G. [h] ἀπήρτηται H. [i] καὶ om. G. [k] ἑαυτῷ A.F.H.I. [l] ἐπέλαμψεν G. [m] ἐδόκησεν G. [n] παθῶν] ἀγαθῶν E. [o] δυοῖν pro δυεῖν omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολιτευόμενοι. Ὁρῶν τοίνυν σάλπιγγος [p]λαμπρότερον βοῶσαν τὴν τῶν πραγμάτων ἀλήθειαν, μὴ καταμαλακίζου, μηδὲ προδίδου τὴν τοσαύτην χάριν. Οὐδὲ γὰρ δυνατὸν, οὐδὲ μετὰ τὴν πίστιν, [q]ῥᾳθυμοῦντα σωθῆναι. Εὔκολα γὰρ τὰ παλαί-
568 σματα, ἵνα νικήσῃς ἀγωνιζόμενος, οὐχ ἵνα καθεύδῃς, οὐδ' ἵνα τῷ μεγέθει τῆς χάριτος πρὸς ῥᾳθυμίας ὑπόθεσιν ἀποχρήσῃ, τῷ [r]βορβόρῳ πάλιν ἐγκαλινδούμενος τῷ προτέρῳ. Διὸ καὶ ἐπάγει λέγων· [22]" Οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται." Τί οὖν; [s]κατακόψομεν τὸ σῶμα, φησὶν, ἵνα ἀρέσωμεν τῷ θεῷ, καὶ ἐξέλθωμεν ἀπὸ τῆς σαρκός; καὶ ἀνδροφόνους ἡμᾶς [t]εἶναι κελεύεις, ἐπ' ἀρετὴν ἄγων; [v]Ὁρᾷς πόσα ἄτοπα τίκτεται, ἐὰν ἁπλῶς τὰ λεγόμενα ἐκδεξώμεθα; Σάρκα γὰρ ἐνταῦθα οὐ τὸ σῶμά φησιν, οὐδὲ τὴν οὐσίαν τοῦ σώματος, ἀλλὰ τὸν σαρκικὸν βίον καὶ κοσμικὸν, καὶ τρυφῆς καὶ ἀσωτίας γέμοντα, [w]τὸν ὅλαν
B σάρκα ποιοῦντα τὸν ἄνθρωπον. Ὥσπερ γὰρ οἱ τῷ πνεύματι πτερούμενοι [x]καὶ τὸ σῶμα πνευματικὸν ἐργάζονται· οὕτως οἱ τούτου μὲν ἀποπηδῶντες, γαστρὶ δὲ καὶ [y]ἡδοναῖς δουλεύοντες, καὶ τὴν ψυχὴν [z]σάρκα ποιοῦσιν, οὐ τὴν οὐσίαν [a]αὐτῆς μεταβάλλοντες, ἀλλὰ τὴν εὐγένειαν αὐτῆς ἀπολλύντες. Καὶ οὗτος τῆς λέξεως ὁ τρόπος καὶ ἐν τῇ παλαιᾷ [b]πολλαχοῦ κεῖται, σάρκα σημαίνων τὸν παχὺν καὶ [c]γεώδη βίον, καὶ ἡδοναῖς ἐμπεπλεγμένον ἀτόποις. Καὶ γὰρ τῷ Νῶε φησιν, [23]" Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ
C εἶναι αὐτοὺς σάρκας." Καίτοι καὶ αὐτὸς ὁ Νῶε σάρκα περιέκειτο· ἀλλ' οὐκ ἦν τοῦτο ἔγκλημα τὸ περικεῖσθαι σάρκα· τοῦτο γὰρ τῆς φύσεως· ἀλλὰ τὸ σαρκικὸν ἀνῃρῆσθαι βίον. Διὰ τοῦτο καὶ [d]ὁ Παῦλός φησιν· " Οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται·" [e]καὶ ἐπήγαγεν, [24]" Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι," οὐχ ἁπλῶς σάρκα λέγων [f]πάλιν, ἀλλὰ τὴν τοιαύτην σάρκα, τὴν συρομένην ὑπὸ τῶν παθῶν, [g]τὴν τυραννουμένην. Καὶ τίνος ἕνεκεν, φησὶν, οὐχ οὕτως εἶπεν, οὐδὲ [h]τὴν διαφορὰν τέθεικεν; Ἐπαίρων τὸν ἀκροατὴν, καὶ

[22] v. 8. [23] Gen. vi. 3. [24] v. 9.

[p] λαμπρότερον A.B.D.E.F.H.I. λαμπροτέραν Edd. [q] ῥᾳθυμοῦντας B.D. [r] βαράθρῳ A.E.I. et ante corr. F. Mox ἐγκυλιν. A.F.G. [s] κατακόψωμεν A.H. κατακαύσωμεν I. [t] κελ. εἶναι inverso ord. A.E.F.H.I. [v] ὅρα G. [w] τὸν om. A.F.H. καὶ pro τὸν I. Statim σαρκοποιοῦντα G. [x] καὶ om. I. [y] ἡδοναῖς A.E.F.G.H.I. ἡδονῇ Edd. [z] σαρκοποιοῦσιν A.F.G.H.I. [a] αὐτοῖς Edd. ἴσ. αὐτῆς Sav. marg. αὐτῆς libri omnes et Cat. [b] πολλαχοῦ omnes. πολλάκις Cat. Edebatur πανταχοῦ ante Montef. [c] γεώδη est in nostris omnibus et Cat. πηλώδη Edd. [d] ὁ om. A.F.H.I. [e] καὶ] εἶτα G. εἶτα καὶ D.E. [f] πάλιν om. A.F.H.I. [g] τὴν] καὶ G.H. [h] τὴν om. E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεικνὺς ὅτι οὐδὲ ἐν σώματί [i]ἐστιν ὁ ὀρθῶς βιῶν. Ἐπειδὴ γὰρ D
τὸ [k]ἐν ἁμαρτίᾳ μὴ εἶναι τὸν πνευματικὸν, παντί που δῆλον ἦν,
[l]οὗτος τὸ μεῖζον τίθησιν, ὅτι οὐ μόνον ἐν ἁμαρτίᾳ, [m]ἀλλ' οὐδὲ
ἐν σαρκὶ λοιπόν ἐστιν ὁ πνευματικὸς ἄνθρωπος, ἄγγελος ἐν-
τεῦθεν ἤδη γενόμενος, καὶ πρὸς τὸν οὐρανὸν ἀναβὰς, καὶ λοιπὸν
τὸ σῶμα ἁπλῶς περιφέρων. Εἰ δὲ διὰ τοῦτο τὴν σάρκα δια-
βάλλεις, ἐπειδὴ τῷ ὀνόματι αὐτῆς τὸν σαρκικὸν καλεῖ βίον· καὶ
τὸν κόσμον οὕτω διαβαλεῖς, ἐπειδὴ καὶ ἐντεῦθεν ἡ πονηρία κα-
λεῖται [n]πολλάκις, καθάπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χρι-
στός· [25]"Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου·" καὶ τοῖς
ἀδελφοῖς [o]τοῖς ἑαυτοῦ πάλιν ἔλεγεν, "Οὐ δύναται ὁ κόσμος
ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ." Καὶ τὴν ψυχὴν [p]δὲ ἀλλοτρίαν
(108) εἶναι [q]φήσετε τοῦ θεοῦ, ἐπειδὴ τοὺς ἐν πλάνῃ ζῶντας ψυχικοὺς E
ἐκάλεσεν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐ γὰρ ἁπλῶς
ταῖς λέξεσιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος ἀναγκαῖον παντα χοῦ
προσέχειν, καὶ τὴν ἀκριβῆ τῶν εἰρημένων εἰδέναι διαίρεσιν. Τὰ
μὲν γάρ ἐστιν ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δὲ μέσα· οἷον ψυχὴ καὶ
σὰρξ τῶν μέσων ἐστὶ, καὶ τοῦτο κἀκεῖνο γενέσθαι δυναμένη· τὸ
δὲ πνεῦμα, τῶν ἀγαθῶν ἀεὶ, καὶ οὐδέποτε ἕτερόν τι γινόμε-
νον. Πάλιν τὸ φρόνημα τῆς σαρκὸς, τουτέστιν, ἡ πονηρὰ
πρᾶξις, τῶν ἀεὶ κακῶν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσ-
σεται. [s]Ἂν τοίνυν [r]τῷ βελτίονι δῷς τὴν ψυχὴν καὶ τὸ σῶμα,
ἐγένου τῆς ἐκείνου μερίδος· ἂν τῷ χείρονι πάλιν, τῆς [s]ἐνταῦθα
ἀπωλείας κατέστης κοινωνὸς, οὐ παρὰ τὴν [t]φύσιν τῆς ψυχῆς 569
καὶ τῆς σαρκὸς, ἀλλὰ παρὰ τὴν γνώμην τὴν [v]κυρίαν ἀμφότερα
ταῦτα ἑλέσθαι.

Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὐ σαρκὸς δια-
βολὴ τὰ εἰρημένα, πάλιν αὐτὴν [w]μεταχειρίσαντες τὴν λέξιν,
ἐξετάσωμεν ἀκριβέστερον. "Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, [x]φη-
σὶν, ἀλλ' ἐν πνεύματι." Τί οὖν; οὐκ ἦσαν ἐν σαρκὶ, ἀλλ' ἀσώ-
ματοι περιήεσαν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ὁρᾷς, ὅτι
τὸν σαρκικὸν βίον ᾐνίξατο; Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὑμεῖς δὲ

25 Joan. xv. 19. vii. 7.

[i] ἐστιν omnes. ἔσται Edd. [k] ἐν ἁμαρτίᾳ] ἐναντία I. [l] οὗτος I. οὗτος δὲ G. [m] ἀλλ' ὅτι οὐδὲ Edd. ὅτι om. A.D.E.F.H.I. Cat. [n] καὶ πολλάκις D. καὶ post καθάπερ om. A. [o] τοῖς om. A.F.I. Statim πάλιν ἔλεγεν pro ἔλεγε πάλιν A.E.F.G.H.I. [p] δὲ accessit ex omnibus. [q] φήσετε pro φήσεται A.B.D.I. φήσεται (sic) H. φήσειε Cat. [r] τῷ βελτίονι δῷς] τὸ βέλτιον εἰδὼς G. [s] ἐνταῦθεν D. [t] φύσιν]+δὲ E. [v] κυρίαν]+ἐστὶν D.E. [w] μεταχειρήσαντες F. et ante corr. H. [x] φησὶν, ἀλλ' ἐν πν.] Sic A.B.D.E.F.H.I. φησὶν om. G. ἀλλ' ἐν πν. φησὶ Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἐστὲ ἐν ἁμαρτίᾳ; Ἵνα μάθῃς, ὅτι [y]οὐχὶ τῆς ἁμαρτίας μόνον
B τὴν τυραννίδα ἔσβεσεν ὁ Χριστὸς, ἀλλὰ καὶ τὴν σάρκα κουφοτέραν καὶ πνευματικωτέραν ἐποίησεν, οὐ τῷ τὴν φύσιν μεταβαλεῖν, ἀλλὰ [z]τῷ πτερῶσαι μᾶλλον αὐτήν. Καθάπερ γὰρ πυρὸς ὁμιλοῦντος σιδήρῳ, καὶ ὁ σίδηρος γίνεται πῦρ ἐν τῇ οἰκείᾳ μένων φύσει· οὕτω καὶ τῶν πιστῶν καὶ πνεῦμα ἐχόντων [a]καὶ ἡ σὰρξ λοιπὸν πρὸς ἐκείνην μεθίσταται τὴν ἐνέργειαν, ὅλη πνευματικὴ γινομένη, [b]καὶ σταυρουμένη πάντοθεν, καὶ τῇ ψυχῇ συναπτερουμένη· οἷον ἦν καὶ τὸ σῶμα τοῦ ταῦτα λέγοντος. Διὸ τρυφῆς μὲν ἁπάσης καὶ ἡδονῆς [c]κατεγέλα, ἐνετρύφα δὲ λιμῷ καὶ μάστιξι καὶ δεσμωτηρίοις, καὶ οὐδὲ ἤλγει ταῦτα πά-
C σχων. Καὶ τοῦτο δηλῶν ἔλεγε, [26] "Τὸ [d]γὰρ παραυτίκα ἐλαφρὸν τῆς [e]θλίψεως" οὕτως ἦν [f]καλῶς καὶ τὴν σάρκα παιδεύσας συντρέχειν τῷ πνεύματι. "Εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν." Τὸ "εἴπερ" τοῦτο [g]πολλαχοῦ οὐκ ἀμφιβάλλων τίθησιν, ἀλλὰ καὶ σφόδρα πιστεύων, καὶ ἀντὶ τοῦ ἐπείπερ, ὡς ὅταν λέγῃ· [27] "Εἴπερ δίκαιον [h]παρὰ θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν [i]ὑμᾶς θλῖψιν" πάλιν, "Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ." "Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει." Οὐκ εἶπεν, εἰ δὲ ὑμεῖς οὐκ ἔχετε, ἀλλ' ἐπ' ἄλλων [k]προήγαγε τὸ λυπηρόν.
D "Οὗτος οὐκ ἔστιν αὐτοῦ," φησίν. [28] "Εἰ δὲ Χριστὸς ἐν ὑμῖν." Πάλιν [l]τὸ χρηστὸν ἐπ' αὐτῶν. Καὶ τὸ μὲν λυπηρὸν, βραχὺ καὶ μέσον· τὸ δὲ ποθεινὸν, ἑκατέρωθεν καὶ διὰ πολλῶν, [m]ὥστε ἐκεῖνο συσκιάσαι. Τοῦτο δὲ ἔλεγεν, οὐ τὸ πνεῦμα [n]Χριστὸν λέγων, ἄπαγε, ἀλλὰ δεικνὺς ὅτι ὁ τὸ πνεῦμα ἔχων, οὐ μόνον τοῦ Χριστοῦ χρηματίζει, ἀλλὰ καὶ αὐτὸν ἔχει τὸν Χριστόν. Οὐ γὰρ ἔστι πνεύματος παρόντος, μὴ καὶ Χριστὸν παρεῖναι. Ὅπου γὰρ [o]ἂν μία τῆς τριάδος ὑπόστασις
E παρῇ, [p]πᾶσα πάρεστιν ἡ τριάς· ἀδιασπάστως γὰρ ἔχει πρὸς ἑαυτὴν, καὶ ἥνωται μετ' ἀκριβείας ἁπάσης. Καὶ τί [q]ἔσται, φησὶν, ἐὰν [r]ᾖ Χριστὸς ἐν ἡμῖν; "Τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν· τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην." Εἶδες [s]ὅσα

[26] 2 Cor. iv. 17. [27] 2 Thess. i. 6. Gal. iii. 4. [28] v. 10.

[y] οὐχὶ pro οὐ A.D.E.F.G.H.I. Cat. Deinceps τῆς ἁμ. μόνον τὴν τ. ἔσβεσεν A.B.E.F.H.I. Cat. τῆς ἁμ. τὴν τ. ἔσβεσε μόνον D. τῆς ἁμ. τὴν τ. μόνον ἔσβεσεν G. τὴν τ. τῆς ἁμ. ἔσβεσε μόνον Edd. [z] τῷ om. F.H.I. [a] καὶ accessit ex omnibus. [b] Sic omnes. καὶ aberat. [c] κατεγέλασεν, ἐτρύφα δὲ G. In vulgata δὲ om. E. [d] γὰρ om. I. [e] θλίψεως ἡμῶν Edd. ἡμῶν om. B.D.E.G. [f] καλῶς B.D.E.F.G.H. et ante corr. A. καλὸς Veron. Sav. Mor. Mox συντρέχει A. [g] πανταχοῦ F.H.I. [h] παρὰ τῷ θ. I. Cat. [i] ἡμᾶς G. Cat. Mox καὶ πάλιν B. Cat. [k] προήγαγε] προσώπων ἤγαγε B.D.E. [l] Vid. Annot. [m] ὥστε] ἔσται G. [n] Χριστοῦ I. [o] ἂν accessit ex omnibus. [p] πᾶσα om. G. [q] ἔσται om. I. [r] ᾖ om. A.F.H.I. Mox ἡμῖν pro ὑμῖν A.D.E.F.G.H.I. [s] πόσα G.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κακὰ ἐκ τοῦ μὴ ἔχειν πνεῦμα ἅγιον; θάνατος, [t]ἔχθρα εἰς θεὸν, τὸ μὴ δύνασθαι ἀρέσαι τοῖς ἐκείνου νόμοις, τὸ μὴ εἶναι ὡς χρὴ [v]τοῦ Χριστοῦ, τὸ μὴ ἔχειν αὐτὸν ἔνοικον. Σκόπει τοίνυν καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ πνεῦμα ἔχειν· τὸ Χριστοῦ εἶναι, τὸ αὐτὸν ἔχειν τὸν Χριστὸν, τὸ τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι. Τοῦτο γάρ ἐστι νεκρῶσαι τὴν σάρκα, τὸ ζωὴν ἀθάνατον ζῆν, τὸ ἐντεῦθεν ἤδη τῆς ἀναστάσεως ἔχειν τὰ ἐνέχυρα, τὸ μετ' εὐκο- 570
λίας τὸν τῆς ἀρετῆς τρέχειν δρόμον. Οὐδὲ γὰρ εἶπεν, ἀργεῖν τὸ σῶμα λοιπὸν [w]τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ νεκρὸν εἶναι· ἐπιτείνων [x]τὴν εὐκολίαν τῶν δρόμων. Χωρὶς [y]γὰρ πραγμάτων καὶ πόνων ὁ τοιοῦτος στεφανοῦται λοιπόν. Διὰ τοῦτο καὶ, "τῇ ἁμαρτίᾳ," προσέθηκεν, ἵνα μάθῃς, ὅτι τὴν πονηρίαν, [z]ἀλλ' οὐ τὴν φύσιν τοῦ σώματος καθάπαξ ἀνεῖλεν. Εἰ γὰρ τοῦτο γένοιτο, πολλὰ καὶ τῶν τὴν ψυχὴν ὠφελῆσαι δυναμένων ἀνήρηται. Οὐ τοίνυν τοῦτό φησιν, [a]ἀλλὰ ζῶν καὶ μένον, νεκρὸν
(109) εἶναι βούλεται. [b]Τοῦ γὰρ τὸν υἱὸν ἔχειν, τοῦ τὸ πνεῦμα ἐν B
ἡμῖν εἶναι σημεῖόν ἐστι, τὸ μηδὲν τῶν ἐν τῇ σορῷ κειμένων σωμάτων διαφέρειν ἡμῶν τὰ σώματα πρὸς τὴν [c]τῆς ἁμαρτίας ἐργασίαν. Ἀλλὰ μὴ φοβηθῇς, νέκρωσιν ἀκούσας· ἔχεις γὰρ τὴν ὄντως ζωὴν, [d]ἣν οὐδεὶς διαδέξεται θάνατος. Τοιαύτη γὰρ ἡ τοῦ [e]πνεύματος· οὐκ εἴκει θανάτῳ λοιπὸν, ἀλλ' ἀναλίσκει θάνατον [f]καὶ δαπανᾷ, καὶ ὅπερ ἔλαβεν, ἀθάνατον διατηρεῖ. Διόπερ εἰπὼν τὸ σῶμα νεκρὸν, οὐκ εἶπε τὸ πνεῦμα ζῶν, ἀλλὰ [g]ζωὴν, ἵνα δείξῃ καὶ ἑτέροις τοῦτο δυνάμενον παρασχεῖν. Εἶτα πάλιν ἐπισφίγγων τὸν ἀκροατὴν, λέγει καὶ τὴν αἰτίαν τῆς ζωῆς καὶ τὴν ἀπόδειξιν· αὕτη δέ ἐστιν ἡ δικαιοσύνη. Ἁμαρ- C
τίας [h]γὰρ οὐκ οὔσης, οὐδὲ θάνατος φαίνεται· θανάτου δὲ μὴ φαινομένου, [i]ἀκατάλυτος ἡ ζωή. [29] "Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν κύριον [k]ἡμῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν." Πάλιν τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, [l]ἐπειδὴ αὕτη μάλιστα τὸν ἀκροατὴν [m]ἤλειφεν ἡ ἐλπὶς,

[29] v. 11.

[t] καὶ ἔχθρα G. Mox δυνηθῆναι id. [v] τοῦ om. B. [w] τῇ ἁμαρτίᾳ libri omnes cum Cat. τὴν ἁμαρτίαν Edd. [x] τῇ εὐκολίᾳ τὸν δρόμον Sav. marg. Ita ex corr. A. [y] γὰρ pro δὲ omnes. [z] ἀλλ' om. B.D.G. [a] ἀλλὰ]+καὶ A.D.E.F.H. Cat. [b] Vid. Annot. [c] τῆς ἁμαρτίας] Sic libri omnes et Cat. τοῦ σώματος Edd. Statim ἐνέργειαν G. [d] ἣν] καὶ G. [e] πνεύματος] +χάρις E. +ζωὴ G. [f] καὶ]+δ A. [g] ζωὴ Cat. [h] γὰρ om. G. Mox φανείται idem. [i] ἀκώλυτος I. Statim ἡ accessit ex B.D.E.F.G.H.I. Cat. [k] ἡμῶν, quod aberat, est in nostris D.F.G.H.I. et Mosqq. [l] ἐπειδὴ]+καὶ H. [m] ἤλειφεν, receptum a Montef. pro εἵληφεν, habent B.D.E.F.H.I. διήγειρεν Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ βεβαιοῖ αὐτὸν ἀπὸ τῶν ἐπὶ [n]τοῦ Χριστοῦ συμβάντων. Μὴ γὰρ δὴ φοβηθῇς, φησὶν, ὅτι νεκρὸν περίκεισαι σῶμα· [o]ἐχέτω πνεῦμα, καὶ ἀναστήσεται πάντως. Τί οὖν; τὰ μὴ ἔχοντα πνεῦμα σώματα οὐκ [p]ἀνίσταται; καὶ πῶς ἅπαντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ; πῶς δὲ ὁ τῆς γεέννης ἀξιόπιστος ἔσται λόγος; Εἰ γὰρ οἱ μὴ ἔχοντες πνεῦμα οὐκ ἀνίστανται, οὐδὲ γέεννα ἔσται. Τί οὖν ἐστι τὸ λεγόμενον; Πάντες μὲν ἀναστήσονται, οὐ πάντες δὲ εἰς ζωὴν, ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς ζωήν. Διὰ τοῦτο οὐκ εἶπεν, ἀναστήσει, ἀλλὰ, "ζωοποιήσει" ὃ πλέον τῆς ἀναστάσεως ἦν, καὶ τοῖς δικαίοις [q]μόνοις δεδωρημένον. Καὶ τὴν αἰτίαν τῆς τοσαύτης τιμῆς [r]τιθεὶς, προσέθηκε λέγων, "διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν." [s]Ὥστε ἂν ἀπελάσῃς ἐνταῦθα ὧν τοῦ πνεύματος τὴν χάριν, καὶ μὴ σῴαν αὐτὴν ἔχων ἀπέλθῃς, ἀπολῇ πάντως, κἂν ἀναστῇς. Ὥσπερ [t]γὰρ οὐκ ἀνέχεται, τὸ πνεῦμα αὐτοῦ λάμπον ὁρῶν ἐν σοὶ τότε, κολάσει σε παραδοῦναι, οὕτως οὐ καταδέξεται, ἐσβεσμένον ἰδὼν, εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν, καθάπερ [v]οὐδὲ τὰς παρθένους ἐκείνας.

[w]Μὴ τοίνυν ἀφῇς [x]τὸ σῶμα ζῆσαι νῦν, ἵνα τότε ζήσῃ· ποίησον αὐτὸ ἀποθανεῖν, ἵνα μὴ [y]ἀποθάνῃ. Ἐὰν [z]γὰρ μένῃ ζῶν, οὐ ζήσεται· ἐὰν δὲ ἀποθάνῃ, τότε ζήσεται. Τοῦτο καὶ ἐπὶ
571 τῆς ἀναστάσεως γίνεται τῆς καθόλου· πρότερον γὰρ [a]ἀποθανεῖν αὐτὸ δεῖ καὶ ταφῆναι, καὶ τότε γενέσθαι ἀθάνατον. Τοῦτο καὶ ἐν τῷ λουτρῷ γέγονεν· ἐσταυρώθη γοῦν [b]πρότερον καὶ ἐτάφη, καὶ τότε ἠγέρθη. Τοῦτο καὶ ἐπὶ τοῦ σώματος τοῦ κυριακοῦ· καὶ γὰρ [c]καὶ ἐκεῖνο ἐσταυρώθη καὶ [d]ἐτάφη, καὶ τότε ἀνέστη. Τοῦτο [e]τοίνυν καὶ ἡμεῖς ποιῶμεν· ἐπὶ τῶν ἔργων [f]αὐτοῦ διηνεκῶς αὐτὸ νεκρώσωμεν. Οὐχὶ τὴν οὐσίαν λέγω, μὴ γένοιτο, ἀλλὰ τὰς ὁρμὰς τὰς ἐπὶ τὰς πονηρὰς πράξεις. Καὶ γὰρ καὶ τοῦτο ζωὴ, μᾶλλον δὲ τοῦτο [g]μόνον ζωὴ, τὸ μηδὲν ἀνθρώπινον ὑπομένειν, μηδὲ ἡδοναῖς δουλεύειν. Ὁ γὰρ ταύταις
B ἑαυτὸν ὑποτάξας, οὐδὲ ζῆν δύναται λοιπὸν διὰ τὰς ἐξ αὐτῶν

[n] τοῦ om. A.H. Cat. Statim συμβάντων A.B.D.E.F.G.H. Cat. συμβαινόντων Veron. Sav. Mor. [o] ἐχέτω A.B.D.E.F.H.I. ἔχει τὸ Edd. ἔχει τὸ Cat. [p] ἀνίσταται D.H. [q] μόνον B. Cat. [r] τιθεὶς] θεὶς E. δεικνὺς ex corr. A. [s] ὥστε] ὡς ὅτι G. [t] γὰρ om. G. [v] οὐδὲ om. B. [w] ΗΘΙΚΟΝ. Περὶ τῶν ἐν ἀρετῇ καὶ ἀσκήσει βιούντων, καὶ ὅτι οὗτοι μόνοι ζῶσιν, οἱ δὲ ἐν ἡδοναῖς ἤδη νενέκρωνται· καὶ περὶ τρυφῆς καὶ φιλαργυρίας καὶ πλεονεξίας. Veron. [x] τὸ σ. ζῆσαι pro ζῆσαι τὸ σ. A.D.E.F.G.H.I. [y] ἀποθάνῃς F.G.H. [z] γὰρ om. H. [a] αὐτὸ ἀποθανεῖν inverso ord. D.G. [b] τὸ πρότερον Edd. τὸ om. B.D.E.F.G.H.I. [c] καὶ om. B.I. [d] ἐτάφη] ἀπέθανε A.B.D.E.G.H.I. [e] τοίνυν om. I. Mox ποιήσωμεν B. [f] αὐτοῦ pro αὐτῶν A.D.E.F.G.H. et ante corr. B. [g] μόνον] μὲν οὖν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀθυμίας, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ [h]τὸν μυρίον τῶν παθῶν ἐσμόν. Ἂν τε γὰρ θάνατος προσδοκηθῇ, τέθνηκε πρὸ τοῦ θανάτου τῷ δέει· ἄν τε νόσον ὑποπτεύσῃ, ἂν ὕβριν, ἂν πενίαν, ἂν ἄλλο τι τῶν ἀδοκήτων, ἀπόλωλε καὶ διέφθαρται. Τί τοίνυν τῆς ζωῆς ταύτης γένοιτ' ἂν ἀθλιώτερον; Ἀλλ' οὐχ ὁ τῷ πνεύματι ζῶν τοιοῦτος, ἀλλὰ καὶ φόβων καὶ λύπης καὶ κινδύνων καὶ μεταβολῆς ἁπάσης ἔστηκεν ἀνώτερος, οὐ τῷ μηδὲν ὑπομένειν, ἀλλ', ὃ πολλῷ μεῖζόν ἐστι, τῷ καὶ ἐπιόντων [i]αὐτῶν καταφρονεῖν. Πῶς δὲ τοῦτο ἔσται; Ἐὰν τὸ πνεῦμα διόλου C κατοικῇ ἐν [k]ὑμῖν. Οὐδὲ γὰρ ἁπλῶς αὐτὸ εἶπεν οἰκεῖν πρὸς βραχύ, ἀλλ' ἐνοικεῖν διηνεκῶς. Διὰ τοῦτο οὐκ εἶπε, τὸ ἐνοικῆσαν πνεῦμα, ἀλλὰ, "τὸ ἐνοικοῦν," τὴν διόλου μονὴν ἐνδεικνύμενος. Οὐκοῦν [l]ὁ ζῶν οὗτος μάλιστά ἐστιν ὁ νεκρωθεὶς τῷ βίῳ. Διὸ καὶ ἔλεγε, "[m]τὸ πνεῦμα ζωὴ διὰ δικαιοσύνην." Καὶ ἵνα σαφέστερον τὸ λεγόμενον [n]γένηται, δύο [o]παραγάγωμεν ἀνθρώπους, τὸν μὲν ἐκδεδομένον ἀσωτίαις καὶ ἡδοναῖς καὶ [p]τῇ (110) ἀπάτῃ τοῦ βίου, τὸν δὲ νενεκρωμένον τούτοις· καὶ ἴδωμεν τίς ἐστι μᾶλλον ὁ ζῶν. Ἔστω γὰρ τοῖν δυοῖν τούτοιν ὁ μὲν σφόδρα πλούσιος καὶ ἐπίσημος, παρασίτους τρέφων καὶ κόλακας, D καὶ πᾶσαν εἰς τοῦτο ἀναλισκέτω τὴν ἡμέραν, κωμάζων καὶ κραιπαλῶν· ὁ δὲ ἕτερος, πενίᾳ συζῶν καὶ νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ τε καὶ φιλοσοφίᾳ, ἐν ἑσπέρᾳ τῆς ἀναγκαίας μεταλαμβανέτω τροφῆς μόνον, ἢ εἰ βούλει, καὶ δύο [q]καὶ τρεῖς ἄσιτος ἡμέρας μενέτω· τίς οὖν [r]ἡμῖν ἔσται ἐκ τῶν δύο τούτων ὁ μάλιστα ζῶν; Οἱ μὲν πολλοὶ εὖ οἶδ' ὅτι ἐκεῖνον ἡγήσονται, τὸν [s]σκιρτῶντα, καὶ σκορπίζοντα τὰ [t]αὐτοῦ· ἡμεῖς δὲ ἐκεῖνον τὸν συμμετρίας ἀπολαύοντα. Οὐκοῦν ἐπειδὴ μάχη καὶ φιλονεικία τέως ἐστὶν, εἰς τὰς ἑκατέρων εἰσέλθωμεν οἰκίας, [v]καὶ τότε μά- E λιστα, ὅτε σοι μάλιστα δοκεῖ ζῆν ὁ πλούσιος, ἐν αὐτῷ τῷ καιρῷ τῆς τρυφῆς, καὶ εἰσελθόντες κατίδωμεν ἐν τίσιν ἐστὶν ἑκάτερος τούτων· ἀπὸ γὰρ τῶν πράξεων καὶ ὁ ζῶν καὶ ὁ τεθνηκὼς φαίνεται. Οὐκοῦν τὸν μὲν ἐν βίβλοις εὑρήσομεν ὄντα, ἢ [w]ἐν εὐχῇ καὶ νηστείᾳ, ἢ ἐν ἄλλῳ τινὶ τῶν ἀναγκαίων, ἐγρηγορότα καὶ νήφοντα καὶ θεῷ διαλεγόμενον· τὸν δὲ ὑπὸ τῆς μέθης

[h] τὸν μυρίον τῶν π. ἐσμὸν] Sic A.F.H.I. τῶν om. B.D. τὸν τῶν μυρίων π. ἐσμὸν (sed τὸν ex corr.) G. Editi τῶν μυρίων π. ἐσμόν. [i] αὐτῷ G. [k] ὑμῖν pro ἡμῖν A.B.D.E.G.H. [l] ὁ accessit ex omnibus. [m] τὸ δὲ πν. G. [n] δείκνυται I. [o] παραγάγωμεν E.G. et ex corr. A. παράγωμεν vulgo. [p] τῇ om. A.B.D.E.F.H. [q] καὶ, quod aberat ante Montef. est in B.D.E.G.I. [r] ὑμῖν D.E. [s] σκιρτῶντα Edd. τρυφῶντα Codd. [t] αὐτοῦ pro αὑτοῦ A.B.E.H. fortasse alii. [v] Sic A.B.F.H.I. καὶ τότε ὅτε σοι μάλιστα δοκεῖ D. receptum a Ben. καὶ τότε μάλιστα ὅτε σοι δοκεῖ E. καὶ τότε ὅτε μάλιστά σοι δοκεῖ G. [w] ἐν om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαπτισθέντα, καὶ νεκροῦ οὐδὲν ἄμεινον διακείμενον ὀψόμεθα. Κἂν μέχρι τῆς ἑσπέρας μείνωμεν, πλείονα τὸν θάνατον τοῦτον
572 ἐπιόντα αὐτῷ [x]θεασόμεθα, κἀκεῖθεν πάλιν ὕπνον διαδεχόμενον· τὸν δὲ καὶ ἐν νυκτὶ νήφοντα καὶ [y]ἐγρηγορότα. Τίνα οὖν [z]ἂν εἴποιμεν μᾶλλον ζῆν, τὸν ἀναισθήτως κείμενον, καὶ προκείμενον ἅπασι γέλωτα· ἢ τὸν ἐνεργοῦντα, καὶ θεῷ διαλεγόμενον; Ἐκείνῳ μὲν γὰρ ἂν προσέλθῃς καὶ εἴπῃς τι τῶν ἀναγκαίων, οὐδὲν ἀκούσῃ φθεγγομένου, ὥσπερ οὐδὲ τοῦ νεκροῦ· τούτῳ δὲ κἂν ἐν νυκτὶ, κἂν ἐν ἡμέρᾳ συγγενέσθαι ἐπιθυμήσῃς, ἄγγελον [a]ὄψει μᾶλλον ἢ ἄνθρωπον, καὶ [b]φιλοσοφοῦντος ἀκούσῃ περὶ τῶν ἐν
B [c]οὐρανῷ πραγμάτων. Ὁρᾷς ὅτι ὁ μὲν ὑπὲρ τοὺς ζῶντας ἅπαντας ζῇ, ὁ δὲ καὶ [d]τῶν τεθνηκότων ἐλεεινότερον κεῖται; Κἂν ἐνεργεῖν δόξῃ, ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ, καὶ τοῖς μαινομένοις ἔοικε, μᾶλλον δὲ [e]καὶ ἐκείνων ἐστὶν ἀθλιώτερος. Εἰς ἐκείνους μὲν γὰρ ἄν τις ὑβρίσῃ, καὶ ἐλεοῦμεν [f]ἅπαντες τὸν ὑβριζόμενον, καὶ ἐπιτιμῶμεν τῷ ὑβρίζοντι· τούτῳ δὲ κἂν ἐναλλόμενόν τινα ἴδωμεν, οὐ μόνον [g]οὐκ ἐπικαμπτόμεθα εἰς ἔλεον, ἀλλὰ καὶ καταψηφιζόμεθα αὐτοῦ κειμένου. Τοῦτο οὖν, εἰπέ μοι, ζωὴ, ἀλλ' οὐ μυρίων θανάτων χαλεπώτερον; Ὁρᾷς ὅτι οὐ μόνον
C νεκρὸς ὁ τρυφῶν, ἀλλὰ καὶ νεκροῦ χείρων, καὶ δαιμονῶντος ἀθλιώτερος; Ὁ μὲν γὰρ ἐλεεῖται, ὁ δὲ μισεῖται· καὶ ὁ μὲν συγγνώμης ἀπολαύει, ὁ δὲ κόλασιν δίδωσιν ὑπὲρ ὧν νοσεῖ. Εἰ δὲ ἔξωθεν [h]οὕτως ἐστὶ καταγέλαστος, σεσηπότα [i]σίελον ἔχων, καὶ οἴνου πνέων ὀδωδότος, ἐννόησον τὴν ἀθλίαν ψυχὴν τὴν ὥσπερ [k]ἐν τάφῳ τῷ τοιούτῳ σώματι κατορωρυγμένην, πῶς εἰκὸς διακεῖσθαι. Ταὐτὸν γάρ ἐστιν ἰδεῖν, οἷον ἂν [l]εἰ κόρη κοσμία καὶ σώφρονι καὶ ἐλευθέρᾳ καὶ [m]εὐγενεῖ καὶ καλῇ θεραπαινίδα βάρβαρόν τινα καὶ [n]αἰσχρὰν καὶ ἀκάθαρτον ἐνάλλεσθαι καὶ ἐνυβρίζειν μετὰ πολλῆς τις παρασκευάσειε τῆς ἐξουσίας.
D Τοιοῦτον γὰρ ἡ μέθη. Τίς [o]οὖν οὐκ ἂν ἕλοιτο τῶν νοῦν ἐχόντων μυριάκις ἀποθανεῖν, ἢ μίαν οὕτω ζῆσαι ἡμέραν; Κἂν γὰρ ἡμέρας γενομένης ἐκ [p]τῆς κωμῳδίας ἐκείνης ἀναστὰς δόξῃ νήφειν,

[x] *θεασόμεθα*]+*καὶ τοῦτον μὲν* D.E. [y] *γρηγοροῦντα* G. Verba *τὸν δὲ καὶ ——ἐγρηγορότα* om. F. suppl. in marg. [z] *ἂν* assumtum ex A.B.D.E.F.G. [a] *ὄψει* (vel *ὄψῃ*) *μᾶλλον* A.E.F.G.H.I. *μᾶλλον ὄψει* Edd. [b] *φιλοσοφοῦντος* B.D.E.F.G.I. *φιλοσοφοῦντα* vulgo. [c] *οὐρανοῖς* G. [d] *τῶν* accessit ex omnibus. [e] *καὶ* assumtum ex B.D.E.F.G.I. [f] *ἅπαντες* pro *πάντες* A.B.D.E.F.G.I. [g] *οὐκ* om. F. [h] *οὗτος* E. [i] *σίαλον* A.F.H. [k] *ἐν* om. G. Statim *τῷ* ante *τοιούτῳ* accessit ex omnibus. Mox *κατορωρυγ.* A.B.D.F.G. *κατωρωρυγ.* E. *κατωρορυγ.* H. *κατωρυγ.* Edd. [l] *εἰ*]+*τις* G. (et om. *τις* ante *παρασκευάσειε*. Statim *τιμίᾳ* pro *κοσμίᾳ* idem. [m] *εὐγενίδι* G. Haec *καὶ εὐγ. καὶ καλῇ* desunt in B.D.E. Veron. *καὶ καλῇ* om. I. [n] *αἰσχρὰν* A.D.E.F.G.H. *αἰσχρὸν* Edd. ante Ben. [o] *οὖν* om. F. [p] *τῆς κωμῳδίας ἐκείνης*] *τοῦ κώμου ἐκείνου* E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[q] οὐδὲ τότε καθαρᾶς ἀπολαύει σωφροσύνης, ἔτι τῆς νεφέλης ἐκείνης τῆς ἀπὸ τοῦ χειμῶνος τῆς μέθης πρὸ τῶν ὀφθαλμῶν ἱσταμένης. Εἰ δὲ καὶ [r] δοίημεν αὐτὸν καθαρῶς νήφειν, τί τὸ ὄφελος; Εἰς οὐδὲν γὰρ αὐτῷ [s] χρήσιμος ἡ νῆψις αὕτη, ἀλλ' ἢ εἰς τὸ τοὺς κατηγόρους [t] ἰδεῖν. [u] Ὅταν μὲν γὰρ ἀσχημονῇ, τοσοῦτον κερδαίνει, ὅσον οὐκ αἰσθάνεται τῶν γελώντων· ἡμέρας δὲ γενομένης, καὶ ταύτην [v] ἀπόλλυσι τὴν παραμυθίαν, καὶ οἰκε- E τῶν γογγυζόντων, καὶ γυναικὸς αἰσχυνομένης, καὶ φίλων διαβαλλόντων, καὶ ἐχθρῶν καταγελώντων αἰσθανόμενος. Τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς ζωῆς, γελᾶσθαι μεθ' ἡμέραν ὑπὸ πάντων, καὶ [w] δείλης πάλιν [x] τὰ αὐτὰ ἀσχημονεῖν.

[y] Ἀλλὰ τί; βούλει τοὺς πλεονέκτας εἰς μέσον ἀγάγωμεν; Καὶ γὰρ [z] καὶ αὕτη πάλιν ἑτέρα μέθη χαλεπωτέρα· εἰ δὲ μέθη, καὶ θάνατος πάντως πολλῷ χείρων ἐκείνου, ἐπειδὴ καὶ ἡ μέθη χαλεπωτέρα. Καὶ [a] γὰρ οὐχ οὕτω δεινὸν [b] οἴνῳ μεθύειν, ὡς ἐπιθυμίᾳ χρημάτων. Ἐκεῖ μὲν [c] γὰρ ἡ ζημία μέχρι τοῦ [d] πά-
(111) θους ἵσταται, καὶ εἰς ἀναισθησίαν τελευτᾷ, καὶ [e] τὴν αὐτοῦ τοῦ μεθύοντος ἀπώλειαν· ἐνταῦθα δὲ εἰς μυρίας ἡ βλάβη διαβαίνει 573
ψυχὰς, ποικίλους πάντοθεν ἀνάπτουσα πολέμους. Φέρε οὖν, καὶ τοῦτον ἐκείνῳ παραβάλωμεν, καὶ ἴδωμεν ἐν τίσι μὲν αὐτῷ κοινωνεῖ, ἐν τίσι δὲ αὐτοῦ πλεονεκτεῖ πάλιν, καὶ μεθυόντων ποιήσωμεν [f] σύγκρισιν σήμερον. Πρὸς γὰρ ἐκεῖνον τὸν μακάριον, τὸν πνεύματι ζῶντα, μηδὲ [g] παραβαλέσθωσαν οὗτοι λοιπὸν, ἀλλὰ πρὸς ἀλλήλους ἐξεταζέσθωσαν. Καὶ πάλιν τὴν τράπεζαν εἰς μέσον ἀγάγωμεν, τὴν μυρίων γέμουσαν φόνων. Ἐν τίσιν οὖν [h] κοινωνοῦσι, καὶ ἀλλήλοις ἐοίκασιν; Ἐν αὐτῇ τῇ B τοῦ νοσήματος φύσει. Τὸ μὲν γὰρ εἶδος τῆς [i] μέθης διάφορον, ἐπειδὴ τὸ μὲν ἐξ οἴνου, τὸ δὲ ἀπὸ χρημάτων γίνεται· τὸ δὲ πάθος ὅμοιον· καὶ γὰρ ὁμοίως ἀμφότεροι ἐπιθυμίᾳ ἀτόπῳ κατέχονται. Ὁ τε γὰρ οἴνῳ μεθύων, ὅσῳ ἂν πλείους ἐκπίῃ κύλικας, [k] τοσούτῳ πλειόνων ἐφίεται· ὅ τε χρημάτων ἐρῶν, ὅσῳπερ ἂν [l] περιβάληται πλείω, [m] τοσούτῳ μᾶλλον ἀνάπτει

[q] οὐδὲ τότε] οὐδέποτε G.I. Statim ἀπολαύσει καθ. pro καθ. ἀπολαύει G. [r] δοίημεν omnes. δοίη Veron. Sav. δῴη Mor. Ben. [s] χρήσιμον G. Post χρήσιμος add. ἦν A.F.H.I. [t] ὁρᾶν I. [u] ἀπελαύνει G. [w] δείλης καὶ πάλιν Veron. Sav. Mor. καὶ deest in omnibus. [x] τὸ αὐτὸ G. [y] ἀλλὰ τί βούλεσθε; τοὺς A.F.H.I. ἀλλ' εἰ βούλει, καὶ τοὺς B.D.E. ἀλλὰ τί βούλει; τοὺς G. [z] καὶ accessit ex A.B.D.E.F.G.I. Statim αὐτὴ D.E.F.G. [a] γὰρ om. A. [b] τὸ οἴνῳ Edd. τὸ deest in omnibus. [c] γὰρ om. B. [d] πάθους] παθόντος A.B.D.E.F.I. παρόντος G. [e] τὴν om. D.E. [f] σύγκρ. σήμ. pro σήμ. σύγκρ. omnes. [g] παραβαλλέσθ. A.E.F.H. [h] κοινωνοῦντες E. [i] μέθης] νόσου B.D. [k] τοσούτῳ pro τοσοῦτον omnes. Statim πλείων A. πλεῖον E.I. πλέον H. [l] περιβάλληται B.E. Statim πλεῖον G. [m] τοσοῦτον F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἐπιθυμίας τὴν φλόγα, καὶ χαλεπώτερον [n]αὐτῷ κατασκευά-
C ζει τὸ δίψος. Τούτῳ μὲν οὖν ἐοίκασιν· ἑτέρῳ δ' αὖ πάλιν ὁ φιλάργυρος πλεονεκτεῖ. Ποίῳ δὴ τούτῳ; Ὅτι ἐκεῖνος μὲν πρᾶγμα πάσχει κατὰ φύσιν· ὁ γὰρ οἶνος θερμὸς ὢν, καὶ τὴν ἔμφυτον ἐπιτείνων ξηρότητα, οὕτω τοὺς μεθύοντας ποιεῖ [o]διψῆν· ἐκεῖνος δὲ πόθεν ἀεὶ πλειόνων ἐφίεται; πόθεν, [p]ἐπειδὰν μειζόνως πλουτήσῃ, [q]τότε μάλιστά ἐστιν ἐν πενίᾳ; Ἄπορον γὰρ [r]τοῦτο τὸ παθὸς, καὶ αἰνίγματι μᾶλλόν ἐστιν ἐοικός. Ἀλλ' ἴδωμεν αὐτοὺς, εἰ δοκεῖ, καὶ μετὰ τὴν μέθην· μᾶλλον δὲ τὸν φιλάργυρον οὐδέποτε ἔστιν ἰδεῖν μετὰ τὴν μέθην· οὕτως ἐν τῷ μεθύειν
D ἐστὶν ἀεί. Οὐκοῦν ἐν αὐτῷ τῷ μεθύειν ὄντας ἀμφοτέρους ἴδωμεν, καὶ διασκεψώμεθα τίς μᾶλλόν ἐστι καταγέλαστος, καὶ σχηματίσωμεν αὐτοὺς ἀκριβῶς πάλιν ὑπογράφοντες. Ὀψόμεθα [s]γὰρ τὸν ἐξ οἴνου παραπαίοντα, [t]γενομένης ἑσπέρας, τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδένα βλέποντα, [v]ἀλλὰ ἁπλῶς καὶ εἰκῇ περιφερόμενον, καὶ τοῖς ἀπαντῶσιν ἐγκρούοντα, καὶ ἐμοῦντα, καὶ σπαραττόμενον, καὶ γυμνούμενον ἀσχημόνως, κἂν γυνὴ παρῇ, κἂν θυγάτηρ, κἂν θεραπαινὶς, κἂν ὁστισοῦν. [w]Ἐγελάσατε δαψιλές; Οὐκοῦν [x]φέρε καὶ τὸν πλεονέκτην εἰς μέσον ἀγάγωμεν. Ἐνταῦθα γὰρ οὐ γέλωτος τὰ [y]γινόμενα μόνον,
E ἀλλὰ καὶ ἀρᾶς καὶ πολλοῦ τοῦ θυμοῦ καὶ μυρίων σκηπτῶν· τέως μέντοι τὸν γέλωτα ἴδωμεν. Καὶ γὰρ [z]οὗτος ὁμοίως ἐκείνῳ πάντας ἀγνοεῖ, καὶ φίλους καὶ ἐχθροὺς, καὶ ὁμοίως τῶν ὀφθαλμῶν ἀνεῳγμένων πεπήρωται· καὶ ὥσπερ ἐκεῖνος πάντα οἶνον, [a]οὕτως οὗτος πάντα χρήματα βλέπει. Καὶ ὁ ἔμετος δὲ πολὺ χαλεπώτερος. Οὐ γὰρ [b]τροφὴν προΐεται, ἀλλὰ ῥήματα λοιδορίας, [c]ὕβρεων, πολέμων, θανάτων, μυρίους ἄνωθεν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἕλκοντα κεραυνούς. Καὶ οἷόν ἐστι τὸ σῶμα τοῦ μεθύοντος πελιδνὸν καὶ διαρρέον, τοιαύτη [d]ἡ ἐκείνου ψυχή· μᾶλλον δὲ οὐδὲ τὸ σῶμα [e]αὐτὸ τῆς νόσου ταύτης ἀπήλλακται, ἀλλὰ καὶ μᾶλλον ἁλίσκεται, οἴνου χαλεπώτερον τῆς φροντίδος καὶ τοῦ θυμοῦ καὶ τῆς ἀγρυπνίας κατεσθιούσης [f]αὐτὸ, καὶ κατὰ
574 μικρὸν δαπανώσης ἅπαν. Καὶ ὁ μὲν οἰνοφλυγίᾳ κατεχόμενος, κἂν μετὰ τὴν νύκτα δύναται νήφειν· ὁ δὲ διαπαντὸς [g]μεθύει, καὶ

[n] αὐτῷ] + τῆς ἐπιθυμίας G. αὐτῷ Edd. [o] διψᾶν G. διψεῖν A.F. [p] ἐπειδὰν] ἂν G. [q] τότε om. I. [r] τοῦτο A.E.F.H.I. [s] γὰρ omnes. τοίνυν Edd. [t] γινομ. B.E. [v] ἀλλ' ἁπλῶς A.B.D.I. [w] Vid. Annot. [x] φ. καὶ τὸν πλ. pro καὶ τὸν πλ. φέρε A.B.D.F.G.H.I. [y] γενόμενα D.G. [z] καὶ οὗτος Edd. καὶ om. A.B.D.E.F.G.H. [a] οὕτως οὗτος A.B.D.E.F.G.I. οὕτως (sine οὗτος) H. οὕτω καὶ οὗτος Edd. [b] τροφὴν pro τροφὰς A.B.D.E.G.H.I. [c] ὕβρεως G. [d] ἡ ἐκείνου ψ. B.G. ἐκείνου ἡ ψ. A.F.H.I. καὶ ἡ ἐκείνου ψ. Edd. [e] αὐτῷ A.F. [f] αὐτὸν A.F.H. [g] μεθύων H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, καὶ ἐγρηγορὼς καὶ καθεύδων, δεσμώτου παντὸς καὶ τῶν τὰ μέταλλα ἐργαζομένων, καὶ εἴ τις ἑτέρα ταύτης ἐστὶ χαλεπωτέρα τιμωρία, μείζονα [h]διδοὺς δίκην. Τοῦτο οὖν, εἶπέ μοι, ζωὴ, ἀλλ' οὐ θάνατος, μᾶλλον δὲ καὶ θανάτου παντὸς ἐλεεινότερον; Ὁ μὲν γὰρ θάνατος ἀναπαύει τὸ σῶμα, καὶ γέλωτος καὶ ἀσχημοσύνης [i]καὶ ἁμαρτημάτων ἀπαλλάττει· αὗται δὲ αἱ μέθαι εἰς πάντα ταῦτα ἐμβάλλουσι, τὰς ἀκοὰς ἐμ- B φράττουσαι, τοὺς ὀφθαλμοὺς πηροῦσαι, τὴν διάνοιαν ἐν πολλῷ τῷ σκότῳ κατέχουσαι. Οὔτε γὰρ ἀκοῦσαι, οὔτε εἰπεῖν ἕτερόν τι ἀνέχεται, ἀλλ' ἢ τόκους καὶ τόκους τόκων, καὶ ἀναίσχυντα κέρδη, καὶ καπηλείας μεμισημένας, καὶ πραγματείας ἀνελευθέρους καὶ δουλοπρεπεῖς, [k]καθάπερ κύων πρὸς ἅπαντας ὑλακτῶν, [l]πάντας μισῶν, πάντας ἀποστρεφόμενος, [m]πολεμῶν ἅπασιν, οὐδεμιᾶς ὑποκειμένης αἰτίας, πενήτων κατεξανιστάμενος, [n]τοῖς πλουτοῦσι βασκαίνων, πρὸς οὐδένα ἡδέως ἔχων. [o]Κἂν γυναῖκα ἔχῃ, κἂν παιδία, κἂν φίλους, [p]ἂν μὴ πάντοθεν ἐξῇ κερδαίνειν (112) αὐτῷ, τῶν φύσει πολεμίων αὐτῷ οὗτοι πολεμιώτεροι. [q]Τί C ταύτης τοίνυν γένοιτ' ἂν τῆς μανίας χεῖρον; τί δὲ ἀθλιώτερον, ὅταν αὐτὸς [r]ἑαυτῷ πανταχοῦ σκοπέλους κατασκευάζῃ καὶ ὑφάλους [s]καὶ κρημνοὺς καὶ φάραγγας καὶ μυρία βάραθρα, σῶμα ἔχων ἓν, καὶ γαστρὶ δουλεύων μιᾷ; Κἂν [t]μὲν εἰς πολιτικάς [v]τις ἐμβάλῃ σε λειτουργίας, δραπετεύεις, τὸ [w]δαπανηρὸν δεδοικώς· σεαυτῷ δὲ [x]μυρίας κατασκευάζεις πασῶν ἐκείνων, οὐχὶ δαπανηροτέρας μόνον, ἀλλὰ καὶ σφαλερωτέρας λειτουργίας, τῷ [y]μαμωνᾷ τελούμενος, καὶ οὐ [z]χρήματα μόνον τῷ πονηρῷ τούτῳ τυράννῳ, οὐδὲ πόνον σώματος καὶ βάσανον ψυχῆς καὶ ἀλγη- D δόνας, ἀλλὰ καὶ αὐτὸ εἰσφέρων τὸ [a]αἷμα, ἵνα τί σοι [b]γένηται πλέον, ἄθλιε καὶ ταλαίπωρε, ἐκ τῆς βαρβαρικῆς [c]ταύτης δουλείας; Οὐχ ὁρᾷς τοὺς καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰ μνήματα φερομένους, πῶς γυμνοὶ καὶ πάντων ἔρημοι πρὸς τοὺς τάφους [d]ἐκείνους ἀπάγονται, [e]οὐδὲν τῶν οἴκοθεν λαβεῖν δυνάμενοι, ἀλλὰ

[h] δίδωσι A.F.H.I. [i] καὶ τῶν ἁμ. G. Statim ἀπαλλάττεται H. [k] καὶ καθάπερ A.F. [l] καὶ πάντας I. [m] πολ. ἅπασιν] πάντας πολ. I. [n] τοῖς om. G. [o] κἂν]+γὰρ G. [p] ἂν]+γὰρ D.E. [q] τί τοίνυν ταύτης A.F.H.I. Statim γένοιτ' ἂν τῆς μ. pro τῆς μ. γένοιτ' ἂν A.B.F.G.H.I. τί τοίνυν γένοιτ' ἂν ταύτης τῆς μ. D.E. [r] ἑαυτῷ pro ἑαυτοῦ A.B.D.E.F.H.I. σεαυτῷ et mox κατασκευάζῃς G. Brix. [s] καὶ om. I. [t] μὲν et mox δὲ om. G. [v] τις om. E. Statim ἐμβάλλῃ D. ἐκβάλῃ H. [w] δαπανηρ.] δὲ πονηρ. hic et infra G. [x] Edebatur μυρία κατασκ. πασῶν ἐκείνων ἔργα χαλεπώτερα καὶ οὐχὶ δαπ. Pro μυρία, μυρίας dant B.D.E.F.G.I. Deinceps haec ἔργα χαλ. καὶ desunt in omnibus. [y] μαμωνᾷ (simplici μ̃) A.B.D.E.H. [z] χρημάτων G. [a] αἷμα A.B.D.E.G.I. Brix. σῶμα Edd. [b] γένηται] γένοιτ' ἂν G. Statim πλεῖον E.H.I. [c] ταύτης om. B. [d] ἀπάγ. ἐκείνους inverso ord. A.F.H.I. [e] οὐδὲ H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ αὐτὰ ἃ περιβάλλονται τῷ σκώληκι φέροντες; Τούτους καθ' ἑκάστην [f]περισκόπει τὴν ἡμέραν, καὶ τάχα λωφήσει τὸ πάθος, [g]εἰ μὴ κἀκεῖθεν μέλλοις ἀπὸ τῆς πολυτελείας τῶν ἐντα-
Ε φίων μαίνεσθαι μειζόνως· καὶ γὰρ χαλεπὸν τὸ πάθος, καὶ δεινὸν τὸ νόσημα. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς καθ' ἑκάστην ὑμῖν [h]ἐκκλησίαν ὑπὲρ τούτου διαλεγόμεθα, καὶ συνεχῶς ἐπαντλοῦμεν ὑμῶν τὰς ἀκοάς, ἵνα κἂν τῇ [i]συνηθείᾳ δυνηθῇ τι γενέσθαι πλέον. Ἀλλὰ μὴ [k]φιλονεικήσητε· οὐδὲ γὰρ κατὰ τὴν μέλλουσαν ἡμέραν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνης πολλὰς τοῦτο τὸ ποικίλον πάθος ἐπάγει τὰς τιμωρίας. Κἂν γὰρ τοὺς διηνεκῶς δεδεμένους εἴπω, κἂν τὸν νόσῳ μακρᾷ προσηλωμένον, [l]κἂν τὸν λιμῷ παλαίοντα, [m]κἂν ὁτιοῦν ἕτερον, οὐδένα δυνήσομαι [n]δεῖξαι πάσχοντα τοιαῦτα, οἷα τοὺς χρημάτων [o]ἐρῶντας. Τί γὰρ [p]γένοιτ' ἂν
575 χαλεπώτερον τοῦ παρὰ πάντων μισεῖσθαι; τοῦ πάντας μισεῖν; τοῦ πρὸς μηδένα ἡδέως ἔχειν; τοῦ μηδέποτε κορέννυσθαι; τοῦ διόλου [q]διψῆν; τοῦ λιμῷ παλαίειν διηνεκεῖ, καὶ χαλεπωτέρῳ τοῦ παρὰ πᾶσι νενομισμένου; τοῦ λύπας ἔχειν καθημερινάς; τοῦ μηδέποτε νήφειν; τοῦ διαπαντὸς ἐν θορύβοις εἶναι καὶ ταραχαῖς; Ταῦτα γὰρ ἅπαντα καὶ τούτων πλείονα οἱ πλεονέκται ὑφίστανται· ἐν [r]μὲν τῷ κερδαίνειν, κἂν τὰ πάντων [s]περιβάλωνται, οὐδεμιᾶς αἰσθανόμενοι ἡδονῆς, τῷ πλειόνων ἐφίεσθαι· ἐν δὲ τῷ ζημιοῦσθαι, κἂν ὀβολὸν ἀπολέσωσι, πάντων ἡγούμενοι
Β χαλεπώτερα πεπονθέναι, καὶ αὐτῆς ἐκπεπτωκέναι τῆς ζωῆς. Ποῖος οὖν ταῦτα [t]παραστῆσαι δυνήσεται λόγος [v]τὰ κακά; Εἰ δὲ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον τὰ μετὰ ταῦτα, τὴν ἔκπτωσιν τῆς βασιλείας, τὴν ὀδύνην τὴν ἀπὸ τῆς γεέννης, τὰ διηνεκῆ δεσμά, τὸ σκότος τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοβόλον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὴν θλῖψιν, τὴν στενοχωρίαν, τοὺς τοῦ πυρὸς ποταμούς, τὰς καμίνους τὰς μηδέποτε σβεννυμένας· καὶ ταῦτα [w]πάντα συναγαγών, καὶ τῇ τῶν χρημάτων ἀντιστήσας ἡδονῇ, πρόρριζον ἀνάσπασον [x]τουτὶ τὸ νόσημα, ἵνα τὸν ἀληθῆ πλοῦτον λαβών, καὶ τῆς χαλεπῆς ταύτης πενίας [y]ἀπαλλαγείς,

[f] περισκόπει A.B.D.E.F.G.I. Edebatur σκόπει. [g] εἰ μὴ om. H. Statim μέλλοις pro μέλλεις omnes. [h] ἐκκλησίαν] τὴν ἡμέραν G. [i] συνεχείᾳ G. Statim δυνηθῇ τι γενέσθαι omnes. δυνηθείη γενέσθαι τι Edd. [k] φιλονεικήσητε B.D.E.G. φιλονεικήσετε H. et a pr. man. A. φιλονεικήσατε Edd. [l] κἂν] καὶ A.H. [m] κἂν] καὶ H. Statim ὁτιοῦν F.G.H.I. et a pr. man. A. ὁντινοῦν Edd. [n] δεῖξαι] εὑρεῖν G. Statim π. τὰ τοιαῦτα idem. [o] ἐραστὰς A.D.E. [p] γένοιτ' ἂν pro γένοιτο A.D.E.F.G.H.I. [q] διψεῖν A.F. [r] μὲν]+γὰρ G. Idem mox habet αἰσθάνονται et ἡγοῦνται. [s] περιβάλλωνται D.E. [t] παραστῆσαι δυνήσεται] παραστήσεται G.H. [v] τὰ]+κατ' αὐτῶν G. [w] πάντα pro ἅπαντα A.D.E.F.G.H.I. [x] τοῦτο A.F.H.I. [y] ἀπαλλαγῆς A.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ C μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΕ.

[1] Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις [a]τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

ΔΕΙΞΑΣ ὅσον τὸ ἔπαθλον τοῦ πνευματικοῦ βίου, καὶ ὅτι D Χριστὸν ἔνοικον ποιεῖ, καὶ [b]ὅτι ζωοποιεῖ τὰ θνητὰ σώματα, καὶ πρὸς τὸν οὐρανὸν πτεροῖ, καὶ τὴν ὁδὸν τῆς ἀρετῆς εὐκολωτέραν ἐργάζεται, ἀναγκαίως [c]ἐπάγει λοιπὸν τὴν παραίνεσιν λέγων· οὐκοῦν [d]οὐκ ὀφείλομεν ζῆν κατὰ σάρκα. Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, [e]πληκτικώτερον δὲ πολλῷ καὶ δυνατώτερον εἰπὼν, ὀφειλέται ἐσμὲν τῷ πνεύματι· [f]τῷ γὰρ εἰπεῖν, ὅτι οὐκ (113) ἐσμὲν ὀφειλέται τῇ σαρκὶ, τοῦτο ἐδήλωσε. Καὶ πανταχοῦ E τοῦτο κατασκευάζει, δεικνὺς ὅτι τὰ μὲν παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς γεγενημένα οὐκ ὀφειλῆς ἦν, ἀλλὰ γυμνῆς χάριτος· τὰ δὲ παρ' ἡμῶν μετὰ ταῦτα γινόμενα, οὐκέτι φιλοτιμίας, ἀλλ' ὀφειλῆς. Καὶ γὰρ ὅταν λέγῃ, [2]" Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων," τοῦτο αἰνίττεται· καὶ ὅταν γράφῃ, [g]ὅτι " Οὐκ ἐστὲ ἑαυτῶν," [h]τὸ αὐτὸ τοῦτο δηλοῖ. Καὶ ἑτέρωθι δὲ πάλιν τῶν αὐτῶν ἀναμιμνήσκει τούτων, οὕτω λέγων, ὅτι " [i]Εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες [k]ἀπέθανον· ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσι." Τοῦτο δὴ καὶ ἐνταῦθα κατασκευάζων [l]φησὶν, " ὀφειλέται ἐσμέν." Εἶτα, ἐπειδὴ [m]εἶπεν, " οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκὶ," ἵνα μὴ τὰ λεγόμενα [n]πάλιν εἰς τὴν τῆς 576 σαρκὸς [o]λάβης φύσιν, οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε· " τοῦ κατὰ σάρκα ζῆν." Καὶ γὰρ πολλὰ αὐτῇ ὀφείλομεν, τὸ τρέφειν αὐτὴν, τὸ θάλπειν, τὸ ἀναπαύειν, τὸ θεραπεύειν νοσοῦσαν, τὸ [p]περιβάλλειν, καὶ μυρία ἕτερα λειτουργεῖν. Ἵν' οὖν μὴ νομί-

[1] Cap. VIII. v. 12, 13. [2] 1 Cor. vii. 23. vi. 19. 2 Cor. v. 14, 15.

Hom. XV. [a] τοῦ σώματος] τῆς σαρκὸς G. [b] ὅτι om. G. [c] ἐπάγει λοιπὸν pro λοιπὸν ἐπάγει omnes. [d] οὐκ om. G. [e] πληκτ. pro ἐπιπληκτ. A.B.E.F.G.H. Cat. [f] τῷ pro τὸ A.F.G.I. Cat. [g] ὅτι accessit ex omnibus. [h] τὸ αὐτὸ om. H. [i] εἰ om. A.B.D.E.F.G.H. [k] ἀπέθανον] + καὶ ὑπὲρ πάντων ἀπέθανεν A.D.E.F.H.I. receptum a Sav. Mor. Ben. [l] φησὶν] + ὅτι G. [m] εἶπεν] ἔλεγεν A. ἔλεγεν ὅτι F.H.I. Cat. [n] πάλιν om. G. [o] λάβης B.D.E.G. Cat. λάβῃ A.F.H.I. λάβοις Edd. [p] περιφέρειν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σης, ὅτι ταύτην ἀναιρεῖ τὴν διακονίαν, εἰπὼν, " οὐκ ἐσμὲν ὀφειλέται τῇ σαρκὶ," ἑρμηνεύει αὐτὸ λέγων· " τοῦ κατὰ σάρκα ζῆν." Ἐκείνην γὰρ ἀναιρῶ τὴν σπουδὴν, φησὶ, τὴν ἐπὶ ἁμαρ-
B τίαν ἄγουσαν, ὡς τά γε θεραπεύοντα αὐτὴν βούλομαι γίνεσθαι· ὅπερ [q]καὶ προϊὼν ἐδήλωσεν. Εἰπὼν γὰρ, [3]" Τῆς σαρκὸς μὴ [r]ποιεῖσθε πρόνοιαν," οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, " εἰς ἐπιθυμίας." [a]Ὁ δὴ καὶ ἐνταῦθα παιδεύει λέγων, ὅτι θεραπευέσθω μέν· ὀφείλομεν γὰρ αὐτῇ τοῦτο· μὴ μέντοι κατὰ σάρκα ζῶμεν· [s]τουτέστι, μὴ ποιῶμεν αὐτὴν κυρίαν τῆς ζωῆς τῆς ἡμετέρας. Ἔπεσθαι γὰρ αὐτὴν ἀναγκαῖον, οὐχ ἡγεῖσθαι, οὐδὲ [t]αὐτὴν ῥυθμίζειν τὸν βίον τὸν ἡμέτερον, ἀλλὰ τοὺς τοῦ πνεύματος δέχεσθαι νόμους. Τοῦτο τοίνυν διορισάμενος, καὶ κατασκευάσας, ὅτι ὀφειλέται ἐσμὲν τῷ πνεύματι, εἶτα δεικνὺς [v]ὅτι τίνων ὀφει-
C λέται εὐεργεσιῶν, οὐ τὰ παρελθόντα λέγει, ἐφ' ᾧ μάλιστα αὐτόν ἐστιν ἐκπλαγῆναι τῆς συνέσεως, ἀλλὰ τὰ μέλλοντα. Καίτοιγε ἱκανὰ ἦν κἀκεῖνα· ἀλλ' ὅμως οὐ τίθησιν αὐτὰ νῦν, οὐδὲ λέγει τὰς εὐεργεσίας τὰς ἀφάτους ἐκείνας, ἀλλὰ τὰ μέλλοντα. Οὐδὲ γὰρ οὕτως [w]ἡ δοθεῖσα ἅπαξ εὐεργεσία, ὡς ἡ προσδοκωμένη καὶ μέλλουσα, ἐπάγεσθαι τοὺς πολλοὺς εἴωθε. Καὶ τοῦτο [x]προθέμενος, πρότερον ἀπὸ τῶν [y]λυπηρῶν φοβεῖ καὶ τῶν κακῶν τῶν γινομένων ἐκ τοῦ κατὰ σάρκα ζῆν, οὕτω λέγων· " Εἰ [z]γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν·" [a]τὸν θάνατον ἡμῖν αἰνιττόμενος ἐκεῖνον τὸν ἀθάνατον, τὴν ἐν
D τῇ γεέννῃ κόλασιν καὶ τιμωρίαν. Μᾶλλον δὲ, εἴ τις ἀκριβῶς ἐξετάσειε τοῦτο, καὶ ἐν τῇ ζωῇ ταύτῃ τέθνηκεν ὁ τοιοῦτος· ὅπερ οὖν καὶ ἐν τῇ πρὸ ταύτης διαλέξει σαφὲς ὑμῖν πεποιήκαμεν. " Εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε." Ὁρᾷς ὅτι οὐ περὶ φύσεως διαλέγεται σώματος, ἀλλὰ περὶ πράξεων σαρκικῶν; Οὐ γὰρ εἶπεν, εἰ δὲ πνεύματι τὴν φύσιν [b]τοῦ σώματος [c]θανατοῦτε, ἀλλὰ, " τὰς πράξεις," καὶ οὐδὲ ταύτας πάσας, ἀλλὰ τὰς πονηράς· καὶ τοῦτο δῆλον [d]ἐν τοῖς ἑξῆς· εἰ γὰρ τοῦτο ποιήσετε, ζήσεσθε, φησί. Καὶ πῶς
E ἔνι τοῦτο γενέσθαι, εἰ περὶ πασῶν ὁ λόγος [e]ἦν αὐτῷ; Καὶ γὰρ [f]καὶ τὸ ὁρᾶν, καὶ τὸ ἀκούειν, καὶ τὸ φθέγγεσθαι, καὶ τὸ βαδί-

[3] Rom. xiii. 14.

[q] καὶ om. A.F.H.I. [r] ποιεῖσθε A.B.D.F.G. ποιεῖσθαι Edd. [s] τουτέστι om. G. [t] αὐτῇ G. [v] ὅτι accessit ex A.F.G.H.I. [w] ἡ δοθ. ἅπαξ pro ἅπαξ ἡ δοθ. omnes. [x] προθέμενος B.D.E.F.G.I. Cat. προσθέμενος Edd. [y] λυπηρῶν φοβεῖ] φοβερῶν λυπεῖ A.F.H.I. Cat. [z] γὰρ pro δὲ omnes. [a] τὸν θάνατον——ἀθάνατον] τὸν ἀθάνατον θάνατον B. [b] τοῦ σώματος] τῆς σαρκὸς B.G. [c] θανατοῦτε]+ζήσεσθε Edd. repugnantibus libris. [d] ἐν τοῖς] ἐκ τῶν A.D.E.F.H.I. Cat. [e] ἦν αὐτῷ; καὶ γὰρ] ἦν; αὐτὸ γὰρ I. [f] καὶ om. A.D.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζειν, [g]τοῦ σώματος πράξεις εἰσί· καὶ εἰ μέλλοιμεν αὐτὰς θανατοῦν, τοσοῦτον ἀφέξομεν τοῦ ζῆν, ὅτι καὶ ἀνδροφονίας δώσομεν δίκην. Ποίας οὖν [h]φησι πράξεις θανατοῦν; Τὰς ἐπὶ πονηρίαν [i]κινουμένας, τὰς ἐπὶ κακίαν χωρούσας, ἃς οὐδὲ ἄλλως ἔστι θανατῶσαι, ἢ διὰ πνεύματος. Τὰς μὲν γὰρ ἄλλας ἀποκτείναντα [k]ἑαυτὸν ἀνελεῖν ἔστιν, ὅπερ οὐ θέμις· ταύτας δὲ διὰ πνεύματος μόνου. [l]Ἂν γὰρ τοῦτο παρῇ, πάντα τὰ κύματα καταστέλλεται, καὶ τὰ πάθη κατέπτηχε, καὶ οὐδὲν ἡμῶν κατεξανίσταται. Εἶδες πῶς ἀπὸ τῶν μελλόντων ἡμᾶς, [l]ὅπερ ἔμπροσθεν εἶπον, προτρέπει καὶ δείκνυσιν ὀφειλέτας, οὐκ ἀπὸ τῶν ἤδη γεγενη- 577
μένων [m]μόνον; Οὐ γὰρ τοῦτο μόνον ἐστὶ, φησὶ, τὸ κατόρθωμα τοῦ πνεύματος, ὅτι τῶν παρελθόντων [n]ἀφῆκεν ἡμᾶς ἁμαρτημάτων, ἀλλ' ὅτι καὶ πρὸς τὰ μέλλοντα ἀχειρώτους [o]ἡμᾶς κατασκευάζει, καὶ ζωῆς ἀξιοῖ τῆς ἀθανάτου.

Εἶτα καὶ ἕτερον τιθεὶς μισθὸν, ἐπήγαγεν· [4]"Ὅσοι γὰρ
(114) πνεύματι θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ θεοῦ." Οὗτος γὰρ πάλιν [p]πολλῷ τοῦ προτέρου μείζων ὁ στέφανος. Διὸ οὐδὲ B
ἁπλῶς εἶπεν, ὅσοι γὰρ πνεύματι θεοῦ ζῶσιν, ἀλλ', "ὅσοι πνεύματι θεοῦ ἄγονται," δεικνὺς [q]ὅτι οὕτω βούλεται αὐτὸ κύριον εἶναι τῆς ἡμετέρας ζωῆς, ὡς τὸν κυβερνήτην τοῦ πλοίου, καὶ τὸν ἡνίοχον τοῦ ζεύγους τῶν ἵππων. Καὶ οὐχὶ τὸ σῶμα μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑποβάλλει ταῖς τοιαύταις [r]ἡνίαις. Οὐδὲ γὰρ ἐκείνην βούλεται αὐθεντεῖν, ἀλλὰ καὶ [s]ἐκείνης τὴν ἐξουσίαν ὑπὸ τῇ τοῦ πνεύματος ἔθηκε δυνάμει. [t]Ἵνα γὰρ μὴ τῇ δωρεᾷ τοῦ λουτροῦ θαρρήσαντες, τῆς μετὰ ταῦτα [t]ἀμελήσωσι πολιτείας, φησὶν, ὅτι κἂν βάπτισμα λάβῃς, μὴ μέλλῃς δὲ πνεύματι [v]μετὰ ταῦτα ἄγεσθαι, ἀπώλεσας τὴν δεδομένην C
ἀξίαν, καὶ τῆς υἱοθεσίας τὴν προεδρίαν. Διὰ τοῦτο οὐκ εἶπεν, ὅσοι [w]πνεῦμα ἔλαβον, ἀλλ', "ὅσοι [x]πνεύματι ἄγονται·" τουτέστιν, ὅσοι παρὰ πάντα τὸν βίον οὕτω πολιτεύονται, "οὗτοί εἰσιν υἱοὶ θεοῦ." Εἶτα ἐπειδὴ τοῦτο τὸ ἀξίωμα καὶ τοῖς Ἰουδαίοις ἦν δεδομένον· [5]"Ἐγὼ γὰρ, [y]φησὶν, εἶπον, θεοί ἐστε, καὶ

[4] v. 14. [5] Ps. lxxxi. 6. Esai. i. 2. Exod. iv. 22. Rom. ix. 4.

[g] τοῦ σ. πράξεις εἰσὶ] καὶ ταῦτα πράξεις σ. εἰσιν G. [h] φησὶ πράξεις θαν. A.B.E.F.I. Cat. Sic, sed φησὶ in marg. H. πράξεις θαν. φησι G. πράξεις φησὶ θαν. Edd. [i] κειμένας E. Statim τὰς ἐπὶ κ. χωρούσας om. H. Cat. [k] ἑαυτὸν pro σεαυτὸν B.D.E.F.G.H.I. Statim ἐλεῖν G. [l] ὅπερ]+καὶ I. [m] μόνων A. μόνον om. E. [n] ἀφῆκεν ἡμᾶς] ἀφήκαμεν H. ἡμᾶς ἀφῆκεν A. E.F. Cat. [o] ἡμᾶς accessit ex omnibus. [p] πολλοῦ H. πολλῷ om. G. [q] ὅτι (+οὕτως E.) αὐτὸ βούλ. τῆς ἡμ. ζωῆς κύριον εἶναι A.E.F.H.I. [r] ἐννοίαις mendose H. [s] ἐκείνην H.I. [t] ἀμελήσωμεν I. [v] μετὰ] κατὰ H. [w] πνεῦμα om. A. [x] πνεύματι θεοῦ Edd. θεοῦ om. B.D.E.F.G.H.I. Cat. [y] φησὶν εἶπον pro εἶπον φησι omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

υἱοὶ ὑψίστου πάντες·" καὶ πάλιν, "Υἱοὺς ἐγέννησα καὶ ὕψωσα·" καὶ, "[z]Πρωτότοκός μου Ἰσραήλ·" [a]καὶ ὁ Παῦλος δέ φησιν, "[?]Ὧν ἡ υἱοθεσία·" κατασκευάζει λοιπὸν ὅσον τὸ μέσον ἐκείνης
D καὶ ταύτης τῆς τιμῆς. [b]Εἰ γὰρ καὶ τὰ ὀνόματα τὰ αὐτὰ, φησὶν, ἀλλ' οὐ τὰ πράγματα τὰ αὐτά. Καὶ σαφῆ [c]παρέχει τούτων ἀπόδειξιν, καὶ ἀπὸ τῶν [d]κατορθούντων, καὶ ἀπὸ τῶν δεδομένων, καὶ ἀπὸ τῶν μελλόντων [e]ἔσεσθαι τὴν σύγκρισιν εἰσάγων. Καὶ πρότερον δείκνυσι τίνα ἦν τὰ ἐκείνοις δεδομένα. [f]Τίνα οὖν ταῦτα ἦν; Πνεῦμα δουλείας· διὸ καὶ ἐπήγαγε [g]λέγων· [6]"Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον." Εἶτα ἀφεὶς εἰπεῖν τὸ ἀντιδιαστελλόμενον τῇ δουλείᾳ, τουτέστι, πνεῦμα ἐλευθερίας, τὸ πολλῷ μεῖζον τέθεικε, τὸ τῆς υἱοθεσίας, δι' οὗ κἀκεῖνο [h]συνεισήγετο, εἰπών· "Ἀλλ' ἐλάβετε πνεῦμα
E υἱοθεσίας." Ἀλλὰ τοῦτο μὲν δῆλον· τὸ δὲ πνεῦμα τῆς δουλείας τί ποτέ ἐστιν, ἄδηλον. Οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. Οὐδὲ γὰρ ἀσαφὲς μόνον, ἀλλὰ καὶ σφόδρα ἄπορον τὸ εἰρημένον· πνεῦμα γὰρ οὐκ ἔλαβεν ὁ τῶν Ἰουδαίων δῆμος. Τί οὖν ἐνταῦθά φησι; Τὰ γράμματα οὕτως ἐκάλεσεν, ἐπειδὴ πνευματικὰ ἦν, ὥσπερ οὖν καὶ τὸν νόμον [i]πνευματικὸν, καὶ τὸ ὕδωρ τὸ ἀπὸ τῆς πέτρας, καὶ τὸ μάννα. [7]"Πάντες γὰρ, φησὶ, τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον." Καὶ τὴν πέτραν δὲ οὕτως ὀνομάζει, λέγων· "Ἔπινον δὲ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας." Ἐπειδὴ [k]γὰρ ὑπὲρ φύσιν ἦν πάντα τὰ τελούμενα, πνευματικὰ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ πνεῦμα ἔλαβον οἱ μετέχοντες αὐτῶν τότε. Καὶ πῶς τὰ γράμματα ἐκεῖνα δουλείας ἦν
578 γράμματα; Παράγαγε πᾶσαν τὴν πολιτείαν, καὶ τότε εἴσῃ καὶ τοῦτο σαφῶς. Καὶ γὰρ αἱ τιμωρίαι παρὰ πόδας αὐτοῖς, καὶ ὁ μισθὸς εὐθέως εἵπετο, σύμμετρός [l]τε ὢν καὶ ὥσπερ σιτηρέσιόν τι καθημερινὸν διδόμενον οἰκέταις, καὶ πολὺς πανταχόθεν ὁ φόβος πρὸ τῆς ὄψεως ἀκμάζων, καὶ περὶ τὰ σώματα οἱ καθαρμοὶ, καὶ μέχρι τῶν πράξεων ἡ ἐγκράτεια. Παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλὰ καὶ λογισμὸς καὶ συνειδὸς ἐκκαθαίρεται. Οὐ γὰρ λέγει, μὴ φονεύσῃς, μόνον, ἀλλὰ, μηδὲ ὀργισθῇς· οὐδὲ, μὴ

[6] v. 15. [7] 1 Cor. x. 3, 4.

[z] *υἱὸς πρωτότοκος* B.D.E. *πρωτότοκος υἱὸς* I. [a] *καὶ* om. A.F.H. [b] *εἰ γὰρ καὶ*] *καὶ γὰρ* G. [c] *παρέχεται* A.F.G. Cat. [d] *κατορθωμάτων* H. [e] *ἔσεσθαι*, quod aberat, est in libris omnibus et Cat. Iidem mox *εἰσάγων* pro *εἰσαγαγὼν* exhibent. [f] *τί* I. Statim *ταῦτα ἦν* pro *ἦν ταῦτα* A.D.E.F.H.I. Cat. *ἦν* om. Mor. Ben. [g] *λέγων* om. B. [h] *συνεισήγετο* A.B.D.E.F.I. Cat. *συνηγάγετο* H. *συνήγετο* Edd. [i] *πνευματικὸν*]+*καλεῖ* B.G. Cat. [k] *γὰρ* om. I. Statim *πάντα ἦν* pro *ἦν πάντα* E.F.I. Cat. *πάντα οὖν* H. [l] *τε ὢν*] *τέως* G. *τε* om. D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μοιχεύσῃς, ἀλλὰ, μηδὲ ἴδῃς ἀκολάστως· ἵνα [m]μηκέτι τῷ φόβῳ B
τῆς κολάσεως τῆς παρούσης, ἀλλὰ [n]τῷ πόθῳ τῷ πρὸς αὐτὸν,
[o]τό τε ἐν ἕξει τῆς ἀρετῆς εἶναι καὶ τὰ ἄλλα [p]τὰ κατορθούμενα
ᾖ. [q]Οὐδὲ ἐπαγγέλλεται γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀλλὰ τῷ
μονογενεῖ [r]συγκληρονόμον ποιεῖ, τῶν παρόντων ἡμᾶς διὰ πάν-
των ἀφιστὰς, καὶ ἐκεῖνα μάλιστα ἐπαγγελλόμενος διδόναι, ἃ
τοῖς γενομένοις υἱοῖς [s]θεοῦ πρέπει λαμβάνειν· αἰσθητὸν μὲν
οὐδὲν, οὐδὲ σωματικὸν, πνευματικὰ δὲ ἅπαντα. [t]Ὥστε ἐκεῖνοι
μὲν εἰ καὶ υἱοὶ ἐκαλοῦντο, ἀλλ' ὡς [u]δοῦλοι· ἡμεῖς δὲ ὡς ἐλεύ-
θεροι γενόμενοι, τὴν υἱοθεσίαν ἐλάβομεν, καὶ τὸν οὐρανὸν ἀνα-
μένομεν. Κἀκείνοις μὲν δι' ἑτέρων διελέγετο, ἡμῖν δὲ δι' ἑαυτοῦ. C
Κἀκεῖνοι [v]μὲν φόβῳ τιμωρίας πάντα ἔπραττον ἀγόμενοι, οἱ δὲ
[w]πνευματικοὶ ἐπιθυμίᾳ καὶ πόθῳ· καὶ τοῦτο δηλοῦσι τῷ καὶ
ὑπερβαίνειν τὰ ἐπιτάγματα. [x]Ἐκεῖνοι ὡς μισθωτοὶ καὶ ἀγνώ-
(115) μονες, οὐδέποτε [y]γοῦν διέλιπον γογγύζοντες· οὗτοι [z]δὲ εἰς
ἀρέσκειαν τοῦ πατρός· καὶ οἱ μὲν εὐεργετούμενοι ἐβλασφήμουν·
ἡμεῖς [a]δὲ κινδυνεύοντες εὐχαριστοῦμεν. Κἂν κολασθῆναι δὲ
[b]ἁμαρτάνοντας δέῃ, καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. Οὐ γὰρ
ὡς ἐκεῖνοι καταλευόμενοι καὶ καιόμενοι καὶ ἀκρωτηριαζόμενοι
παρὰ τῶν ἱερέων, οὕτω καὶ ἡμεῖς ἐπιστρεφόμεθα· ἀλλὰ ἀρκεῖ
τραπέζης ἐκβληθῆναι πατρικῆς, καὶ ἀπὸ ὄψεως ῥητὰς γενέσθαι D
ἡμέρας. Καὶ ἐπὶ μὲν τῶν Ἰουδαίων ῥήματος ἦν τιμὴ ἡ υἱοθε-
σία μόνον· ἐνταῦθα δὲ καὶ πρᾶγμα ἠκολούθησεν, ὁ διὰ βαπτί-
σματος καθαρμὸς, ἡ τοῦ πνεύματος δόσις, ἡ τῶν ἄλλων ἀγαθῶν
χορηγία. Καὶ τούτων δὲ ἕτερα πλείονα ἔστιν εἰπεῖν τὴν παρ'
ἡμῖν ἐνδεικνύμενα εὐγένειαν, καὶ τὴν ἐκείνων εὐτέλειαν. [d]Ἅπερ
ἅπαντα διὰ τοῦ πνεύματος καὶ τοῦ φόβου [c]καὶ τῆς υἱοθεσίας
αἰνιξάμενος, καὶ ἑτέραν ποιεῖται ἀπόδειξιν τοῦ [d]πνεῦμα υἱοθε-
σίας ἔχειν. [e]Ποῖον δὴ τοῦτο; [f]"Οτι "κράζομεν, Ἀββᾶ ὁ E
πατήρ." Τοῦτο δὲ ἡλίκον ἐστὶν, ἴσασιν οἱ μύσται, καλῶς ἐπὶ
τῆς εὐχῆς τῆς μυστικῆς τοῦτο πρῶτον [g]κελευόμενοι τὸ ῥῆμα
λέγειν. Τί οὖν; οὐκ ἐκάλουν καὶ ἐκεῖνοι πατέρα, φησὶ, τὸν
θεόν; Οὐκ ἀκούεις Μωϋσέως λέγοντος, [8]"Θεὸν τὸν γεννήσαντά

8 Deut. xxxii. 18. Malach. ii. 10.

[m] μηκέτι] μὴ G. [n] τῷ om. A.D.E.H. Pro τῷ πόθῳ, dat καὶ φόβῳ G. [o] τὸ] τῷ D. Cat. τό τε om. G. scribens ὥσι pro εἶναι. [p] τὰ om. A.D.E. H.I. Cat. Mox ᾖ om. G. [q] οὐδὲ] καὶ οὐδὲ D.G. Mox γάλα καὶ μέλι omnes. μέλι καὶ γάλα Edd. [r] συγκληρονόμους I. [s] τοῦ θεοῦ E.F.H. Cat. [t] δοῦλοι]+ἀπεσκίρτων G. [v] μὲν pro δὲ omnes. [w] πνεύματος G. Veron. [x] ἐκεῖνοι]+γοῦν G. Mox γοῦν om. idem. [y] οὖν H. Statim διέλιπον pro διέλειπον A.B.D.G.I. [z] δὲ]+πάντα D.E. Mox πνος pro προς A. [a] δὲ] +καὶ I. [b] ἁμαρτάνοντα A. [c] καὶ om. B. [d] πνεύματος G. [e] ποίαν δὴ ταύτην; G. [f] ὅτι] Sic A.D.E.F.H.I. Mosqq. Cat. ἐν ᾧ Edd. [g] κελευσμένοι (sic) I.

σε ἐγκατέλιπες;" οὐκ ἀκούεις τοῦ [h]Μαλαχίου ὀνειδίζοντος [i]καὶ λέγοντος, ὅτι "Θεὸς εἷς ἔκτισεν [k]ὑμᾶς, καὶ πατὴρ εἷς πάντων ὑμῶν;" Ἀλλ' εἰ καὶ ταῦτα καὶ πλείονα τούτων [l]εἴρηται, οὐδαμοῦ τοῦτο εὑρίσκομεν αὐτοὺς καλοῦντας τὸ ῥῆμα τὸν θεὸν, οὐδὲ εὐχομένους [m]οὕτως. Ἡμεῖς δὲ ἅπαντες, καὶ ἱερεῖς καὶ ἰδιῶται, [n]καὶ ἄρχοντες καὶ ἀρχόμενοι, οὕτως εὔχεσθαι ἐκε-
579 λεύσθημεν. Καὶ ταύτην πρώτην ἀφίεμεν φωνὴν, μετὰ τὰς θαυμαστὰς [o]ᾠδῖνας ἐκείνας, καὶ τὸν ξένον καὶ παράδοξον τῶν λοχευμάτων νόμον. Ἄλλως δὲ, εἰ καὶ ἐκάλεσάν ποτε ἐκεῖνοι, ἀλλ' ἐξ οἰκείας διανοίας· οἱ δὲ ἐν [p]τῇ χάριτι, ἀπὸ [q]πνευματικῆς ἐνεργείας κινούμενοι. Ὥσπερ γὰρ πνεῦμα σοφίας ἐστὶ, καθ' ὃ [r]σοφοὶ οἱ ἄσοφοι ἐγίνοντο, καὶ δηλοῦται τοῦτο ἀπὸ τῆς διδασκαλίας· καὶ πνεῦμα δυνάμεώς ἐστι, καθ' ὃ οἱ ἀσθενεῖς νεκροὺς [s]ἤγειραν καὶ δαίμονας ἤλασαν· καὶ πνεῦμα χαρίσματος ἰαμάτων, καὶ πνεῦμα προφητείας, καὶ πνεῦμα γλωσσῶν· οὕτω καὶ πνεῦμα υἱοθεσίας. Καὶ ὥσπερ ἴσμεν τὸ πνεῦμα τῆς προφη-
B τείας, ἀφ' [t]ὧν ὁ ἔχων αὐτὸ [v]προλέγει τὰ μέλλοντα, οὐκ οἰκείᾳ φθεγγόμενος διανοίᾳ, ἀλλ' ὑπὸ τῆς χάριτος κινούμενος· οὕτω δὴ καὶ πνεῦμα υἱοθεσίας, ἀφ' οὗ ὁ λαβὼν [w]πατέρα καλεῖ τὸν θεὸν, ὑπὸ τοῦ πνεύματος κινούμενος. [x]Ὁ δὴ βουλόμενος δεῖξαι γνησιώτατον ὄν, καὶ τῇ τῶν Ἑβραίων ἐχρήσατο [y]γλώσσῃ· οὐ γὰρ εἶπε μόνον, ὁ πατὴρ, ἀλλ', "Ἀββᾶ ὁ πατὴρ," ὅπερ [z]τῶν παίδων μάλιστά ἐστι τῶν γνησίων πρὸς [a]πατέρας ῥῆμα.

Εἰπὼν τοίνυν τὴν ἀπὸ τῆς πολιτείας διαφορὰν, τὴν ἀπὸ τῆς χάριτος τῆς δεδομένης, τὴν ἀπὸ τῆς ἐλευθερίας, ἐπάγει καὶ
C ἑτέραν ἀπόδειξιν τῆς ὑπεροχῆς τῆς κατὰ τὴν υἱοθεσίαν ταύτην. [b]Ποίαν δὴ ταύτην; [g]"Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, φησὶν, ὅτι ἐσμὲν τέκνα θεοῦ." Οὐ γὰρ ἀπὸ [c]τῆς φωνῆς ἰσχυρίζομαι μόνον, φησὶν, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, ἀφ' ἧς ἡ φωνὴ τίκτεται· τοῦ γὰρ πνεύματος ὑπαγορεύοντος,

[g] v. 16.

[h] Μαλαχίου B.D.E. Cat. Μαλαχιὴλ A.H.I. Μαλαχία Edd. [i] καὶ λέγοντος om. G. [k] ὑμᾶς pro ἡμᾶς A.B.F.G.H.I. Statim καὶ πατὴρ εἷς (εἷς om. I.) πάντων ὑμῶν (ἡμῶν E.) omnes. Edebatur καὶ εἷς πατήρ ἐστι πάντων ἡμῶν. [l] εἴρηται]+παρ' αὐτῶν D. +παρ' αὐτῶν ἀλλ' E. [m] οὕτως]+πάτερ ἡμῶν G. Eadem verba infra post ἐκελεύσθημεν infert I. [n] καὶ om. Veron. Sav. invitis libris. [o] ᾠδῖνας] ἐν ἄλλοις ὠδὰς H. in marg. [p] τῇ om. A.E.F.H.I. [q] πνευματικῆς]+διανοίας καὶ I. [r] σοφοὶ οἱ ἄσοφοι] σοφίᾳ σοφοὶ G. [s] ἤγειρον A.H. [t] ὃν pro οὗ A.E.F.G.H.I. Cat. [v] προφητεύει G. [w] πνεῦμα A. [x] ὃ (vel ὁ) δὴ] Sic A.B.D.E.F.H.I. Cat. ὁ δὲ Edd. Mox γνησιώτατον ὂν A.B.D.E.F.H.I. γνησιότητος ὂν Cat. γνησιότητα (sine ὄν) Edd. [y] γλώττῃ A.D.I. φωνῇ G. [z] τῶν bis abest ab I. [a] πατέρας pro πατέρα A.B.D.F.H.I. Cat. [b] ποίαν δὴ ταύτην om. E. [c] τῆς om. G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα λέγομεν. Ὅπερ ἀλλαχοῦ σαφέστερον δηλῶν ἔλεγεν, ὅτι [10]" Ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα [d]τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κράζον, Ἀββᾶ ὁ πατήρ." Τί δέ ἐστι, " τὸ πνεῦμα τῷ πνεύματι συμμαρτυρεῖ;" Ὁ παράκλητος, φησὶ, τῷ χαρίσματι τῷ δεδομένῳ ἡμῖν. Οὐ γὰρ τοῦ χαρίσματός [e]ἐστιν ἡ φωνὴ μόνον, ἀλλὰ [f]καὶ τοῦ δόντος τὴν δωρεὰν παρα- D
κλήτου· αὐτὸς γὰρ ἡμᾶς οὕτος ἐδίδαξε διὰ τοῦ χαρίσματος οὕτω φθέγγεσθαι. Ὅταν δὲ τὸ πνεῦμα μαρτυρῇ, ποία λοιπὸν ἀμφιβολία; [g]Εἰ μὲν γὰρ ἄνθρωπος, ἢ ἄγγελος, ἢ ἀρχάγγελος, ἢ ἄλλη τις τοιαύτη δύναμις τοῦτο ὑπισχνεῖτο, κἂν ἀμφιβάλλειν [h]ἦν εἰκός τινας· τῆς δὲ ἀνωτάτω οὐσίας τῆς καὶ δωρησαμένης τοῦτο, [i]καὶ δι' ὧν ἐκέλευσεν εὔχεσθαι μαρτυρούσης ἡμῖν, τίς ἂν λοιπὸν ἀμφισβητήσειε περὶ τῆς ἀξίας; Οὐδὲ γὰρ βασιλέως χειροτονήσαντός τινα, καὶ ἀνακηρύττοντος τὴν τιμὴν παρὰ πᾶσι, τολμήσειεν [k]ἄν τις τῶν ὑπηκόων ἀντειπεῖν. [11]" Εἰ δὲ τέκνα, φησὶ, καὶ κληρονόμοι." [l]Ὅρα πῶς κατὰ μικρὸν αὔξει E
τὴν δωρεάν. Ἐπειδὴ [m]γὰρ ἔνι καὶ τέκνα εἶναι, καὶ μὴ κληρο-
(116) νόμους γενέσθαι· οὐδὲ γὰρ [n]πάντως ἅπαντες κληρονόμοι οἱ παῖδες· ἐπάγει καὶ τοῦτο, ὅτι καὶ κληρονόμοι. Οἱ δὲ Ἰουδαῖοι μετὰ τοῦ μὴ τοιαύτην ἔχειν [o]υἱοθεσίαν καὶ τῆς κληρονομίας ἐξεβλήθησαν. [12]" Κακοὺς γὰρ κακῶς ἀπολέσει, καὶ τὸν ἀμπελῶνα [p]ἐκδώσεται γεωργοῖς ἑτέροις." Καὶ πρὸ τούτου δὲ ἔλεγεν, ὅτι " Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ [q]ἀνακλιθήσονται μετὰ Ἀβραάμ· οἱ δὲ υἱοὶ τῆς βασιλείας [r]ἐκβληθήσονται." Ἀλλ' οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ [s]καὶ τούτου μεῖζον τίθησι. Ποῖον δὴ τοῦτο; Ὅτι θεοῦ κληρονόμοι· διὸ [t]καὶ ἐπήγαγε· " Κληρονόμοι μὲν θεοῦ." Καὶ τὸ ἔτι πλέον, ὅτι οὐχ ἁπλῶς κληρονόμοι, ἀλλὰ καὶ συγκληρονόμοι Χριστοῦ. 580
[v]Ὁρᾷς πῶς φιλονεικεῖ ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ δεσπότου; Ἐπειδὴ γὰρ οὐ πάντα τὰ τέκνα [w]κληρονόμοι, δείκνυσιν ὅτι ἡμεῖς καὶ τέκνα καὶ κληρονόμοι. [x]Ἐπεὶ δὲ οὐ πάντες [y]οἱ κλη-

[10] Gal. iv. 6. [11] v. 17. [12] Matth. xxi. 41. viii. 11, 12.

[d] τοῦ υἱοῦ om. G. Cat. Mox κράζον ἀββᾶ ὁ π. om. B. [e] ἐστι μόνον ἡ φ. A.E.F.H.I. Cat. ἡ φ. ἐστι μόνον G. [f] καὶ om. F.H.I. Statim τοῦ διδόντος G. Deinceps τοῦ παρακλήτου F. [g] Evulsa ex G. octo folia, inde ab εἰ μὲν γὰρ ἄνθρωπος usque ad p. 585 B. ἐλπίζομεν δι' ὑπομονῆς. [h] ἦν εἰκὸς] εἰκὸς ἦν A.E.F.H.I. Cat. [i] καὶ] ἢ καὶ F. καὶ om. Cat. Mox λοιπὸν ἀμφ. pro ἀμφ. λοιπὸν A.B.E.F.H.I. Cat. [k] ἂν om. B. [l] ὅρα B.D.E.F.H. ὁρᾷς Edd. [m] γὰρ om. B. [n] πάντως ἅπαντες] Sic A.B.D.E.F.H. Cat. πάντες πάντως I. πάντες (sine πάντως) Edd. [o] νομοθεσίαν E. [p] ἐκδώσει D. Cat. [q] ἀνακληθ. D.F.H. [r] ἐκβληθήσονται A.E.F.H.I. Cat. ἔξω βληθήσονται Edd. [s] καὶ]+τὸ A.D.E. [t] καὶ om. B. [v] ὅρα F. [w] κληρ.] καὶ κληρ. I. [x] ἐπεὶ δὲ] ἐπειδὴ H. ἐπειδὴ δὲ A.F. [y] οἱ accessit ex B.D.E. Cat.

δημόσια κεντρική βιβλιοθήκη βέροιας

ρονόμοι μεγάλων εἰσὶ κληρονόμοι πραγμάτων, δείκνυσιν ὅτι καὶ τοῦτο ἔχομεν, κληρονόμοι ὄντες θεοῦ. Πάλιν ἐπειδὴ [z]κληρονόμον μὲν εἶναι συμβαίνει θεοῦ, οὐ πάντως δὲ τῷ μονογενεῖ συγκληρονόμον, δείκνυσιν ἡμᾶς καὶ τοῦτο ἔχοντας. Καὶ σκόπει σοφίαν. Τὰ γὰρ λυπηρὰ συστείλας, ἡνίκα ἔλεγε, τί πείσονται οἱ κατὰ σάρκα ζῶντες, οἷον ὅτι μέλλουσιν ἀποθνήσκειν, ἐπειδὴ
B τῶν χρηστοτέρων ἤψατο, εἰς εὐρυχωρίαν πολλὴν ἐξάγει τὸν λόγον, ἐμπλατύνων αὐτὸν τῇ τῶν μισθῶν [a]ἀντιδόσει, καὶ ποικίλας καὶ μεγάλας δεικνὺς τὰς δωρεάς. Εἰ γὰρ καὶ τὸ τέκνον εἶναι ἄφατος ἦν ἡ χάρις, ἐννόησον ἡλίκον [b]τὸ κληρονόμον. Εἰ δὲ τοῦτο μέγα, πολλῷ μᾶλλον καὶ τὸ συγκληρονόμον. Εἶτα δεικνὺς, ὅτι οὐ χάριτος μόνον ἐστὶν ἡ [c]δωρεὰ, καὶ ποιῶν ὁμοῦ [d]καὶ ἀξιόπιστα τὰ εἰρημένα, ἐπήγαγεν· "Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν." Εἰ γὰρ ἐν τοῖς λυπηροῖς, φησὶν,
C ἐκοινωνήσαμεν αὐτῷ, πολλῷ μᾶλλον ἐν τοῖς χρηστοῖς τοῦτο ἔσται. Ὁ γὰρ τοὺς οὐδὲν κατωρθωκότας τοσούτοις δωρησάμενος ἀγαθοῖς, ὅταν ἴδῃ καὶ [e]πονέσαντας, καὶ τοσαῦτα παθόντας, πῶς οὐχὶ μᾶλλον ἀμείψεται;

Δείξας τοίνυν ἀντίδοσιν [f]οὖσαν τὸ πρᾶγμα, ἵνα ἀξιόπιστον ᾖ τὸ λεγόμενον, καὶ μηδεὶς [g]ἀμφιβάλλῃ, δείκνυσι πάλιν καὶ χάριτος δύναμιν ἔχον· τὸ μὲν, ἵνα καὶ παρὰ τοῖς ἀμφιβάλλουσι πιστεύηται τὰ λεγόμενα, καὶ οἱ λαμβάνοντες μὴ αἰσχύνωνται ὡς ἀεὶ [h]δωρεὰν σωζόμενοι· τὸ δὲ, ἵνα μάθῃς ὅτι νικᾷ ταῖς ἀντιδόσεσι [i]τοὺς πόνους ὁ θεός. [k]Καὶ τοῦτο μὲν ἐδήλωσεν εἰπὼν,
D "Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν·" [l]τοῦτο δὲ, ἐπαγαγὼν καὶ προσθεὶς, ὅτι [13]"Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν [m]ἀποκαλύπτεσθαι εἰς ἡμᾶς." Ἐν μὲν γὰρ τοῖς προτέροις τὴν τῶν [n]ἠθῶν διόρθωσιν ἀπαιτεῖ τὸν πνευματικὸν, ἐν οἷς ἔλεγεν, οὐκ ὀφείλετε κατὰ σάρκα ζῆν· οἷον, ἵνα ἐπιθυμίας, ἵνα ὀργῆς, ἵνα χρημάτων, ἵνα κενοδοξίας, ἵνα βασκανίας περιγίνηται ὁ τοιοῦτος· ἐνταῦθα δὲ,

[13] v. 18.

[z] κληρονόμοι et mox συγκληρονόμοι H. Tum πάντες pro πάντως idem. [a] ἀντιδόσει A.D.E.F.H.I. Cat. ἀνταποδόσει Edd. Mox δείκνυσι A. Veron. [b] τὸ καὶ κλ. Edd. καὶ deest in omnibus. [c] Post δωρεὰ corrector in marg. F. supplet, ἀλλὰ καὶ πόνων. [d] καὶ erasum in F. [e] πονέσαντας A.D.E.F. πονήσαντας Edd. Verba τοσούτοις——παθόντας om. B. Deinde in marg. manus secunda ascripsit εὐεργετήσας, τοὺς κατωρθωκότας. [f] εἶναι I. [g] ἀμφιβάλῃ B.E. Cat. [h] δωρεὰν pro δωρεᾷ B.D.E. Cat. [i] τὸν πόνον I. [k] καὶ τοῦτο μὲν B.D.E. καὶ τὸ μὲν A.I. Cat. *et hoc quidem* Interpp. Edebatur καίτοι τὸ μέν. [l] τοῦτο] τὸ A.F. Cat. [m] ἀποκαλύπτεσθαι nostri omnes cum Cat. ἀποκαλυφθῆναι Edd. [n] ἠθῶν] παθῶν A.B.D.H.I. et ante corr. F. Vulgatum tuentur Cat. et Verss.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπειδὴ [o]τῆς δωρεᾶς αὐτὸν ἀνέμνησεν ἁπάσης, τῆς δοθείσης, τῆς μελλούσης, καὶ ἐπῆρε καὶ ὕψωσε ταῖς ἐλπίσι, καὶ ἐγγὺς ἔστησε τοῦ Χριστοῦ, καὶ συγκληρονόμον ἀπέφηνε τοῦ μονογενοῦς, θαρρῶν αὐτὸν ἐξάγει λοιπὸν καὶ ἐπὶ τοὺς κινδύνους. Οὐδὲ γάρ E
ἐστιν ἴσον τῶν ἐν ἡμῖν παθῶν περιγενέσθαι, καὶ τοὺς πειρασμοὺς ἐκείνους ὑπενεγκεῖν, τὰς μάστιγας, τὸν [p]λιμὸν, τὰς λεηλασίας, τὰ δεσμὰ, τὰς ἀλύσεις, τὰς [q]ἀπαγωγάς· πολὺ γὰρ ταῦτα [r]γενναιοτέρας δεῖται ψυχῆς καὶ νεανικωτέρας. Καὶ ὅρα πῶς ὁμοῦ [s]καὶ καταστέλλει καὶ ἐπαίρει τὸ φρόνημα τῶν ἀγωνιζομένων. Ὅταν γὰρ δείξῃ μείζονα τὰ ἔπαθλα τῶν πόνων, καὶ προτρέπει μειζόνως, καὶ οὐκ ἀφίησι μέγα φρονεῖν, ἅτε νικωμένους τῇ τῶν στεφάνων ἀντιδόσει. Καὶ ἀλλαχοῦ μέν φησι,
14 "Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς 581
ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται·" πρὸς γὰρ φιλοσοφωτέρους [t]ἦν ὁ λόγος αὐτῷ· ἐνταῦθα δὲ κοῦφα μὲν αὐτὰ [v]οὗ φησιν εἶναι, παραμυθεῖται δὲ αὐτὰ τῇ τῶν μελλόντων ἀντιδόσει, λέγων· "Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ." Καὶ οὐκ εἶπε, πρὸς τὴν μέλλουσαν ἄνεσιν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, "πρὸς τὴν μέλλουσαν δόξαν." Ὅπου B
μὲν γὰρ ἄνεσις, οὐ πάντως [w]καὶ δόξα· ὅπου δὲ δόξα, πάντως καὶ ἄνεσις. Εἶτα, ἐπειδὴ [x]μέλλουσαν εἶπε, δείκνυσιν αὐτὴν
(117) ἤδη οὖσαν. Οὐ γὰρ εἶπε, πρὸς τὴν μέλλουσαν ἔσεσθαι, [y]ἀλλὰ, "πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι," ὡς καὶ νῦν οὖσαν μὲν, κρυπτομένην δέ· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγεν, ὅτι
15 "Ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ." Θάρρει τοίνυν ὑπὲρ αὐτῆς· παρεσκεύασται γὰρ ἤδη τοὺς σοὺς ἀναμένουσα πόνους. Εἰ δὲ [z]τὸ μέλλειν σε λυπεῖ, αὐτὸ μὲν οὖν εὐφραινέτω [a]σε τοῦτο· τῷ γὰρ μεγάλη τις εἶναι καὶ [b]ἄφατος, καὶ τὴν παροῦσαν ὑπερβαίνειν κατάστασιν, ἐκεῖ τεταμίευται. Οὐδὲ γὰρ ἁπλῶς τέθεικε, "τὰ παθήματα τοῦ νῦν καιροῦ," ἀλλ' ἵνα δείξῃ οὐχὶ ποιότητι μόνον, ἀλλὰ καὶ ποσότητι νικῶσαν C
ἐκείνην. Ταῦτα μὲν γὰρ οἷα ἂν [c]ᾖ τὰ παθήματα, τῷ παρόντι συγκεκλήρωται βίῳ· τὰ δὲ μέλλοντα ἀγαθὰ πρὸς τοὺς ἀθανά-

14 2 Cor. iv. 17. 15 Col. iii. 3.

[o] αὐτὸν τῆς δ. pro τῆς δ. αὐτὸν A.E.F.H.I. Cat. [p] λιθασμὸν E. [q] ἐπαγωγὰς B. Veron. [r] γεν. δεῖται A.B.E.F.H.I. Cat. δεῖται γεν. Edd. [s] καὶ accessit ex A.E.H.I. [t] ἦν ὁ λ.] ὁ λ. ἦν A.E.F.I. Cat. [v] οὗ φησιν] Sic D.E.F.H.I. Cat. οὐκ ἀφίησιν Edd. et Verss. [w] καὶ om. H. [x] μέλλουσαν]+αὐτὴν Edd. αὐτὴν om. A.D.E.H.I. Cat. [y] ἀλλὰ πρὸς τὴν μέλλουσαν] ἀλλὰ μέλλουσαν I. et marg. F. ἀλλ' οὖσαν A.E.F.H. Cum Editis facit Cat. [z] τῷ pro τὸ A.F.I. Cat. Mox αὐτῷ . . . τοῦτῳ A.F.H.I. Cat. [a] σε om. A.E.F.H.I. Cat. [b] ἄφατος A.D.E.F.H.I. ἄφραστος Edd. [c] ᾖ pro εἴη omnes.

τους παρεκτείνεται αἰῶνας. Ἅπερ ἐπειδὴ κατὰ μέρος [d]ἡμῖν εἰπεῖν οὐκ εἶχεν, οὐδὲ παραστῆσαι λόγῳ, ἀπὸ τοῦ μάλιστα δοκοῦντος εἶναι παρ' ἡμῖν ἐπεράστου, τῆς δόξης, αὐτὰ ὠνόμασεν· ἡ γὰρ κορυφὴ τῶν ἀγαθῶν καὶ τὸ κεφάλαιον, τοῦτο εἶναι δοκεῖ. Ἐπαίρων δὲ καὶ ἑτέρως τὸν ἀκροατὴν, καὶ ἀπὸ τῆς κτίσεως ἐξογκοῖ τὸν λόγον, δύο κατασκευάζων διὰ τῶν λεχθήσεσθαι μελλόντων, καὶ ὑπεροψίαν τῶν παρόντων, καὶ ἐπιθυμίαν τῶν
D μελλόντων· καὶ τρίτον μετὰ τούτων, μᾶλλον δὲ πρῶτον, τὸ δεῖξαι πῶς περισπούδαστον τῷ θεῷ τὸ τῶν ἀνθρώπων γένος ἐστὶ, καὶ ἐν ὅσῃ τὴν φύσιν τὴν ἡμετέραν ἄγει τιμῇ. Μετὰ δὲ τούτων καὶ τὰ τῶν φιλοσόφων ἅπαντα δόγματα [e]τὰ περὶ τοῦ κόσμου τούτου συντεθέντα αὐτοῖς, ὥσπερ ἀράχνην τινὰ καὶ παίδων ἀθύρματα, ἐνὶ τούτῳ καταβάλλει τῷ δόγματι. Ἀλλ' ἵνα σαφέστερα ταῦτα γένηται, αὐτῆς τῆς ἀποστολικῆς [f]ἐπακούσωμεν ῥήσεως.

[16]"Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, φησὶ, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις
E ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι." [g]Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ἡ κτίσις [h]αὐτὴ σφόδρα ὠδίνει, [i]ταῦτα ἀναμένουσα καὶ προσδοκῶσα τὰ ἀγαθὰ, ἅπερ εἰρήκαμεν νῦν· ἀποκαραδοκία γὰρ ἡ σφοδρὰ προσδοκία ἐστίν. Ὥστε δὲ [k]ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ προσωποποιεῖ τὸν κόσμον ἅπαντα τοῦτον· [l]ἅπερ καὶ οἱ προφῆται ποιοῦσι, ποταμοὺς κροτοῦντας χερσὶν εἰσάγοντες, καὶ βουνοὺς ἁλλομένους, καὶ τὰ ὄρη σκιρτῶντα· οὐχ ἵνα ταῦτα ἔμψυχα εἶναι νομίσωμεν, οὐδ' ἵνα λογισμόν τινα δῶμεν αὐτοῖς, ἀλλ' ἵνα τὴν ὑπερβολὴν μάθωμεν τῶν ἀγαθῶν, ὡς καὶ τῶν ἀναισθήτων [m]αὐτῶν καθικνουμένην. Τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ τῶν λυπηρῶν [n]ποιοῦσι πολ-
582 λάκις, εἰσάγοντες καὶ ἄμπελον θρηνοῦσαν, καὶ οἶνον, καὶ ὄρη, καὶ τὰ φατνώματα ὀλολύζοντα τοῦ ναοῦ, ἵνα [o]καὶ ἐντεῦθεν πάλιν τὴν ὑπερβολὴν τῶν κακῶν ἐννοήσωμεν. Τούτους [p]δὴ καὶ ὁ ἀπόστολος μιμούμενος, προσωποποιεῖ τὴν κτίσιν ἐνταῦθα, καί φησι στενάζειν αὐτὴν καὶ ὠδίνειν· οὐκ ἐπειδὴ στεναγμοῦ [q]τινος ἤκουσεν ἀπὸ γῆς καὶ οὐρανοῦ φερομένου, ἀλλ' ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολὴν, καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν. "Τῇ γὰρ ματαιότητι

[16] v. 19, 20.

[d] ἡμῖν om. B. Cat. [e] τὰ accessit ex omnibus. [f] ἐπακούωμεν D. [g] γὰρ] δὲ D.E. receptum a Montef. [h] αὐτὴ vel αὐτῇ A.B.D.E.F.H. Cat. Musc. αὕτη Edd. [i] ταῦτα om. B. [k] ἐμφατ. F. [l] ὅπερ B.D. [m] αὐτὴν A.F.H. [n] ποιοῦσι πολλάκις] πολλοὶ ποιοῦσιν I. [o] κἀντεῦθεν A. F.H.I. [p] δὴ pro δὲ omnes. [q] τινος om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα." Τί ἐστι, "τῇ ματαιότητι [r]ἡ κτίσις [s]ὑπετάγη;" Φθαρτὴ γέ- B
γονε. Τίνος ἕνεκεν καὶ διὰ τί; Διὰ σὲ τὸν ἄνθρωπον. Ἐπειδὴ γὰρ σῶμα ἔλαβες θνητὸν [t]καὶ παθητόν, καὶ ἡ γῆ κατάραν ἐδέξατο, καὶ ἀκάνθας ἤνεγκε καὶ τριβόλους. Ὅτι δὲ [v]καὶ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος πρὸς τὴν ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ προφήτου λέγοντος· [17]"Καταρχὰς σὺ, κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον [w]ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται." Καὶ [x]Ἡσαΐας δὲ τὰ αὐτὰ ἐμφαίνων ἔλεγεν· [18]"Ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς [y]ὡς καπνὸς ἐστερεώθη, C
ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦνται." Εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτίσις, [z]πῶς καὶ ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς; Ὁ μὲν γάρ φησιν, "Ὡς ἱμάτιον [a]ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται·" ὁ δὲ Ἡσαΐας, "Οἱ [b]δὲ κατοικοῦντες αὐτὴν ὥσπερ ταῦτα
(118) ἀπολοῦνται·" οὐ παντελῆ λέγων [c]ἀπώλειαν· οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν, τουτέστιν, οἱ ἄνθρωποι, τοιαύτην ὑποστήσονται· ἀλλὰ τὴν πρόσκαιρον, καὶ δι' αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται, ὥσπερ οὖν καὶ ἡ κτίσις. Ἅπερ [d]ἅπαντα διὰ τοῦ D
εἰπεῖν, "ὡς ταῦτα," παρεδήλωσεν. Ὅπερ οὖν καὶ ὁ Παῦλος προϊὼν φησι· τέως μέντοι περὶ τῆς δουλείας [e]αὐτῆς διαλέγεται, καὶ δείκνυσι τίνος ἕνεκεν τοιαύτη γέγονε, καὶ τὴν αἰτίαν ἡμᾶς [f]τίθησι. Τί οὖν; ἐπηρέασται δι' ἕτερον ταῦτα παθοῦσα; Οὐδαμῶς· καὶ γὰρ δι' ἐμὲ γέγονεν. Ἡ τοίνυν δι' ἐμὲ γενομένη πῶς ἂν ἀδικοῖτο εἰς ἐμὴν διόρθωσιν ταῦτα πάσχουσα; Ἄλλως [g]δὲ, τὸν τοῦ δικαίου καὶ ἀδίκου λόγον οὐδὲ κινεῖν ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων δεῖ. Ἀλλ' ὁ Παῦλος ἐπειδὴ αὐτὴν ἐπροσωποποίησεν, οὐδενὶ κέχρηται τούτων ὧν εἶπον, ἀλλ' ἑτέρῳ τινὶ E
λόγῳ, τὸν ἀκροατὴν ἐκ περιουσίας παραμυθήσασθαι σπεύδων. Ποίῳ δὴ τούτῳ; Τί λέγεις, φησί; κακῶς ἔπαθε διὰ σὲ καὶ φθαρτὴ γέγονεν; Ἀλλ' οὐδὲν ἠδίκηται· καὶ γὰρ ἄφθαρτος

17 Psal. ci. 26, 27. 18 Esai. li. 6.

[r] ἡ κτίσις om. A.F.H.I. [s] ὑπετάγη] + ἀντὶ τοῦ D.E. [t] καὶ παθητὸν om. H. [v] καὶ ὁ οὐρανὸς E. Cat. [w] εἰλίξεις I. εἰλίξεις F. [x] ὁ Ἡσ. Edd. ὁ om. A.B.D.E.F.H. Cat. Statim τὰ αὐτὰ A.D.E.I. αὐτὰ H. ταῦτα vulgo. [y] ὡσεὶ A.F.H. [z] πῶς καὶ pro καὶ πῶς A.B.D.H.I. πῶς δὲ καὶ (sic) F. [a] ἀλλάξεις H.I. [b] δὲ om. A.F.H.I. [c] ἀπώλειαν] + φησὶν Edd. φησὶν om. A.D.E.F.I. Cat. [d] πάντα F.H.I. [e] αὐτῆς erasum in F. [f] τίθησι Edd. et Cat. τιθεὶς Codices. [g] δὲ] τε B.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἔσται διὰ σὲ πάλιν· τοῦτο γάρ ἐστι τὸ, " ἐπ' ἐλπίδι." Ὅταν δὲ λέγῃ, " οὐχ ἑκοῦσα ὑπετάγη," οὐχ ἵνα κυρίαν γνώμης οὖσαν δείξῃ, τοῦτο λέγει, ἀλλ' ἵνα μάθῃς, ὅτι τῆς [b]τοῦ Χριστοῦ κηδεμονίας τὸ πᾶν ἐγένετο, οὐκ ἐκείνης κατόρθωμα τοῦτο. Εἶπὲ δὴ [i]ποίᾳ ἐλπίδι; 19" Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται." Τί ἐστι, " καὶ αὐτή;" Οὐχὶ σὺ μόνος, ἀλλὰ καὶ ὁ σοῦ [k]ἐστι καταδεέστερον, [l]καὶ οὐ μετέχει λογισμοῦ οὐδὲ αἰσθήσεως, καὶ
583 τοῦτό [m]σοι κοινωνήσει τῶν ἀγαθῶν. " Ἐλευθερωθήσεται γάρ, φησὶν, ἀπὸ [n]τῆς δουλείας τῆς φθορᾶς·" τουτέστιν, οὐκέτι ἔσται φθαρτὴ, ἀλλὰ ἀκολουθήσει τῇ τοῦ σώματος εὐμορφίᾳ τοῦ σοῦ. Ὥσπερ γὰρ γενομένου φθαρτοῦ, [o]γέγονεν ἐκείνη τοιαύτη· οὕτως ἀφθάρτου καταστάντος, καὶ [p]αὐτὴ ἕψεται πάλιν. Ὅπερ οὖν καὶ δεικνὺς ἐπήγαγεν· " Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ·" τουτέστι, διὰ τὴν ἐλευθερίαν. Καθάπερ γὰρ τιθηνὸς παιδίον τρέφουσα βασιλικὸν, ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς πατρικῆς, καὶ αὐτὴ συναπολαύει τῶν ἀγαθῶν·
B οὕτω καὶ ἡ κτίσις, φησίν. Ὁρᾷς τὸν ἄνθρωπον πανταχοῦ προηγούμενον, καὶ δι' αὐτὸν ἅπαντα [q]γινόμενα; Εἶδες πῶς [r]καὶ παραμυθεῖται τὸν ἀγωνιζόμενον, καὶ δείκνυσι τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν; Τί γὰρ ἀλγεῖς, φησὶν, ἐπὶ τοῖς πειρασμοῖς; Σὺ διὰ [s]σαυτὸν πάσχεις, [t]ἡ κτίσις διὰ σέ. Οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἀξιόπιστα δείκνυσι τὰ λεγόμενα. Εἰ γὰρ ἡ κτίσις ἐλπίζει [v]ἡ διὰ σὲ πάντα γινομένη, πολλῷ μᾶλλον σὺ, δι' ὃν ἡ κτίσις ἀπολαύειν μέλλει τῶν [w]ἀγαθῶν ἐκείνων. Οὕτω καὶ [x]οἱ ἄνθρωποι, τοῦ υἱοῦ μέλλοντος ἐπ'
C ἀξιώματος φαίνεσθαι, καὶ τοὺς δούλους λαμπροτέραν [y]ἐνδύουσι στολὴν εἰς τὴν τοῦ παιδὸς δόξαν· ὥσπερ οὖν [z]καὶ ὁ θεὸς τὴν κτίσιν [a]ἀφθαρσίᾳ περιβαλεῖ εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων.

20" Οἴδαμεν γὰρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν." Εἶδες πῶς ἐντρέπει τὸν ἀκροατὴν,

19 v. 21. 20 v. 22.

[b] τοῦ om. E.H.I. Cat. Mox ἐγένετο τὸ πᾶν inverso ord. A.E.F.H.I. [i] καὶ ποίᾳ Edd. καὶ om. A.D.E.F.H.I. [k] ἐστι om. D. [l] καὶ ὃ οὐ Edd. ὃ om. A.E.F.H.I. Cat. [m] σου D. [n] τῆς δουλείας om. I. [o] γέγονεν ἐκείνη τοιαύτη] Sic A.D.F.H.I. Cat. γέγονε κἀκείνη τοιαύτη B.E. γέγονε φθαρτὴ καὶ αὖτη Edd. [p] Edebatur αὐτὴ ἀκολουθήσει καὶ ἕψεται. Verba ἀκολουθήσει καὶ desunt in libris omnibus et Cat. [q] γενόμενα B.D. [r] καὶ assumtum ex B.D.E. Cat. [s] σαυτὸν pro σεαυτὸν A.B.D.E.H.I. Cat. [t] ἡ κτ.] ἢ ἡ κτ. H. ἡ κτ. δὲ B.D. [v] ἡ accessit ex B.D.E.F.H. Cat. Mox γενομένη H. Cat. [w] ἀγαθῶν]+πάντων Edd. πάντων deest in omnibus. [x] οἱ om. A.B.D.F.I. Pro ἄνθρωποι, πατέρες ποιοῦσι exhibent D.E. [y] ἐνδύοντες E. ἐνδύσει H. Cat. [z] καὶ ὁ θεὸς om. H. τὴν κτίσιν om. I. [a] ἀφθαρσίᾳ pro ἀφθαρσίαν E.F.H. Cat. Statim περιβαλεῖ pro περιβάλλει omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[b] μονονουχὶ λέγων· μὴ γένῃ τῆς κτίσεως χείρων, καὶ τοῖς παροῦσιν ἐμφιλοχωρήσῃς; Οὐ γὰρ μόνον αὐτῶν ἀντέχεσθαι οὐ δεῖ, ἀλλὰ καὶ στενάζειν ἐπὶ τῇ [c] μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. Εἰ γὰρ ἡ κτίσις τοῦτο ποιεῖ, πολλῷ μᾶλλον σὲ δίκαιον τοῦτο ἐπιδείκνυσθαι τὸν λόγῳ τετιμημένον. Ἀλλ' οὔπω τοῦτο μέγα εἰς ἐντροπήν· διόπερ ἐπήγαγεν· [21] "Οὐ μόνον δὲ, ἀλλὰ καὶ D αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν" τουτέστι, τῶν μελλόντων ἤδη γευσάμενοι. Κἂν γὰρ σφόδρα λίθινός [d] τις ᾖ, φησὶν, ἱκανὰ τὰ δοθέντα ἤδη διαναστῆσαί [e] τε αὐτὸν, καὶ τῶν παρόντων ἀπαγαγεῖν, καὶ πρὸς τὰ μέλλοντα [f] πτερῶσαι διπλῆ, καὶ τῷ μεγάλα εἶναι τὰ [g] δεδομένα, καὶ τῷ τοσαῦτα καὶ τηλικαῦτα ἀπαρχὴν εἶναι. Εἰ γὰρ ἡ ἀπαρχὴ τοσαύτη, ὡς δι' αὐτῆς καὶ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ δικαιοσύνης ἐπιτυχεῖν καὶ ἁγιασμοῦ, τοὺς δὲ τότε καὶ δαίμονας ἐλαύνειν καὶ νεκροὺς ἐγείρειν διὰ σκιᾶς καὶ ἱματίων· E ἐννόησον τὸ [h] ὅλον ἡλίκον. Καὶ εἰ ἡ κτίσις, ἡ νοῦ καὶ [i] λόγου ἐστερημένη, οὐδὲν τούτων εἰδυῖα στενάζει· πολλῷ μᾶλλον ἡμεῖς.
(119) Εἶτα, ἵνα μὴ δῷ τοῖς αἱρετικοῖς λαβὴν, καὶ δόξῃ τὰ παρόντα διαβάλλειν, στενάζομεν, φησὶν, οὐ τῶν παρόντων κατηγοροῦντες, ἀλλὰ τῶν μειζόνων ἐφιέμενοι· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· "Υἱοθεσίαν ἀπεκδεχόμενοι." Τί λέγεις, εἰπέ μοι; Ἄνω καὶ κάτω συνεχῶς ἔστρεφες, καὶ ἐβόας λέγων, ὅτι ἤδη γεγόναμεν υἱοὶ, καὶ νῦν ἐν ἐλπίσι [k] τιθεῖς τοῦτο τὸ ἀγαθὸν, γράφων ὅτι ἐκδέχεσθαι αὐτὴν [l] δεῖ; Τοῦτο τοίνυν διορθούμενος τῇ ἐπαγωγῇ, λέγει· "Τὴν ἀπολύτρωσιν τοῦ [m] σώματος ἡμῶν·" 584 τουτέστι, τὴν ἀπηρτισμένην δόξαν. Νῦν μὲν γὰρ ἐν ἀδήλῳ τὰ ἡμέτερα ἕστηκεν ἕως ἐσχάτης ἀναπνοῆς· πολλοὶ γὰρ ὄντες υἱοὶ, [n] γεγόναμεν κύνες καὶ αἰχμάλωτοι. Ἂν δὲ μετὰ χρηστῆς καταλύσωμεν ἐλπίδος, τότε ἀκίνητος ἡ δωρεὰ, καὶ σαφεστέρα καὶ μείζων, οὐκέτι τὴν ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας δεδοικυῖα μεταβολήν. Τότε οὖν βεβαία ἔσται ἡ χάρις, ὅταν καὶ τὸ σῶμα ἡμῶν ἀπαλλαγῇ θανάτου καὶ τῶν μυρίων παθῶν. Τοῦτο γάρ ἐστιν ἀπολύτρωσις, οὐχ ἁπλῶς λύτρωσις, ἀλλ' ὥστε μηκέτι πάλιν ὑποστρέψαι [o] ἐπὶ τὴν προτέραν αἰχμαλωσίαν. Ἵνα

21 v. 23.

[b] μον. λέγων] τοιοῦτον γάρ τι μονονουχὶ λέγει D.E. [c] μελλήσει B.E. Cat. μελήσει Edd. [d] τις ᾖ] ᾖ τις A.E.F.H.I. Statim φησὶν accessit ex libris omnibus et Cat. [e] τε om. B.D. [f] πληρῶσαι H. Statim διπλῇ om. I. [g] δεδομένα D.E.F.H.I. Cat. διδόμενα Edd. Statim καὶ τῷ τὰ τοσ. Edd. τὰ om. D.E.F.H.I. τῷ om. Cat. [h] ὅλον] πᾶν B. Veron. [i] λόγου pro λόγων omnes. [k] τιθεῖς B. Veron. Cat. τιθεὶς A.D.E.F.H. τίθης Sav. cet. [l] δεῖ] χρὴ E. [m] σώματος] γένους H. [n] γεγόναμεν A.E.F.H.I. γεγόνασι Edd. [o] ἐπὶ] ὑπὸ H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροιας

B γὰρ μὴ ἀπορῇς δόξαν ἀκούων συνεχῶς, καὶ μηδὲν σαφῶς ἐπι-
στάμενος, ἐκ μέρους [p]σοι παρανοίγει τὰ μέλλοντα, τὸ σῶμά
σοι μεταβάλλων, καὶ τὴν κτίσιν αὐτῷ συμμεταβάλλων ἅπασαν·
ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἐδήλωσεν εἰπών, [22]" [q]Ὃς μετασχη-
ματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ [r]γενέσθαι σύμ-
μορφον τῷ σώματι τῆς δόξης αὐτοῦ." Καὶ ἑτέρωθι πάλιν
γράφων ἔλεγεν, "Ὅταν δὲ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανα-
σίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· κατεπόθη ὁ
θάνατος εἰς νῖκος." Δεικνὺς [s]δὲ, ὅτι μετὰ τῆς φθορᾶς τοῦ
C σώματος καὶ ἡ τῶν βιωτικῶν πραγμάτων κατάστασις οἰχή-
σεται, ἔγραφε πάλιν ἀλλαχοῦ· " Παράγει [t]γὰρ τὸ σχῆμα
τοῦ κόσμου τούτου."

[23]" Τῇ γὰρ ἐλπίδι ἐσώθημεν," φησίν. Ἐπειδὴ γὰρ [v]τῇ
τῶν μελλόντων ἐνδιέτριψεν ὑποσχέσει, ἐδόκει [w]δὲ τοῦτο λυπεῖν
τὸν ἀσθενέστερον ἀκροατὴν, εἴγε ἐν ἐλπίσι τὰ ἀγαθὰ, πρότερον
κατασκευάσας, ὅτι τῶν παρόντων καὶ ὁρωμένων ἐστὶ σαφέστερα,
καὶ πολλὰ περὶ τῶν ἤδη δεδομένων δωρεῶν διαλεχθεὶς, καὶ δεί-
ξας ὅτι καὶ ἀπαρχὴν ἐκείνων ἐλάβομεν τῶν ἀγαθῶν, ἵνα μὴ
πάντα ἐνταῦθα ζητῶμεν, καὶ τὴν εὐγένειαν ἡμῶν προδῶμεν τὴν
D ἀπὸ τῆς πίστεως, φησί· " Τῇ γὰρ ἐλπίδι ἐσώθημεν." [x]Ὃ δὲ
λέγει, [x]τοιοῦτόν ἐστιν· οὐ δεῖ πάντα ἐνταῦθα ζητεῖν, ἀλλὰ καὶ
ἐλπίζειν. Τοῦτο γὰρ μόνον εἰσηνέγκαμεν τῷ θεῷ [y]τὸ δῶρον,
τὸ πιστεῦσαι αὐτῷ τὰ μέλλοντα ἐπαγγειλαμένῳ, καὶ διὰ ταύ-
της μόνον ἐσώθημεν τῆς ὁδοῦ. [z]Ἂν τοίνυν αὐτὴν ἀπολέσωμεν,
τὸ πᾶν τῆς ἡμετέρας [z]εἰσφορᾶς ἀπωλέσαμεν. Ἐρωτῶ γάρ
σε, φησὶν, οὐχὶ μυρίων [a]ὑπεύθυνος ἦς κακῶν; οὐχὶ ἀπεγνω-
σμένος; οὐχὶ ἀποφάσει ὑποκείμενος; οὐχὶ πάντες ἠτόνουν πρὸς
τὴν σωτηρίαν τὴν σήν; Τί οὖν σε ἔσωσε; Τὸ εἰς [b]τὸν θεὸν
ἐλπίσαι μόνον, καὶ πιστεῦσαι αὐτῷ περὶ ὧν ἐπηγγείλατό [c]τε
E καὶ ἔδωκε· καὶ πλέον οὐδὲν ἔσχες εἰσενεγκεῖν. Εἰ τοίνυν αὕτη
σε ἔσωσε, ταύτην κάτεχε καὶ νῦν. Ἡ γὰρ τοσαῦτά σοι παρα-
σχοῦσα ἀγαθὰ, εὔδηλον ὅτι οὐδὲ περὶ τῶν μελλόντων [d]σε ψεύ-
σεται. Ὅπου γὰρ νεκρὸν λαβοῦσα καὶ ἀπολωλότα καὶ αἰχμάλωτον καὶ ἐχθρὸν, φίλον ἐποίησε καὶ υἱὸν καὶ ἐλεύθερον [e]καὶ

22 Philipp. iii. 21. 1 Cor. xv. 54. vii. 31. 23 v. 24.

[p] σοι παρανοίγει omnes. ὑπανοίγει (sine σοι) Edd. [q] ὃς]+καὶ A.D.E. [r] γενέσθαι]+αὐτὸ A.D.E.F.I. [s] δὲ om. A. [t] γὰρ om. D.E. [v] τῇ] ἐν τῇ Edd. ἐν om. A.B.E.F.H.I. Cat. Post μελλόντων deest folium in E. usque ad ἐν τῇ παλαιᾷ p. 585 E. [w] δὲ om. H. [x] τοιοῦτον] τοῦτο A.D. τοῦτ' F.I. [y] τὸ om. I. Cat. [z] φορᾶς corr. ex φθορᾶς F. [a] ἦς ὑπ. inverso ord. A.F.H.I. [b] τὸν om. D.F.H.I. [c] τε accessit ex B.D.F.H. [d] σοι I. Statim ἔψευσται B. Veron. [e] καὶ δίκαιον om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίκαιον καὶ συγκληρονόμον, καὶ τοσαῦτα παρέσχεν, ὅσα μηδὲ προσεδόκησέ τις ποτέ· πῶς μετὰ τὴν τοσαύτην φιλοτιμίαν τε καὶ οἰκείωσιν [f]προήσεταί σε ἐν τοῖς ἑξῆς; Μὴ τοίνυν μοι λέγε, πάλιν ἐλπίδες, πάλιν προσδοκίαι, πάλιν [g]πίστις. Οὕτω γὰρ ἐξ ἀρχῆς ἐσώθης, καὶ ταύτην τὴν προῖκα [h]εἰσήνεγκας τῷ νυμφίῳ μόνον. Κάτεχε τοίνυν αὐτὴν καὶ διατήρει. [i]Ἂν γὰρ ἐνταῦθα 585
πάντα ἀπαιτῇς, ἀπώλεσάς σου τὸ κατόρθωμα, δι' οὗ λαμπρὸς ἐγένου. [i]Διὸ ἐπάγει λέγων· "Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; [24]Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα." Τουτέστιν· εἰ πάντα ἐνταῦθα [k]μέλλεις ζητεῖν, τίς χρεία ἐλπίδος; Τί οὖν ἐστιν [l]ἐλπίς; Τὸ τοῖς μέλλουσι θαρρεῖν. Τί γὰρ μέγα αἰτεῖ παρὰ σοῦ ὁ θεὸς, αὐτὸς ὁλόκληρα οἴκοθεν διδοὺς τὰ ἀγαθά; Ἓν αἰτεῖ παρὰ σοῦ μόνον, [m]ἐλπίδα, ἵνα ἔχῃς τι καὶ αὐτὸς
(120) συνεισενεγκεῖν εἰς τὴν σὴν σωτηρίαν· ὅπερ [n]οὖν καὶ αἰνιττόμενος ἐπήγαγεν, "Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομο- B
νῆς ἀπεκδεχόμεθα." Ὥσπερ [o]γὰρ τὸν πονοῦντα καὶ ταλαιπωρούμενον καὶ μυρία κάμνοντα, οὕτω καὶ τὸν ἐλπίζοντα ὁ θεὸς στεφανοῖ. Τὸ γὰρ τῆς ὑπομονῆς ὄνομα ἱδρώτων ἐστὶν [p]ὄνομα καὶ καρτερίας πολλῆς. Ἀλλ' ὅμως ἐχαρίσατο καὶ τοῦτο τῷ ἐλπίζοντι, ἵνα παραμυθήσηται τὴν [q]ἀποκαμοῦσαν ψυχήν.

Εἶτα [r]δείκνυσιν, ὅτι [s]καὶ πρὸς τὸ κοῦφον τοῦτο πολλῆς ἀπολαύομεν βοηθείας, λέγων· [25]"Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται [t]ταῖς ἀσθενείαις ἡμῶν." Τὸ μὲν γὰρ γίνεται σὸν, τὸ τῆς ὑπομονῆς· τὸ δὲ τῆς τοῦ πνεύματος χορηγίας, C
εἷς [v]τε τὴν ἐλπίδα σε ἀλείφοντος, καὶ δι' αὐτῆς πάλιν τοὺς [w]πόνους κουφίζοντος. Εἶτα, ἵνα μάθῃς, ὅτι οὐκ ἐν τοῖς πόνοις [x]σοι μόνον καὶ τοῖς κινδύνοις παρέστηκεν [y]αὕτη ἡ χάρις, ἀλλὰ καὶ ἐν τοῖς εὐκολωτάτοις δοκοῦσιν εἶναι συμπράττει, καὶ παντα-χοῦ τὴν παρ' [z]ἑαυτῆς εἰσφέρει συμμαχίαν, ἐπήγαγε λέγων· "Τὸ γὰρ τί [a]προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν." Ταῦτα δὲ ἔλεγε, τήν τε πολλὴν τοῦ πνεύματος πρόνοιαν ἐμφαίνων τὴν

24 v. 25. 25 v. 26.

[f] προήσεται pro οὐ προσήσεται nostri omnes cum Cat. [g] πίστεις A.B.F. [h] εἰσένεγκες F.H. [i] διὸ] + καὶ A. [k] μέλλοις B.F.H.I. [l] ἐλπὶς Cat. ἡ ἐλπὶς vulgo. [m] ἐλπίδα] ἐλπίζοντα A.F. [n] οὖν om. D. [o] γὰρ] οὖν G. Mox ταλαιπωρούμενον A.D.F.G.H.I. Cat. ταλαιπωροῦντα Edd. [p] ὄ-νομα om. B.G. [q] ἀποκάμνουσαν G. καμοῦσαν A.D.F.I. Vulgatum est in Cat. [r] δείκνυσιν pro δεικνὺς, et mox λέγων pro ἐπάγει, omnes. [s] καὶ assumtum ex A.D.F. Cat. [t] τῆς ἀσθενείας F.H.I. Mosqq. [v] τε om. G. [w] πό-νους] + σου Edd. repugnantibus libris. [x] σοι pro σου A.B.D.F.G.H. Cat. Statim μόνοις I. [y] αὕτη om. I. ἡ αὐτὴ pro αὕτη ἡ H. [z] αὐτῆς B.G. [a] προσευξόμ. A.B.D.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ ἡμᾶς, καὶ παιδεύων αὐτοὺς, μὴ πάντως ἐκεῖνα νομίζειν εἶναι
D συμφέροντα, ἃ τοῖς λογισμοῖς φαίνεται τοῖς ἀνθρωπίνοις. Ἐπειδὴ γὰρ [b]εἰκὸς αὐτοὺς μαστιζομένους, ἐλαυνομένους, μυρία πάσχοντας δεινὰ, ἄνεσιν [c]ζητεῖν, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ θεοῦ τὴν χάριν, καὶ νομίζειν αὐτοῖς λυσιτελεῖν, λέγει· μὴ πάντως τὰ δοκοῦντα ὑμῖν εἶναι συμφέροντα, ταῦτα [d]καὶ εἶναι νομίζετε. Καὶ γὰρ εἰς τοῦτο τῆς τοῦ [e]πνεύματος δεόμεθα βοηθείας· οὕτως ἐστὶν ἀσθενὴς [f]ἄνθρωπος, καὶ καθ' ἑαυτὸν οὐδέν. Διὸ καὶ ἔλεγε· "Τὸ γὰρ τί [g]προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν." Ἵνα γὰρ μηκέτι ὁ μαθητὴς αἰσχύνηται τὴν ἄγνοιαν, ἔδειξε καὶ τοὺς διδασκάλους ἐν τοῖς αὐτοῖς ὄντας. Οὐ γὰρ εἶπεν, οὐκ οἴδατε, ἀλλ', "οὐκ οἴδαμεν." Καὶ ὅτι οὐ μετριάζων
E ταῦτα ἔλεγεν, ἐδήλωσε δι' ἑτέρων. Καὶ γὰρ [h]ἀδιαλείπτως ἐπὶ τῶν προσευχῶν αὐτοῦ τὴν Ῥώμην ἰδεῖν ἐδεῖτο, [i]καὶ οὐχ ὅτε ἐδεῖτο, τότε ἐπέτυχε· καὶ ὑπὲρ τοῦ σκόλοπος [k]τοῦ δεδομένου αὐτῷ ἐν τῇ σαρκὶ, τουτέστι, τῶν κινδύνων, πολλάκις παρεκάλεσε, καὶ ὁλοσχερῶς ἀπέτυχε· καὶ [l]ὁ Μωϋσῆς δὲ ἐν τῇ παλαιᾷ ὑπὲρ τοῦ τὴν Παλαιστίνην ἰδεῖν δεόμενος, καὶ [m]Ἱερεμίας ὑπὲρ Ἰουδαίων [n]ἱκετεύων, καὶ Ἀβραὰμ ὑπὲρ Σοδομιτῶν ἐντυγχάνων. "Ἀλλ' αὐτὸ τὸ πνεῦμα [o]ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις." Ἀσαφὲς τὸ εἰρημένον διὰ τὸ πολλὰ τῶν τότε γινομένων θαυμάτων [p]πεπαῦσθαι νῦν. Διόπερ ἀναγκαῖον δι-
586 δάξαι ὑμᾶς τὴν τότε κατάστασιν, καὶ οὕτω σαφέστερος [q]ἔσται λοιπὸν ὁ λόγος. Τίς οὖν ἡ τότε κατάστασις ἦν; Διάφορα πᾶσι τοῖς τότε βαπτιζομένοις [r]ἐδίδου χαρίσματα ὁ θεὸς, ἃ δὴ καὶ [s]πνεύματα ἐκαλεῖτο· [26]"Πνεύματα γὰρ προφητῶν προφήταις ὑποτάσσεται," φησί. Καὶ ὁ μὲν εἶχε προφητείας [t]χάρισμα, καὶ προέλεγε τὰ μέλλοντα· ὁ δὲ σοφίας, καὶ ἐδίδασκε τοὺς πολλούς· ὁ δὲ ἰαμάτων, καὶ ἐθεράπευε τοὺς νοσοῦντας· ὁ δὲ [v]δυνάμεων, καὶ ἤγειρε τοὺς νεκρούς· ὁ δὲ γλωσσῶν, καὶ διαφόροις ἐλάλει φωναῖς. Μετὰ δὲ τούτων ἁπάντων ἦν καὶ εὐχῆς

[26] 1 Cor. xiv. 32.

[b] *εἰκὸς*] Sic G. *εἰκὸς ἦν* A.F.I. Ceteri cum Edd. *ἦν εἰκός*. Statim *καὶ αὐτοὺς* H. [c] Post *ζητεῖν* vulgo leguntur verba *καὶ νομίζειν αὐτοῖς λυσιτελεῖν*, quae in libris omnibus et Cat. aliam sedem, nempe post *χάριν*, occupant. Verba *καὶ ταύτην αἰτεῖν* desunt in H. [d] *καὶ* om. G. [e] *πνεύματος* A.D. F.G.H.I. Cat. *θεοῦ* Edd. [f] *ὁ ἄνθρωπος* A.G. [g] *προσευξόμ.* A.B.D.G.I. [h] *ἀδιαλείπτως*] *ἀεὶ* G. [i] *καὶ*] *ἀλλ'* G. Verba *ὅτε ἐδεῖτο τότε* om. B. [k] *τοῦ δεδομένου*] *τοῦδε δεομένου* H. Statim *αὐτοῦ* A.F.G.H. [l] *ὁ* om. A.F.I. Cat. [m] *ὁ Ἱερ.* Edd. *ὁ* om. A.F.G.H.I. Cat. *ὁ* ante *Ἀβραὰμ* om. F.G.H.I. Cat. [n] *ἱκέτευεν* I. [o] *ἐντυγχ.* pro *ὑπερεντυγχ.* A.B.D.E.F.H.I. et Mosqq. [p] *πεπαῦσθαι* Codices. Edebatur *πεπαῦθαι*. [q] *ἔσται λοιπὸν* A.E.F.G.H.I. *λοιπὸν ἔσται* Edd. [r] *χαρ. ἐδίδου* hoc ord. A.E.F.H.I. [s] *πνεῦμα* A.E.F.H. [t] *χαρίσματα*, omissis verbis *καὶ πρ. τὰ μέλλοντα* H. [v] *δυνάμεως* G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάρισμα, [w]ὃ καὶ αὐτὸ πνεῦμα ἐλέγετο· καὶ ὁ τοῦτο ἔχων, ὑπὲρ τοῦ πλήθους [x]παντὸς ηὔχετο. Ἐπειδὴ γὰρ πολλὰ τῶν συμ- B
φερόντων ἡμῖν ἀγνοοῦντες, τὰ μὴ συμφέροντα αἰτοῦμεν, ἦρχετο χάρισμα εὐχῆς εἰς ἕνα [y]τινὰ τῶν τότε, καὶ τὸ κοινῇ συμφέρον τῆς ἐκκλησίας ἁπάσης αὐτός τε ὑπὲρ ἁπάντων ἵστατο αἰτῶν, καὶ τοὺς ἄλλους ἐπαίδευε. Πνεῦμα τοίνυν ἐνταῦθα καλεῖ τό [z]τε χάρισμα τὸ τοιοῦτον, καὶ τὴν ψυχὴν τὴν δεχομένην τὸ χάρισμα, καὶ ἐντυγχάνουσαν τῷ θεῷ καὶ στενάζουσαν. Ὁ γὰρ τοιαύτης καταξιωθεὶς χάριτος, ἑστὼς μετὰ πολλῆς τῆς κατανύξεως, μετὰ πολλῶν τῶν στεναγμῶν τῶν κατὰ διάνοιαν τῷ θεῷ [a]προσπίπτων, τὰ συμφέροντα πᾶσιν [b]ᾔτει. Οὗ καὶ νῦν C
σύμβολόν ἐστιν ὁ διάκονος, τὰς ὑπὲρ τοῦ δήμου ἀναφέρων εὐχάς. Τοῦτο τοίνυν δηλῶν ὁ Παῦλος ἔλεγεν· "Αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις." [27]"Ὁ δὲ ἐρευνῶν τὰς καρδίας." Ὁρᾷς ὅτι οὐ περὶ τοῦ παρακλήτου ὁ
(121) λόγος, ἀλλὰ περὶ τῆς καρδίας τῆς πνευματικῆς; ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἔδει εἰπεῖν, ὁ δὲ ἐρευνῶν τὸ πνεῦμα. Ἀλλ' ἵνα μάθῃς, ὅτι περὶ ἀνθρώπου ὁ λόγος πνευματικοῦ, καὶ χάρισμα ἔχοντος εὐχῆς, ἐπήγαγεν· "Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος·" τουτέστι, τοῦ ἀνθρώπου τοῦ πνευματικοῦ· "ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων." Οὐ γὰρ ἀγνοοῦντα, φησὶ, διδάσκει τὸν θεὸν, ἀλλὰ τοῦτο γίνεται, D
ἵνα ἡμεῖς μάθωμεν εὔχεσθαι ταῦτα ἃ χρὴ, καὶ αἰτεῖν [c]παρὰ τοῦ θεοῦ τὰ δοκοῦντα αὐτῷ· τοῦτο γάρ ἐστι τὸ, "κατὰ θεόν." Ὥστε καὶ παρακλήσεως ἕνεκεν ἐγίνετο τοῦτο τῶν προσιόντων, καὶ διδασκαλίας ἀρίστης. Καὶ γὰρ [d]ὁ παρέχων τὰ χαρίσματα καὶ τὰ μυρία διδοὺς ἀγαθὰ, ὁ παράκλητος ἦν. [28]"[e]Ταῦτα γὰρ πάντα, φησὶν, ἐνεργεῖ [f]ἓν καὶ τὸ αὐτὸ πνεῦμα." Καὶ τῆς ἡμετέρας παιδεύσεως ἕνεκεν τοῦτο γίνεται, καὶ τοῦ δειχθῆναι τοῦ πνεύματος τὴν ἀγάπην, ὅτι μέχρι τοσούτου συγκαταβαίνει. Ὅθεν καὶ τὸ ἀκούεσθαι ἐγίνετο τῷ εὐχομένῳ, διὰ τὸ κατὰ θεὸν γίνεσθαι τὴν εὐχήν. E

[g]Ὁρᾷς δὲ ὅσων αὐτοὺς παιδεύει τὴν ὑπὲρ αὐτῶν ἀγάπην καὶ

[27] v. 27. [28] 1 Cor. xii. 11.

[w] ὃ om. G. [x] παντὸς ηὔχ.] προσηύχετο παντὸς E. [y] τινὰ om. A.E.F.H.I. [z] τε om. G. [a] προσπιπτόντων Veron. et Interpp. Haec τῶν κατὰ ——προσπίπτων om. G. [b] ᾔτει pro αἰτεῖ A.B.D.E.F.H.I. Cat. [c] παρὰ in marg. supplet H. Deinde scribit τῷ θεῷ. [d] ὁ παρέχων] Sic A.D.E.F. H.I. Cat. καὶ ὁ παρέχων G. ὁ παρέχων καὶ Edd. [e] πάντα γὰρ ταῦτα A.E. F.H.I. Cat. Statim φησὶν om. A.E.H.I. [f] ἑν] τὸ ἕν G. et corr. B. [g] ΗΘΙΚΟΝ. Περὶ ἐλεημοσύνης, καὶ περὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀποκειμένων ἀγαθῶν τοῖς κατὰ θεὸν πολιτευομένοις. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τιμὴν τὴν [h]γενομένην εἰς αὐτούς; Τί γὰρ οὐκ ἐποίησε δι' ἡμᾶς ὁ θεός; Φθαρτὸν τὸν κόσμον δι' ἡμᾶς, [i]ἄφθαρτον δι' ἡμᾶς· κακωθῆναι τοὺς προφήτας συνεχώρησε [k]δι' ἡμᾶς, εἰς αἰχμαλωσίαν ἔπεμψε δι' ἡμᾶς, εἰς κάμινον ἀφῆκεν [l]ἐμπεσεῖν, τὰ μυρία ὑπομεῖναι κακά. Καὶ προφήτας δὲ δι' ἡμᾶς αὐτοὺς ἐποίησε, καὶ ἀποστόλους δι' ἡμᾶς· τὸν μονογενῆ δι' ἡμᾶς ἐξέδωκε, τὸν διάβολον [m]δι' ἡμᾶς κολάζει· ἐκάθισεν ἡμᾶς ἐν δεξιᾷ· ὠνειδίσθη δι' ἡμᾶς· [29] "Οἱ ὀνειδισμοὶ γάρ, φησὶ, τῶν ὀνει-
587 διζόντων σε [n]ἐπέπεσον ἐπ' ἐμέ." Ἀλλ' [o]ὅμως μετὰ τοσαῦτα ἀφισταμένους ἡμᾶς οὐκ ἀφίησιν, ἀλλὰ [p]καὶ παρακαλεῖ πάλιν, καὶ ἑτέρους παρασκευάζει παρακαλεῖν ὑπὲρ ἡμῶν, ἵνα ἡμῖν χαρίσηται· [q]ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε. Καὶ γὰρ ἐκείνῳ φησὶν, [30] "Ἄφες με, καὶ ἐξαλείψω αὐτούς·" ἵνα αὐτὸν ἐμβάλῃ εἰς τὴν ὑπὲρ ἐκείνων ἱκετηρίαν· καὶ νῦν τὸ αὐτὸ ποιεῖ. Διὰ τοῦτο καὶ χάρισμα εὐχῆς ἐδίδου. [r]Ποιεῖ δὲ τοῦτο, οὐκ αὐτὸς παρακλήσεως δεόμενος, ἀλλ' ἵνα ἡμεῖς μὴ ἁπλῶς σωζόμενοι, φαυλότεροι καταστῶμεν. Διά τοι τοῦτο πολλάκις διὰ τὸν Δαυὶδ καὶ τὸν δεῖνα [s]καὶ τὸν δεῖνά φησιν αὐτοῖς καταλλάττεσθαι, τοῦτο αὐτὸ
B κατασκευάζων πάλιν, ἵνα [t]κἂν σχῆμα ἐπιτεθῇ τῇ καταλλαγῇ. Καίτοι μειζόνως ἂν αὐτὸς ἐφάνη φιλάνθρωπος, εἰ μὴ διὰ τὸν δεῖνα καὶ τὸν δεῖνα, ἀλλὰ δι' ἑαυτὸν ἔλεγεν αὐτοῖς [v]ἀφεῖναι τὴν ὀργήν. Ἀλλ' οὐχ οὕτω τοῦτο ἐσπούδακεν, ὡς τὸ τοῖς σωζομένοις μὴ γενέσθαι ῥᾳθυμίας ἀφορμὴν τὴν τῆς καταλλαγῆς ὑπόθεσιν. Διὰ τοῦτο καὶ τῷ Ἱερεμίᾳ [w]ἔλεγε, [31] "Μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου·" οὐχὶ παῦσαι [x]αὐτὸν θέλων ἀξιοῦντα· πολὺ γὰρ ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλ' ἐκείνους φοβῆσαι· ὅπερ οὖν καὶ ὁ προφήτης
C συνιδὼν, οὐκ ἐπαύσατο ἀξιῶν. Καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀποστῆσαι αὐτὸν θέλων, [y]ἀλλ' ἐντρέψαι, ταῦτα ἔλεγεν, ἄκουσον τί φησιν· "Ἢ οὐχ ὁρᾷς τί [z]αὐτοὶ ποιοῦσι;" Καὶ πρὸς τὴν πόλιν δὲ ὅταν λέγῃ· [32] "Ἐὰν ἀποπλύνῃ νίτρῳ, [a]καὶ πληθύνῃς σεαυτῇ

29 Psal. lxviii. 10. 30 Exod. xxxii. 10. 31 Jer. vii. 16, 17. 32 Ibid. ii. 22.

[h] *γενομένην* A.B.E.F.G.H.I. *γινομένην* Edd. [i] *ἄφθαρτον*] *καὶ ἄφθ. ἐποίησε* Edd. *καὶ* om. A.B.D.E.F.G.H. *ἐποίησε* om. A.D.E.F.G.H. In I. verba *ἄφθ. δι' ἡμᾶς* exciderunt. Totum locum quomodo disponit G. vid. in Annot. [k] *δι' ἡμᾶς* om. I. [l] *ἐμπεσεῖν*]+*δι' ἡμᾶς* Edd. *δι' ἡμᾶς* om. D.E.F.H.I. [m] *δι' ἡμᾶς κολάζει*] *κατήργησε* B. [n] *ἐπέπεσαν* F.H.I. *ἐπέπεσον* om. E. [o] *ὅμως*]+*καὶ* D.E. [p] *καὶ* om. B. [q] *ὅπερ*]+*καὶ* D.E. [r] *ποιεῖ* pro *ἐποίει* A.D.E.F.H.I. [s] *καὶ τὸν δεῖνα* om. G. Mox *αὐτοῖς* om. idem. [t] *κἂν* pro *καὶ* G. Pro *καὶ σχῆμα*, quod edebatur, *καύχημα* est in A.B.D.E.F.H. [v] *ἀφιέναι* E.F.H.I. *τὴν ὀργὴν ἀφεῖναι* hoc ord. G. [w] *λέγει* G. [x] *θέλων αὐτὸν* inverso ord. A.E.F.H.I. [y] *ἀλλ' ἐκείνους ἐντρέψαι* F. sicut correxerat Bois. [z] *οὗτοι* H. [a] *καὶ πληθύνῃς*] *πληθύνεις* G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόαν, κεκηλίδωσαι ἐναντίον [b]μου·" οὐχ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλῃ, λέγει, ἀλλ' ἵνα εἰς μετάνοιαν διαναστήσῃ. Ὥσπερ γὰρ ἐπὶ τῶν Νινευϊτῶν ἀδιορίστως [c]εἰπὼν τὴν ἀπόφασιν, καὶ μὴ ὑποτείνας χρηστὰς ἐλπίδας, μᾶλλον ἐφόβησε, καὶ εἰς μετάνοιαν ἤγαγεν· οὕτω καὶ ἐνταῦθα ποιεῖ, ἐκείνους τε διεγείρων, καὶ τὸν προφήτην αἰδεσιμώτερον κατασκευάζων, ἵνα κἂν οὕτως αὐτοῦ ἀκούσωσιν. Εἶτα ἐπειδὴ ἔμενον ἀνίατα νοσοῦντες, καὶ οὐδὲ τῶν D ἄλλων ἀπενεχθέντων ἐσωφρονίσθησαν, τὸ μὲν πρῶτον παραινεῖ μένειν αὐτόθι· ὡς δὲ οὐκ ἠνείχοντο, ἀλλ' ἠὐτομόλουν εἰς Αἴγυπτον, τοῦτο μὲν συνεχώρησεν, αἰτεῖ δὲ παρ' αὐτῶν τὸ μὴ μετ' Αἰγύπτου καὶ πρὸς τὴν ἀσέβειαν αὐτομολῆσαι. Ὡς δὲ οὐδὲ τοῦτο ἐπείσθησαν, συμπέμπει τὸν προφήτην αὐτοῖς, ὥστε μὴ τέλεον ἐξοκεῖλαι λοιπόν. Ἐπειδὴ γὰρ αὐτοὶ οὐκ ἠκολούθησαν αὐτῷ καλοῦντι, αὐτὸς αὐτοῖς ἕπεται λοιπὸν διορθούμενος, καὶ κωλύων προσωτέρω φέρεσθαι τῆς κακίας, καθάπερ πατὴρ
(122) φιλόστοργος παιδίῳ [d]δυσχερῶς ἔχοντι πρὸς ἅπαντα, πανταχοῦ E συμπεριάγων καὶ [e]παρακολουθῶν. Διὰ δὴ τοῦτο οὐκ εἰς Αἴγυπτον μόνον τὸν Ἱερεμίαν, ἀλλὰ καὶ εἰς Βαβυλῶνα τὸν Ἰεζεκιὴλ ἔπεμπεν· οἱ δὲ οὐκ ἀντέλεγον. Ἐπειδὴ γὰρ τὸν ἑαυτῶν δεσπότην εἶδον σφόδρα αὐτοὺς φιλοῦντα, καὶ αὐτοὶ τοῦτο ποιοῦντες διετέλουν· ὥσπερ ἂν εἴ τις υἱὸν ἄχρηστον δοῦλος [f]εὐγνώμων ἐλεήσειε, [g]τὸν πατέρα ὁρῶν ἀλγοῦντα ὑπὲρ αὐτοῦ καὶ κοπτόμενον. Τί γὰρ οὐκ ἔπασχον δι' αὐτούς; Ἐπρίζοντο, ἠλαύνοντο, ὠνειδίζοντο, [h]ἐλιθάζοντο, μυρία ἔπασχον δεινά· καὶ μετὰ ταῦτα ἅπαντα, πρὸς αὐτοὺς [i]ἔτρεχον πάλιν. Καὶ γὰρ ὁ Σαμουὴλ οὐ [k]διέλιπε πενθῶν τὸν Σαοὺλ, [l]καίτοι χαλεπῶς 588
ὑβρισθεὶς παρ' αὐτοῦ, καὶ τὰ ἀνήκεστα παθών· ἀλλ' ὅμως οὐδενὸς ἐκείνων ἐμέμνητο. Τῷ δὲ Ἰουδαίων δήμῳ καὶ θρήνους γραπτοὺς ὁ Ἱερεμίας συνέθηκε· καὶ [m]τοῦ στρατηγοῦ τῶν Περσῶν διδόντος αὐτῷ μετὰ ἀδείας οἰκεῖν καὶ ἐλευθερίας ἁπάσης [n]ὅπου βούλοιτο, προετίμησε τῆς οἴκοι διατριβῆς [o]τὴν τοῦ λαοῦ κακουχίαν καὶ τὴν ἐν ἀλλοτρίᾳ ταλαιπωρίαν. Οὕτω καὶ Μωϋσῆς τὰ βασίλεια καὶ τὴν ἐκεῖ διατριβὴν ἀφεὶς, πρὸς τὰς ἐκείνων ἔδραμε συμφοράς. Καὶ Δανιὴλ [p]δὲ εἴκοσιν ἐφεξῆς ἡμέρας ἄσιτος B

[b] ἐμοῦ A.F.I. [c] εἶπε vel εἶπεν A.F.I. [d] δυσχερῶς] Sic G. δυσαρέστως A.E.F.H.I. δυσχερῶς καὶ δυσαρέστως B.D. Edebatur δυστυχῶς. [e] παρακολουθῶν omnes. συμπεριακολουθῶν Edd. [f] συγγνώμων G. [g] τὸν π. ὁρῶν pro ὁρῶν τὸν π. A.B.D.E.G.H.I. [h] ἐλιθάζοντο om. E.G. [i] πάλιν ἔτρεχον inverso ord. A.D.E.F.H.I. [k] διέλιπε pro διέλειπε D.E.F.G. [l] καίτοιγε Edd. καίτοι B.E.F.G.H.I. [m] τοὺς στρατηγοὺς . . διδόντας G. [n] ὅποι B.G. [o] τὴν]+μετὰ E. [p] δὲ om. G. Statim εἴκοσιν ἐφεξῆς ἡμέρας A.B.E.F.H.I. ἐν εἴκοσιν ἐφεξῆς ἡμέραις D.G. ἐν εἰκοσιὲξ ἡμέραις Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[q]ἔμεινεν, ἄγχων ἑαυτὸν τῇ [r]βαρυτάτῃ νηστείᾳ, ἵνα τὸν θεὸν αὐτοῖς καταλλάξῃ· καὶ οἱ παῖδες [s]δὲ οἱ τρεῖς ἐν καμίνῳ ὄντες καὶ τοσούτῳ πυρὶ, τὴν ὑπὲρ αὐτῶν ἱκετηρίαν ἀνέφερον. Οὐ γὰρ δὴ ὑπὲρ [t]ἑαυτῶν ἤλγουν τῶν σεσωσμένων· ἀλλ' ἐπειδὴ τότε μάλιστα ᾠοντο παρρησίαν ἔχειν, διὰ τοῦτο ὑπὲρ αὐτῶν ἐδέοντο. Διὸ καὶ ἔλεγον, [33] "Ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν." Διὰ τούτους καὶ Ἰησοῦς τὰ ἱμάτια διέρρηξε· διὰ τούτους καὶ Ἰεζεκιὴλ ἐθρήνει καὶ ὠλοφύρετο κατακοπτομένους ὁρῶν· καὶ [v]ὁ Ἱερεμίας ἔλεγεν, [34] "Ἄφετέ με, πικρῶς κλαύσομαι." Καὶ πρὸ τούτου δὲ, C ἐπειδὴ ἀξιῶσαι ὑπὲρ συγχωρήσεως τῶν δεινῶν [w]παντελοῦς οὐκ ἐτόλμα, προθεσμίαν [x]ἐζήτει λέγων, "Ἕως πότε, κύριε;" Φιλόστοργον γὰρ ἅπαν τὸ τῶν ἁγίων γένος. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· [35] "Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ [y]θεοῦ ἅγιοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην." [z]Ὁρᾷς τὴν ἀκρίβειαν τοῦ ῥήματος, καὶ πῶς διηνεκῶς ἐλεήμονας [a]ἡμᾶς βούλεται εἶναι; Οὐ γὰρ εἶπεν, [b]ἐλεήσατε ἁπλῶς, ἀλλ', "ἐνδύσασθε" ἵνα ὥσπερ τὸ ἱμάτιον ἀεὶ μεθ' ἡμῶν ἐστιν, οὕτω καὶ D ἡ ἐλεημοσύνη. Καὶ οὐκ εἶπεν ἁπλῶς ἐλεημοσύνην, ἀλλὰ, "σπλάγχνα [c]οἰκτιρμοῦ," ἵνα φυσικὴν μιμησώμεθα φιλοστοργίαν. Ἀλλ' ἡμεῖς τἀναντία ποιοῦμεν· [d]κἂν προσέλθῃ τις αἰτῶν ὀβολὸν ἕνα, ὑβρίζομεν, λοιδοροῦμεν, [e]ἐπιθέτην καλοῦμεν. Οὐ φρίττεις, ἄνθρωπε, καὶ ἐρυθριᾷς, ἐπιθέτην ὑπὲρ ἄρτου καλῶν; Εἰ δὲ καὶ ἐπίθεσιν [f]ὁ τοιοῦτος ποιεῖ, διὰ τοῦτο καὶ ἐλεεῖσθαι [g]δίκαιος, ὅτι οὕτως ὑπὸ λιμοῦ πιέζεται, ὡς τοιοῦτον ὑποδῦναι προσωπεῖον. Καὶ τοῦτο [h]δὲ τῆς ἡμετέρας ὠμότητος ἔγκλημα. Ἐπειδὴ γὰρ εὐκόλως παρέχειν οὐκ ἀνεχόμεθα, μυρίας ἀναγκάζονται ἐπινοεῖν μηχανὰς, ὥστε ἡμῶν σοφίσασθαι E τὴν ἀπανθρωπίαν, καὶ τὴν τραχύτητα καταμαλάξαι. Ἄλλως δὲ, εἰ [i]μὲν ἀργύριον ᾔτει καὶ χρυσίον, εἶχεν ἄν σοι τὰ τῆς ὑποψίας λόγον· εἰ δὲ ὑπὲρ ἀναγκαίας σοι τροφῆς προσέρχεται, τί φιλοσοφεῖς ἀκαίρως, καὶ [k]ἀκριβολογῇ περιττὰ, ἀρ-

[33] Dan. iii. 39. [34] Esai. xxii. 4. vi. 11. [35] Col. iii. 12.

[q] ἔμενεν G. [r] βαρυτάτῃ]+ταύτῃ B. [s] δὲ om. G. [t] αὐτῶν E.H. [v] ὁ accessit ex A.B.D.E.G.H.I. Statim Ἡσαΐας (sic) G. [w] παντελῶς H. φανερῶς B.D.E.G. Veron. et Interpp. [x] ζητεῖ E.F.H.I. ζήτει (sic) G. [y] τοῦ θεοῦ A.D.E.H.I. Mox οἰκτιρμοῦ pro οἰκτιρμῶν A.B.D. [z] ὅρα E.F.H.I. [a] ἡμᾶς om. H. [b] ἐλεεῖτε B. [c] οἰκτιρμοῦ A.B.D.E.F.H. οἰκτιρμῶν Edd. [d] κἂν]+μὲν A.D.E.F.H.I. [e] ἐπιθέτας B. [f] ὁ τοιοῦτος pro οὕτως A.B.D.E.F.G.I. [g] δίκαιος, ὅτι οὕτως . . πιέζεται] δίκαιον, ὡς τοσοῦτον . . πιεζόμενον I. Ibidem ὑπὸ τοῦ λιμοῦ A.D.E.F.H. [h] δὲ accessit ex B.D.E.F.H.I. [i] μὲν]+γὰρ B.D.G. [k] ἀκριβολογῇ (—γεῖ E.) A.B.D.E.F.G.I. Edebatur ἀκριβολογεῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γίαν ἐγκαλῶν καὶ ὄκνον; Εἰ γὰρ δεῖ ταῦτα λέγειν, οὐχ ἑτέροις, ἀλλ' ἡμῖν αὐτοῖς ἐπιλέγειν δεῖ. Ὅταν [l]γοῦν τῷ θεῷ προσίῃς ἁμαρτημάτων αἰτῶν συγχώρησιν, τούτων ἀναμνήσθητι τῶν ῥημάτων, καὶ γνώσῃ ὅτι [m]δικαιότερον ταῦτα αὐτὸς ἀκούσῃ παρὰ τοῦ θεοῦ, ἢ ὁ πένης παρὰ σοῦ. Ἀλλ' ὅμως οὐδέποτε [n]ταῦτα 589
πρὸς σὲ εἶπεν ὁ θεὸς τὰ ῥήματα, οἷον, ἀπόστηθι· καὶ γὰρ ἐπιθέτης εἶ, εἰς μὲν ἐκκλησίαν [o]εἰσιὼν συνεχῶς, καὶ νόμων ἀκούων τῶν ἐμῶν, ἐν δὲ [p]ἀγορᾷ καὶ χρυσίον [q]καὶ φιλίαν καὶ ἐπιθυμίαν καὶ πάντα ἁπλῶς τῶν ἐμῶν προτιμῶν ἐπιταγμάτων· καὶ νῦν μὲν ταπεινὸς γίνῃ, μετὰ δὲ τὴν εὐχὴν [r]θρασὺς καὶ ὠμὸς καὶ ἀπάνθρωπος· [s]ἀπαλλάγηθι τοίνυν ἐντεῦθεν, [t]καὶ μηκέτι μοι πρόσιθι. Ταῦτα γὰρ, καὶ [v]τούτων πλείονα ἀκούειν ἦμεν ἄξιοι· ἀλλ' ὅμως οὐδέποτε τοιοῦτον [w]οὐδὲν ὠνείδισεν, ἀλλὰ [x]καὶ μακροθυμεῖ, καὶ [y]τὰ παρ' ἑαυτοῦ πάντα πληροῖ, καὶ πλείονα B
ὧν αἰτοῦμεν δίδωσι.

Ταῦτ' οὖν ἐννοοῦντες, λύσωμεν τὴν πενίαν τοῖς δεομένοις,
(123) κἂν ἐπίθεσιν ποιῶσι, μὴ [z]ἀκριβολογώμεθα. Τοιαύτης γὰρ [a]καὶ ἡμεῖς χρῄζομεν σωτηρίας τῆς μετὰ συγγνώμης, τῆς μετὰ φιλανθρωπίας, τῆς μετὰ [b]ἐλέου πολλοῦ. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι, τῶν καθ' ἡμᾶς ἐξεταζομένων ἀκριβῶς, [c]σωθῆναί ποτε, ἀλλ' ἀνάγκη κολασθῆναι [d]καὶ ἀπολέσθαι πάντως. Μὴ τοίνυν [e]γινώμεθα ἑτέρων πικροὶ δικασταὶ, ἵνα μὴ καὶ ἡμεῖς [f]ἀκριβεῖς ἀπαιτηθῶμεν εὐθύνας· καὶ γὰρ ἔχομεν ἁμαρτήματα συγγνώμης [g]ἁπάσης μείζονα. Ὥστε ἐκείνους [h]μᾶλλον ἐλεῶμεν τοὺς [i]τὰ C
ἀσύγγνωστα ἁμαρτάνοντας, ἵνα καὶ αὐτοὶ τοιοῦτον [k]ἑαυτοῖς προαποθώμεθα ἔλεον. Καίτοι ὅσα ἂν φιλοτιμησώμεθα, οὐδέποτε δυνησόμεθα τοιαύτην εἰσενεγκεῖν φιλανθρωπίαν, [l]οἵας χρῄζομεν ἡμεῖς παρὰ τοῦ φιλανθρώπου θεοῦ. Πῶς οὖν οὐκ

[l] οὖν E. Mox ἁμαρτιῶν G. [m] δικαιότερος E. Statim αὐτὸς om. G. Tum ἀκοῦσαι D.E. [n] ταῦτα πρὸς σὲ pro πρὸς σὲ ταῦτα B.F.G.H.I. Statim εἶπεν ὁ θ. τὰ ῥ. A.D.E.F.H.I. τὰ ῥ. εἶπεν ὁ θ. G. εἶπε τὰ ῥ. ὁ θ. Edd. [o] συνεχῶς εἰσιὼν hoc ord. A.D.E. [p] τῇ ἀγορᾷ Edd. τῇ om. A.D.E.F. G.H.I. [q] καὶ φ. καὶ ἐπ. A.D.E.F.H.I. καὶ ἐπ. καὶ φ. Edd. Mox τῶν ἐμῶν πρ. pro πρ. τῶν ἐμῶν iidem. [r] καὶ θρασὺς Edd. καὶ deest in omnibus. [s] ἀπαλλάγηθι pro ἄπιθι A.B.D.E.F.H.I. [t] καὶ om. H. μοι om. E. Statim πρόσελθε I. [v] πλείονα τούτων hoc ord. A.E.F.I. Statim ἀκούειν ἦμεν om. B. [w] οὐδὲν om. I. [x] καὶ om. A.D.E.F.H.I. [y] τὰ παρ' ἑαυτοῦ—αἰτοῦμεν] τὰ αἰτούμενα I. [z] ἀκριβολογησώμεθα A. [a] χρῄζομεν καὶ ἡμεῖς inverso ord. A.D.E.H.I. [b] ἐλέου pro ἐλέους A.D.E.F.G.I. [c] σωθῆναι] +τινα E. Mox ἀλλὰ καὶ ἀνάγκη B. [d] καὶ ἀπολέσθαι om. G. Statim πάντως pro πάντες A.B.D.E.G.H.I. [e] γενώμεθα A.D.E.H.I. Mox πικρότατοι G. Veron. [f] ἀκριβεῖς A.B.D.E.G.I. receptum a Montef. pro ἀκριβείας. [g] ἁπάσης pro πάσης A.D.E.F.G.H.I. [h] μάλιστα A.E.F.H.I. [i] τὰ om. A.D.E. [k] ἑαυτοῖς om. G. [l] οἷαν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄτοπον, [m]τοσούτων ὄντας ἐν χρείᾳ αὐτοὺς, ἀκριβολογεῖσθαι περὶ τοὺς [n]ἡμετέρους συνδούλους, καὶ καθ' [o]ἑαυτῶν ἅπαντα πράττειν; Οὐ γὰρ οὕτως ἐκεῖνον ἀνάξιον [p]ἀποφαίνεις τῆς εὐεργεσίας τῆς σῆς, ὡς [q]ἑαυτὸν τῆς τοῦ θεοῦ φιλανθρωπίας. Ὁ γὰρ [r]περὶ τὸν σύνδουλον ἀκριβολογούμενος πολλῷ μᾶλλον τὸν θεὸν ἔξει τοῦτο ποιοῦντα. Μὴ τοίνυν καθ' ἡμῶν φθεγ-
D γώμεθα, ἀλλὰ [s]κἂν δι' ἀργίαν, κἂν διὰ ῥᾳθυμίαν προσίωσιν, ἡμεῖς παρέχωμεν. Καὶ γὰρ καὶ ἡμεῖς πολλὰ διὰ ῥᾳθυμίαν ἁμαρτάνομεν, μᾶλλον δὲ ἅπαντα διὰ [t]ῥᾳθυμίαν, καὶ οὐκ ἀπαιτεῖ δίκην [v]εὐθέως ἡμᾶς ὁ θεὸς, ἀλλὰ δίδωσι προθεσμίαν μετανοίας ἡμῖν, τρέφων καθ' ἑκάστην ἡμέραν, παιδεύων, διδάσκων, τὰ ἄλλα πάντα χορηγῶν, ἵνα καὶ ἡμεῖς ζηλώσωμεν [w]αὐτοῦ τὸν ἔλεον τοῦτον. Καταλύσωμεν τοίνυν τὴν ὠμότητα ταύτην, ἐκβάλωμεν τὴν θηριωδίαν, ἅτε ἑαυτοὺς μᾶλλον ἢ ἑτέρους εὐεργετοῦντες.
E Τούτοις μὲν γὰρ ἀργύριον [x]διδόαμεν καὶ ἄρτον καὶ ἱμάτιον, ἡμῖν δὲ [y]αὐτοῖς μεγίστην προαποτιθέμεθα δόξαν, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ. Τὰ γὰρ σώματα ἄφθαρτα ἀπολαβόντες, [z]συνδοξαζόμεθα καὶ συμβασιλεύομεν τῷ Χριστῷ· τοῦτο [a]δὲ ἡλίκον ἐστὶν, [b]ἐντεῦθεν εἰσόμεθα, μᾶλλον δὲ σαφῶς μὲν οὐδαμόθεν εἰσόμεθα νῦν· ὥστε δὲ ἀπὸ τῶν παρ' ἡμῖν ἀγαθῶν [c]ἀναχθέντας μικρὰν γοῦν τινα αὐτοῦ λαβεῖν ἔννοιαν, ὡς ἂν οἷός τε ὦ, παραστῆσαι πειράσομαι τὸ εἰρημένον. Εἰπὲ γάρ μοι, εἴ τις σε γεγηρακότα καὶ ἐν πενίᾳ ζῶντα [d]ἐπηγγέλλετο ποιήσειν ἐξαίφνης νέον, καὶ εἰς αὐτὴν [e]ἄξειν τῆς ἡλικίας τὴν ἀκμὴν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ ἅπαντας [f]κατασκευάσειν,
590 καὶ [g]βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, βασιλείαν εἰρήνην ἔχουσαν βαθυτάτην, τί οὐκ ἂν ὑπὲρ ταύτης [h]εἵλου τῆς ὑποσχέσεως ποιῆσαι καὶ παθεῖν; Ἰδοὺ τοίνυν ὁ Χριστὸς οὐχὶ ταῦτα, [i]ἀλλὰ πολλῷ μείζονα τούτων ἐπαγγέλλεται.

[m] τοσοῦτον E. Mox αὐτοὺς om. G. [n] ἡμετέρους om. G. [o] ἑαυτῶν] ἑκάστην H. [p] ἀποφαίνῃ H. [q] σαυτὸν A.D.E.I. αὐτὸν H. [r] περὶ τῶν συνδούλων B. [s] Sic omnes. κἂν διὰ ῥ. κἂν δι' ἀργίαν inverso ord. Edd. [t] ῥᾳθυμίαν] κακίαν E. [v] εὐθέως ἡμᾶς pro ἡμᾶς εὐθέως A.D.E.F.G.H.I. [w] αὐτοῦ om. B. [x] δίδομεν B.D.E.F.I. [y] ἑαυτοῖς A.D.F.H.I. [z] ἵσ. συνδοξασόμεθα Sav. marg. Ita clam ediderunt Mor. Ben. repugnantibus libris. Statim συμβασιλεύομεν B.D.E.F.H.I. συμβασιλεύσομεν Edd. συμβασιλεύσομεν καὶ συνδοξασθῶμεν inverso ord. G. [a] δὲ accessit ex omnibus. [b] ἐντεῦθεν om. G. Mox νῦν om. idem. [c] ἀχθέντας G. [d] ἐπηγγείλατο B.G.I. Statim ποιήσειν (ποιῆσαι H.) ἐξαίφνης pro ἐξ. ποιήσειν A.B.E.F.G.H.I. [e] ἐξάγειν I. Mox τὴν ante ἀκμὴν assumtum ex A.B.E.F.G.H.I. [f] κατασκευάσειν A.B. κατασκενάζειν Edd. [g] βασιλέα G. Statim δοῦναι I. [h] εἵλου τῆς ὑπ. pro τῆς ὑπ. εἵλου A.D.E.F.G.H.I. ὑποθέσεως pro ὑποσχέσεως A.H.I. et ante corr. F. [i] ἀλλὰ]+καὶ G. Statim μείζονα A.D.E.F.G.H.I. μείζω Veron. Sav.

[k]Οὐ γὰρ ὅσον γήρως καὶ νεότητος [l]τὸ μέσον, τοσοῦτον φθορᾶς καὶ ἀφθαρσίας τὸ διάφορον· οὐδὲ ὅσον βασιλείας καὶ πενίας, τοσοῦτον τῆς [m]δόξης τῆς παρούσης καὶ τῆς μελλούσης, ἀλλ' ὅσον ὀνειράτων καὶ ἀληθείας. Μᾶλλον δὲ [n]οὐδὲν οὐδέπω εἴ- B
ρηκα· οὐδὲ γάρ ἐστι λόγος ἱκανὸς παραστῆσαι τὸ μέγεθος τῆς διαφορᾶς τῶν ἐσομένων πρὸς τὰ παρόντα· χρόνου δὲ [o]ἕνεκεν, οὐδὲ ἐννοῆσαι ὅλως ἔστι διαφοράν. Πῶς γὰρ ἄν τις παραβάλοι τοῖς παροῦσι ζωὴν [p]πέρας οὐκ ἔχουσαν; Τῆς δὲ εἰρήνης [q]τοσοῦτον τὸ μέσον [r]πρὸς τὴν παροῦσαν, ὅσον εἰρήνης καὶ πολέμου τὸ διάφορον· καὶ τῆς ἀφθαρσίας, ὅσον βώλου πηλίνης ὁ καθαρὸς μαργαρίτης ἀμείνων· μᾶλλον δὲ [s]ὅσον ἂν εἴπῃ τις, οὐδὲν παραστῆσαι δυνήσεται. Κἂν γὰρ τῷ τῆς ἀκτῖνος παραβάλω φωτὶ τὸ κάλλος τῶν τότε σωμάτων, κἂν ἀστραπῇ [t]τῇ φανο- C
τάτῃ, οὐδὲν οὐδέπω τῆς λαμπρότητος [v]ἐκείνης ἄξιον ἐρῶ. Ὑπὲρ [w]δὴ τούτων πόσα οὐκ ἄξιον προέσθαι καὶ χρήματα καὶ σώματα, μᾶλλον δὲ πόσας οὐκ ἄξιον προέσθαι ψυχάς; Νῦν [x]δὲ εἰ μέν τις σε εἰς βασίλεια [y]εἰσῆγε, καὶ πάντων παρόντων διαλεχθῆναί σοι παρεσκεύασε τὸν βασιλέα, καὶ ὁμοτράπεζον [z]αὐτῷ καὶ ὁμοδίαιτον ἐποίει, πάντων ἂν ἔφης [a]σαυτὸν εἶναι μακαριώτερον· εἰς δὲ τὸν οὐρανὸν μέλλων ἀναβαίνειν, καὶ παρ' αὐτὸν ἑστάναι τὸν τῶν ὅλων βασιλέα, καὶ [b]τοῖς ἀγγέλοις ἀντιλάμπειν, καὶ τῆς [c]ἀπορρήτου δόξης ἀπολαύειν ἐκείνης, [d]ἀμφιβάλλεις εἰ δεῖ προέσθαι χρήματα, δέον, εἰ καὶ τὴν ζωὴν D
αὐτὴν ἀποδύσασθαι ἔδει, σκιρτᾶν καὶ [e]ἀγάλλεσθαι καὶ πτεροῦσθαι τῇ ἡδονῇ; Σὺ δὲ ἵνα μὲν ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι [f]κλοπῶν ἀφορμάς· οὐ γὰρ ἂν εἴποιμι κέρδος τὸ
(124) τοιοῦτον ἐγώ· καὶ τὰ [g]ὄντα ἐκβάλλεις, καὶ τὰ ἑτέρων δανεισάμενος, εἰ δέοι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὑποθέσθαι [h]οὐ κατοκνεῖς· τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδένα διάδοχον ἐχούσης ἀρχῆς, καὶ τοῦ θεοῦ κελεύοντος οὐ μέρος γωνίας γῆς, ἀλλ' ὁλόκληρον λαβεῖν τὸν οὐρανὸν, οἰκεῖς καὶ ἀναδύῃ, καὶ πρὸς χρήματα κέχηνας, καὶ οὐκ ἐννοεῖς, ὅτι εἰ τὰ

[k] οὐ pro οὐδὲ A.B.D.E.F.G.H. [l] τὸ om. A.B.E.F.H.I. [m] δόξης]+ ἐκείνης G. Statim τῆς π. καὶ τῆς μ. A.B.D.E.F.H.I. τῆς μ. καὶ τῆς π. Edd. [n] οὐδὲν om. F.I. [o] ἕνεκεν om. D.E. Mox ἐνν. ὅλως ἔστι A.B.D.E.F.H.I. ἐνν. ἐστιν ὅλως G. ὅλως ἔστιν ἐνν. Edd. [p] πέρας omnes. τέλος Edd. [q] τοσοῦτον om. I. [r] πρὸς τὴν παροῦσαν om. A.D.H.I. invitis Interpp. [s] ὅσα E. Statim εἴπῃ pro εἴποι A.E.F.G.H.I. [t] τῇ om. G. φανοτάτῃ B.H. [v] ἐκείνης ἄξ. pro ἄξ. ἐκείνης omnes. [w] δὲ G.H. [x] δὲ pro μὲν A.B.D.E. F.G.I. [y] εἰσήγαγεν G. ἤγαγεν I. [z] Sic A.B.D.E.F.G.H. αὐτῷ (omissum ab I?) post ἐποίει transp. Edd. [a] ἑαυτὸν (et om. εἶναι) G. [b] Sic omnes, ἀντιλ. τοῖς ἀ. inverso ord. Edd. [c] ἀρρήτου G. [d] Vid. Annot. [e] ἀγαλλιᾶσθαι G. [f] κλοπῆς I. [g] ὄντα] ἑτέρων I. Mox καὶ δανεισάμενος ἑτερα εἰ δ. idem. [h] οὐκ οἰκεῖς G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ε πρὸς ἡμᾶς τοῦ οὐρανοῦ [i]ἐκείνου μέρη οὕτω καλὰ καὶ τερπνά, ἡλίκα τὰ [k]ἄνω, καὶ [l]ὁ τοῦ οὐρανοῦ οὐρανός; Ἀλλ' ἐπειδὴ τέως [m]σώματος ὀφθαλμοῖς ταῦτα ἰδεῖν οὐκ ἔνι, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν [n]τοῦτον στὰς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνωτέρω τούτου οὐρανὸν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ φρίκης γέμον, εἰς τοὺς τῶν ἀγγέλων δήμους, εἰς τὰ [o]στίφη τῶν ἀρχαγγέλων τὰ ἄπειρα, εἰς τὰς ἄλλας τὰς ἀσωμάτους δυνάμεις. Καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ' ἡμῖν εἰκόνος καταβὰς ἄνωθεν, καὶ ὑπόγραψον [p]τὰ περὶ τὸν βασιλέα τὸν παρ' ἡμῖν, οἷον ἄνδρας χρυσοφοροῦντας, καὶ ζεύγη λευκῶν ἡμιόνων [q]χρυσῷ
591 καλλωπιζομένων, καὶ ὀχήματα [r]λιθοκόλλητα, καὶ στρωμνὴν χιονώδη, καὶ πέταλα τοῖς ὀχήμασι περισειόμενα, καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, [s]καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀμφαλοὺς, καὶ τελαμῶνας ἐκ τούτων [t]πρὸς τὰς ἄνω ἄντυγας διὰ πολλῶν ἐκτεινομένας λίθων, καὶ ἵππους χρυσοφορουῦντας, καὶ χαλινοὺς χρυσοῦς. Ἀλλ' ὅταν τὸν βασιλέα ἴδωμεν, οὐδὲν τούτων λοιπὸν ὁρῶμεν. Ἐκεῖνος γὰρ ἡμᾶς ἐπιστρέφει μόνος, καὶ τὰ πορφυρᾶ ἱμάτια, καὶ τὸ διάδημα, καὶ ἡ καθέδρα, καὶ ἡ περόνη, καὶ τὰ ὑποδήματα, [v]ἡ πολλὴ τῆς ὄψεως
Β λαμπηδών. Ταῦτ' οὖν ἅπαντα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων [w]μετάθες πάλιν ἐπὶ τὰ ἄνω τὸν [x]λογισμὸν, καὶ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην, καθ' ἣν ὁ Χριστὸς παραγίνεται. Οὐ γὰρ ζεύγη ἡμιόνων ὄψει τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας καὶ ἀσπίδας, ἀλλ' ἃ πολλῆς γέμει φρίκης, καὶ τοσαύτην ἐμποιεῖ τὴν [y]ἔκστασιν, [z]ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς ἀσωμάτους δυνάμεις· [36] "Αἱ γὰρ δυνάμεις [a]τῶν οὐρανῶν, φησὶ, σαλευθήσονται." Τότε γὰρ [b]ἀνοίγεται μὲν ἅπας ὁ οὐρανὸς, καὶ τῶν ἀψίδων ἐκείνων ἀναπετάννυνται αἱ πύλαι, κάτεισι δὲ [c]ὁ μονο-
C γενὴς τοῦ θεοῦ παῖς, οὐκ εἴκοσιν, οὐδὲ ἑκατὸν [d]ἀνθρώπων δο-

[36] Matth. xxiv. 29.

[i] *ἐκείνου*] *τούτου* G. [k] *ἄνω*] *νῶτα* E.F.H.I. *ἀνώτατα* corr. in marg. F. [l] *ὁ τοῦ οὐνοῦ οὐνὸς*] *ὅπου ὁ υἱὸς* G. [m] *σωματικοῖς* A.D.E.F.H.I. [n] *τοῦτον* om. G. Mox *εἰς τὸ γέμον φρίκης φῶς* idem. [o] *στίφη*] *ἔθνη* B.D.E.F.H.I. (sed hic in marg. *πλήθη*). *ἔθη* G. *ἔθνη* etiam Veron. [p] *τὰ* om. H. Statim *παρὰ* B.H. [q] *χρυσίῳ* E.F.H.I. [r] *χρυσοκόλλητα* A.F.H.I. [s] Verba *καὶ ἀσπίδας*——*ὀμφαλοὺς* om. G. [t] *πρὸς τὰς* (*τὰ* G.) *ἄνω ἄντυγας*] Sic B.D.G. *πρὸς ἄντυγας* A.E.F.H.I. *πρὸς τὰς ἄντυγας ἴνω* Edd. [v] *ἡ*] *καὶ ἡ* G. [w] *μετ. πάλιν* pro *πάλιν μετ.* A.D.E.F.H.I. [x] *λόγον* G. [y] *ἔκστασιν* (*ἔβστασιν* H.) pro *ἔκπληξιν* omnes. [z] *ὡς*] *ὥστε* A.E.F.H.I. Statim *ἐκπλαγῆναι* pro *καταπλ.* A.B.D.E.F.G.I. [a] *τῶν οὐρ. φ.*] *φ. τῶν οὐρ.* A.E.F.H.I. [b] *ἀνοιγήσεται* B. Statim *μὲν* assumtum ex A.D.E.F.H.I. Deinde *ἅπας ὁ οὐρ.* A.D.F.H.I. *πᾶς ὁ οὐρ.* B.E.G. *πᾶς οὐρ.* Edd. [c] *ὁ μονογ. τ. θ.* pro *ὁ τοῦ θ. μονογ.* A.B.E.F.G.H.I. [d] *ἀνδρῶν* B.D.G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρυφορούντων αὐτὸν, [e] ἀλλὰ χιλιάδων, [f] μυριάδων ἀγγέλων, ἀρχαγγέλων, [g] τῶν Χερουβὶμ, τῶν Σεραφὶμ, τῶν ἄλλων δυνάμεων, καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστὰ, τῆς γῆς ἀναρρηγνυμένης, τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀναβαινόντων τε καὶ ἁρπαζομένων ἁπάντων, αὐτοῦ μετὰ [h] τοσαύτης φαινομένου δόξης, ὡς [i] καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ ἅπαν κρύπτεσθαι φῶς ὑπὸ τῆς αὐγῆς ἐκείνης καταλαμπόμενον. Τίς παραστήσει λόγος τὴν μακαριότητα ἐκείνην, τὴν λαμπρότητα, τὴν δόξαν; Οἴμοι ψυχή· καὶ γὰρ δακρῦσαί μοι νῦν ἔπεισι καὶ στενάξαι μέγα, D ἐννοοῦντι [k] οἵων ἐξεπέσομεν ἀγαθῶν, οἵας [l] ἀλλοτριούμεθα μακαριότητος· καὶ γὰρ ἀλλοτριούμεθα· τό γε ἐμαυτοῦ λέγω τέως· ἐὰν μή τι [m] μέγα καὶ θαυμαστὸν ἐργασώμεθα. Μὴ τοίνυν [n] μοι λεγέτω τις γέενναν ἐνταῦθα· καὶ γὰρ [o] ἀπάσης γεέννης χαλεπώτερον τὸ ταύτης ἐκπεσεῖν τῆς δόξης, [p] καὶ μυρίων κολάσεων χεῖρον τὸ τῆς λήξεως ἀλλοτριωθῆναι ἐκείνης. Ἀλλ' ὅμως ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τοῦ διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται, καὶ δίδωσι πηλὸν ἵνα ἁρπάσῃ [q] χρυσὸν, μᾶλλον δὲ ἵνα ἁρπάσῃ E τὸν οὐρανὸν, καὶ δείκνυσι σκιὰν ἵνα [r] ἐκβάλῃ τῆς ἀληθείας, καὶ ἐν ὀνείρασι φαντάζει· τοῦτο γὰρ ὁ παρὼν πλοῦτος· ἵνα ἡμέρας γενομένης πάντων ἀποδείξῃ πενεστέρους.

Ταῦτ' οὖν ἐννοήσαντες, [s] ὀψὲ γοῦν ποτε φύγωμεν τὸν δόλον, καὶ πρὸς τὰ μέλλοντα μεταστῶμεν. Οὐ γὰρ ἔστιν εἰπεῖν, ὅτι ἠγνοήσαμεν τοῦ παρόντος βίου τὸ ἐπίκηρον, τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων σάλπιγγος λαμπρότερον τὴν παροῦσαν εὐτέλειαν, τὸν γέλωτα, τὴν αἰσχύνην, τοὺς κινδύνους, τὰ βάραθρα. Ποίαν [t] οὖν ἔξομεν ἀπολογίαν, τὰ μὲν ἐπικίνδυνα καὶ αἰσχύνης γέμοντα μετὰ πολλῆς διώκοντες τῆς σπουδῆς, τὰ δὲ ἀσφαλῆ καὶ ἐνδόξους ἡμᾶς ποιοῦντα καὶ λαμπροὺς φεύ- 592
γοντες, καὶ ὅλους ἑαυτοὺς τῇ τῶν χρημάτων [v] ἐκδιδόντες τυ- (125)
ραννίδι; Καὶ γὰρ τυραννίδος ἁπάσης χαλεπωτέρα ἡ [w] τούτων δουλεία· καὶ ἴσασιν ὅσοι αὐτῆς ἀπαλλαγῆναι κατηξιώθησαν. Ἵν' οὖν καὶ ὑμεῖς μάθητε τὴν καλὴν ταύτην ἐλευθερίαν, [x] διαρρή-

[e] ἀλλὰ]+τί; I. [f] καὶ μυρ. Edd. καὶ om. A.F.G.I. [g] τῶν X. τῶν S. τῶν ἄλλων om. G. [h] τῆς τοσαύτης Edd. τῆς om. A.B.D.E.F.G.I. A.D.E.F.H.I. καὶ τὴν σ. καὶ τὸν ἥλιον Edd. [k] οἵων pro πόσων A.F.G. F.H.I. [l] ἀπαλλοτρ. A.F.H. Mox ἀπαλλοτρ. A. [m] μέγα om. G. [n] μοι om. I. [o] πάσης A.E.F.H.I. Mox ταύτης pro τοσαύτης omues. [p] καὶ accessit ex omnibus. [q] χρυσίον B. [r] ἐκβάλῃ]+τῶν οὐρανῶν καὶ I. [s] ὀψὲ γοῦν ποτε om. G. [t] οὖν om. A.F.H. [v] διδόντες G. [w] τούτων H. [x] διαρρήξαντες A.D.E.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη

ξατε τὰ δεσμὰ, ἀποπηδήσατε τῆς παγίδος· καὶ μὴ κείσθω χρυσίον ὑμῖν ἐπὶ τῆς οἰκίας, ἀλλ', ὃ μυρίων χρημάτων ἐστὶ τιμιώτερον, ἐλεημοσύνη καὶ φιλανθρωπία ἀντὶ χρυσίου. Αὕτη μὲν γὰρ παρρησίαν πρὸς τὸν θεὸν [y]ἡμῖν δίδωσιν, [z]ἐκεῖνο δὲ
B πολλὴν [a]ἡμῶν καταχέει τὴν αἰσχύνην, καὶ σφοδρὸν [b]ποιεῖ πνεῖν τὸν διάβολον καθ' ἡμῶν. Τί τοίνυν καθοπλίζεις σου τὸν ἐχθρὸν, καὶ [c]ἰσχυρότερον ποιεῖς; [d]Ὅπλισον τὴν σεαυτοῦ δεξιὰν κατ' ἐκείνου, καὶ τὸ κάλλος τῆς οἰκίας ἅπαν εἰς τὴν ψυχὴν εἰσάγαγε, καὶ τὸν πλοῦτον ἐν τῇ διανοίᾳ ἀπόθου [d]πάντα, καὶ τὸ χρυσίον ἀντὶ κιβωτίου καὶ [e]τῆς οἰκίας ὁ οὐρανὸς φυλαττέτω, καὶ πάντα ἡμεῖς [f]περιβαλώμεθα τὰ ἡμέτερα· πολὺ γὰρ τῶν τοίχων βελτίους ἡμεῖς, καὶ τοῦ ἐδάφους σεμνότεροι. Τί τοίνυν ἡμᾶς αὐτοὺς ἀφέντες, εἰς ἐκεῖνα τὴν σπουδὴν ἅπασαν [g]κενοῦμεν,
C ἅπερ ἀπιόντας οὐκ ἔνι λαβεῖν, πολλάκις δὲ οὐδὲ ἐνταῦθα μένοντας κατασχεῖν, παρὸν οὕτω πλουτεῖν, ὡς μὴ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐκεῖ φαίνεσθαι εὐπορωτάτους; Ὁ γὰρ καὶ τὰ χωρία καὶ τὰς οἰκίας καὶ τὸ χρυσίον ἐπὶ τῆς ψυχῆς [h]περιφέρων, ὅπουπερ ἂν φανῇ, μετὰ τοῦ πλούτου φαίνεται τούτου. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησίν; Ἔνι, καὶ μετὰ πλείονος εὐκολίας. Ἂν γὰρ εἰς τὸν οὐρανὸν αὐτὰ μεταθῇς διὰ τῆς τῶν πενήτων χειρὸς, ἅπαντα εἰς τὴν [i]σεαυτοῦ ψυχὴν μεταθήσεις· κἂν θάνατος ἐπέλθῃ λοιπὸν, οὐδείς [k]σε αὐτὰ ἀφαιρήσεται, ἀλλ' ἀπελεύσῃ κἀκεῖ πλουτῶν. Τοιοῦτον εἶχεν ἡ Ταβιθὰ θησαυρόν·
D διὰ τοῦτο [l]οὐχ ἡ οἰκία αὐτὴν ἐκήρυττεν, οὐδὲ οἱ τοῖχοι, [m]οὐδὲ οἱ λίθοι, οὐδὲ οἱ κίονες, ἀλλὰ σώματα χηρῶν ἐνδεδυμένα, καὶ θάκρυα ἐκχεόμενα, καὶ θάνατος δραπετεύων, καὶ [n]ζωὴ ἐπανιοῦσα. Τοιαύτας καὶ ἡμεῖς ἑαυτοῖς κατασκευάσωμεν ἀποθήκας, τοιαύτας οἰκοδομήσωμεν [o]ἑαυτοῖς οἰκίας. Οὕτω καὶ τὸν θεὸν συνεργὸν ἕξομεν, καὶ αὐτοὶ [p]αὐτοῦ συνεργοὶ ἐσόμεθα. Αὐτὸς μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε [q]τοὺς πενομένους, σὺ δὲ παραχθέντας καὶ γενομένους οὐκ [r]εἴασας διαφθαρῆναι τῷ λιμῷ καὶ τῇ λοιπῇ ταλαιπωρίᾳ, [s]θεραπεύων, διορθούμενος, [t]παντα-

[y] ἡμῖν om. G. post παρρησίαν transp. E. [z] ἐκείνη A.F. [a] ἡμῖν E.G.I. receptum a Montef. Statim καταχεῖ A.H.I. [b] πνεῖν ποιεῖ inverso ord. A.E.F.I. πνεῖν om. G. ποιεῖ post διάβολον transp. H. [c] ἰσχυρὸν G. [d] πάντα pro ἅπαντα A.E.F.G.H.I. [e] τῆς assumtum ex B.D.E.F.G.H.I. [f] περιβαλλ. H.I. [g] κενοῦμεν omnes, ut tacite edidit Montef. κινοῦμεν vulgo. [h] ἐπιφέρων G. φέρων H. [i] σεαυτοῦ pro σαυτοῦ A.D.E.H.I. Haec ἅπαντα ——μεταθήσεις desunt in G. [k] σου I. [l] οὐχ] οὐχὶ B.I. Mox ἐκήρυττεν D.E.F.G.I. ἀνεκήρυττεν Edd. [m] οὐδὲ οἱ λίθοι om. B.E. [n] ζωὴ] ψυχὴ G. Statim ἐπανθοῦσα A.H.I. et ante corr. F. [o] ἑαυτοῖς om. D.E.F.H.I. [p] αὐτοῦ] ἑαυτοῖς G. [q] τοὺς] αὐτοὺς H. [r] ἐᾷς A.F.H.I. [s] θερ. καὶ διορ. καὶ παντ. Edd. Prius καὶ om. A.E.F.H.I. posterius abest ab A.D.E.F. H.I. [t] πάντοθεν A.F. Statim ἀνεγείρων B.G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χόθεν ἀνέχων τοῦ θεοῦ τὸν ναόν· οὗ τί γένοιτ' ἂν ἴσον [v]καὶ εἰς E
ὠφελείας καὶ εἰς εὐδοξίας λόγον; Εἰ δὲ οὐδέπω [w]σαφῶς κατέ-
μαθες, πηλίκῳ σε ἐκόσμησε κόσμῳ, κελεύσας διορθοῦν πενίαν,
ἐκεῖνο λογίζου πρὸς ἑαυτόν· εἴ σοι τοσαύτην ἔδωκεν ἐξουσίαν,
ὥστε τὸν οὐρανὸν [x]δύνασθαι καταπίπτοντα ἀνορθοῦν, οὐκ ἂν
τιμὴν [y]σφόδρα σε ὑπερβαίνουσαν τὸ πρᾶγμα ἐνόμισας; Ἰδοὺ
τοίνυν μείζονός σε κατηξίωσε [z]νῦν τιμῆς. [a]Ὁ γὰρ τῶν οὐρα-
νῶν [a]ἐστιν αὐτῷ τιμιώτερον, τοῦτό σοι διορθοῦν ἐπέτρεψεν.
Ἀνθρώπου γὰρ οὐδὲν ἴσον τῶν ὁρωμένων τῷ θεῷ. Καὶ γὰρ
καὶ οὐρανὸν καὶ γῆν καὶ θάλατταν δι' ἐκεῖνον ἐποίησε· [b]καὶ
αὐτῷ μᾶλλον ἐνοικῶν εὐφραίνεται, ἢ τῷ οὐρανῷ. Ἀλλ' ὅμως
ἡμεῖς καὶ ταῦτα εἰδότες, οὐδεμίαν τῶν τοῦ θεοῦ ναῶν ἐπιμέλειαν 593
ποιούμεθα ἢ πρόνοιαν, ἀλλ' ἀφέντες αὐτοὺς ἡμελῆσθαι, ἑαυτοῖς
λαμπρὰς καὶ μεγάλας κατασκευάζομεν οἰκίας. Διὰ τοῦτο
ἔρημοι πάντων ἐσμὲν [c]ἀγαθῶν, καὶ τῶν σφόδρα πενήτων πτω-
χότεροι, ὅτι ταύτας καλλωπίζομεν τὰς οἰκίας, ἃς οὐ δυνάμεθα
λαβόντες ἐντεῦθεν ἀπελθεῖν, ἀφέντες ἐκείνας, ἃς μεθ' ἡμῶν αὐ-
τῶν [d]συμμεταθεῖναι ἔνι. Καὶ γὰρ διαλυθέντα τὰ σώματα τῶν
πενήτων ἀναστήσεται πάντως· [e]καὶ παραγαγὼν αὐτοὺς [f]τότε
ὁ ταῦτα ἐπιτάξας θεὸς, ἐπαινέσεται τοὺς [g]ἐπιμελησαμένους αὐ-
τῶν, καὶ θαυμάσεται, ὅτι μέλλοντας αὐτοὺς καταπίπτειν νῦν B
μὲν ὑπὸ λιμοῦ, νῦν δὲ [h]ὑπὸ γυμνότητος καὶ κρυμοῦ, παντὶ
[i]διορθώσαντο τρόπῳ. Ἀλλ' ὅμως καὶ τοσούτων [k]ἡμῖν προ-
κειμένων ἐπαίνων, μέλλομεν ἔτι, καὶ [l]ἀναδυόμεθα πρὸς τὴν καλὴν
ταύτην ἐπιμέλειαν. Καὶ ὁ μὲν Χριστὸς [m]οὐκ ἔχει ποῦ κατα-
λῦσαι, ἀλλὰ περιέρχεται ξένος καὶ γυμνὸς καὶ πεινῶν· σὺ δὲ
προάστεια καὶ λουτρὰ καὶ περιπάτους καὶ αὐρίους κατασκευά-
ζεις θαλάμους εἰκῇ καὶ μάτην, καὶ [n]τῷ μὲν Χριστῷ οὐδὲ μικροῦ
μεταδίδως ὀρόφου, κόραξι δὲ καὶ γυψὶν ὑπερῷα καλλωπίζεις.
Τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς παραπληξίας; τί χαλεπώτερον
(126) τῆς μανίας; καὶ γὰρ [o]μανία ταῦτα ἐσχάτη, μᾶλλον δὲ, ὅπερ C

[v] καὶ accessit ex A.D.E.F.H.I. εἰς ante εὐδοξίας assumtum ex iisdem. Pro εὐδοξίας, εὐταξίας dant A.D.E. [w] σαφῶς om. G. Mox ἡλίκῳ A.F.H.I. [x] δύνασθαι om. I. Mox ἀνορθοῦν pro διορθοῦν A.D.E.F.H.I. [y] σφ. σε ὑπερβ.] σοι σφ. ὑπερβ. G. [z] νῦν om. B.D.E.I. [a] ἐστιν αὐτῷ] αὐτῶν ἐστι A.E.F.H.I. ἐστὶν αὐτῶν B. Infra ἴσον οὐδὲν pro οὐδὲν ἴσον F.H.I. [b] καὶ ἐν αὐτῷ G. [c] τῶν ἀγαθῶν Edd. τῶν om. B.D.E.F.G.H.I. [d] συμμετατιθέναι A.E.F.I. Statim δεῖ pro ἔνι I. [e] καὶ]+γὰρ Edd. γὰρ om. A.B.D.E.F.H.I. [f] τότε om. G. Mox ἐπιδείξας pro ἐπιτάξας idem. [g] ἐπιμεληνομένους A.F.H.I. [h] ὑπὸ om. I. [i] διορθώσατο F.H. [k] προκειμένων ἡμῖν inverso ord. A.D.F.H.I. [l] ἀναδύομεν G. [m] Sic omnes. ποῦ κ. οὐκ ἔχει hoc ord. Edd. [n] τὸν μὲν Χριστὸν G. [o] μανία . . ἐσχάτη] Sic A.E.F.G.H.I. μανίας . . ἐσχάτης Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν [p]εἴπῃ τις, οὐδὲν ἄξιον ἐρεῖ. Ἀλλ' ὅμως, ἂν ἐθέλωμεν, δυνατὸν καίτοι χαλεπὴν οὖσαν τὴν νόσον ἀποκρούσασθαι, καὶ οὐ δυνατὸν μόνον, ἀλλὰ καὶ ῥᾴδιον, [q]καὶ οὐδὲ ῥᾴδιον ἁπλῶς, ἀλλὰ καὶ πολλῷ ῥᾷον ταύτης ἀπαλλαγῆναι τῆς λύμης, ἢ τῶν σωματικῶν παθῶν, ὅσῳ καὶ μείζων ὁ ἰατρός. Ἐπισπασώμεθα τοίνυν [r]αὐτὸν, καὶ παρακαλέσωμεν συνεφάψασθαι, καὶ τὰ παρ' [s]ἡμῶν συνεισενέγκωμεν, προαίρεσιν λέγω [t]καὶ προθυμίαν. Οὐδενὸς γὰρ ἑτέρου δεήσεται, [v]ἀλλ' ἂν τούτων ἐπιλάβηται [w]μόνον, D τὰ παρ' ἑαυτοῦ πάντα εἰσοίσει. Εἰσενέγκωμεν τοίνυν τὰ παρ' ἑαυτῶν, ἵνα καὶ ἐνταῦθα καθαρᾶς ἀπολαύσωμεν ὑγείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΘ.

E [1]Οἴδαμεν [a]δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ [b]εἰς ἀγαθόν.

Ἐνταῦθα [c]μοι δοκεῖ πρὸς τοὺς ἐν κινδύνοις ὄντας ἅπαν τοῦτο κεκινηκέναι τὸ χωρίον· μᾶλλον δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ μικρῷ πρὸ τούτων εἰρημένα. Καὶ γὰρ τὸ, "Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι," καὶ τὸ τὴν κτίσιν ἅπασαν στενάζειν, καὶ τὸ λέγειν, ὅτι "Τῇ ἐλπίδι ἐσώθημεν," [d]καὶ, "Δι' ὑπομονῆς ἀπεκδεχόμεθα," [e]καὶ τὸ, "Τί προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν·" ἅπαντα ταῦτα πρὸς ἐκείνους εἴρηται. Παιδεύει γὰρ αὐτοὺς μὴ ἅπερ [f]ἂν αὐτοὶ νομίσωσιν εἶναι συμφέροντα, ταῦτα
594 αἱρεῖσθαι πάντως, ἀλλ' ἅπερ ἂν τὸ πνεῦμα [g]ὑποβάλῃ. Καὶ γὰρ πολλὰ αὐτοῖς δοκοῦντα λυσιτελεῖν, ἔστιν ὅτε καὶ βλάβην ἤνεγκε πολλήν. Ἄνεσις [h]γοῦν καὶ κινδύνων ἀπαλλαγὴ, καὶ τὸ ἐν ἀδείᾳ ζῆν, ἐδόκει συμφέρον εἶναι ἐκείνοις. Καὶ τί θαυμαστὸν, εἰ ἐκείνοις, ὅπου γε καὶ αὐτῷ τῷ μακαρίῳ Παύλῳ τοῦτο οὕτως [i]ἔδοξεν ἔχειν; Ἀλλ' ὅμως ἐμάνθανεν ὕστερον, ὅτι τὰ

[1] Cap. VIII. v. 28.

[p] εἴπῃ solus G. Edebatur εἴποι. Cf. Var. Lect. ad pp. 457 B. 590 B. [q] καὶ οὐδὲ——ῥᾷον om. G. [r] αὐτὸν, καὶ π.] καὶ νῦν, αὐτὸν π. G. [s] ἡμῶν] ἑαυτῶν A.H.I. [t] καὶ om. G. [v] ἀλλ' ἂν——μόνον] ἀλλ' ἀντὶ τούτων G. [w] μόνον pro μόνων B.F.H.I. receptum a Montef. Hom. XVI. [a] δὲ] γὰρ G. [b] εἰς τὸ ἀγαθὸν A.B. Mosq. 8. [c] μοι om. A. [d] καὶ]+τὸ Edd. τὸ om. B.F.G.H.I. [e] καὶ]+ὅτι I. Mox προσευξόμεθα A.B.D.E.F. G.I. [f] ἂν om. G. Statim νομίζουσιν idem. [g] ὑποβάλλῃ H.I. [h] οὖν E.F.H.I. [i] δόξαν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐναντία τούτοις ταῦτά ἐστι τὰ συμφέροντα, καὶ μαθὼν ἔστεργεν. Ὁ γοῦν τρὶς τὸν κύριον παρακαλέσας ὥστε ἀπαλλαγῆναι κινδύνων, ἐπειδὴ ἤκουσεν αὐτοῦ λέγοντος, [2]" Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται," ἐσκίρτα λοιπὸν B
διωκόμενος, ὑβριζόμενος, τὰ ἀνήκεστα πάσχων. "Εὐδοκῶ γὰρ, φησὶν, ἐν διωγμοῖς, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις." Διὸ καὶ ἔλεγε· "Τὸ γὰρ τί [k]προσευξώμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν·" καὶ πᾶσι παρήνει τῷ πνεύματι τούτων παραχωρεῖν. Καὶ γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον σφόδρα ἡμῶν κήδεται, καὶ τῷ θεῷ τοῦτό ἐστι τὸ [l]δοκοῦν. Διὰ πάντων τοίνυν ἀλείψας αὐτοὺς, ἐπάγει καὶ τὰ σήμερον εἰρημένα, λογισμὸν κινῶν ἱκανὸν αὐτοὺς ἀνακτήσασθαι. "Οἴδαμεν γὰρ, φησὶν, ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ [m]εἰς ἀγαθόν." Ὅταν δὲ εἴπῃ, "πάντα," καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ λέγει. Κἂν [n]γὰρ θλῖψις, κἂν C
πενία, κἂν δεσμωτήρια, κἂν λιμοὶ, κἂν θάνατοι, κἂν ὁτιοῦν [o]ἕτερον ἐπίῃ, δυνατὸς ὁ θεὸς εἰς τοὐναντίον [p]πάντα ταῦτα μεταβαλεῖν· ἐπεὶ καὶ τοῦτο τῆς ἀφάτου δυνάμεως [q]αὐτοῦ, τὸ τὰ δοκοῦντα εἶναι μοχθηρὰ κοῦφά τε ἡμῖν ποιεῖν, καὶ εἰς τὴν ὑπὲρ ἡμῶν τρέπειν βοήθειαν. Διόπερ οὐκ εἶπεν, [r]ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν οὐκ ἐπέρχεταί [s]τι δεινὸν, ἀλλ' [t]ὅτι, "συνεργεῖ εἰς ἀγαθόν" τουτέστιν, ὅτι αὐτοῖς τοῖς δεινοῖς κέχρηται εἰς τὴν τῶν ἐπιβουλευομένων εὐδοκίμησιν· ὅπερ [v]πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι ἐπελθεῖν τὰ δεινὰ, ἢ καταλῦσαι [w]ἐπελθόντα. D
Τοῦτο [x]γοῦν καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου πεποίηκεν. Οὔτε γὰρ ἐκώλυσεν [y]ἐμπεσεῖν εἰς αὐτὴν, οὔτε ἐμπεσόντων τῶν ἁγίων [z]ἐκείνων, τὴν φλόγα ἔσβεσεν, [a]ἀλλ' ἀφεὶς καίεσθαι, [b]δι' αὐτῆς ταύτης θαυμαστοτέρους εἰργάσατο. Καὶ ἐπὶ τῶν ἀποστόλων δὲ τοιαῦτα ἕτερα ἐθαυματούργησε διὰ πάντων. Εἰ γὰρ ἄνθρωποι, φιλοσοφεῖν εἰδότες, δύνανται [c]φύσει πραγμάτων εἰς
(127) τὸ ἐναντίον ἀποχρήσασθαι, καὶ ἐν πενίᾳ ζῶντες τῶν [d]πλουτούντων εὐπορώτεροι φανῆναι, καὶ δι' ἀτιμίας λάμψαι· πολλῷ

[2] 2 Cor. xii. 9, 10.

[k] προσευξόμεθα A. B. D. E. I. προσεύξασθαι G. [l] δοκοῦν]+τῷ θεῷ A.F.H. [m] εἰς τὸ ἀ. B.I. [n] γὰρ om. G. [o] ἕτερον om. F.H. Statim ἐπίῃ B.G.I. ἐπείη Edd. ἐπέλθῃ Cat. [p] πάντα ταῦτα μ. A.D.E.F. μ. πάντα ταῦτα G. ταῦτα π. μ. Edd. [q] αὐτοῦ om. G. [r] ὅτι om. A.G.H. [s] τι deerat ante Montef. Habent A.B.D.E.F.I. Cat. [t] ὅτι]+καὶ Edd. καὶ om. A.D.E.F.G.I. Cat. [v] πολλῷ B.D.E.F.G. Cat. πολὺ Edd. [w] ἐλθόντα E. [x] γοῦν pro οὖν A.B.D.E.F.H.I. Statim καὶ ἐπὶ τῆς καμ. τῆς Βαβ. A.D.F.H.I. Deinde ἐποίησεν D. [y] ἐμπεσεῖν εἰς αὐτὴν (nisi ἐπελθεῖν (?) εἰς αὐτὴν H.) omnes. Edebatur ἐπελθεῖν αὐτὴν ante Montef. [z] ἐκείνων om. G. [a] ἀλλ' ἀφεὶς omnes. ἀλλὰ καὶ ἀφεὶς Edd. [b] διὰ τῆς αὐτῆς θ. H. Statim θαυμασιωτέρους G. [c] φύσεις A.G.I. Mox ἀποκρούσασθαι I. [d] πλουσίων I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μᾶλλον ὁ θεὸς ἐπὶ τῶν ἀγαπώντων αὐτὸν, καὶ ταῦτα καὶ [e]τὰ
E πολλῷ μείζονα ἐργάσεται. Ἑνὸς γὰρ δεῖ μόνου, τοῦ γνησίως
αὐτὸν ἀγαπᾶν, [f]καὶ τὰ ἄλλα πάντα ἕπεται. Ὥσπερ [g]οὖν
τούτους καὶ τὰ δοκοῦντα εἶναι βλαβερὰ ὠφελεῖ, οὕτω τοὺς οὐκ
ἀγαπῶντας αὐτὸν, καὶ τὰ ὠφελοῦντα βλάπτει. Τοῖς γοῦν
Ἰουδαίοις καὶ σημείων ἐπίδειξις, [h]καὶ διδασκαλίας φιλοσοφία,
καὶ δογμάτων ὀρθότης ἐλυμαίνετο· καὶ δι' ἐκεῖνα μὲν δαιμο-
νῶντα ἐκάλουν, διὰ δὲ ταῦτα ἀντίθεον· ὑπὲρ δὲ τῶν σημείων καὶ
[i]ἀνελεῖν ἐπεχείρουν. Ὁ μέντοι λῃστὴς σταυρούμενος, [k]προσ-
ηλούμενος, λοιδορούμενος, μυρία πάσχων δεινὰ, οὐ μόνον οὐδὲν
595 παρεβλάβη, ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν ἐκέρδανεν. Εἶδες
πῶς τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ [l]εἰς ἀγαθόν; Εἰ-
πὼν [m]τοίνυν τὸ μέγα τοῦτο ἀγαθὸν, καὶ σφόδρα τὴν ἀνθρω-
πίνην [n]ὑπερβαῖνον φύσιν, ἐπειδὴ πολλοῖς καὶ ἄπιστον τοῦτο
εἶναι [o]ἐδόκει, ἀπὸ τῶν παρελθόντων [p]αὐτὸ πιστοῦται, οὕτω
λέγων· "Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι." Σκόπει γὰρ, [q]φη-
σὶν, εὐθέως ἀπὸ τῆς κλήσεως τὸ εἰρημένον. Διὰ τί γὰρ μὴ ἐξ
ἀρχῆς πάντας ἐκάλεσεν, [r]ἢ μηδὲ αὐτὸν Παῦλον εὐθέως μετὰ τῶν
ἄλλων; [s]οὐ δοκεῖ ἡ ἀναβολὴ ἐπιζήμιος εἶναι; Ἀλλ' ὅμως ἐδεί-
B χθη διὰ τῶν πραγμάτων, ὅτι χρησίμως γέγονε. Πρόθεσιν δὲ
ἐνταῦθά φησιν, ἵνα μὴ τὸ πᾶν τῇ κλήσει [t]δῷ· ἐπεὶ οὕτως ἔμελ-
λον καὶ Ἕλληνες ἀντιλέγειν καὶ Ἰουδαῖοι. Εἰ γὰρ ἡ κλῆσις
ἤρκει μόνον, τίνος ἕνεκεν οὐ πάντες ἐσώθησαν; Διὰ [v]τοῦτό φη-
σιν, ὅτι οὐχ ἡ κλῆσις μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις τῶν καλου-
μένων τὴν σωτηρίαν εἰργάσατο. Οὐ γὰρ ἠναγκασμένη γέγονεν
ἡ κλῆσις, οὐδὲ βεβιασμένη. Πάντες γοῦν ἐκλήθησαν, ἀλλ' οὐ
πάντες [w]ὑπήκουσαν.

3 "Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος
τοῦ υἱοῦ αὐτοῦ." Εἶδες τιμῆς ὄγκον; Ὅπερ γὰρ ὁ μονογενὴς
C [x]ἦν φύσει, τοῦτο καὶ αὐτοὶ γενόνασι κατὰ χάριν. Ἀλλ' ὅμως
οὐκ ἠρκέσθη [y]τούτῳ τῷ εἰπεῖν, "συμμόρφους," ἀλλὰ καὶ ἕτερον

3 v. 29.

[e] τὰ om. G. Mox ἐργάσασθαι H. [f] καὶ πάντα τὰ ἄλλα ἕπ. B.D.G. [g] οὖν]+καὶ Edd. καὶ deest in omnibus. [h] Edebatur inverso ord. καὶ δογ. ὀρθ. ἐλυμαίνετο, καὶ διδ. φιλ. Nobiscum stant A.D.F.G.H.I. καὶ φιλοσοφίας διδασκαλία G. [i] ἀνελεῖν A.D.F.H.I. ἀναιρεῖν Edd. [k] προσηλ. om. A. λοιδορ. om. I. λοιδορ. προσηλ. inverso ord. D.E.H. [l] εἰς τὸ ἀκεῖ. B. [m] τοίνυν] γὰρ E. [n] ὑπερβ. φύσιν pro φύσιν ὑπερβ. omnes. [o] δοκεῖ G. Veron. [p] αὐτῶν I. [q] φησὶν accessit ex A.D.E.F.G.H.I. [r] ἢ assumtum ex A.B.D.E.F.H.I. Cat. Mox εὐθέως μ. τ. ἀ. pro μ. τ. ἀ. εὐθέως omnes. [s] οὐ (οὖ I.) δοκεῖ] Sic B.D.E.F.G.H.I. Cat. οὐ ἐδόκει Edd. [t] δῷς F.H.I. [v] ταῦτα B.D.E.H.I. [w] ἤκουσαν A.H.I. [x] ἦν om. G. [y] τούτῳ om. A.D.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσέθηκεν· "Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον." Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ μετὰ [z]τοῦτον πάλιν ἕτερον ἐπάγει, λέγων· "Ἐν πολλοῖς ἀδελφοῖς·" διὰ πάντων σαφῆ τὴν [a]συγγένειαν ἐπιδείξαι βουλόμενος. Ταῦτα [b]δὲ πάντα περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε· κατὰ γὰρ τὴν θεότητα μονογενής. Εἶδες [c]πόσα ἡμῖν ἐχαρίσατο; Μὴ τοίνυν ἀμφίβαλλε περὶ τῶν μελλόντων. Καὶ γὰρ [d]καὶ ἑτέρωθεν δείκνυσιν αὐτοῦ τὴν κηδεμονίαν, τῷ λέγειν ἄνωθεν αὐτὰ προτετυπῶσθαι οὕτως. D "Ἄνθρωποι [e]μὲν γὰρ ἀπὸ τῶν πραγμάτων τὰς ὑπὲρ αὐτῶν γνώμας λαμβάνουσι, τῷ [f]δὲ θεῷ πάλαι ταῦτα ἔδοξε, καὶ ἄνωθεν πρὸς [g]ἡμᾶς διέκειτο, φησίν. [4] "[h]Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ [i]ἐδικαίωσε·" διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. "Οὓς δὲ ἐδικαίωσε, τούτους καὶ [k]ἐδόξασε·" διὰ τῆς χάριτος, διὰ τῆς υἱοθεσίας. [5] "Τί οὖν ἐροῦμεν πρὸς ταῦτα;" [l]Ὡς ἂν εἰ εἴποι, μὴ τοίνυν λέγε μοι λοιπὸν περὶ τῶν κινδύνων, καὶ τῆς παρὰ πάντων ἐπιβουλῆς. Εἰ γὰρ καὶ τοῖς μέλλουσί τινες διαπιστοῦσιν, ἀλλὰ πρὸς τὰ ἤδη γεγενημένα ἀγαθὰ οὐδὲν ἂν ἔχοιεν εἰπεῖν· οἷον, τὴν ἄνωθεν τοῦ θεοῦ πρὸς σὲ φιλίαν, τὴν δικαίωσιν, τὴν δόξαν. Καὶ γὰρ [m]καὶ E ταῦτά σοι διὰ τῶν δοκούντων εἶναι λυπηρῶν ἐχαρίσατο· καὶ ὅπερ ἐνόμιζες [n]αἰσχύνης εἶναι, τὸν σταυρὸν, τὰς μάστιγας, τὰ δεσμὰ, ταῦτά ἐστιν ἃ τὴν οἰκουμένην κατώρθωσεν ἅπασαν. Ὥσπερ οὖν οἷς αὐτὸς ἔπαθε, καίτοιγε σκυθρωποῖς εἶναι [o]δοκοῦσι, τούτοις εἰς ἐλευθερίαν καὶ σωτηρίαν τῆς φύσεως ἀπεχρήσατο πάσης· οὕτω καὶ [p]ἐν οἷς αὐτὸς ὑπομένεις ποιεῖν εἴωθεν, εἰς δόξαν σου καὶ εὐδοκίμησιν τοῖς σοῖς ἀποχρώμενος πάθεσιν. "Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;" Τίς γὰρ [q]οὐ καθ' ἡμῶν, φησί; Καὶ γὰρ ἡ οἰκουμένη καθ' ἡμῶν, καὶ τύραννοι καὶ δῆμοι καὶ συγγενεῖς καὶ πολῖται. Ἀλλ' ὅμως οὗτοι οἱ καθ' ἡμῶν 596
(128) τοσοῦτον ἀπέχουσιν ἐπηρεάζειν ἡμῖν, ὅτι καὶ ἄκοντες στεφάνων

[4] v. 30. [5] v. 31.

[z] τοῦτο G. Statim πάλιν om. A.E. [a] εὐγένειαν A.D.E.F.H.I. Alterum tuetur Cat. [b] δὲ πάντα om. G. [c] ὅσα B.E.G. [d] καὶ om. G. [e] μὲν accessit ex B.D.E.F.H.I. Cat. [f] δὲ om. G. [g] ἡμᾶς]+οὕτω B.D. Statim edebatur διέκειτο. φησὶν οὖν, οὓς δέ. Sed οὖν deest in omnibus. [h] οὓς δὲ ——τούτους καὶ ἐδικαίωσε] Sic A.B.D.E.F.H. Nec aliter I. nisi quod pro ἐκάλεσε bis habet ἐδικαίωσε, et vice versa ἐκάλεσε pro ἐδικαίωσε. In Editis legitur cum uno Cod. G. οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. [i] ἐδικαίωσεν]+ἐδικαίωσε Edd. ἐδικαίωσε om. A.F.G.H.I. [k] ἐδόξασεν]+ἐδόξασε Edd. ἐδόξασε om. A.F.G.H.I. Statim διὰ τῶν χαρισμάτων B.G. Veron. [l] ὡς ἂν εἰ εἴποι] ὡσανεὶ τοῦτο λέγει D.E. εἰ, quod aberat, etiam invitis libris recepimus. [m] καὶ accessit ex D.F.G.H.I. et corr. B. [n] αἰσχύνης D.E.F.G.H.I. Cat. αἰσχύνην Edd. [o] δοκοῦσι τούτοις, ἐλευθ. κ. σ. τ. φ. ἀπεχαρίσατο π. G. [p] ἐν] ἐφ' A.F.H.I. Cat. [q] οὐ] ὁ G. ὃ (sic) H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῖν αἴτιοι γίνονται, καὶ μυρίων ἀγαθῶν πρόξενοι, τῆς τοῦ θεοῦ σοφίας τὰς ἐπιβουλὰς εἰς τὴν ἡμετέραν [r]σωτηρίαν τρεπούσης καὶ δόξαν. Ὁρᾷς πῶς οὐδεὶς καθ' ἡμῶν; Καὶ γὰρ τὸν Ἰὼβ τοῦτο λαμπρότερον ἐποίησε, τὸ ὁπλισθῆναι κατ' αὐτοῦ τὸν διάβολον. Καὶ γὰρ καὶ φίλους κατ' αὐτοῦ, καὶ γυναῖκα κατ' αὐτοῦ, καὶ τραύματα καὶ οἰκέτας καὶ μυρία ἕτερα ὁ διάβολος ἐκίνησε μηχανήματα· καὶ οὐδὲν [s]ὅλως κατ' αὐτοῦ γέγονε. Καὶ
B οὔπω τοῦτο [t]αὐτῷ μέγα, καίτοι [v]σφόδρα μέγα ὄν, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, ὅτι καὶ ὑπὲρ αὐτοῦ πάντα ἐξέβη. Ἐπειδὴ γὰρ ὁ θεὸς ἦν ὑπὲρ αὐτοῦ, καὶ τὰ κατ' αὐτοῦ δοκοῦντα εἶναι, ὑπὲρ αὐτοῦ πάντα [w]ἐγίνετο. [x]Τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων συνέβη. Καὶ γὰρ καὶ [y]οἱ Ἰουδαῖοι καὶ οἱ ἐξ ἐθνῶν καὶ οἱ ψευδάδελφοι, [z]καὶ ἄρχοντες καὶ δῆμοι, καὶ λιμοὶ καὶ [a]πενία, καὶ μυρία κατ' αὐτῶν ἦν· [b]ἀλλ' οὐδὲν κατ' αὐτῶν. Τὰ γὰρ μάλιστα ποιήσαντα αὐτοὺς λαμπροὺς καὶ περιφανεῖς, καὶ παρὰ θεῷ καὶ παρὰ ἀνθρώποις [c]μεγάλους, ταῦτά ἐστιν. Ἐννόησον οὖν ἡλίκον ἐφθέγξατο ῥῆμα ὁ Παῦλος περὶ τῶν πιστῶν καὶ
C ἀκριβῶς ἐσταυρωμένων, ὃ [d]μηδ' ὁ τὸ διάδημα περικείμενος δύναιτ' ἂν ἔχειν. Κατὰ γὰρ ἐκείνου πολλοὶ [e]καὶ βάρβαροι καθοπλιζόμενοι, καὶ πολέμιοι ἐπιόντες, καὶ σωματοφύλακες ἐπιβουλεύοντες, καὶ τῶν ἀρχομένων πολλοὶ πολλάκις ἐπανιστάμενοι συνεχῶς, καὶ ἕτερα μυρία· κατὰ δὲ τοῦ πιστοῦ [f]καὶ τοῖς τοῦ θεοῦ νόμοις προσέχοντος ἀκριβῶς, οὐκ ἄνθρωπος, οὐ δαίμων, οὐκ ἄλλο οὐδὲν [g]στῆναι δυνήσεται. Ἂν τε γὰρ χρήματα [h]ἀφέλῃς, μισθὸν αὐτῷ προεξένησας· ἄν τε κακῶς εἴπῃς, διὰ τῆς δυσφημίας λαμπρότερον ἐποίησας παρὰ τῷ θεῷ· ἄν τε
D εἰς λιμὸν ἐμβάλῃς, [i]πλείων ἡ δόξα καὶ [k]ἡ ἀντίδοσις· ἄν τε, ὃ πάντων [l]δοκεῖ χαλεπώτερον εἶναι, θανάτῳ παραδῷς, μαρτυρίου στέφανον ἔπλεξας. Τί τοίνυν [m]ἴσον τοῦ βίου τούτου γένοιτ' ἄν, ὅταν μηδὲν κατ' αὐτοῦ [n]γίνεσθαι δύνηται, ἀλλὰ καὶ αὐτοὶ οἱ δοκοῦντες ἐπιβουλεύειν, τῶν [o]εὐεργετούντων οὐκ ἔλαττον

[r] σωτηρ. τρεπούσης κ. δ.] Hoc ord. A.B.D.E.I. τρεπούσης σωτηρ. κ. δ. F.G.H. Cat. σωτηρ. καὶ δ. τρεπούσης Edd. [s] ὅλως G. Veron. ὅμως vulgo. [t] αὐτὸ H. [v] σφόδρα accessit ex omnibus. [w] ἐγίνετο pro ἐγένετο omnes. [x] τοῦτο]+γὰρ H. [y] οἱ assumtum ex A.D.E.F.G.I. [z] καὶ οἱ ἄρχ. καὶ οἱ δ. Edd. οἱ utrobique om. A.D.E.F.G.H.I. [a] πενία A.E.F.G.H.I. πενίαι Edd. [b] ἀλλ' οὐδὲν pro καὶ οὐδὲν A.B.D.E.F.H.I. Verba ἦν· καὶ οὐδὲν κατ' αὐτῶν om. G. suppleta a corr. [c] μεγάλους omnes. ἐπαινετοὺς Edd. [d] μηδὲ ὁ A.D.E. [e] καὶ om. A.E.F.H.I. [f] Sic libri omnes. καὶ προσέχ. ἀκρ. τοῖς τ. θ. νόμοις hoc ord. Edd. [g] στῆναι B.G. στῆσαι Veron. ἀντιστῆναι ceteri. [h] ἀφέλῃ F. [i] πλεῖων E.H. [k] ἡ om. I. [l] δοκεῖ χ. εἶναι omnes. χ. εἶναι δοκεῖ Edd. [m] τοῦ β. τούτου ἴσον inverso ord. A.D.G. [n] γίνεσθαι D.E.F.G.H. γενέσθαι Edd. [o] εὐεργετούντων]+[αὐτῶν] Sav. Mor. et sine uncis Ben. αὐτῶν om. A.D.E.F.H.I. Mox αὐτὸν om. B.G. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν ὠφελῶσι; Διὰ τοῦτό φησιν· "Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, [p]τίς καθ' ἡμῶν."

Εἶτα, οὐκ ἀρκεσθεὶς τοῖς εἰρημένοις, τὸ μέγιστον σημεῖον τῆς περὶ ἡμᾶς ἀγάπης, καὶ ὃ συνεχῶς ἀεὶ περιστρέφει, τοῦτο καὶ ἐνταῦθα τίθησι, τὴν σφαγὴν τοῦ παιδός. Οὐ γὰρ [q]ἐδικαίωσε μόνον, φησὶ, καὶ ἐδόξασε, καὶ συμμόρφους ἐποίησε τῆς εἰκόνος ἐκείνης, ἀλλ' οὐδὲ τοῦ παιδὸς ἐφείσατο διὰ σέ. Διὸ καὶ Ε ἐπήγαγε [r]λέγων· [6] "Ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν [s]χαρίσεται;" Καὶ μεθ' ὑπερβολῆς καὶ πολλῆς τῆς θερμότητος [t]ταῖς λέξεσι κέχρηται, ἵνα ἐνδείξηται αὐτοῦ τὴν ἀγάπην. Πῶς οὖν ἡμᾶς προήσεται, ὑπὲρ ὧν τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν [v]πάντων παρέδωκεν αὐτόν; Ἐννόησον γὰρ [w]ὅσης ἀγαθότητος τὸ καὶ τοῦ ἰδίου υἱοῦ μὴ φείσασθαι, ἀλλὰ καὶ ἐκδοῦναι, καὶ ὑπὲρ [x]πάντων ἐκδοῦναι, καὶ εὐτελῶν καὶ ἀγνωμόνων καὶ ἐχθρῶν καὶ βλασφήμων. "Πῶς οὖν οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;" [a]Ὁ δὲ λέγει, [y]τοιοῦτόν ἐστιν· εἰ τὸν υἱὸν αὐτοῦ ἐχαρίσατο, καὶ οὐχ ἁπλῶς ἐχαρίσατο, ἀλλὰ καὶ 597
σφαγῇ παρέδωκε, τί λοιπὸν [z]περὶ τῶν ἄλλων ἀμφιβάλλεις, τὸν δεσπότην λαβών; τί διστάζεις [a]περὶ τῶν κτημάτων, τὸν κύριον ἔχων; Ὁ γὰρ τὸ μεῖζον τοῖς ἐχθροῖς δεδωκὼς, πῶς [b]τὰ ἐλάττονα οὐ δώσει τοῖς φίλοις; [7] "Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ;" [c]Ἐνταῦθα πρὸς τοὺς λέγοντας ὅτι οὐδὲν ἡ πίστις ὠφελεῖ, καὶ ἀπιστοῦντας τῇ ἀθρόᾳ μεταβολῇ. Καὶ ὅρα πῶς ταχέως αὐτοὺς [d]ἐπεστόμισεν ἀπὸ τοῦ ἀξιώματος τοῦ ἐκλεξαμέ- Β
νου. Καὶ οὐκ εἶπε, τίς ἐγκαλέσει κατὰ τῶν δούλων τοῦ θεοῦ, οὐδὲ, κατὰ τῶν πιστῶν τοῦ θεοῦ, ἀλλὰ, "κατὰ τῶν ἐκλεκτῶν τοῦ θεοῦ" ἡ γὰρ ἐκλογὴ ἀρετῆς σημεῖόν ἐστιν. Εἰ γὰρ ἐπειδὰν πωλοδάμνης πῶλους [e]ἐκλέξηται ἐπιτηδείους πρὸς τὸν δρόμον, οὐδεὶς ἐπισκῆψαι δυνήσεται, ἀλλὰ καταγέλαστος γίνεται, κἂν ἐγκαλέσῃ τις· πολλῷ μᾶλλον ὅταν ὁ θεὸς [f]ἐκλέγηται ψυχὰς, καταγέλαστοι οἱ ἐγκαλοῦντες. "Θεὸς ὁ δικαιῶν, [8]τίς ὁ κατα-

[6] v. 32. [7] v. 33. [8] v. 34.

[p] τίς]+ὁ G. [q] ἐδικ. μόνον φ.] Sic A.D.E.F.H.I. Cat. φησιν ἐδικ. μόνον G. ἐδικ. φ. μόνον Edd. [r] λέγων om. B.G. [s] χαρίσηται bis F.H.I. [t] ταῖς om. G. Mox ἐνδείξ. αὐτοῦ pro αὐτοῦ ἐνδείξ. A.D.E.G.H.I. Cat. [v] πάντων παρ. αὐτὸν pro παρ. αὐτὸν πάντων A.D.F.G.H.I. Cat. [w] ὅσης omnes. πόσης Edd. ὅσης ἦν ἀγαθ. G. [x] ἁπάντων G. Mox καὶ βλασφήμων om. idem. [y] τοῦτο vel τοῦτ' A.D.E.F.I. [z] ὑπὲρ F.I. Cat. [a] ὑπὲρ A.F.H.I. Cat. Mox τὸν κ. ἔχων om. G. [b] τὸ ἔλαττον A.E.F.H.I. [c] ἐνταῦθα] ταῦτα Cat. Post μεταβολῇ addunt ἀποδύεται D.E. [d] ἐπετίμησεν I. [e] ἐκλέξηται A.B.D.E.F.G.I. Ante Montef. edebatur ἐκλέξεται. Statim πρὸς τὸν δ. ἐπιτηδείους inverso ord. A.D.E.F.H. Cat. [f] ἐκλέξηται I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρίνων;" Οὐκ εἶπε, θεὸς ὁ ἀφεὶς ἁμαρτήματα, ἀλλ', ὃ πολλῷ (129)
C μεῖζον ἦν, "Θεὸς ὁ [g]δικαιῶν." Ὅταν γὰρ ἡ τοῦ δικαστοῦ ψῆφος δίκαιον [h]ἀποφήνῃ, καὶ δικαστοῦ τοιούτου, τίνος ἄξιος ὁ κατηγορῶν; Οὐκοῦν οὔτε τοὺς πειρασμοὺς φοβεῖσθαι δίκαιον· ὑπὲρ γὰρ ἡμῶν ἐστιν ὁ θεὸς, καὶ ἐδήλωσεν ἐξ ὧν ἐποίησεν· οὔτε τὰς φλυαρίας τὰς Ἰουδαϊκάς· καὶ γὰρ [i]καὶ ἐξελέξατο ἡμᾶς καὶ ἐδικαίωσε, καὶ τὸ δὴ θαυμαστὸν, ὅτι [k]καὶ διὰ τῆς σφαγῆς τοῦ παιδὸς ἐδικαίωσε. Τίς οὖν ἡμᾶς καταδικάσει, τοῦ θεοῦ στεφανοῦντος, τοῦ Χριστοῦ δι' ἡμᾶς σφαγέντος, καὶ οὐ σφαγέντος μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα ἐντυγχάνοντος ὑπὲρ ἡμῶν; "Χριστὸς [l]γὰρ, φησὶν, ὁ ἀποθανὼν, μᾶλλον δὲ [m]καὶ ἐγερθεὶς ἐκ
D νεκρῶν, [n]ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν." Καὶ γὰρ ἐπὶ τῆς οἰκείας ἀξίας φανεὶς, οὐ κατέλυσε τὴν ὑπὲρ ἡμῶν πρόνοιαν, ἀλλὰ καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ [o]ἔτι τὴν αὐτὴν ἀγάπην μένει διατηρῶν. [p]Οὐδὲ γὰρ ἠρκέσθη τῇ σφαγῇ μόνον· ὅπερ μεγίστου μάλιστά ἐστι φίλτρου, τὸ μὴ μόνον τὰ εἰς αὐτὸν ἥκοντα ποιεῖν, ἀλλὰ καὶ ἕτερον ὑπὲρ τούτου παρακαλεῖν. Τοῦτο γὰρ μόνον διὰ τοῦ ἐντυγχάνειν δηλῶσαι ἐβουλήθη, [q]ἀνθρωπικώτερον διαλεχθεὶς καὶ συγκαταβατικώτερον, ἵνα τὴν ἀγάπην ἐνδείξηται· ἐπεὶ καὶ τὸ, "οὐκ ἐφείσατο," ἐὰν μὴ [r]μετὰ ταύτης ἐκλάβωμεν τῆς ἐννοίας, πολλὰ τὰ
E ἄτοπα ἕψεται. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ὃ κατασκευάσαι βούλεται, πρότερον εἰπὼν, ὅτι "ἐστὶν ἐν δεξιᾷ," τότε ἐπήγαγεν, [s]ὅτι "ἐντυγχάνει ὑπὲρ ἡμῶν," [t]ὅτε τὴν ὁμοτιμίαν ἔδειξε καὶ τὴν ἰσότητα, ἵνα λοιπὸν τὸ ἐντυγχάνειν [v]μὴ ἐλαττώσεως, ἀλλ' [w]ἀγάπης φαίνηται μόνης ὄν. Ὁ γὰρ [x]αὐτοζωὴ ὢν καὶ πηγὴ τῶν ἀγαθῶν ἁπάντων, καὶ μετ' ἐξουσίας τῆς αὐτῆς τῷ πατρὶ καὶ νεκροὺς ἐγείρων, καὶ ζωοποιῶν, [y]καὶ τὰ ἄλλα πάντα ποιῶν, πῶς ἂν ἐντεύξεως ἐδεήθη εἰς τὸ ὠφελῆσαι ἡμᾶς; Ὁ ἀπεγνωσμένους καὶ καταδεδικασμένους ἐξ οἰκείας ἐξουσίας καὶ τῆς καταδίκης ἐκείνης ἀπαλλάξας, καὶ δικαίους καὶ υἱοὺς ποιήσας, καὶ πρὸς τὰς ἀνωτάτω τιμὰς [z]ἀγαγὼν, καὶ τὰ μηδέποτε ἐλπισθέντα εἰς ἔργον ἀγαγὼν, πῶς ἂν μετὰ τὸ κατορθῶσαι πάντα, καὶ τὴν
598 φύσιν τὴν ἡμετέραν [a]δεῖξαι ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ, πρὸς

[g] δικαιῶν]+τίς ὁ κατακρίνων; I. [h] ἀποφαίνῃ G. [i] καὶ om. A.I. [k] καὶ accessit ex omnibus. [l] γὰρ assumtum ex omnibus. Χριστὸς Ἰησοῦς γὰρ, φησὶν G. [m] καὶ om. G. Statim ἐκ νεκρῶν om. F.H.I. [n] ὃς]+καὶ A.D.E.F.H.I. Mosqq. [o] ἔτι om. A.F.H.I. [p] οὐδὲ pro οὐ A.B.D. E.F.G.H. Cat. [q] ἀνθρωπικώτερον A.E.F.H.I. Cat. ἀνθρώπινον G. ἀνθρωπινώτερον Edd. [r] μετ' αὐτῆς A.F.H.I. μετὰ τοιαύτης D.E. [s] ὅτι]+καὶ I. [t] ὅτε pro ὅτι D.E.F.G.H.I. Cat. [v] μὴ pro οὐκ A.B.D.E.F.G.H. Cat. [w] ἀγαπήσεως B.D.G. Veron. Mox ὂν om. G. [x] αὐτοζωὴ] Sic D. Cat. αὐτὸς ζωὴ vulgo. [y] καὶ—ποιῶν om. G. [z] ἀναγαγὼν G. καλέσας D.E. [a] δεῖξαι F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ εὐκολώτερα ἐντυχίας ἐδεῖτο; Ὁρᾷς πῶς πανταχόθεν δείκνυται, ὅτι τὸ ἐντυγχάνειν δι' οὐδὲν ἕτερον εἴρηκεν, ἀλλ' ἵνα τὸ θερμὸν καὶ ἀκμάζον τῆς περὶ ἡμᾶς ἀγάπης [b]ἐνδείξηται; Ἐπεὶ καὶ ὁ πατὴρ φαίνεται παρακαλῶν ἀνθρώπους καταλλαγῆναι αὐτῷ. [9] "Ὑπὲρ [c]Χριστοῦ γὰρ πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν." Ἀλλ' ὅμως καὶ θεοῦ παρακαλοῦντος, καὶ ἀνθρώπων [d]ὑπὲρ Χριστοῦ πρεσβευομένων [e]πρὸς ἀνθρώπους, οὐδὲν [f]ἀνάξιον ἐννοοῦμεν ἐντεῦθεν τῆς ἀξίας ἐκείνης, ἀλλ' ἓν μόνον ἐκ τῶν εἰρημένων ἁπάντων συλλέγομεν, τὴν τῆς ἀγάπης ἐπίτασιν. Τοῦτο [g]δὴ καὶ ἐνταῦθα ποιῶμεν. Εἰ τοίνυν καὶ τὸ B πνεῦμα [h]ἐντυγχάνει στεναγμοῖς ἀλαλήτοις, καὶ ὁ [i]Χριστὸς ἀπέθανε καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, καὶ ὁ πατὴρ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο διὰ σὲ, καὶ [k]ἐξελέξατό σε καὶ ἐδικαίωσε, τί λοιπὸν δέδοικας; τί [l]δὲ τρέμεις, τοσαύτης ἀπολαύων ἀγάπης, καὶ τοσαύτης κηδεμονίας; Διὰ δὴ τοῦτο, δείξας πολλὴν τὴν ἄνωθεν πρόνοιαν, μετὰ παρρησίας [m]λοιπὸν ἐπάγει τὰ ἑξῆς· καὶ οὐ λέγει, ὅτι ὀφείλετε καὶ ὑμεῖς οὕτως αὐτὸν ἀγαπᾶν, ἀλλ', ὥσπερ ἔνθους γενόμενος [n]ὑπὸ τῆς ἀφάτου [o]ταύτης προνοίας, φησί· [10] "Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;" Καὶ οὐκ C εἶπε, [p]τοῦ θεοῦ· οὕτως ἀδιάφορον αὐτῷ καὶ Χριστὸν καὶ θεὸν ὀνομάζειν. "Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;" Ὅρα τοῦ μακαρίου Παύλου σύνεσιν. Οὐ γὰρ εἶπε ταῦτα οἷς καθ' ἡμέραν ἁλισκόμεθα, χρημάτων ἔρωτα καὶ δόξης ἐπιθυμίαν καὶ ὀργῆς τυραννίδα, ἀλλὰ [q]ἃ πολλῷ τούτων ἐστὶ τυραννικώτερα, καὶ τὴν φύσιν αὐτὴν ἱκανὰ βιάσασθαι, καὶ διανοίας στερρότητα ἀναμοχλεῦσαι πολλάκις καὶ ἀκόντων ἡμῶν, ταῦτα τίθησι, θλίψεις καὶ στενοχωρίας. Εἰ γὰρ καὶ εὐαρίθμητα τὰ εἰρημένα, ἀλλὰ μυρίους ἔχει πειρασμῶν ὁρμαθοὺς ἑκάστη λέξις. Ὅταν γὰρ εἴπῃ θλῖψιν, D (130) καὶ δεσμωτήρια λέγει, καὶ δεσμὰ, καὶ συκοφαντίας, [r]καὶ ἐξο-

[9] 2 Cor. v. 20. [10] v. 35.

[b] ἐπιδείξηται A.B.E.F.G.I. Vulgatum tuetur Cat. [c] Χριστοῦ γὰρ pro γὰρ Χριστοῦ A.D.E.F.H.I. Cat. [d] ὑπὲρ] ὑπὸ Veron. Sav. Mor. ἴσ. ὑπὲρ Sav. marg. ὑπὲρ est in nostris omnibus et Cat. [e] πρὸς ἀνθ.] καὶ πρὸς ἀνθ. A.H.I. πρὸς τὸν πατέρα G. Verba desunt in Cat. [f] ἄξιον H. [g] δὴ A.B.D.E.F.G.H. Cat. δὲ Veron. Sav. Mor. [h] ἐντυγχ. B.D.E.G. Cat. ὑπερεντυγχ. Edd. [i] Χριστὸς]+καὶ B.D. Mox ὑπερεντυγχ. A.F.H. Cat. Verba καὶ ὁ Χριστὸς——ὑπὲρ ἡμῶν om. G. [k] ἐδέξατο G. [l] δὲ om. H. [m] ἐπάγει λοιπὸν inverso ord. A.D.E.F.H.I. [n] ὑπὸ A.B.D.E.F.I. Cat. ἀπὸ H. Ante Montef. edebatur ὑπέρ. [o] ταύτης πρ.] πρ. ταύτης G. προνοίας, ταῦτα I. [p] τοῦ] ἀπὸ τοῦ I. Haec καὶ οὐκ εἶπε——ὀνομάζειν desunt in G. [q] ἃ om. E.H. [r] καὶ ταλαιπωρίας καὶ τὰς ἄλλας ἐξορίας ἁπάσας A.H.I. Cat. καὶ ἐξορίας καὶ ἐπηρείας καὶ τὰς ἄλ. ταλαιπ. ἁπ. D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίας, καὶ τὰς ἄλλας ταλαιπωρίας ἁπάσας, ἐνὶ ῥήματι πέλαγος κινδύνων διατρέχων [s]ἄπειρον, καὶ πάντα ἁπλῶς τὰ ἐν ἀνθρώποις δεινὰ διὰ μιᾶς ἡμῖν ἐμφαίνων λέξεως. Ἀλλ' ὅμως πάντων [t]αὐτῶν κατατολμᾷ. Διὸ καὶ κατὰ ἐρώτησιν [v]αὐτὰ προάγει, ὡς ἀναντίρρητον ὄν, ὅτι τὸν οὕτως ἀγαπηθέντα, καὶ τοσαύτης ἀπολαύσαντα προνοίας, οὐδέν ἐστιν ὃ διαστῆσαι δυνήσεται.

E Εἶτα, ἵνα μὴ δόξῃ ταῦτα ἐγκαταλείψεως εἶναι, καὶ τὸν προφήτην ἐπάγει προαναφωνοῦντα [w]αὐτὰ πρὸ πολλοῦ τοῦ χρόνου, [x]καὶ λέγοντα· ΙΙ "Ὅτι [y]ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·" τουτέστι, πᾶσίν ἐσμεν προκείμενοι εἰς τὸ πάσχειν κακῶς. Ἀλλ' ὅμως πρὸς τοὺς τοσούτους καὶ τηλικούτους [z]κινδύνους, καὶ τὰς καινὰς ταύτας τραγῳδίας, ἀρκοῦσα παράκλησις ἡ τῶν [a]ἀγώνων ἡμῖν ὑπόθεσις [b]δέδοται· μᾶλλον δὲ οὐκ ἀρκοῦσα μόνον, ἀλλὰ καὶ πολλῷ [c]πλείων. Οὐ γὰρ δι' ἀνθρώπους οὐδὲ δι' ἄλλο τι βιωτικὸν ταῦτα πάσχομεν, ἀλλὰ διὰ τὸν τῶν ὅλων [d]βασιλέα, φησίν. Οὐ τούτῳ δὲ μόνον αὐτοὺς, ἀλλὰ καὶ ἑτέρῳ πάλιν [e]ἀνέδησε
599 στεφάνῳ ποικίλῳ καὶ πολυειδεῖ. Ἐπειδὴ γὰρ ἀνθρώπους ὄντας οὐκ ἐνῆν μυρίους ὑπομεῖναι θανάτους, δείκνυσιν ὅτι οὐδὲν [f]ταύτῃ τὰ βραβεῖα ἠλάττωται. Κἂν γὰρ τῇ φύσει κεκληρωμένον ᾖ τὸ μόνον ἅπαξ ἀποθανεῖν, τῇ προαιρέσει τὸ καθ' ἡμέραν τοῦτο πάσχειν, εἰ [g]βουληθείημεν, δέδωκεν ὁ θεός. Ὅθεν δῆλον, ὅτι τοσούτους ἀπελευσόμεθα ἔχοντες στεφάνους, ὅσας ἂν βιώσωμεν ἡμέρας· μᾶλλον δὲ καὶ πολλῷ πλείους· ἔστι [h]γὰρ ἐν ἡμέρᾳ μιᾷ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀποθανεῖν. [i]Ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος [k]ἀεὶ, ἀεὶ τὸν μισθὸν ἀπηρτισμένον λαμβάνει. Τοῦτο [l]γοῦν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, "ὅλην τὴν
B ἡμέραν." Διὸ καὶ ὁ ἀπόστολος αὐτὸν [m]ἐπεισήγαγε, μειζόνως αὐτοὺς διεγείρων. Εἰ γὰρ οἱ ἐν τῇ παλαιᾷ, φησὶ, καὶ γῆν τὸ ἔπαθλον τῶν πόνων ἔχοντες, καὶ τὰ ἄλλα [n]τὰ τῷ παρόντι συγκαταλυόμενα βίῳ, οὕτω τῆς παρούσης ὑπερεώρων ζωῆς, καὶ

ΙΙ v. 36.

[s] ἀπείρων I. [t] αὑτῶν om. I. [v] αὐτὰ B.D.E.F.G.H. Cat. αὐτὸ Edd. [w] αὐτὰ pro ταῦτα D.E.F.G.H.I. Cat. [x] καὶ om. H. [y] ἕνεκα G. Post h. v. deest folium in E. qui rursus incipit Πέπεισμαι γὰρ p. 600 B. [z] κινδύνους] πολέμους B.D.F.H.I. [a] ἀγαθῶν I. Veron. Statim ὑπόθεσις ἡμῖν pro ἡμῖν ὑπόθ. B.D.F.H.I. Cat. ὑπόθεσις om. A. [b] δίδοται B. D. H. [c] πλεῖον F.H. Veron. [d] βασ. φησὶν pro φησὶ βασ. omnes. [e] ἀνέδησε] ἐδήλωσε A. F. H. I. Statim ποικίλῳ om. G. [f] ταῦτα H. ταύτῃ om. F. [g] βουληθείη G. Statim δεδώρηκεν B. [h] γὰρ] μὲν γὰρ G. Mox καὶ δὶς om. A. [i] ὁ γὰρ——λαμβάνει] ὅταν οὖν πρὸς τοῦτο παρεσκευασμένος εἶ, μισθὸν ἀπ. λαμβάνεις G. [k] ἀεὶ accessit ex A.D.H.I. Cat. [l] οὖν A.D.F.H.I. [m] ἐπεισήγαγε]+λέγων καὶ I. [n] τὰ assumtum ex A.D.F.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν πειρασμῶν καὶ τῶν κινδύνων, τίνα ἂν [o]σχοίημεν συγγνώμην ἡμεῖς, [p]μετὰ τὸν οὐρανὸν καὶ τὴν βασιλείαν τὴν ἄνω καὶ τὰ ἀπόρρητα ἀγαθὰ καταμαλακιζόμενοι, καὶ μηδὲ πρὸς τὸ αὐτὸ μέτρον φθάνοντες [q]ἐκείνοις; Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τῷ δὲ συνειδότι αὐτὸ καταλιπὼν τῶν ἀκροατῶν, [r]τῇ μαρτυρίᾳ ἀρκεῖται μόνῃ. Καὶ δείκνυσιν, ὅτι καὶ θυσία αὐτῶν τὰ σώματα γίνεται, καὶ οὐ δεῖ θορυβεῖσθαι, οὐδὲ ταράττεσθαι, τοῦ θεοῦ C οὕτως οἰκονομήσαντος. Καὶ ἑτέρως δὲ αὐτοὺς προτρέπει. Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ἁπλῶς ταῦτα φιλοσοφεῖ πρὸ τῆς πείρας τῶν πραγμάτων, ἐπήγαγεν· "Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς," τοὺς καθημερινοὺς τῶν ἀποστόλων θανάτους λέγων. Εἶδες ἀνδρείαν καὶ ἐπιείκειαν; Ὥσπερ γὰρ ἐκεῖνα, φησὶν, οὐκ [s]ἀνθίσταται σφαττόμενα, οὕτως οὐδὲ ἡμεῖς. Ἀλλ' ἐπειδὴ τῆς ἀνθρωπίνης διανοίας ἡ ἀσθένεια καὶ μετὰ [t]τοσαῦτα τὸ πλῆθος τῶν πειρασμῶν ἐδεδοίκει, ὅρα πῶς πάλιν ἀνίστησι τὸν ἀκροατὴν, καὶ ὑψηλὸν ποιεῖ καὶ γαῦρον, εἰπών, [12] "Ἀλλ' ἐν τούτοις πᾶσιν D ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, οὐχ [v]ὅτι νικῶμεν μόνον, ἀλλ' ὅτι [w]καὶ δι' ὧν ἐπιβουλευόμεθα νικῶμεν. Καὶ οὐχ ἁπλῶς νικῶμεν, ἀλλ', "ὑπερνικῶμεν," τουτέστι, μετὰ εὐκολίας ἀπάσης, [x]χωρὶς ἱδρώτων καὶ πόνων. Οὐ γὰρ πράγματα ὑπομένοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες μόνον, οὕτω πανταχοῦ τὰ τρόπαια [y]κατὰ τῶν ἐχθρῶν ἱστῶμεν. Καὶ μάλα εἰκότως· θεὸς γάρ ἐστιν ἡμῖν ὁ συναγωνιζόμενος. Μὴ τοίνυν ἀπιστήσῃς, εἰ μαστιζόμενοι τῶν μαστιζόντων περιγινόμεθα, εἰ ἐλαυνόμενοι τῶν διωκόντων κρατοῦμεν, εἰ ἀποθνήσκοντες τοὺς ζῶντας τρεπόμεθα. E Ὅταν γὰρ καὶ τὴν δύναμιν τοῦ θεοῦ καὶ τὴν ἀγάπην θῇς, οὐδὲν τὸ κωλύον τὰ θαυμαστὰ ταῦτα ἐκβῆναι, καὶ παράδοξα, καὶ τὴν ἐκ περιουσίας λάμψαι νίκην. [z]Οὐδὲ γὰρ ἁπλῶς ἐνίκων, ἀλλὰ μετὰ πολλοῦ τοῦ θαύματος, καὶ ὥστε μαθεῖν, ὅτι οὐ πρὸς ἀνθρώπους ὁ πόλεμος τοῖς ἐπιβουλεύουσιν ἦν, ἀλλὰ πρὸς τὴν ἄμαχον δύναμιν ἐκείνην. Ὅρα γοῦν τοὺς Ἰουδαίους ἐν μέσῳ αὐτοὺς ἔχοντας, καὶ [a]διαποροῦντας, καὶ λέγοντας, [13] "Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;" Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό

12 v. 37. 13 Act. iv. 16.

[o] σχοίημεν A.D.F.H.I. Cat. ἔχοιμεν B.G. ἔχωμεν soloece Edd. [p] μετὰ τὸν] οἱ τὸν G. Idem pro καταμαλακιζόμενοι dat προσδοκῶντες μαλακιζόμενοι. [q] ἐκείνοις B. D. F. G. H. I. Cat. ἐκείνους A. ἐκείνων Edd. [r] τῇ om. B. [s] ἀνθίστανται F.G. [t] τοσαῦτα τὸ] τοσοῦτον G. [v] ὅτι]+νῦν Edd. νῦν om. B.D.F.H. Cat. [w] καὶ om. B.G. [x] χωρὶς]+δὲ H. [y] κατὰ τῶν (τῶν om. G.) ἐχθ. ἱστῶμεν] Sic A. F. G. H. I. Cat. ἱστῶμεν κατὰ τ. ἐ. Edd. [z] οὐδὲ] οὐ B. [a] ἀποροῦντας A.D.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Θέρμου

ἐστιν, ὅτι κατέχοντες αὐτοὺς, καὶ ὑπευθύνους ἔχοντες, καὶ δε-
600 σμοῦντες καὶ κόπτοντες, ἠπόρουν καὶ ἐν ἀμηχανίᾳ ἦσαν, δι' (131)
αὐτῶν τούτων ἡττώμενοι, δι' ὧν προσεδόκων νικᾶν. Καὶ οὔτε
[b]τύραννοι, οὔτε δῆμοι, οὔτε δαιμόνων φάλαγγες, οὔτε αὐτὸς ὁ
διάβολος περιγενέσθαι αὐτῶν ἴσχυσεν, ἀλλ' ἐκ πολλῆς ἅπαντες
ἡττῶντο [c]τῆς περιουσίας, ἅπερ κατ' αὐτῶν ἐμηχανῶντο, πάντα
ὑπὲρ αὐτῶν ὁρῶντες γινόμενα. Διὸ καὶ ἔλεγεν, "ὑπερνικῶμεν."
B Καινὸς γὰρ οὗτος [d]τῆς νίκης ὁ νόμος ἦν, τὸ διὰ τῶν ἐναντίων
κρατεῖν, καὶ μηδέποτε ἡττᾶσθαι, ἀλλ' ὡς αὐτοὺς ὄντας κυρίους
τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἐξιέναι τούτους.

14 "Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος οὔτε ζωὴ, οὔτε ἄγγελοι
οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε
[e]ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς
χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ
κυρίῳ ἡμῶν." Μεγάλα τὰ εἰρημένα· ἀλλ' οὐκ ἴσμεν αὐτὰ,
ἐπειδὴ τοσαύτην ἀγάπην οὐκ ἔχομεν. Ἀλλ' ὅμως [f]εἰ καὶ με-
γάλα, δεῖξαι βουλόμενος οὐδὲν ὄντα πρὸς τὴν ἀγάπην, ἣν [g]ἠγα-
πήθη παρὰ τοῦ θεοῦ, μετ' ἐκείνην τότε τὴν αὐτοῦ τίθησιν, ἵνα
C [h]μὴ δόξῃ μεγάλα λέγειν περὶ [i]αὐτοῦ. [a]Ὁ δὲ λέγει, τοιοῦτόν
ἐστι· τί [k]δεῖ, φησὶ, τὰ παρόντα λέγειν, καὶ τὰ τῷ βίῳ τούτῳ
συγκεκληρωμένα δεινά; Κἂν γὰρ τὰ μέλλοντα [l]εἴπῃ τις, [m]καὶ
πράγματα καὶ δυνάμεις, πράγματα μὲν ὡς θάνατον καὶ ζωὴν,
δυνάμεις δὲ ὡς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ πᾶσαν τὴν [n]ἄνω
κτίσιν, καὶ ταῦτα ἐμοὶ μικρὰ πρὸς τὴν ἀγάπην τοῦ Χριστοῦ.
Οὔτε γὰρ, εἰ θάνατόν τις ἠπείλει, τὸν μέλλοντα, [o]τὸν ἀθά-
νατον, ὥστε ἀποστῆναι τοῦ Χριστοῦ, οὔτε εἰ ζωὴν [p]ἐπηγγέλ-
λετο τὴν ἄπειρον, κατεδεξάμην ἄν. Τί δεῖ λέγειν βασιλεῖς
τοὺς κάτω καὶ ὑπάτους, [q]καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα; Κἂν γὰρ
D ἀγγέλους [r]μοι εἴπῃς, κἂν πάσας τὰς ἄνω δυνάμεις, κἂν πάντα
τὰ ὄντα, κἂν πάντα τὰ μέλλοντα, πάντα ἐμοὶ μικρὰ, καὶ τὰ
ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ [s]ὑπὸ γῆν, καὶ τὰ ὑπὲρ
οὐρανοὺς, πρὸς τὸ φίλτρον ἐκεῖνο. Εἶτα, ὡς οὐκ ἀρκούντων

14 v. 38, 39.

[b] *τύραννοι* A. B. D. G. H. *τύραννος* Edd. Statim *δῆμοι* pro *δήμιοι* omnes. [c] *τῆς* om. I. [d] *τῆς ν. ὁ νόμος* pro *ὁ ν. τῆς ν.* A.D.F.G.H.I. Statim *ἐστὶ* pro *ἦν* I. [e] *ὕψος* A.D.F.H.I. et Mosq. 8. [f] *εἰ καὶ*] *καὶ ταῦτα τὰ* I. [g] *ἠγαπήθημεν* B.D.E. [h] *μὴ*] *μηδὲν* B.D.G. Statim *μέγα* iidem. [i] *αὐτοῦ* pro *ἑαυτοῦ* omnes. [k] *δὴ* pro *δεῖ* et *λέγει* pro *λέγειν* G. [l] *εἴπῃ* omnes. *εἴποι* Edd. [m] *καὶ* accessit ex A.B.D.E.F.H.I. Cat. Statim *καὶ δυνάμεις* pro *κἂν δ.* A.F.H.I. Cat. [n] *ἀνωτάτω* G. [o] *τὸν ἀθ.* om. I. Statim *ὥστε ἀποστῆναι τοῦ Χρ.* omnes. *ὥστε ἀπὸ τοῦ Χ. χωρίσαι* Edd. [p] *ἐπηγγέλλετο* A.B.D.E.F.H. Cat. *ἐπηγγείλατο* Edd. [q] *καὶ* accessit ex A.B.D.F.G.H.I. Cat. [r] *μοι* om. B. Tum *καὶ* pro *κἂν* ter H. [s] *ὑπὸ τὴν γῆν* B.G.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τούτων παραστῆσαι τὸν [t]πόθον, ὃν εἶχεν, ἕτερα τοσαῦτα πάλιν ὑποστησάμενος φησὶν, "οὔτε [v]τις κτίσις ἑτέρα." [u]Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ καὶ ἄλλη τοσαύτη κτίσις ἦν, ὅση ἡ ὁρωμένη, ὅση ἡ νοητὴ, οὐδὲν [w]ἄν με τῆς ἀγάπης ἐκείνης ἀπέστησε. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς [x]τῶν ἀγγέλων [y]τοῦτο ἐπιχειρούντων, ἢ Ε τῶν ἄλλων δυνάμεων, μὴ γένοιτο, ἀλλὰ μεθ' ὑπερβολῆς ἁπάσης τὸ φίλτρον, ὃ [z]περὶ τὸν Χριστὸν εἶχεν, ἐπιδεῖξαι βουλόμενος. Οὐ γὰρ [a]τὸν Χριστὸν ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου, καὶ πρὸς αὐτὸν ἑώρα μόνον, καὶ [b]ἓν ἐδεδοίκει, τὸ μὴ [c]τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον. Τοῦτο γὰρ αὐτῷ καὶ γεέννης φοβερώτερον ἦν, ὥσπερ καὶ τὸ μένειν [d]ἐν αὐτῇ βασιλείας ποθεινότερον.

[e]Τίνος οὖν ἂν εἴημεν ἄξιοι λοιπὸν ἡμεῖς, ὅταν ἐκεῖνος μὲν μηδὲ τὰ ἐν τοῖς οὐρανοῖς θαυμάζῃ πρὸς [f]τὸν τοῦ Χριστοῦ πόθον, ἡμεῖς δὲ τὰ ἐν τῷ βορβόρῳ καὶ τῷ πηλῷ τοῦ Χριστοῦ προτιμῶμεν; κἀκεῖνος μὲν διὰ τὸν πόθον αὐτοῦ καὶ εἰς γέενναν [g]καταδέχηται ἐμπεσεῖν, καὶ βασιλείας ἐκπεσεῖν, εἴγε ἀμφότερα δοι [h]ταῦτα προύκειτο· ἡμεῖς δὲ [i]μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου; [j]Ἆρα ἄξιοι τῶν γοῦν ὑποδημάτων ἐσμὲν [k]λοιπὸν τῶν ἐκείνου, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῆς μεγαλονοίας; [l]Ἐκεῖνος μὲν γὰρ οὐδὲ βασιλείαν ἡγεῖταί τι διὰ τὸν Χριστὸν εἶναι· ἡμεῖς δὲ αὐτοῦ [l]μὲν καταφρονοῦμεν, τῶν δὲ αὐτοῦ πολὺν ποιούμεθα λόγον. Καὶ εἴθε κἂν τῶν αὐτοῦ· νῦν δὲ οὐδὲ τοῦτο, ἀλλὰ καὶ βασιλείας ἡμῖν [m]προτεινομένης, ἐκείνην ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα καθ' ἑκάστην διώκομεν τὴν ἡμέραν. Καίτοιγε ὁ θεὸς φιλάνθρωπος ὢν καὶ [n]σφόδρα ἤμερος, ταὐτὸν ἐποίησεν, οἷον [o]ἂν εἰ πατὴρ φιλόπαις, τοῦ παιδὸς δυσχεραί- Β νοντος [p]τὴν διηνεκῆ πρὸς αὐτὸν ὁμιλίαν, ἑτέρως ταύτην σοφίσαιτο. Ἐπειδὴ γὰρ αὐτοῦ πόθον οὐκ ἔχομεν τὸν προσήκοντα,

[t] πόθον] +τοῦτον G. Mox τοσ. πάλιν pro πάλιν τοσ. A.D.E.F.G.H.I. [v] τις om. A.F.H.I. [w] ἄν accessit ex A.D.E.F.H.I. Cat. [x] τῶν om. A. D.E.F.I. Cat. [y] τοῦτο A.B.D.E.F.G.H. Cat. receptum a Montef. ταύτῳ vulgo. [z] περὶ pro πρὸς A.B.D.E.G.H.I. Cat. Mox δείξαι I. [a] τὸν θεὸν ἐφ. διὰ τοῦ Χρ. G. Statim δι' αὐτὸν τὰ ἐκείνου καὶ om. G. [b] ἓν om. I. [c] τῆς ἀγ. ἐκπ. τῆς πρὸς ἐκεῖνον] Sic A.B.D.E.F.H.I. et Flor. p. 16. (Tom. xii. p. 439 A.) τῆς πρὸς ἐκεῖνον om. G. τῆς ἀγάπης ἐκείνης ἐκπεσεῖν Edd. [d] ἐν αὐτῇ] αὐτῆς τῆς G. [e] ΗΘΙΚΟΝ. Περὶ τῆς εἰς Χριστὸν ἀγάπης, καὶ περὶ ἐλεημοσύνης, καὶ ὅτι πάντα ὁ Χριστὸς ὑπὲρ τῆς εἰς ἡμᾶς ἀγάπης ποιεῖ. Veron. [f] τὸν π. τοῦ Χρ. A.D.E. τὸν τοῦ θεοῦ π. G. [g] καταδέχεται (καταδέχηται D.G.) ἐμπεσεῖν pro ἐμπ. καταδέχεται omnes. [h] ταῦτα πρόκειται B.G. προύκειτο ταῦτα D.E. [i] μηδὲ pro οὐδὲ A.B.D.E.H.I. Flor. Mox καταφρονῶμεν B.D.E.F.G.I. Flor. καταφρονοῦμεν Edd. [k] λοιπὸν om. B.G. [l] μὲν assumtum ex A.B.D.E.F.H.I. [m] προτεινομένης omnes. προκειμένης Edd. [n] σφόδρα] πάντα I. [o] ἂν om. B.G. Mox τοῦ παιδὸς om. G. [p] τὴν δ. πρὸς αὐτὸν pro τὴν πρὸς αὐτὸν δ. A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλὰ ἕτερα ἡμῖν προβάλλεται, ὥστε ἡμᾶς κατασχεῖν πρὸς ἑαυτόν· καὶ οὐδὲ οὕτω παραμένομεν, ἀλλ' ἀποπηδῶμεν πρὸς τὰ παιδικὰ ἀθύρματα. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ὥσπερ τις εὐγενὴς παῖς καὶ ἐλεύθερος καὶ φιλοπάτωρ, τὴν συνουσίαν τοῦ πατρὸς ἐπιζητεῖ μόνον, τῶν δὲ ἄλλων οὐ τοσοῦτον ποιεῖται (132)
λόγον· μᾶλλον δὲ, πολλῷ πλέον ἢ παῖς. Οὐ γὰρ ὁμοῦ καὶ
C τὸν πατέρα καὶ τὰ αὐτοῦ τιμᾷ, ἀλλ' ὅταν ἴδῃ πρὸς τὸν πατέρα, οὐδὲν ἐκεῖνα ἡγεῖται, ἀλλ' ἕλοιτο ἂν [q]καὶ μαστιζόμενος καὶ κολαζόμενος εἶναι μετ' αὐτοῦ, ἢ χωριζόμενος αὐτοῦ τρυφᾶν. Φρίξωμεν τοίνυν ὅσοι μηδὲ χρημάτων [r]διὰ τὸν Χριστὸν [s]καταφρονοῦμεν· μᾶλλον δὲ, ὅσοι μηδὲ χρημάτων δι' ἡμᾶς αὐτοὺς καταφρονοῦμεν. Παῦλος γὰρ μόνος ἦν ὁ διὰ τὸν Χριστὸν γνησίως ἅπαντα πάσχων, οὐ διὰ βασιλείαν, [t]οὐδὲ διὰ τὴν αὐτοῦ τιμὴν, ἀλλὰ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν. Ἡμᾶς δὲ οὔτε ὁ
D Χριστὸς, οὔτε τὰ τοῦ Χριστοῦ, τῶν βιωτικῶν ἀφέλκει πραγμάτων, ἀλλ' ὥσπερ [v]ὄφεις ἢ ἔχεις ἢ χοῖροι, ἢ καὶ πάντα ταῦτα ὁμοῦ, οὕτως ἐν τῇ ἰλύϊ συρόμεθα. Τί γὰρ τῶν θηρίων ἐκείνων ἡμεῖς ἀμείνους, οἱ τοσαῦτα καὶ τηλικαῦτα ἔχοντες παραδείγματα, καὶ ἔτι κάτω [w]νεύοντες, καὶ μηδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν ἀνεχόμενοι; Ἀλλ' ὁ μὲν θεὸς [x]καὶ τὸν υἱὸν ἐξέδωκε· σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως αὐτῷ τῷ διὰ σὲ ἐκδοθέντι, τῷ διὰ σὲ σφαγέντι. Ὁ πατὴρ διὰ σὲ αὐτοῦ οὐκ ἐφείσατο, καὶ ταῦτα γνησίου [y]ὄντος παιδός· σὺ δὲ αὐτὸν καὶ λιμῷ τηκόμενον περιορᾷς, καὶ ταῦτα ἀπὸ τῶν αὐτοῦ μέλλων ἀναλίσκειν, καὶ διὰ
E [z]σαυτὸν ἀναλίσκειν. Τί ταύτης τῆς παρανομίας χεῖρον γένοιτ' ἄν; Ἐξεδόθη διὰ σὲ, ἐσφάγη διὰ σὲ, περιέρχεται πεινῶν διὰ σὲ, ἐκ τῶν αὐτοῦ δίδως ἵνα αὐτὸς ὠφεληθῇς, καὶ οὐδὲ οὕτω δίδως. [a]Ποίων οὐκ ἂν εἶεν ἀναισθητότεροι λίθων, οἱ τοσούτων αὐτοὺς ἑλκόντων [b]πραγμάτων, ἐπὶ τῆς διαβολικῆς ταύτης μένοντες ὠμότητος; [c]Οὐδὲ γὰρ ἠρκέσθη τῷ θανάτῳ καὶ τῷ σταυρῷ μόνον, ἀλλὰ καὶ πένης γενέσθαι κατεδέξατο, καὶ ξένος [d]καὶ ἀλήτης καὶ γυμνὸς, καὶ εἰς δεσμωτήριον ἐμπεσεῖν, καὶ ἀρρωστίαν ὑπομεῖναι, ἵνα [e]κἂν οὕτω [f]σε ἐκκαλέσηται. Εἰ γὰρ μὴ ἀμείβῃ

[q] καὶ μαστιζόμενος καὶ κολ. A.B.D.E. καὶ μαστιγούμενος καὶ κολ. F.H.I. καὶ κολ. καὶ μαστιζόμενος Edd. [r] διὰ τὸν Χρ. A.B.D.E.F.I. δι' αὐτὸν G. διὰ τὸν θεὸν Edd. [s] καταφρονῶμεν bis B.H. Verba μᾶλλον δὲ——καταφρονοῦμεν om. G. Veron. [t] οὐδὲ] οὐ H. [v] ὄφις ἢ ἔχις G. Veron. Mox πάντα ταῦτα pro ταῦτα πάντα A.D.E.F.H.I. [w] νεύοντες A.D.E.F.H.I. βλέποντες Edd. Mox ἀνανεῦσαι I. [x] καὶ om. G. [y] ὄντος om. G. Statim τοῦ παιδὸς B. παιδὸς om. F.H.I. [z] σαυτὸν] σὲ H. Haec καὶ διὰ σ. ἀναλίσκειν om. G. [a] ποίων] + οὖν D.E.F.I. ποίω νῦν (sic) H. [b] τῶν πραγμάτων B. [c] οὐδὲ] οὐ H.I. [d] καὶ ἀλήτης om. I. [e] κἂν] καὶ H. [f] σε om. A.D.E. Statim ἐφελκύσηται G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

με, φησὶν, ὡς ὑπὲρ σοῦ [g]τι παθόντα, [h]διὰ τὴν πενίαν ἐλέησον. Εἰ δὲ μὴ βούλει διὰ τὴν πενίαν ἐλεῆσαι, διὰ τὴν νόσον ἐπικάμφθητι, [i]διὰ τὸ δεσμωτήριον ἐπικλάσθητι. Εἰ δὲ [k]μηδὲ 602
ταῦτά σε ποιεῖ φιλάνθρωπον, διὰ τὸ κοῦφον τῆς αἰτήσεως ἐπίνευσον. Οὐδὲν γὰρ αἰτῶ [l]πολυτελὲς, ἀλλὰ ἄρτου καὶ στέγην καὶ ῥημάτων παράκλησιν. Εἰ δὲ καὶ μετὰ ταῦτα [m]ἔτι μένεις ἄγριος ὢν, κἂν διὰ τὴν βασιλείαν γενοῦ βελτίων, [n]κἂν διὰ τὰ ἔπαθλα ἃ ὑπεσχόμην. Ἀλλ' οὐδὲ ἐκείνων [o]σοί ἐστί τις λόγος; Κἂν [p]πρὸς τὴν φύσιν αὐτὴν ἐπικλάσθητι, γυμνὸν ὁρῶν, καὶ τῆς [q]γυμνότητος ἀναμνήσθητι ἐκείνης, ἣν ἐγυμνώθην ἐπὶ τοῦ σταυροῦ διὰ σέ. Εἰ δὲ ἐκείνης οὐ βούλει, κἂν ταύτης, ἣν διὰ τῶν πενήτων γυμνοῦμαι. [r]Ἐδεήθην τότε διὰ σὲ, ἀλλὰ καὶ νῦν διὰ B
σὲ, ἵνα εἴτε ἐντεῦθεν, εἴτε ἐκεῖθεν [s]προαχθεὶς, βουληθῇς ποιῆσαί τινα ἔλεον. Ἐνήστευσα διὰ σὲ, πάλιν πεινῶ διὰ σέ· ἐδίψησα κρεμάμενος ἐπὶ [t]τοῦ σταυροῦ, [v]διψῶ καὶ διὰ τῶν πενήτων, ἵνα καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων ἐπισπάσωμαί σε πρὸς ἐμαυτὸν, καὶ ποιήσω φιλάνθρωπον ἐπὶ σωτηρίᾳ τῇ σῇ. Διὰ τοῦτο καὶ μυρίων ὀφείλοντά σε εὐεργετημάτων [w]ἀμοιβὴν ἐμοὶ, οὐχ ὡς ὀφείλοντα ἀπαιτῶ, ἀλλ' ὡς χαριζόμενον στεφανῶ, καὶ βασιλείαν δωροῦμαι ἀντὶ τῶν μικρῶν τούτων. [x]Οὐδὲ γὰρ [y]λέγω, λῦσόν [z]μοι τὴν πενίαν, οὐδὲ, χάρισαί μοι πλοῦτον, καίτοιγε ἐπτώχευσα διὰ σέ· [a]ἀλλ' ὅμως ἄρτου αἰτῶ καὶ ἱμάτιον καὶ λιμοῦ C
παραμυθίαν μικράν. Κἂν εἰς δεσμωτήριον [b]ἐμπέσω, οὐκ ἀναγκάζω τὰ δεσμὰ λῦσαι καὶ ἐκβαλεῖν, ἀλλ' ἐν ἐπιζητῶ μόνον, ἵνα ἴδῃς δεδεμένον διὰ σὲ, καὶ ἀρκοῦσαν ἔλαβον χάριν, καὶ ὑπὲρ τούτου [c]μόνου τὸν οὐρανόν σοι χαρίζομαι. Καίτοιγε ἐγὼ χαλεπωτάτων σε ἔλυσα δεσμῶν, ἀλλ' ἐμοὶ μόνον ἀρκεῖ, ἂν βουληθῇς ἰδεῖν με δεδεμένον. Δύναμαι [d]μὲν γὰρ καὶ χωρὶς τούτων στεφανοῦν, βούλομαι δέ σοι καὶ ὀφειλέτης εἶναι, ἵνα φέρῃ σοί τινα καὶ παρρησίαν ὁ στέφανος. [e]Διὰ τοῦτο καὶ δυνάμενος ἐμαυτὸν [f]θρέψαι, περιέρχομαι προσαιτῶν, καὶ ταῖς D

[g] τι om. B.D.E. [h] διὰ om. G. [i] διὰ δὲ τὸ δ. Edd. δὲ om. B.D.E.F.G.I. [k] μηδὲ] μὴ H. [l] πολυτελὲς]+ἄλλο σε G. [m] ἔτι om. B.G. [n] κἂν] καὶ H. [o] σοί ἐστι τις] Sic A.D.E.H.I. σοι ἔσται τις F. ἐστι σοι (sine τις) G. ἐστί τις σοι Edd. [p] πρὸς αὐτὴν τὴν φ. ἐπ. G. πρὸς τὴν φ. ἐπικάμφθητι αὐτὴν B. [q] σεμνότητος B. [r] ἐδεήθην A.D.E.F.H.I. ἐδεήθην Edd. *egens eram* Interpp. [s] προαχθῆς B.I. Statim βουληθεὶς E.H. [t] τοῦ om. G. [v] διψῶ] πάλιν διψῶ D. καὶ post διψῶ om. A.D.E.F.H.I. [w] ἀμείβειν G. [x] οὐδὲ γὰρ——πενίαν οὐδὲ] οὐδὲ γὰρ διὰ τὴν πενίαν αἰτῶ G. [y] λέγω om. E. Idem post πλοῦτον interponit ἐπιζητῶ. [z] μου D.F.H.I. [a] ἀλλ' ὅμως] ἀλλὰ μόνον G. [b] ἐμπεσὼν H. [c] μόνον H. [d] μὲν om. E. Mox σε στεφανοῦν Edd. σε om. B.D.E.G.H. [e] διὰ] καὶ διὰ Edd. καὶ om. A.E.G. H.I. [f] τρέφειν G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θύραις σου [g]παριστάμενος προτείνω χεῖρα. Παρὰ σοῦ γὰρ τραφῆναι ἐπιθυμῶ· φιλῶ γάρ σε σφόδρα· διὸ καὶ τῆς τραπέζης ἐρῶ τῆς σῆς, ὃ τοῖς φιλοῦσιν ἔθος ἐστὶ, καὶ ἐγκαλλωπίζομαι τούτῳ, καὶ τοῦ θεάτρου παρόντος τῆς οἰκουμένης, ἀνακηρύττω σε [h]τότε, καὶ πάντων ἀκουόντων, ἐνδείκνυμαι τὸν τροφέα τὸν ἐμόν. Καίτοιγε ἡμεῖς [i]ὅταν παρά τινος τραφῶμεν, (133
αἰσχυνόμεθα τοῦτο καὶ συσκιάζομεν· αὐτὸς δὲ ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ, [k]κἂν ἡμεῖς σιγῶμεν, ἀναγορεύει [l]τότε τὸ γεγενημένον μετὰ πολλῶν τῶν ἐγκωμίων, καὶ οὐκ αἰσχύνεται εἰπεῖν,
Ε ὅτι [m]καὶ γυμνὸν ὄντα αὐτὸν περιεβάλομεν, καὶ πεινῶντα ἐθρέψαμεν. Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μὴ μέχρι τῶν ἐπαίνων στῶμεν μόνον, ἀλλὰ καὶ ἐπιτελέσωμεν τὰ εἰρημένα. Τί γὰρ ὄφελος τῶν κρότων καὶ τῶν θορύβων τούτων; [n]Ἐν ζητῶ παρ' ὑμῶν μόνον, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν, τὴν διὰ τῶν πραγμάτων ὑπακοήν· τοῦτο ἔπαινος ἐμὸς, τοῦτο κέρδος ὑμέτερον, τοῦτο διαδήματός [n]μοι λαμπρότερον. Τοῦτον τοίνυν ἀπελθόντες καὶ ὑμῖν καὶ ἐμοὶ [o]κατασκευάσατε τὸν στέφανον διὰ τῆς τῶν πενήτων χειρὸς, ἵνα [p]καὶ κατὰ τὸν παρόντα βίον χρηστῇ συντρα-
603 φῶμεν ἐλπίδι, καὶ πρὸς τὴν μέλλουσαν ἀπελθόντες ζωὴν, τῶν μυρίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [q]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΖ.

[1]Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς [a]μου ἐν πνεύματι ἁγίῳ.

Β [c]Ἆρα [b]οὐ μεγάλα τινὰ καὶ ὑπερφυῆ τῇ [c]προτεραίᾳ περὶ τῆς [d]τοῦ Παύλου περὶ τὸν Χριστὸν ἀγάπης ἐδόκουν ὑμῖν εἰρηκέναι; Καὶ γὰρ [e]ἦν φύσει μεγάλα, καὶ πάντα ὑπερβαίνοντα λόγον· ἀλλ' ὅμως τὰ σήμερον λεχθέντα τοσαύτην ἔχει τὴν ὑπερβολὴν [f]πρὸς ἐκεῖνα, ὅσην ἐκεῖνα πρὸς τὰ ἡμέτερα. Καίτοιγε οὐκ

[1] Cap. IX. v. 1.

[g] παριστάμενος A.B.D.E.F.H.I. προϊστάμενος Edd. Statim προτείνων F. H.I. et ante corr. A. Deinceps χεῖρας A.B.D.E.H.I. [h] τότε om. G. Mox ἐνδεικνύομαι idem. [i] ὅταν] ἡνίκα A.D.E. [k] κἂν] καὶ H. [l] τότε om. F.I. [m] καὶ om. E.F.I. Mox αὐτὸν om. E.F.H.I. [n] μοι om. G. [o] κατασκευάσατε B.D.E.I. κατασκεύασετε Edd. [p] καὶ om. G. [q] ἀξιωθῶμεν D.E. Hom. XVII. [a] μου om. B. [b] οὐ] οὖν G. [c] προτέρᾳ G. [d] τοῦ om. A.E.F.H.I. Statim Παύλου πρὸς τ. Χρ. G. Π. τῆς εἰς τὸν Χρ. A. [e] ἦν om. G. [f] πρὸς ἐκεῖνα om. G. Statim ὅσον idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥμην αὐτὰ ἔχειν ὑπερβολήν, ἀλλ' ὅμως [g]ἐπελθόντι τὰ σήμερον [h]ἡμῖν ἀναγνωσθέντα πολὺ πάντων ἐκείνων ἐφάνη λαμπρότερα. Ὅπερ οὖν καὶ αὐτὸς [i]συνιδὼν, ἀπὸ τῶν προοιμίων [k]αὐτὸ ἐνέφηνεν. Ἄτε [l]γὰρ εἰς μείζονα ἐμβαίνειν [m]μέλλων, καὶ ἀπι- C
στεῖσθαι παρὰ τῶν πολλῶν, πρότερον διαβεβαιοῦται περὶ ὧν
3) μέλλει λέγειν· ὅπερ πολλοῖς ἔθος ποιεῖν, ὅταν μέλλωσί τι
λέγειν παρὰ [n]τοῖς πολλοῖς ἀπιστούμενον, καὶ ὑπὲρ οὗ σφόδρα
[o]εἰσὶν ἑαυτοὺς πεπεικότες. Καὶ γὰρ " Ἀλήθειαν λέγω, φησὶ,
καὶ οὐ ψεύδομαι, καὶ ἡ συνείδησίς [p]μοι μαρτυρεῖ, [2]ὅτι λύπη μοί
ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην
γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ [q]τοῦ Χριστοῦ." Τί λέγεις,
ὦ Παῦλε; Ἀπὸ τοῦ Χριστοῦ, τοῦ ποθουμένου, οὗ μήτε βασι-
λεία σε, μήτε γέεννα ἐχώριζε, μήτε τὰ ὁρώμενα, μήτε τὰ νοούμενα, μήτε ἄλλα τοσαῦτα, ἀπὸ [r]τούτου νῦν εὖχῃ ἀνάθεμα
εἶναι; Τί γέγονε; [s]μὴ μεταβέβλησαι, καὶ κατέλυσας τὸν D
πόθον ἐκεῖνον; Οὐχὶ, φησὶ, μὴ δείσῃς· καὶ γὰρ [t]καὶ ἐπέτεινα
μᾶλλον αὐτόν. Πῶς οὖν εὖχῃ ἀνάθεμα εἶναι, καὶ ἀλλοτρίωσιν
ζητεῖς, καὶ χωρισμὸν τοιοῦτον, μεθ' οὗ ἕτερον οὐκ ἔστιν εὑρεῖν;
Ἐπειδὴ σφόδρα [v]αὐτὸν φιλῶ, φησί. Πῶς, εἰπέ μοι, καὶ [w]ποίῳ
τρόπῳ; καὶ γὰρ αἰνίγματι τὸ πρᾶγμα ἔοικε. Μᾶλλον δὲ, εἰ
δοκεῖ, πρῶτον μάθωμεν τί [x]ποτέ ἐστι τὸ ἀνάθεμα, καὶ τότε
αὐτὸν [y]ἐρωτήσωμεν περὶ τούτων, καὶ τὴν ἀπόρρητον ταύτην
καὶ παράδοξον εἰσόμεθα ἀγάπην. Τί οὖν ἐστι τὸ ἀνάθεμα; E
[v]Ἄκουσον αὐτοῦ λέγοντος· [3]" Εἴ τις οὐ φιλεῖ τὸν κύριον [z]ἡμῶν
Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα·" τουτέστι, κεχωρίσθω πάντων,
ἀλλότριος ἔστω πάντων. Καθάπερ γὰρ τοῦ [a]ἀναθέματος τοῦ
[b]ἀναθεμένου τῷ θεῷ οὐδεὶς ἂν τολμήσειεν ἁπλῶς ταῖς χερσὶν
ἅψασθαι, οὐδὲ ἐγγὺς γενέσθαι· οὕτω καὶ τὸν χωριζόμενον τῆς
ἐκκλησίας, πάντων [c]ἀποτέμνων, καὶ ὡς πορρωτάτω ἀπάγων,

2 v. 2, 3. 3 1 Cor. xvi. 22.

[g] ἐπελθόντι pro ἐπελθόντα H. [h] ἡμῖν om. B.D.E. [i] συνιὼν G. [k] αὐτὸ, quod aberat ante Montef. est in A.B.D.E.F.H.I. αὐτῶν pro αὐτὸ G. [l] γὰρ accessit ex A.B.D.E.F.H.I. Mox edebatur παρὰ τῶν πολλῶν. Πρότερον δὲ διαβεβ. Sed δὲ abest a libris omnibus et Cat. [m] θέλων I. [n] τῶν πολλῶν G. [o] εἰσὶν ἑαυτοὺς πεπεικότες] Sic E.G. εἰσὶ πεπεικότες ἑαυτοῖς D. ἑαυτούς εἰσι πεπεικότες Edd. εἰσὶν ἑαυτοῖς πεπιστευκότες A.B.F.H. Cat. εἰσὶ πεπιστευκότες I. [p] μου H. [q] τοῦ accessit ex A.B.D.E.F.H.I. [r] τούτου] τοῦ H. Cat. Statim τοίνυν pro νῦν B. [s] μὴ καταβέβλησαι, μὴ καταλέλυσαι τὸν π. ἐ. G. [t] καὶ om. I. Mox μᾶλλον αὐτὸν pro αὐτὸν μᾶλλον A.D.E.F.H.I. Cat. [v] αὐτὸν]+μᾶλλον G. [w] ποίῳ] τίνι A.D.E.F.H.I. [x] ποτὲ om. B.E.G. [y] ἐρωτήσομεν E. [z] ἡμῶν accessit ex omnibus. [a] ἀναθέματος pro ἀναθήματος correximus ex subsidiis omnibus. Ita mox ἀναθέματι. [b] ἀναθεμένου A.G. ἀνατιθεμένου Edd. [c] ἀποτεμὼν A.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτῳ τῷ ὀνόματι ἀπὸ τοῦ ἐναντίου καλεῖ, μετὰ πολλοῦ τοῦ φόβου πᾶσιν ἀπαγορεύων αὐτοῦ [d]χωρίζεσθαι καὶ ἀποπηδᾶν. Τῷ μὲν γὰρ ἀναθέματι τιμῆς [e]ἕνεκεν οὐδεὶς ἐτόλμα ἐγγίσαι·
604 τοῦ δὲ ἀποτμηθέντος ἐξ ἐναντίας ἐχωρίζοντο [f]γνώμης ἅπαντες. Ὥστε ὁ μὲν χωρισμὸς [g]εἷς, καὶ ὁμοίως [h]καὶ τοῦτο κἀκεῖνο τῶν πολλῶν ἠλλοτρίωται· ὁ δὲ τρόπος τοῦ χωρισμοῦ οὐχ εἷς, ἀλλὰ καὶ ἐναντίος οὗτος [i]ἐκείνου. Τοῦ μὲν γὰρ ἀπείχοντο ὡς ἀνα- (13
κειμένου θεῷ, τοῦ δὲ ὡς ἠλλοτριωμένου [k]θεοῦ, καὶ ἀπορραγέντος τῆς ἐκκλησίας. Τοῦτο οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· "Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ." Καὶ οὐδὲ ἁπλῶς εἶπεν, [l]ὅτι ἐβουλόμην, [m]ἀλλὰ ἐπιτείνων αὐτὸ, φησὶ, "καὶ ηὐχόμην." Εἰ δὲ θορυβεῖ σε ἅτε [n]ἀσθενέστερον ὄντα τὰ λεγό-
B μενα, [o]μὴ τὸ πρᾶγμα λογίζου μόνον, ὅτι χωρισθῆναι ἐβούλετο, ἀλλὰ καὶ τὴν αἰτίαν, δι' ἣν ἐβούλετο, καὶ τότε ὄψει αὐτοῦ [p]τὴν ὑπερβολὴν τῆς ἀγάπης. Ἐπεὶ καὶ περιέτεμε, καὶ οὐ τῷ γενομένῳ προσέχομεν, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ αἰτίᾳ τοῦ γενομένου, καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν. Οὐ περιέτεμε δὲ μόνον, ἀλλὰ καὶ ἐξυρᾶτο καὶ ἔθυσε· καὶ οὐ δήπου διὰ τοῦτο [q]αὐτὸν Ἰουδαῖον εἶναί φαμεν, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀπηλλάχθαι Ἰουδαϊσμοῦ καὶ καθαρεύειν, καὶ γνήσιον εἶναι τοῦ Χριστοῦ θεραπευτήν. Ὥσπερ οὖν αὐτὸν περιτέμνοντα βλέπων καὶ θύοντα, οὐ διὰ τοῦτο αὐτὸν καταδικάζεις
C ὡς Ἰουδαΐζοντα, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα στεφανοῖς, ὡς ἀλλότριον ὄντα Ἰουδαϊσμοῦ· οὕτω καὶ ὁρῶν ἐπιθυμοῦντα ἀνάθεμα γενέσθαι, μὴ διὰ τοῦτο θορυβηθῇς, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτὸν ἀνακήρυξον, τὴν αἰτίαν καταμαθὼν, δι' ἣν τοῦτο βούλεται. Ἂν γὰρ [r]μὴ τὰς αἰτίας ἐξετάσωμεν, καὶ τὸν Ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Ἀβραὰμ οὐκ ἀνδροφόνον μόνον, ἀλλὰ καὶ παιδοκτόνον· καὶ τὸν Φινεὲς δὲ καὶ τὸν Πέτρον φόνου γραψόμεθα πάλιν. Καὶ οὐ περὶ τῶν ἁγίων δὲ μόνον, ἀλλὰ καὶ περὶ τοῦ τῶν ὅλων θεοῦ, ὁ μὴ [s]τοῦτον τηρῶν τὸν κανόνα, πολλὰ ἄτοπα ὑποπτεύσει. Ἴν'

[d] χωρίζεσθαι omnes. Edebatur ἀποχωρίζεσθαι. [e] ἕνεκεν pro ἕνεκα A.D. E.F.H.I. Cat. [f] γνώμῃ F. [g] εἷς καὶ om. G. Veron. [h] καὶ τοῦτο κἀκεῖνο] κἀκεῖνο καὶ τοῦτο H. καὶ οὗτος κἀκεῖνος B.E. Veron. καὶ τούτῳ κἀκεῖνος D. καὶ τούτου κἀκείνου G. [i] ἐκείνῳ A.D.F.I. Cat. [k] θεῷ A.B.D.F.H. et ante corr. I. [l] ὅτι om. B.G. [m] ἀλλ' ἐπ. H. ἀλλὰ καὶ ἐπ. B. Mox καὶ ηὐχόμην om. B. καὶ ante ηὐχόμην om. Cat. [n] ἀσθενέστερον A.B.D. E.F.H. Cat. ἀσθενέστερα Edd. Statim ταῦτα λ. pro τὰ λ. A.D.E.F.H.I. [o] μὴ τὸ π. λ. μόνον] Sic A.B.D.E.F.H.I. τὸ π. λογίζου μὴ μόνον Edd. [p] τὴν ὑπερβολὴν] τὸ πολὺ A. [q] αὐτὸν om. I. Mox εἶναί φ. pro φ. εἶναι omnes. [r] μὴ τὰς αἰτίας] τὰς αἰτίας μὴ A.D.E.F.H.I. [s] τοῦτον τηρῶν τὸν κ.] Sic omnes. τηρῶν τοῦτον τὸν νόμον τὸν κανόνα Veron. Sav. Mor. τὸν νόμον recidit Montef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν [t]μὴ τοῦτο γένηται, ἐπὶ πάντων τῶν τοιούτων καὶ αἰτίαν D
καὶ γνώμην καὶ καιρὸν καὶ πάντα [v]τὰ ὑπὲρ τῶν γινομένων
[w]ἀπολογούμενα συνάγοντες, οὕτω τὰ πράγματα ἐξετάζωμεν.
[x]Ὃ καὶ νῦν ἐπὶ τῆς μακαρίας ταύτης ψυχῆς ποιητέον ἡμῖν.

Τίς οὖν ἡ αἰτία; Πάλιν αὐτὸς ὁ ποθούμενος Ἰησοῦς. Καὶ
μὴν οὐ δι' αὐτόν φησιν· "Ηὐχόμην γὰρ [x]ἀπ' αὐτοῦ, φησὶν,
4) ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου." Καὶ τοῦτο τῆς αὐτοῦ
ταπεινοφροσύνης· οὐ γὰρ βούλεται [y]ὡς μέγα τι λέγων, καὶ τῷ
Χριστῷ τοῦτο [z]χαριζόμενος φανῆναι. Διὸ [a]καὶ εἶπε, "συγ-
γενῶν," ἵνα κρύψῃ τὸ πλεονέκτημα· ἐπεὶ, ὅτι τὸ πᾶν διὰ τὸν E
Χριστὸν ἤθελεν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γὰρ, "τῶν συγ-
γενῶν," ἐπήγαγεν· [4] "[c]Ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, [b]καὶ αἱ δια-
θῆκαι, καὶ ἡ νομοθεσία, καὶ [c]ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι, ὧν
οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ
πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν." Καὶ τί τοῦ-
το; φησίν. Εἰ γὰρ ὑπὲρ τοῦ πιστεῦσαι ἑτέρους ἐβούλετο
[d]γενέσθαι ἀνάθεμα, ἔδει καὶ ὑπὲρ τῶν ἐθνῶν τοῦτο εὔξασθαι· εἰ
[e]δὲ ὑπὲρ Ἰουδαίων εὔχεται [f]μόνον, δείκνυσιν οὐ διὰ τὸν Χριστὸν
αὐτὸ βουλόμενος, ἀλλὰ διὰ τὴν πρὸς ἐκείνους οἰκείωσιν. Καὶ
μὴν εἰ ὑπὲρ [g]τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν ὁμοίως τοῦτο ἐφάνη·
[h]ἐπειδὴ δὲ ὑπὲρ Ἰουδαίων [i]μόνον, δείκνυται καθαρῶς διὰ τὴν 605
τοῦ Χριστοῦ δόξαν τοῦτο σπουδάζων. Καὶ οἶδα μέν, ὅτι
παράδοξον ὑμῖν εἶναι δοκεῖ τὸ λεγόμενον· πλὴν, ἐὰν μὴ [k]θορυ-
βῆτε, ταχέως αὐτὸ πειράσομαι ποιῆσαι σαφές. Οὐδὲ γὰρ
ἁπλῶς ταῦτα εἴρηκεν, [l]ἅπερ εἴρηκεν, ἀλλ' ἐπειδὴ πάντες ἔλεγον,
καὶ τοῦ θεοῦ κατηγόρουν, [m]ὅτι υἱοὶ θεοῦ καταξιωθέντες κλη-

[4] v. 4, 5.

[t] μὴ τοῦτο] τοῦτο μὴ A.D.E.F.H.I. [v] τὰ accessit ex A.D.E.F.H.I. [w] ἀπολογούμενοι B.G. Veron. Statim συνάγοντες A.D.E.F.H. συνάξαντες B.G. Veron. συναγαγόντες Sav. cet. Mox ἐξετάζομεν B.H. [x] ἀπ' αὐτοῦ, φησὶν, ἀν. εἶναι] Sic Edd. et Cat. ἀπ' αὐτοῦ, φησὶν, εἶναι ἀν. B.F.H. ἀπ' αὐτοῦ εἶναι ἀν. φησὶν D. ἀπ' αὐτοῦ ἀν. εἶναι, φησὶν A.E. φησὶν, ἀπ' αὐτοῦ ἀν. εἶναι G. ἀπ' αὐτοῦ εἶναι ἀν. (om. φησὶν) I. [y] ὡς et τι om. G. [z] φανῆναι χαρ. inverso ord. G. φανῆναι om. H. [a] καὶ accessit ex A.B.D.E.F.H.I. Infra haec εἰπὼν γὰρ—ἐπήγαγεν om. H. [b] καὶ ἡ διαθήκη F.H.I. καὶ ἡ λατρεία καὶ ἡ διαθήκη καὶ ἡ νομοθεσία hoc ord. A. [c] αἱ λατρεῖαι G. Statim καὶ αἱ ἐπ. om. A.F.H.I. [d] γενέσθαι ἀνάθεμα——εὔχεται μόνον] τοῦτο γενέσθαι, καὶ οὐ περὶ Ἰουδαίων εὔχεται μόνον G. [e] δὲ]+καὶ Edd. καὶ om. A.B.D.E.F.H.I. Cat. Statim περὶ Ἰουδ. B. ὑπὲρ τῶν Ἰουδ. A.D.E.F.H. [f] μόνον pro μόνων B.D.F.G.H. et ante corr. A. [g] τῶν] πάντων G. Mox ηὔξατο μόνων Edd. ηὔξατο μόνον B.D. μόνων om. A.F.G.H.I. Cat. [h] ἐπειδὴ δὲ] ἐπειδὴ H. Cat. ἐπεὶ δὴ a pr. man. A. ἐπεὶ δὲ I. Statim ὑπὲρ τῶν Ἰουδ. D.E. [i] μόνον pro μόνων D.F.G.H.I. [k] θορυβῆτε] Sic B.E.F. θορυβηθῆτε G.H.I. θορυβεῖσθε D. θορυβῆσθε Edd. Mox σαφὲς πειρ. ποιῆσαι hoc ord. A.D.E.F.H.I. [l] ἅπερ εἴρηκεν om. A.B.I. Statim ἀλλ' ἐπειδὴ A.B.D.E.F.H.I. ἀλλ' ἐπεὶ Edd. [m] ὅτι]+οἱ E.F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θῆναι, καὶ νόμον δεξάμενοι, καὶ πρὸ πάντων αὐτὸν εἰδότες, καὶ
B τοσαύτης ἀπολαύσαντες δόξης, καὶ θεραπεύσαντες αὐτὸν πρὸ
τῆς οἰκουμένης, καὶ ἐπαγγελίας δεξάμενοι, [n]καὶ πατέρων ὄντες
τῶν αὐτῷ φίλων, καὶ τὸ δὴ [o]πάντων μεῖζον, καὶ προπάτορες
αὐτοῦ γενόμενοι τοῦ Χριστοῦ· τοῦτο γάρ ἐστιν, "ἐξ ὧν ὁ
Χριστὸς τὸ κατὰ σάρκα" ἐκβέβληνται καὶ ἠτίμωνται, ἀντεισ-
ήχθησαν δὲ ἀντ' ἐκείνων οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες ἄν-
θρωποι οἱ ἐξ ἐθνῶν· ἐπεὶ οὖν ταῦτα λέγοντες τὸν θεὸν ἐβλα-
σφήμουν, ἀκούων ταῦτα καὶ δακνόμενος ὁ Παῦλος, [p]καὶ ὑπὲρ
τῆς δόξης ἀλγῶν τοῦ θεοῦ, ηὔξατο ἀνάθεμα εἶναι, [q]εἴγε δυ-
νατὸν ἦν, ὥστε σωθῆναι ἐκείνους, καὶ τὴν βλασφημίαν ταύτην
C καταλυθῆναι, καὶ μὴ δόξαι τὸν θεὸν ἠπατηκέναι τοὺς [r]ἐκγόνους (135
τοὺς ἐκείνων, οἷς τὰς δωρεὰς ἐπηγγείλατο. Καὶ ἵνα μάθῃς, ὅτι
ὑπὲρ τούτου κοπτόμενος, [s]τοῦ μὴ δόξαι τὴν ὑπόσχεσιν τοῦ θεοῦ
διαπίπτειν τὴν λέγουσαν τῷ Ἀβραάμ, [5] "Σοὶ δώσω [t]τὴν γῆν
ταύτην καὶ τῷ σπέρματί σου," [v]ταῦτα ηὔχετο· μετὰ τὸ ταῦτα
εἰπεῖν, ἐπήγαγεν· [6] "Οὐχ οἷον δὲ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ
θεοῦ·" δεικνὺς ὅτι [w]ταῦτα πάντα διὰ τὸν λόγον τοῦ θεοῦ ὑπο-
μεῖναι [x]ἠνείχετο· τουτέστι, τὴν ἐπαγγελίαν τὴν [y]πρὸς Ἀβραὰμ
γεγενημένην. Καθάπερ [z]γὰρ Μωϋσῆς ἐδόκει μὲν ὑπὲρ Ἰου-
δαίων πρεσβεύειν, τὸ δὲ πᾶν ὑπὲρ τῆς δόξης τοῦ θεοῦ ἔπραττεν·
D [7] "Ἵνα γὰρ μὴ εἴπωσι, φησὶν, ὅτι παρὰ τὸ μὴ [a]δύνασθαι αὐ-
τοὺς σῶσαι, [b]ἐξήγαγεν αὐτοὺς ἀπολέσαι ἐν τῇ ἐρήμῳ," κατά-
λυσον τὴν ὀργήν· οὕτω δὴ καὶ Παῦλος, ἵνα μὴ εἴπωσι, φησὶν,
ὅτι ἐξέπεσεν ἡ ἐπαγγελία [c]τοῦ θεοῦ, καὶ ἐψεύσατο ἃ ὑπέσχετο,
καὶ εἰς ἔργον οὐκ ἐξῆλθεν ὁ λόγος, [d]ἐβουλόμην ἀνάθεμα γενέ-
σθαι. Διὰ δὴ τοῦτο οὐχ ὑπὲρ τῶν ἐθνῶν φησιν· [e]οὐδὲν γὰρ
ἦν πρὸς ἐκείνους ἐπηγγελμένον [f]αὐτῷ, οὐδὲ ἦσαν αὐτὸν τεθερα-
πευκότες· διὸ οὐδὲ ἐβλασφήμουν αὐτὸν δι' ἐκείνους· ἀλλ' ὑπὲρ
τῶν Ἰουδαίων τῶν καὶ τὴν ἐπαγγελίαν δεξαμένων, καὶ πρὸ τῶν

5 Gen. xii. 7. 6 v. 6. 7 Deut. ix. 28.

[n] καὶ πατέρων ὄντες τῶν αὐτῷ φίλων] Sic B.D.E.G. Cat. Edebatur sine suspicione καὶ πατέρες ὄντες τῶν αὐτῶν φυλῶν. Pro verbis καὶ πατέρων——καὶ προπατόρες haec leguntur in A. F. H. I. καὶ πρό γε πάντων καὶ προπατόρες. [o] πάντων μεῖζον pro μ. πάντων B.D.E.G. Cat. [p] καὶ ὑπὲρ——θεοῦ om. G. [q] εἴγε] εἰ G. Mox σωθ. ἐκείνους pro ἐκείνους σωθ. A. B. D. E. F. H. I. Cat. [r] ἐγγόνους A.B.D.F. Statim τοὺς om. A.D.E.H.I. Cat. [s] τοῦ] καὶ τοῦ B.D.E. [t] καὶ τῷ σπ. σου. τὴν γ. τ. inverso ord. A.D.E.F.H.I. [v] ταῦτα] ταύτην G. Statim μετὰ γὰρ τὸ idem. [w] ταῦτα π. pro π. ταῦτα A.B.D.E. F.H.I. Cat. [x] ἠνέσχετο G. ηὔχετο A.F.H.I. [y] πρὸς τὸν Ἀβ. F.H. [z] γὰρ om. G. Mox ὑπὲρ τῆς τοῦ θ. δ. A.D.E.F.H.I. [a] δυνηθῆναι A.H. [b] ἐξήγαγες A.B.D.E.I. [c] τοῦ θεοῦ om. B. [d] ἐβουλήθην G. ἠβουλόμην, ut alias, A.H.I. [e] οὐδὲν A.E.F.I. Cat. οὐδὲ Edd. [f] αὐτῷ pro αὐτὸ A.B.D.F.G.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλων οἰκειωθέντων αὐτῷ, ταῦτα ἠῦχετο. Εἰδὲς ὅτι, εἰ μὲν E
ὑπὲρ τῶν ἐθνῶν ηὔξατο, οὐκ ἂν οὕτως ἐφάνη καθαρῶς διὰ τὴν
τοῦ Χριστοῦ δόξαν τοῦτο ποιῶν· ἐπειδὴ δὲ ὑπὲρ Ἰουδαίων
ἐβουλήθη γενέσθαι ἀνάθεμα, τότε μάλιστα ἐδείχθη, ὅτι διὰ τὸν
Χριστὸν [e]μόνον ταῦτα ἐπιθυμεῖ. Διὰ τοῦτο ἔλεγεν, "[f]Ὧν ἡ
υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ λατρεία καὶ [h]ἡ ἐπαγγελία." Καὶ
γὰρ ὁ νόμος ἐκεῖθεν ὁ περὶ τοῦ Χριστοῦ λέγων, φησὶ, καὶ
αἱ συνθῆκαι [i]πρὸς αὐτοὺς πᾶσαι, καὶ αὐτὸς ἐξ αὐτῶν, καὶ
οἱ πατέρες οἱ δεξάμενοι τὰς ἐπαγγελίας [k]ἐκείνων πάντες·
ἀλλ' ὅμως τοὐναντίον γέγονε, καὶ πάντων [l]ἐξέπεσον τῶν ἀγα-
θῶν. [m]Διὰ τοῦτο κόπτομαι, φησὶ, καὶ εἴγε ἦν χωρισθῆναι
τοῦ περὶ τὸν Χριστὸν χοροῦ, καὶ ἀλλοτριωθῆναι, οὐχὶ τῆς
ἀγάπης αὐτοῦ· μὴ γένοιτο, ἐπεὶ καὶ ταῦτα δι' ἀγάπην ἐποίει·
[n]ἀλλὰ τῆς ἀπολαύσεως ἐκείνης καὶ τῆς δόξης, κατεδεξάμην ἄν,
ὥστε μὴ τὸν δεσπότην [o]βλασφημηθῆναι τὸν ἐμὸν, διὰ τὸ μὴ 606
ἀκοῦσαι λεγόντων τινῶν, ὅτι σκηνὴ τὰ πράγματα γέγονεν·
ἄλλοις ὑπέσχετο, καὶ ἄλλοις ἔδωκεν· ἐξ ἄλλων ἐγεννήθη, καὶ
[p]ἄλλους ἔσωσε· τοῖς τῶν Ἰουδαίων προγόνοις [q]ἐπηγγείλατο,
καὶ τοὺς ἐκγόνους ἀφεὶς, τοὺς οὐδέποτε αὐτὸν [r]ἐγνωκότας εἰς
τὰ ἐκείνων εἰσήγαγεν ἀγαθά· ἐκεῖνοι τὸν νόμον [s]ἔκαμον μελε-
τῶντες, καὶ τὰς προφητείας ἀναγινώσκοντες, καὶ οἱ ἀπὸ τῶν
βωμῶν καὶ τῶν εἰδώλων χθὲς ἐπανελθόντες, ἀνώτεροι γεγόνασιν
ἐκείνων· ποῦ ταῦτα προνοίας; Ἵν' οὖν [t]μὴ ταῦτα λέγηται περὶ
τοῦ δεσπότου τοῦ ἐμοῦ, φησὶν, εἰ καὶ ἀδίκως λέγεται, [v]καὶ B
βασιλείας ἠδέως ἐξέπιπτον, καὶ τῆς δόξης ἐκείνης τῆς ἀπορρή-
του, καὶ πάντα ὑπέμεινα [w]ἂν τὰ δεινὰ, μεγίστην ἁπάντων ἡγού-
μενος [x]παραμυθίαν εἶναι, τὸν [y]οὕτω ποθούμενον μηκέτι βλα-
σφημούμενον ἀκούειν. Εἰ δὲ οὐδέπω καταδέχῃ τὸ εἰρημένον,
ἐννόησον ὅτι καὶ πατέρες πολλοὶ πολλάκις [z]ταῦτα ὑπὲρ παίδων
κατεδέξαντο, καὶ εἵλοντο αὐτῶν χωρισθῆναι, καὶ [a]μᾶλλον

[e] μόνον accessit ex A.B.D.E.F.G.H. Statim ἐπεθύμει G. [h] αἱ ἐπαγγελίαι G. Statim καὶ γὰρ καὶ ὁ idem. [i] πρὸς] αἱ πρὸς Edd. αἱ deest in omnibus. [k] ἐξ ἐκείνων Edd. ἐξ om. A.F.G.H.I. seclusum a Sav. [l] ἐξέπεσαν F.G.H.I. [m] διὰ]+τοι G. Post χωρισθῆναι deest folium in E. qui rursus incipit p. 607 B. [n] ἀλλὰ καὶ τῆς Edd. καὶ deest in omnibus. [o] βλασφημεῖσθαι A.D.F.H.I. Cat. Mox διὰ τὸ ἀκούειν A.D.F.H. διὰ τὸ μὴ ἀκούειν I. [p] τοὺς ἄλλους Edd. τοὺς om. A.D.F.H.I. [q] ἐπηγγείλατο pro ἐπήγγελτο omnes. Statim καὶ τοὺς ἐκγ. ἀφεὶς G. καὶ τοὺς ἐκείνων ἐκγ. (ἐγγ. D.F.H. προγ. I.) ἀφεὶς A.D.F.H.I. καὶ τοὺς ἐκγ. αὐτῶν ἀφεὶς Edd. [r] ἐπεγνωκότας B.G. Veron. [s] ἔκαμνον G. Mox καὶ τοὺς προφήτας ἀναγ. idem. [t] μὴ ταῦτα pro ταῦτα μὴ A.D.F.H.I. [v] καὶ] κἂν G. Mox ἡδέως ἂν ἐξ. Edd. ἂν deest in omnibus. [w] ἂν om. B.G. [x] εἶναι παραμ. inverso ord. A.D.F.H.I. Statim τοῦ πόνου τὸ τὸν Sav. Mor. Ben. Haec τοῦ πόνου τὸ om. B.D.G. Veron. [y] οὕτω om. A.F.H.I. Cat. [z] ὑπὲρ π. ταῦτα inverso ord. A.D.F.H.I. Statim ἐδέξαντο iidem. ηὔξαντο G. [a] μᾶλλον G. Veron. μόνον vulgo.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοὺς εὐδοκιμοῦντας ὁρᾶν, τῆς συνουσίας αὐτῶν [b]ἡδίω νομίζοντες εἶναι τὴν εὐδοκίμησιν τὴν ἐκείνων. Ἀλλ' ἐπειδὴ πόρρω
C τῆς ἀγάπης ἐσμὲν ταύτης, οὐδὲ νοῆσαι τὰ λεγόμενα δυνάμεθα. Οὕτω γὰρ τινες καὶ [c]τὴν Παύλου προσηγορίαν [d]ἀκοῦσαί εἰσιν ἀνάξιοι, καὶ τῆς σφοδρότητος τῆς ἐκείνου πόρρω καὶ μακρὰν ἑστήκασιν, ὡς [e]καὶ περὶ θανάτου τοῦ προσκαίρου ταῦτα λέγειν [f]αὐτὸν νομίζειν· οὓς τοσοῦτον [g]εἴποιμ' ἂν ἀγνοεῖν τὸν Παῦλον, ὅσον τοὺς πηροὺς τὴν ἀκτῖνα τὴν ἡλιακήν· μᾶλλον δὲ [h]καὶ πολλῷ πλέον. [c]Ὁ γὰρ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων, καὶ νιφάδας κινδύνων [i]θεὶς, καὶ εἰπών, "Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς
D ἀγάπης τοῦ [k]Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμός;" καὶ οὐκ ἀρκεσθεὶς τοῖς [l]λεχθεῖσιν, ἀλλ' ὑπερβὰς τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ ἀγγέλους καὶ ἀρχαγγέλους καὶ πάντα τὰ ἄνω [m]περιδραμὼν, καὶ συλλαβὼν ὁμοῦ τὰ παρόντα, [n]τὰ μέλλοντα, τὰ ὁρώμενα, τὰ νοούμενα, τὰ λυπηρὰ, (136)
τὰ χρηστὰ, τὰ ἐν ἑκατέροις, [o]καὶ οὐδὲν ὅλως ἀφεὶς, καὶ οὐδὲ οὕτω κορεσθεὶς, ἀλλὰ καὶ ἑτέραν τοσαύτην κτίσιν τὴν οὐκ οὖσαν
E ὑποστησάμενος· πῶς [p]ὡς μέγα τι λέγων μετ' ἐκεῖνα πάντα θανάτου [q]τοῦ προσκαίρου ἐμνημόνευσεν ἄν; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλὰ σκωλήκων ἐν κοπρίᾳ φωλευόντων ἡ τοιαύτη ὑπόνοια. Εἰ γὰρ τοῦτο ἔλεγε, πῶς ἀνάθεμα ἑαυτὸν [r]ηὔχετο εἶναι ἀπὸ τοῦ Χριστοῦ; Ὁ γὰρ τοιοῦτος θάνατος μᾶλλον τῷ [s]τοῦ Χριστοῦ συνῆπτε χορῷ, καὶ τῆς δόξης ἀπολαύειν ἐκείνης ἐποίει. Ἀλλὰ γὰρ εἰσί τινες, οἳ καὶ τούτων ἕτερα καταγελαστότερα τολμῶσι λέγειν. Οὐ γὰρ [t]θάνατον, φησὶν, ἀλλὰ κειμήλιον [v]καὶ ἀνάθημα ηὔχετο εἶναι τοῦ Χριστοῦ. Καὶ τίς τοῦτο καὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀναπεπτωκότων οὐκ ἂν [w]ηὔξατο; Πῶς δὲ ὑπὲρ τῶν συγγενῶν [x]τοῦτο ἔμελλε τῶν αὐτοῦ γίνεσθαι; Ἀφέντες τοίνυν τοὺς μύθους καὶ τὰς φλυαρίας· οὐδὲ

[b] ἡδίω] ἰδίαν G. [c] τῆς Π. προσηγορίας B.D. [d] ἀκοῦσαί εἰσιν ἀνάξιοι] Sic B.D.G. εἰσὶν ἀνάξιοι ἀκοῦσαι A.F.H.I. οὐδὲ ἀκοῦσαί εἰσιν ἄξιοι Edd. [e] καὶ om. G. Mox τοῦ om. B.G. [f] αὐτοὺς A.D.F.H.I. [g] εἴποιμ' ἂν] Sic B.D.I. εἴποιμεν G. εἴποιμι ἂν Edd. [h] καὶ om. A.B.D.F.I. [i] ἐνθεὶς A.B.D.F.H.I. Statim καὶ om. A.F.I. [k] Χριστοῦ] θεοῦ G. Verba ἀπὸ τῆς ἀγ. τοῦ Χρ. om. A.F.H.I. Mox ἢ διωγμὸς ἢ λ. A.B.D.F.G.I. Cat. ἢ λ. ἢ δ. Edd. [l] λεχθεῖσιν] παροῦσιν B.G. Veron. [m] παραδραμὼν D. Cat. [n] τὰ μέλλοντα om. A.F.H.I. [o] καὶ om. A.F.H.I. Mox καὶ οὐδὲ οὕτως ἀρκεσθεὶς G. [p] ὡς]+οὐ G. [q] τοῦ om. B.G. Mox ἂν om. H. [r] ηὔχετο] ἔλεγεν G. Statim εἶναι om. G.I. [s] τοῦ Χρ.] περὶ τὸν Χριστὸν B.D.G. Veron. [t] θάνατον, φησὶν] θανάτου φύσιν G. Post φησὶν, ηὐίξατο add. A.B.D.F.H.I. Cat. [v] καὶ om. G. Statim ἀνάθημα pro ἀνάθεμα A.G.H. Cat. Deinceps ηὔχ. εἶναι A.B.D.F.H. Cat. ηὔχ. γενέσθαι I. εἶναι ηὔχ. Edd. [w] ηὔξατο A.F.G.H.I. Cat. εὔξαιτο vulgo. [x] τοῦτο ἔμελλε τῶν αὐτοῦ] τῶν αὐτοῦ τοῦτο· ἢ μᾶλλον αὐτοῦ G. Statim γίνεσθαι pro γενέσθαι A.D.F.G.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ ἀντιλέγειν πρὸς ταῦτα ἄξιον, ὥσπερ οὖν οὐδὲ πρὸς τὰ παιδία τὰ ψελλίζοντα· [y]εἰς αὐτὴν πάλιν τὴν ῥῆσιν ἐπανέλθωμεν, ἐντρυφῶντες [z]αὐτοῦ τῷ πελάγει τῆς ἀγάπης, καὶ μετὰ ἀδείας πανταχοῦ νηχόμενοι, καὶ τὴν φλόγα ἐννοοῦντες τὴν ἄφατον· μᾶλλον δὲ, ὅπερ ἂν [a]εἴπῃ τις, οὐδὲν ἄξιον ἐρεῖ. Καὶ 607
γὰρ πελάγους παντὸς εὐρυτέρα, καὶ φλογὸς ἁπάσης σφοδροτέρα [b]αὕτη ἦν, καὶ οὐδεὶς αὐτὴν κατ' ἀξίαν [c]ἀναγορεῦσαι δυνήσεται λόγος· ἀλλ' ἐκεῖνος μόνος οἶδεν αὐτὴν ὁ μετὰ ἀκριβείας αὐτὴν κτησάμενος.

Φέρε οὖν [d]αὐτὰ πάλιν τὰ ῥήματα εἰς μέσον ἀγάγωμεν. "Ηὐχόμην [e]γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγώ." Τί ἐστιν, "αὐτὸς ἐγώ;" Ὁ διδάσκαλος [f]ἁπάντων γενόμενος, ὁ μυρία κατορθώματα συναγαγών, ὁ μυρίους ἀναμένων στεφάνους, ὁ ποθήσας αὐτὸν οὕτως ὡς πάντων [g]αὐτοῦ προτιμῆσαι τὴν ἀγάπην, ὁ καθ' Β
ἑκάστην ἡμέραν δι' αὐτὸν καιόμενος, καὶ [h]πάντα δεύτερα εἶναι νομίζων τοῦ φίλτρου τοῦ πρὸς αὐτόν. Οὐδὲ γὰρ [i]τοῦ φιλεῖσθαι ἔμελεν αὐτῷ παρὰ τοῦ Χριστοῦ μόνον, ἀλλὰ [k]καὶ τοῦ σφόδρα αὐτὸν φιλεῖν· καὶ [l]τούτου μάλιστα ἦν. Διὰ [m]δὴ τοῦτο πρὸς τοῦτο ἔβλεπε μόνον, καὶ πάντα εὐκόλως ἔφερεν· ἓν γὰρ ἐσκόπει [n]διὰ πάντων, τὸ τὸν καλὸν τοῦτον [o]ἐμπλῆσαι ἔρωτα. Καὶ εὔχεται μὲν ταῦτα· ἐπειδὴ δὲ οὐκ ἔμελλε γίνεσθαι οὕτως, οὐδὲ ἔμελλεν ἀνάθεμα εἶναι, πειρᾶται λοιπὸν καὶ εἰς ἀπολογίαν [p]ἐμβῆναι τῶν ἐγκλημάτων, καὶ τὰ [q]θρυλούμενα παρὰ πάντων εἰς μέσον [r]ἄγων ἀνατρέψαι. Καὶ πρὶν εἰς C
τὴν σαφῆ τούτων ἀπολογίαν ἐμβῆναι, τὰ σπέρματα αὐτῆς ἤδη [s]προκαταβάλλεται. [t]Ὅταν γὰρ λέγῃ, "[u]Ὧν ἡ υἱοθεσία [t]καὶ ἡ δόξα καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι," οὐδὲν ἄλλο φησὶν, ἢ ὅτι ὁ θεὸς [v]μὲν αὐτοὺς ἐβούλετο σωθῆναι· καὶ τοῦτο ἐδήλωσε δι' ὧν ἔμπροσθεν ἐποίησε, καὶ δι' ὧν ὁ Χριστὸς ἐξ ἐκείνων ἐγένετο, καὶ δι' ὧν τοῖς πατράσιν ἐπηγγείλατο· αὐτοὶ δὲ ἐξ οἰκείας ἀγνωμοσύνης ἀπεκρούσαντο τὴν εὐεργεσίαν.

[y] εἰς] πρὸς G. εἰς om. A.F.H. Mox ἐπέλθωμεν A.F.H.I. [z] αὐτῷ H. A verbis πανταχοῦ νηχόμενοι absunt in G. folia octo, usque ad v. χρόνον p. 612 E. Ergo in subsidium vocavimus Codicem fere geminum C. [a] εἴπῃ pro εἴποι A.D.F.H.I. [b] αὕτη ἦν pro ἦν αὕτη A.C.F.H.I. [c] ἀναγ. δυνήσεται] ἀναγορεύσειεν C. ἀναγορεύσει Veron. [d] αὐτὰ πάλιν pro πάλιν αὐτὰ omnes. [e] γὰρ om. B.C.D. [f] πάντων A.D.F.H.I. Cat. [g] αὐτοῦ πρ. pro πρ. αὐτοῦ omnes. [h] ἅπαντα A.D.F.H.I. [i] τοῦ] τὸ H. Mox παρὰ τοῦ X. ἔμελεν αὐτῷ μόνον hoc ord. A. D. E. F. H. I. [k] καὶ om. A. F. H. I. Mox αὐτὸν φ. pro φ. αὐτὸν omnes. [l] τούτου pro τοῦτο B.E.F.H.I. Verba καὶ τ. μ. ἦν om. A. [m] δὴ pro γὰρ A.B.D.E.F.H.I. δὴ om. C. [n] διὰ πάντων om. A.F.H.I. [o] ἐκπλῆσαι B.D.E. [p] ἐκβῆναι hic et infra I. [q] θρυλ. pro θρυλλ. A.B.D. fortasse alii. [r] ἀγαγὼν F.H.I. Cat. [s] προβάλλ. B.C. Veron. [t] καὶ ἡ δ. καὶ ἡ ν. om. C. [u] μὲν om. H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὸ καὶ ἐκεῖνα τίθησιν, ἅπερ τῆς τοῦ θεοῦ δωρεᾶς ἐστιν ἐνδεικτικὰ μόνον, οὐκ ἐκείνων ἐγκώμια· καὶ γὰρ ἡ υἱοθεσία τῆς [w]αὐτοῦ
D γέγονε χάριτος, καὶ ἡ δόξα καὶ αἱ ἐπαγγελίαι καὶ ὁ νόμος. Ἅπερ ἅπαντα ἐννοήσας, καὶ λογισάμενος πόσην ὁ θεὸς μετὰ [x]τοῦ παιδὸς ἐποιήσατο τὴν σπουδὴν σῶσαι αὐτούς, ἀνεβόησε μέγα, καὶ εἶπεν· "Ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας· Ἀμήν" τὴν ὑπὲρ πάντων εὐχαριστίαν ἀναφέρων αὐτὸς τῷ μονογενεῖ τοῦ θεοῦ. Τί γάρ, εἰ καὶ ἕτεροι βλασφημοῦσι, φησίν; ἀλλ' ἡμεῖς οἱ τὰ ἀπόρρητα εἰδότες αὐτοῦ, καὶ τὴν σοφίαν τὴν ἄφατον, καὶ τὴν πρόνοιαν τὴν πολλήν, ἴσμεν σαφῶς, ὅτι οὐ τοῦ βλασφημεῖσθαι, ἀλλὰ τοῦ δοξάζεσθαι ἄξιος. Οὐκ ἀρκεσθεὶς δὲ αὐτοῦ τῷ συνειδότι, πειρᾶται καὶ [y]λογισμοὺς τιθέναι λοιπὸν,
E καὶ σφοδροτέρῳ κεχρῆσθαι κατ' αὐτῶν [z]τῷ λόγῳ. Καὶ οὐ πρότερον ἀποτείνεται πρὸς αὐτοὺς, ἕως τὴν ὑπόνοιαν [n]αὐτῶν περιεῖλεν. Ἵνα γὰρ μὴ δόξῃ ὡς [b]ἐχθροῖς διαλέγεσθαι, προϊὼν φησιν· [8] "Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις [c]ἡ πρὸς τὸν θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν." Καὶ ἐνταῦθα δὲ μετὰ τῶν ἄλλων, ὧν εἴρηκε, [d]κατεσκεύαζε τὸ μὴ δόξαι [e]δι' ἔχθραν λέγειν, ἅπερ ἔμελλε κατ' αὐτῶν ἐρεῖν· διόπερ οὐδὲ συγγενεῖς [f]αὐτοὺς καὶ ἀδελφοὺς παραιτεῖται ὀνομάζειν. Εἰ γὰρ καὶ διὰ τὸν Χριστὸν ἔλεγεν, ἅπερ ἔλεγεν, ἀλλ' ὅμως (137)
καὶ τὴν [g]ἐκείνων ἐπισπᾶται [h]διάνοιαν, καὶ προοδοποιεῖ τῷ λόγῳ, καὶ πάσης [i]ἑαυτὸν ὑποψίας ἀπαλλάττει διὰ τὰ μέλλοντα κατ'
608 αὐτῶν λεχθήσεσθαι, καὶ τότε [k]λοιπὸν ἐμβαίνει εἰς τὸν παρὰ τῶν πολλῶν ζητούμενον λόγον. Καὶ γὰρ ἐζήτουν πολλοὶ, καθάπερ ἔφθην εἰπὼν, τίνος ἕνεκεν οἱ μὲν δεξάμενοι τὴν ἐπαγγελίαν [l]ἐξέπεσον, οἱ δὲ μὴ ἀκούσαντες αὐτῆς [m]πώποτε, πρὸ ἐκείνων ἐσώθησαν. Ταύτην τοίνυν λύων τὴν ἀπορίαν, πρὸ τῆς ἀντιθέσεως τὴν λύσιν ἐπάγει. Ἵνα γὰρ μὴ λέγῃ τις· τί οὖν; σὺ μᾶλλον φροντίζεις τῆς δόξης τοῦ θεοῦ, ἢ ὁ θεὸς τῆς ἑαυτοῦ; καὶ τῆς παρὰ σοῦ δεῖται βοηθείας, [n]ἵνα μὴ ἐκπέσῃ αὐτοῦ ὁ

[8] Rom. x. 1.

[w] αὐτῆς F.H.I. et ante corr. A. [x] τοῦ] + ἑαυτοῦ C. [y] λογισμοὺς A.B.C.D.E.F.I. λογισμὸν Edd. [z] τῷ λόγῳ] λογισμῷ A.D.F.H.I. [a] τὴν αὐτῶν Edd. τὴν om. B C.D.E.F.H.I. [b] ἐχθροὺς A.E.F.H.I. Mox καὶ προϊὼν iidem. [c] ἡ] μου B. [d] κατεσκεύασε A.F. κατεσκεύασαι (an κατασκευάσαι?) E. [e] δι' ἔχθραν] ἐχθρὰ B.C. Veron. [f] αὐτοὺς om. A.D. E.F.H.I. [g] ἐκείνων] πρὸς ἐκείνους A.F.H.I. [h] διάνοιαν] ἴσ. εὔνοιαν Sav. marg. εὔνοιαν habet I. [i] ὑποψίας ἑαυτὸν inverso ord. A. D. E. F. H. I. [k] λοιπὸν ἐμβ.] ἐμβ. λοιπὸν A.F.H.I. [l] ἐξέπεσαν C.H.I. [m] ποτὲ A.F.H.I. [n] ἵνα μὴ ἐκπέσῃ (ἐμπ. I.) αὐτοῦ (αὐτοῦ om. C.) ὁ λόγος] Sic libri omnes et Cat. ὥστε μὴ ἐκπεσεῖν αὐτοῦ τὸν λόγον Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγος; πρὸς [o]ταῦτα ἱστάμενός φησι· ταῦτα [p]δὲ εἶπον, "οὐχ [q]οἷον ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ," ἀλλ' ἵνα δείξω τὸ περὶ τὸν Χριστὸν φίλτρον. Καὶ γὰρ καὶ οὕτω τῶν πραγμά- B
των ἐκβάντων, οὐκ ἀποροῦμεν τῶν ὑπὲρ τοῦ θεοῦ λόγων, φησὶ, καὶ τοῦ δεῖξαι, ὅτι ἔστηκεν ἡ [r]ἐπαγγελία. Εἶπεν ὁ θεὸς [s]τῷ Ἀβραὰμ, [9] "Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν·" [t]καὶ, "Ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη." [u]Ἴδωμεν οὖν ποῖόν ἐστι τὸ σπέρμα, φησὶν· οὐ γὰρ πάντες οἱ ἐξ αὐτοῦ [v]σπέρμα αὐτοῦ εἰσι. Διὸ καὶ ἔλεγεν· "Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ· [10] οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα." [w]Ἂν τοίνυν μάθῃς ποῖόν ἐστι [x]τὸ σπέρμα τοῦ Ἀβραὰμ, ὄψει δοθεῖσαν τὴν ὑπόσχεσιν τῷ σπέρ- C
ματι αὐτοῦ, καὶ γνώσῃ ὅτι οὐκ ἐξέπεσεν ὁ λόγος. Ποῖον οὖν ἐστιν, [x]εἰπέ, τὸ σπέρμα; Οὐκ ἐγὼ λέγω, φησὶν, ἀλλ' αὐτὴ ἡ παλαιὰ ἑαυτὴν ἑρμηνεύει, οὕτω λέγουσα· "Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα." Τί ἐστιν, "ἐν Ἰσαὰκ," ἑρμήνευσον. [11] "Τουτέστιν, [y]οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα [z]θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, [a]ταῦτα λογίζεται εἰς σπέρμα." Καὶ ὅρα Παύλου σύνεσιν καὶ μεγαλόνοιαν. Ἑρμηνεύων γὰρ οὐκ εἶπεν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα [b]τοῦ Ἀβραὰμ, [c]ἀλλὰ, "τέκνα τοῦ θεοῦ·" τῷ παρόντι τὰ παλαιὰ συνάπτων, D
καὶ δεικνὺς, ὅτι οὐδὲ Ἰσαὰκ ἁπλῶς [d]τοῦ Ἀβραὰμ τέκνον ἦν. [A]Ὃ δὲ λέγει, [e]τοιοῦτόν ἐστιν· ὅσοι κατὰ τὸν Ἰσαὰκ ἐγεννήθησαν, οὗτοι τέκνα [f]τοῦ θεοῦ εἰσι, καὶ σπέρμα τοῦ Ἀβραάμ. Διὰ γὰρ τοῦτο εἶπεν, "Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," [g]ἵνα μάθῃς, ὅτι οἱ τῷ τρόπῳ τούτῳ γεννώμενοι τῷ κατὰ τὸν Ἰσαὰκ, οὗτοι μάλιστά εἰσι τὸ σπέρμα τοῦ Ἀβραάμ. Πῶς οὖν ὁ Ἰσαὰκ ἐγεννήθη; Οὐ κατὰ νόμον φύσεως, οὐδὲ κατὰ δύ-

9 Gen. xii. 7, 3. 10 v. 7. 11 v. 8.

[o] ταῦτα] ταῦτα πάντα A.D.E.H. Cat. πάντα ταῦτα F. [p] δὲ om. B.E. [q] οἷον]+δὲ C. et ex corr. B. Statim ὅτι ὁ λ. τοῦ θ. ἐκπέπτωκεν Edd. reclamantibus libris. [r] ἐπαγγελία]+ἦν Cat. +πῶς οὖν ἔστηκεν ἡ ἐπαγγελία B.D.E. [s] τῷ Ἀβρ. om. A.F.H.I. Statim σοὶ δώσω καὶ τῷ σπ. σου (om. τὴν γῆν) iidem et Cat. [t] καὶ om. H. ἐν τῷ σπ. σου om. idem. καὶ ἐν τῷ σπ. σου ἐνευλ. D.E. καὶ ὅτι ἐν τῷ σπ. σου ἐνευλ. A.F.I. [v] σπέρμα C.D.E. F.H.I. Cat. σπέρματα Edd. [w] τὸ om. A.F.I. [x] εἰπέ μοι τὸ σπέρμα Edd. μοι om. A.B.C.D.E.F. Cat. εἰπέ μοι om. I. τὸ σπέρμα εἰπὲ inverso ord. B.E. [y] οὐ] ὅτι οὐ A.D.E.F.H.I. [z] τοῦ θεοῦ B.D. Haec ταῦτα τ. θεοῦ om. C. [a] ταῦτα accessit ex omnibus. Post σπέρμα sequentia desunt in E. usque ad ἐπαγγέλλονται p. 609 E. [b] τοῦ Ἀβραὰμ] τοῦ θεοῦ ἢ τοῦ Ἀβρ. A.I. τοῦ θεοῦ ἢ τῷ Ἀβρ. F.H. [c] ἀλλὰ τὰ τέκνα τοῦ θ. Edd. τὰ om. C.D. erasum in B. τοῦ θεοῦ om. D. Clausula ἀλλὰ τέκνα τοῦ θ. abest a F.H.I. [d] τοῦ Ἀβραὰμ om. C. [e] τοῦτο A.C.D.F.I. Cat. [f] τοῦ om. B.D. [g] ἵνα μάθῃς ὅτι] διότι I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναμιν σαρκὸς, ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας. [h]Τί ἐστι, κατὰ δύναμιν ἐπαγγελίας; [12] "Κατὰ τὸν καιρὸν τοῦτον [i]ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός." Αὕτη [k]τοίνυν ἡ ἐπαγγελία καὶ
E [l]τὸ ῥῆμα τοῦ θεοῦ τὸν Ἰσαὰκ διέπλασέ τε καὶ ἐγέννησε. Τί γὰρ, εἰ καὶ μήτρα ὑπέκειτο, καὶ νηδὺς γυναικός; Οὐ γὰρ ἡ δύναμις τῆς νηδύος, [m]ἀλλ' ἡ τῆς ἐπαγγελίας ἰσχὺς ἔτεκε τὸ παιδίον. Οὕτω καὶ ἡμεῖς γεννώμεθα διὰ [n]τῶν τοῦ θεοῦ ῥημάτων. Ἐν γὰρ τῇ κολυμβήθρᾳ τῶν ὑδάτων ῥήματά ἐστι [o]θεοῦ τὰ γεννῶντα ἡμᾶς καὶ διαπλάττοντα· εἰς γὰρ ὄνομα πατρὸς καὶ υἱοῦ καὶ [p]ἁγίου πνεύματος βαπτιζόμενοι γεννώμεθα. Αὕτη δὲ οὐχὶ φύσεως, ἀλλ' ἐπαγγελίας [q]θεοῦ ἡ γέννησις. Ὥσπερ γὰρ τὴν τοῦ Ἰσαὰκ προαγορεύσας γέννησιν, τότε αὐτὴν ἐπλήρωσεν· οὕτω καὶ τὴν ἡμετέραν πρὸ πολλῶν [r]προανεφώνησε χρόνων διὰ τῶν προφητῶν [s]ἁπάντων, καὶ μετὰ ταῦτα εἰς ἔργον
605 ἐξήγαγεν. Εἶδες ἡλίκον ἀπέδειξε, καὶ πῶς μέγα ἐπαγγειλάμενος κατεσκεύασεν αὐτὸ μετ' εὐκολίας ἁπάσης; Εἰ δὲ λέγοιεν Ἰουδαῖοι, [t]ὅτι τὸ, "Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," τοῦτο [v]εἶναι τὸ τοὺς [w]ἐκ τοῦ Ἰσαὰκ [x]γεννωμένους αὐτῷ λογίζεσθαι εἰς σπέρμα, ἔδει καὶ τοὺς Ἰδουμαίους καὶ πάντας [y]ἐκείνους υἱοὺς [z]χρηματίζειν αὐτοῦ· ὁ γὰρ πρόγονος αὐτῶν Ἡσαῦ υἱὸς ἦν τοῦ Ἰσαάκ. Νῦν δὲ οὐ μόνον οὐ χρηματίζουσι παῖδες, ἀλλὰ καὶ σφόδρα εἰσὶν [a]ἀπηλλοτριωμένοι. Ὁρᾷς, ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ φύσει ἡ διὰ
B τοῦ βαπτίσματος ἄνωθεν [b]προϋπογράφεται γέννησις; Εἰ δὲ τὴν [c]μήτραν μοι λέγεις, ἔχω κἀγὼ τὸ ὕδωρ εἰπεῖν. Ἀλλ' ὥσπερ ἐνταῦθα τὸ πᾶν τοῦ πνεύματος, οὕτω κἀκεῖ [d]τὸ πᾶν τῆς ἐπαγγελίας· τοῦ γὰρ ὕδατος ψυχροτέρα ἦν ἡ μήτρα διὰ τὴν (138
στείρωσιν καὶ τὸ γῆρας. Καταμάθωμεν τοίνυν ἡμῶν τὴν εὐγένειαν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἀξίαν αὐτῆς ἐπιδειξώμεθα πολιτείαν· οὐδὲ γὰρ ἔχει τι σαρκικὸν οὐδὲ γεῶδες. Μὴ τοίνυν μηδὲ ἡμεῖς. Οὐδὲ γὰρ ὕπνος, οὐδὲ θέλημα σαρκὸς καὶ περι-

[12] v. 9.

[h] Haec τί ἐστι κ. δ. ἐπαγγελίας om. B.H. et a pr. man. F. [i] ἐλεύσομαι πρὸς σὲ Edd. πρὸς σὲ om. A.B.D.F.H.I. Mosqq. [k] τοίνυν ἡ ἐπ.] Sic A.B.C.D.F.H.I. Cat. ἡ ἐπ. τοίνυν Edd. [l] τὰ ῥήματα A.F.H.I. [m] ἀλλὰ τῆς ἐπ. ἡ ἰσχὺς A.D.F.H.I. Cat. [n] τῶν τ. θ. ῥημάτων omnes. τῶν ῥ. τοῦ θ. Edd. [o] τοῦ θεοῦ Edd. τοῦ om. A.B.D.H.I. [p] πν. ἁγίου inverso ord. D.F.H. [q] τοῦ θεοῦ Edd. τοῦ om. A.B.C.D.F.H. Cat. [r] ἀνεφώνησε B. Veron. [s] ἁπάντων om. A.D.F.H.I. [t] Haec ὅτι τὸ——τοῦτο εἶναι absunt ab I. [v] εἶναι] ἐστι Cat. [w] ἐκ τοῦ] ἀπὸ I. [x] γενομένους F.H.I. Cat. [y] ἐκείνους] Sic libri omnes et Cat. τοὺς ἀπ' ἐκείνου Edd. [z] αὐτοῦ χρ. inverso ord. A.F.H.I. Cat. [a] ἠλλοτρ. D.F.H.I. Cat. [b] προϋπογράφεται C.D.F. Veron. προϋπογράφηται Sav. Mor. Ben. προϋπογέγραπτο Cat. [c] μητέρα A.F.I. [d] τὸ πᾶν om. B.C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλοκαὶ, οὐδὲ οἶστρος ἐπιθυμίας, ἀλλὰ [e]φιλανθρωπία θεοῦ τὸ πᾶν ἐποίησε. Καὶ καθάπερ ἐκεῖ τῆς ἡλικίας ἀπογνωσθείσης, οὕτω καὶ ἐνταῦθα τοῦ γήρως τῶν ἁμαρτημάτων ἐπελθόντος, C ἐξαίφνης νέος ἀνῆλθεν ὁ [f]Ἰσαὰκ, καὶ πάντες τοῦ θεοῦ γεγόναμεν παῖδες, καὶ σπέρμα τοῦ Ἀβραάμ.

13 "Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν." Μέγα τὸ ζητούμενον ἦν· διὸ καὶ πολλοὺς [g]κινεῖ λογισμοὺς, καὶ πανταχόθεν ἐπιχειρεῖ λῦσαι τὴν ἀπορίαν. Εἰ γὰρ [h]καὶ παράδοξον καὶ καινὸν τὸ μετὰ τοσαύτας ἐπαγγελίας ἐκπεσεῖν ἐκείνους, πολλῷ παραδοξότερον, [i]τὸ καὶ ἡμᾶς εἰς τὰ ἐκείνων εἰσελθεῖν ἀγαθὰ, τοὺς μηδὲν προσδοκήσαντας τοιοῦτον. Καὶ ταὐτὸν ἐγένετο, οἷον ἂν εἰ βασιλέως υἱὸς [k]ἐπαγγελίας ἔχων τὴν ἀρχὴν διαδέξασθαι τὴν ἐκείνου, εἰς D τὴν τῶν ἀτίμων ἐκβληθείη τάξιν, καὶ ἀντ' ἐκείνου κατάδικος ἄνθρωπος καὶ μυρίων γέμων κακῶν, ἐκβληθεὶς τοῦ δεσμωτηρίου, τὴν ἀρχὴν λάβοι τὴν ἐκείνῳ προσήκουσαν. Τί γὰρ ἂν ἔχοις εἰπεῖν, φησίν; Ὅτι ἀνάξιος ὁ υἱός; Ἀλλὰ καὶ οὗτος ἀνάξιος, καὶ πολλῷ μᾶλλον. Οὐκοῦν ἔδει [l]ἢ ὁμοῦ κολάζεσθαι, ἢ ὁμοῦ τιμᾶσθαι. Τοιοῦτον δή τι καὶ ἐπὶ τῶν ἐθνῶν γέγονε, καὶ [m]ἐπὶ τῶν Ἰουδαίων, καὶ πολλῷ τούτου παραδοξότερον. Ὅτι μὲν γὰρ [n]πάντες ἀνάξιοι, ἐδήλωσεν ἐν τοῖς εἰρημένοις, εἰπὼν, "Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ·" E τὸ δὲ καινὸν, ὅτι πάντων ἀναξίων ὄντων, τὰ ἔθνη διεσώθη [o]μόνα. Μετὰ δὲ τούτων καὶ ἕτερον ἄν τις διαπορήσειε πάλιν, φησίν· εἰ γὰρ μὴ ἔμελλε πληροῦν αὐτοῖς τὰς ὑποσχέσεις ὁ θεὸς, τίνος ἕνεκεν [p]καὶ ὑπισχνεῖτο; Ἄνθρωποι μὲν γὰρ οἱ τὸ μέλλον [q]μὴ εἰδότες, πολλάκις ἀπατώμενοι, καὶ τοῖς οὐκ ἀξίοις τὰς αὐτῶν λαβεῖν δωρεὰς ἐπαγγέλλονται· ὁ δὲ καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα προειδὼς, καὶ σαφῶς ἐπιστάμενος, ὅτι ἀναξίους ἑαυτοὺς καταστήσουσι [r]τῶν ὑποσχέσεων, καὶ διὰ τοῦτο οὐδὲν λήψονται τῶν εἰρημένων, τίνος ἕνεκεν καὶ ἐπαγγέλλεται; Πῶς οὖν αὐτὰ ἔλυσεν ὁ Παῦλος; Ἀπὸ τοῦ δεῖξαι [s]τίς ἐστιν ὁ Ἰσραὴλ, ᾧ ὑπέσχετο. Τούτου γὰρ δειχθέντος, [t]κἀκεῖνο συναποδέδεικται, τὸ πεπληρῶσθαι τὰς ἐπαγγελίας ἁπάσας. 610

13 v. 10.

[e] φιλ. θεοῦ pro θεοῦ φιλ. A.C.D.F.H.I. [f] Ἰσαὰκ] Sic libri omnes et Sav. marg. ἄνθρωπος Edd. [g] ἐκίνει A.F.I. [h] καὶ om. A.D.F.H. Cat. [i] τὸ om. A.F.H. [k] ἐπαγγελίαν C. [l] ἢ om. A. [m] ἐπὶ om. D. [n] πάντες pro ἅπαντες A.C.D.F.I. [o] μόνον B.D.F.I. [p] καὶ om. F.H.I. Cat. [q] μὴ] οὐκ A.D.F.H.I. [r] τῆς ὑποσχέσεως C. [s] τίς] τί E.F.H. [t] κἀκεῖνο pro καὶ ἐκεῖνο C.D.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅπερ [v]οὖν δηλῶν ἔλεγεν, "Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ." Διὰ τοῦτο οὐδὲ τὸ τοῦ Ἰακὼβ ὄνομα τέθεικε, ἀλλὰ [w]τὸ τοῦ Ἰσραήλ· ὅπερ [x]ἀρετῆς ἦν τοῦ δικαίου, [y]καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τοῦ θεὸν ἑωρακέναι σύμβολον. Καίτοι φησὶν, ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. Εἰ οὖν πάντες ἥμαρτον, πῶς οἱ μὲν ἐσώθησαν, οἱ δὲ ἀπώλοντο; Ὅτι μὴ πάντες προσελθεῖν ἠβουλήθησαν· ὡς τό γε αὐτοῦ μέρος [z]διεσώθησαν ἅπαντες· καὶ γὰρ ἐκλήθησαν ἅπαντες. Ἀλλὰ τέως τοῦτο οὐ τίθησιν, ἀλλ' ἐκ περιουσίας αὐτὸ λύει, καὶ [a]ἐκ παραδειγμάτων ἑτέρων, ἄλλο ζήτημα εἰς
B μέσον [b]ἀγαγὼν, καὶ καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔλυσεν ἀπορίαν μεγίστην δι' ἀπορίας ἑτέρας. Ἐπειδὴ γὰρ [c]ἐζητεῖτο, πῶς, τοῦ Χριστοῦ δικαιωθέντος, πάντες ἀπήλαυσαν οἱ λοιποὶ τῆς δικαιοσύνης [d]ἐκείνης, τὸ τοῦ Ἀδὰμ παρεισήγαγε, λέγων· "Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι [e]ὁ θάνατος ἐβασίλευσε, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος λαβόντες, ἐν ζωῇ βασιλεύσουσι." Καὶ τὸ μὲν τοῦ Ἀδὰμ οὐ λύει, τὸ δὲ [f]αὐτοῦ λύει ἐκ τούτου, καὶ δείκνυσιν, ὅτι λόγον ἔχει πλείονα τὸ τὸν ὑπὲρ αὐτῶν ἀποθανόντα ἐξουσίαν ἔχειν αὐτῶν, ὡς [g]ἂν ἐθέλῃ. Τὸ μὲν γὰρ ἑνὸς [h]ἁμαρτόντος πάντας κολάζεσθαι, οὐ σφόδρα δοκεῖ κατὰ λόγον γίνεσθαι τοῖς πολλοῖς· τὸ δὲ ἑνὸς κατορθώ-
C σαντος πάντας δικαιοῦσθαι, καὶ λόγον [i]ἂν ἔχοι μᾶλλον, καὶ τῷ θεῷ πρεπωδέστερον. Ἀλλ' ὅμως οὐκ ἔλυσεν ἐκεῖνο τὸ ἀπορούμενον· ὅσῳ γὰρ ἀσαφέστερον [k]ἔμενε, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἐπεστομίζετο· καὶ ἡ τούτου διαπόρησις ἐπ' ἐκεῖνο μετέβαινε, καὶ σαφέστερον τοῦτο [l]ἐκεῖθεν ἐγίνετο. Οὕτω δὴ καὶ ἐνταῦθα, ἐκ διαπορουμένων [m]ἑτέρων λύει τὰ ζητούμενα· πρὸς (139)
γὰρ Ἰουδαίους ὁ ἀγὼν [n]ἦν αὐτῷ. Διά τοι τοῦτο [o]τὰ μὲν παραδείγματα, ἅπερ ἤγαγεν εἰς μέσον, οὐ σφόδρα λύει· οὐ γὰρ ἦν ὑπεύθυνος [p]τούτοις, ὡς ἐν τῇ πρὸς Ἰουδαίους μάχῃ· τὰ
D δὲ αὐτοῦ πάντα ἐξ ἐκείνων ποιεῖ σαφέστερα. Τί γὰρ θαυμά-

[v] οὖν om. E. [w] τὸ om. I. [x] τῆς ἀρετῆς (sic) A. [y] καὶ om. C. [z] ἐσώθησαν E. Verba καὶ γὰρ ἐκλήθησαν ἅπαντες desunt in H.I. [a] ἐκ om. A.F.H.I. Statim παραδείγματος ἑτέρου A.F.H.I. Cat. [b] ἀγαγὼν pro ἄγων A.B.D.E.F.H.I. Cat. [c] ἐζητεῖτο (ἐζήτει τὸ C. Veron.)] +φησὶ A.F.H.I. [d] ἐκείνης om. H. Mox παρεισάγει I. [e] ὁ om. A.E.F.H. Cat. [f] ἑαυτοῦ C. [g] ἂν] ἐὰν F.H.I. Statim ἐθέλῃ pro θέλῃ A.B.D.E.F.H.I. [h] ἁμαρτόντος B.D.E. ἀποθάνοντος A.F.H.I. ἁμαρτήσαντος Edd. [i] ἂν ἔχοι pro ἔχοι ἄν omnes. [k] ἔμεινεν H. Mox ἐπ' ἐκεῖνα μετ. C. [l] ἐκεῖθεν] ἐκείνου A.F.H. Cat. ἐξ ἐκείνου I. Statim ἐγίνετο A.C.F.H.I. ἐγένετο Cat. γίνεται Edd. [m] ἑτέρων om. H. [n] ἦν om. C. [o] τὰ παραδείγματα παρήγαγεν εἰς μέσον ἃ οὐ σφ. λ. a pr. man. C. [p] τούτοις pro τοιούτοις D.E.F.H.I. et ex corr. C. ἐν τούτοις Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεις, φησὶν, ὅτι Ἰουδαίων οἱ μὲν ἐσώθησαν, οἱ δὲ οὐκ ἐσώθησαν νῦν; Καὶ γὰρ ἄνωθεν τοῦτο ἐπὶ τῶν πατριαρχῶν γινόμενον ἴδοι τις ἄν. Διὰ τί γὰρ ὁ Ἰσαὰκ σπέρμα καλεῖται μόνος, καίτοιγε καὶ τοῦ Ἰσμαὴλ [q]αὐτὸς ἦν πατὴρ καὶ ἑτέρων πλειόνων; [r]Ἀλλὰ ἀπὸ δούλης [s]ἦν μητρός; Καὶ τί τοῦτο πρὸς τὸν γεγεννηκότα; Πλὴν οὐδὲν φιλονεικῶ· [t]ἐκβαλλέσθω διὰ τὴν μητέρα οὗτος· τί ἂν εἴποιμεν περὶ τῶν ἀπὸ τῆς Χεττούρας; οὐχὶ ἐλεύθεροι, καὶ ἐξ ἐλευθέρας; διὰ τί μὴ [v]τοῖς αὐτοῖς [w]ἐτιμήθησαν προεδρίοις τῷ Ἰσαάκ; Καὶ τί λέγω τούτους; Ἡ Ε γὰρ Ῥεβέκκα καὶ μόνη [x]τῷ Ἰσαὰκ γέγονε γυνὴ, καὶ δύο τεκοῦσα παῖδας, ἐκ τοῦ Ἰσαὰκ [y]ἔτεκεν ἀμφοτέρους· ἀλλ' ὅμως οἱ τεχθέντες τοῦ αὐτοῦ πατρὸς ὄντες, τῆς αὐτῆς μητρὸς, [z]τὰς αὐτὰς λύσαντες ὠδῖνας, καὶ ὁμοπάτριοι ὄντες καὶ ὁμομήτριοι, καὶ πρὸς τούτοις καὶ δίδυμοι, οὐ τῶν αὐτῶν ἀπήλαυσαν. Καίτοιγε ἐνταῦθα οὐ δουλείαν [a]ἔχεις αἰτιάσασθαι μητρὸς, ὡς ἐπὶ τοῦ Ἰσμαὴλ, [b]οὐ τὸν μὲν ἐκ ταύτης, τὸν δὲ ἐξ ἑτέρας [c]γεγεννῆσθαι νηδύος, καθάπερ ἐπὶ τῆς Χεττούρας καὶ τῆς Σάρρας, ὅπου γε καὶ τῆς ὥρας αὐτῆς ἐκοινώνησαν τῶν ὠδίνων. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος [d]ὡς ἐπὶ σαφέστερον ἐξελθὼν παράδειγμα, "Οὐ μόνον δὲ" ἐπὶ τοῦ Ἰσαὰκ τοῦτο συνέβη, φησὶν, "ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. 611
[14]Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ [e]κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν [f]πρόθεσις τοῦ θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, [g]ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι· καθὼς [h]γέγραπται, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα." Τίνος οὖν ἕνεκεν [i]ὁ μὲν ἐφιλεῖτο, ὁ δὲ ἐμισεῖτο; διὰ τί ὁ μὲν ἐδούλευεν, ὁ δὲ ἐδουλεύετο; Ἐπειδὴ ὁ μὲν πονηρὸς, ὁ δὲ ἀγαθὸς ἦν. Καίτοι μηδέπω γεννηθέντων, ὁ μὲν ἐτιμᾶτο, ὁ δὲ κατεδικάζετο· οὔπω γὰρ γεννηθέντων, ὁ θεὸς ἔλεγεν, ὅτι "ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι." Τίνος Β

14 v. 11—13.

[q] αὐτὸς pro οὗτος A.C.D.E.F.H.I. Cat. [r] ἀλλὰ sine elisione B.C. Cat. fortasse alii. [s] ἦν, φησὶ, μητρὸς C. ἦν μ. φησὶ Cat. [t] ἐκβαλλέσθω A.B.D.F.H. ἐκβαλέσθω Edd. [v] τοῖς αὐτοῖς . . . προεδρίοις] ταῖς αὐταῖς . . . προεδρίαις C. ἐκ τῆς αὐτῆς . . . προεδρίας I. [w] ἐτιμ.] προετιμ. A.H. οὖν ἐτιμ. E. Statim τοῦ Ἰσαὰκ C. [x] τοῦ Ἰσ. C. Statim ἐγένετο pro γέγονε A.D.F.H.I. Cat. [y] ἔσχεν C. [z] τὰς αὐτὰς om. I. [a] ἔχοις I. Statim αἰτιάσασθαι pro αἰτιᾶσθαι omnes. [b] οὐ pro οὐδὲ A.D.E.F.H.I. οὐ τὸν] οὐ τοῦτον C. οὐ τὸν μὲν ἐξ ἑτέρας, τὸν δὲ ἐκ ταύτης A.D.E.H.I. [c] γεγεννῆσθαι pro γεγενῆσθαι A.C.E. Ita tacite edidit Montef. [d] ὡς ἐπὶ παραδείγματος ἐξελθὼν σαφεστέρου C. [e] κακὸν] φαῦλον C. [f] πρόθ. τοῦ θ. pro τοῦ θ. πρόθ. A.C.D.E.F.H.I. Mosqq. [g] ἐρρέθη B.C.D.E.H. ἐρρήθη Edd. [h] γέγραπται]+ὅτι C. [i] ὁ μὲν ἐμισεῖτο, ὁ δὲ ἐφιλεῖτο A.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν ἕνεκεν τοῦτο εἶπεν ὁ θεός; Ὅτι οὐκ ἀναμένει, καθάπερ ἄνθρωπος, ἀπὸ τοῦ τέλους τῶν [k]πράξεων ἰδεῖν τὸν ἀγαθὸν καὶ τὸν οὐ τοιοῦτον, ἀλλὰ καὶ πρὸ τούτων οἶδε τίς μὲν ὁ [l]πονηρὸς, τίς δὲ ὁ μὴ τοιοῦτος. [m]Καὶ τοῦτο καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν γέγονε μετὰ πλείονος τοῦ θαύματος. Τί γὰρ λέγω, φησὶ, περὶ τοῦ Ἡσαῦ [n]καὶ τοῦ Ἰακὼβ, ὧν ὁ μὲν πονηρὸς ἦν, ὁ δὲ ἀγαθός; Ἐπὶ [o]γὰρ τῶν Ἰσραηλιτῶν κοινὸν τὸ ἁμάρτημα ἦν· πάντες γὰρ τὸν μόσχον προσεκύνησαν. Ἀλλ' ὅμως οἱ μὲν ἠλεήθησαν, οἱ δὲ οὐκ ἠλεήθησαν. "Ἐλεήσω γὰρ, C φησὶν, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." [p]Τοῦτο καὶ ἐπὶ τῶν κολαζομένων ἴδοι τις ἄν. Τί γὰρ ἂν εἴποις περὶ τοῦ Φαραὼ, ὅτι ἐκολάσθη καὶ τοσαύτην ἔδωκε δίκην; Ὅτι σκληρὸς ἦν καὶ ἀπειθής; [q]Ἆρ' οὖν αὐτὸς μόνος, ἄλλος δὲ οὐδὲ εἷς; πῶς οὖν [r]αὐτὸς οὕτω σφοδρῶς ἐκολάζετο; Τί δήποτε [s]δὲ καὶ ἐπὶ τῶν Ἰουδαίων τὸν οὐ λαὸν ἐκάλεσε λαὸν, καὶ πάλιν οὐ πάντας τῆς αὐτῆς ἠξίωσε τιμῆς; [15] "Ἐὰν γὰρ ὦσι, φησὶν, [t]ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ [v]κατάλειμμα σωθήσεται." Καὶ τίνος ἕνεκεν τὸ κατάλειμμα μόνον; Ὁρᾷς ὅσης ἀπορίας [w]ἐνέπλησε τὰ προκείμενα; Καὶ μάλα εἰκότως. Ὅταν γὰρ ἐξῇ D τὸν ἀντίδικον εἰς ἀπορίαν ἐμβαλεῖν, μὴ εὐθέως τὴν λύσιν ἔπαγε. Εἰ γὰρ [x]καὶ αὐτὸς φανείη τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος ὤν, τί κινδύνους αὐτὸς [y]ἀναδέχῃ περιττούς; τί θρασύτερον ποιεῖς ἐκεῖνον, τὸ πᾶν ἐπὶ σαυτὸν ἕλκων; Εἰπὲ γάρ μοι, ὦ Ἰουδαῖε, τοσαῦτα ἀπορῶν, καὶ λύειν οὐδὲν τούτων δυνάμενος, πῶς ὑπὲρ τῆς τῶν ἐθνῶν κλήσεως ἡμῖν πράγματα παρέχεις; Καίτοιγε ἐγὼ ἔχω [z]καὶ αἰτίαν δικαίαν εἰπεῖν, δι' ἣν τὰ ἔθνη ἐδικαιώθη, ὑμεῖς δὲ [a]ἐξεπέσετε. Τίς οὖν ἡ αἰτία; Ὅτι οἱ μὲν ἐκ πίστεως, ὑμεῖς δὲ ὡς ἐξ ἔργων νόμου· καὶ [b]ταύτῃ φιλονεικήσαντες προε- E δόθητε [c]πανταχόθεν. [16] "Ἀγνοοῦντες [d]γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, φησὶ, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, (140) τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν."

Ἡ μὲν οὖν λύσις τοῦ χωρίου παντὸς, ὡς ἐν κεφαλαίῳ τὸ πᾶν

15 Esai. x. 22. 16 Rom. x. 3.

[k] πράξεων libri omnes et Cat. πραγμάτων Edd. [l] πονηρὸς] φαῦλος C. [m] καὶ om. B.D.E. [n] καὶ]+περὶ D.E.F.H.I. Cat. [o] γὰρ om. D.E. Alterum γὰρ om. E. [p] τοῦτο]+γὰρ I. [q] ἆρα οὖν D.H.I. ἆρα δὲ E. [r] αὐτὸς pro οὗτος B.C.D.E. αὐτὸς om. H. οὕτω om. B. [s] δὲ om. A.C.H.I. Cat. [t] ὡς ἡ pro ὡσεὶ C.E.I. [v] ἐγκατάλειμμα I. Verba καὶ τίνος——μόνον om. H. Cat. [w] ἐνεπλήρωσε C. [x] καὶ om. B. [y] ἀναδέχῃ B.D.E. et corr. in marg. F. ἀνέχῃ Edd. [z] καὶ accessit ex A.B.C.D.E.F.H. Statim δικαίαν εἰπεῖν pro εἰπεῖν δικαίαν omnes. [a] ἐξεπέσατε C.F.H.I. [b] ταύτῃ A.B.C. D.E.H. ταῦτα Edd. [c] πανταχόθεν] πάντες A.F.H.I. Cat. πανταχόθεν πάντες B. [d] γὰρ]+φησὶ C.I. Mox φησὶ accessit ex A.B.D.E.H. Cat.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

εἰπεῖν, οὕτω προάγεται [e]παρὰ τῆς μακαρίας ἐκείνης ψυχῆς. Ἵνα δὲ καὶ σαφέστερα ταῦτα γένηται, [f]καὶ καθ' ἕκαστον τῶν εἰρημένων [g]ποιησώμεθα τὴν ἐξέτασιν, ἐκεῖνο εἰδότες, ὅτι τὸ σπουδαζόμενον τῷ μακαρίῳ Παύλῳ τοῦτο ἦν, [h]δεῖξαι διὰ πάντων τῶν εἰρημένων, ὅτι τοὺς ἀξίους ὁ θεὸς οἶδε μόνος, ἀνθρώπων δὲ [i]οὐδὲ εἷς, κἂν σφόδρα [k]εἰδέναι δοκῇ, ἀλλὰ [l]πολλαχοῦ διαπίπτει τὰ τῆς ψήφου ταύτης. Ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος, αὐτὸς οἶδε [m]σαφῶς, τίνες μὲν στεφάνων ἄξιοι, τίνες δὲ κολάσεως καὶ τιμωρίας. Διὰ δὴ τοῦτο καὶ 612
πολλοὺς παρὰ τοῖς ἀνθρώποις νομιζομένους ἀγαθοὺς εἶναι ἐκόλασε διελέγξας, καὶ πονηροὺς ὑποπτευομένους ἐστεφάνωσε, δείξας οὐκ ὄντας τοιούτους· οὐκ ἀπὸ τῆς τῶν [n]δούλων γνώμης, ἀλλ' ἀπὸ τῆς οἰκείας κρίσεως τῆς ἀκριβοῦς καὶ ἀδεκάστου τὴν ψῆφον φέρων, καὶ οὐκ ἀναμένων ἀπὸ τῆς τῶν [o]πράξεων ἐκβάσεως ἰδεῖν τὸν φαῦλον καὶ τὸν οὐ τοιοῦτον. Πλὴν ἀλλ' [p]ἵνα μὴ πάλιν ἀσαφέστερον τὸν λόγον ποιήσωμεν, ἐπ' αὐτὰ τὰ ῥήματα ἴωμεν τὰ ἀποστολικά. "Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα." Ἠδυνάμην μὲν [q]γὰρ, φησὶν, B
εἰπεῖν καὶ τοὺς ἀπὸ τῆς Χεττούρας, ἀλλ' οὐ λέγω· ἀλλ' ὥστε ἐκ περιουσίας τὴν νίκην ἄρασθαι, τοὺς ἐξ ἑνὸς [r]πατρὸς καὶ μιᾶς τεχθέντας μητρὸς, τούτους εἰς μέσον ἄγω. Καὶ γὰρ ἀπὸ τῆς Ῥεβέκκας ἦσαν ἀμφότεροι, καὶ ἀπὸ τοῦ Ἰσαὰκ τοῦ γνησίου παιδὸς, τοῦ δοκίμου, τοῦ πάντων προτιμηθέντος, περὶ οὗ ἔφησεν, "Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," τοῦ πατρὸς ἡμῶν πάντων γενομένου. Εἰ δὲ πατὴρ ἡμῶν ἐκεῖνος, καὶ τοὺς ἐξ ἐκείνου [s]πατέρας ἔδει εἶναι· ἀλλ' οὐκ ἐγένοντο. Εἶδες πῶς οὐκ ἐπὶ τοῦ Ἀβραὰμ [t]μόνον τοῦτο συμβαίνει, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ παιδὸς, καὶ [v]πανταχοῦ πίστις καὶ ἀρετή ἐστιν ἡ διαλάμπουσα, καὶ τὴν ἀκριβῆ συγγένειαν χαρακτηρίζουσα; C
Ἐντεῦθεν γὰρ μανθάνομεν, ὅτι οὐ μόνον διὰ τὸν τρόπον τῆς γεννήσεως, ἀλλὰ καὶ διὰ τὸ [w]ἄξιοι εἶναι τῆς ἀρετῆς τοῦ γεγεννηκότος, οἱ παῖδες καλοῦνται παῖδες ἐκείνου. Εἰ γὰρ ἀπὸ τοῦ τρόπου τῆς [x]γεννήσεως μόνον, ἔδει καὶ τὸν Ἡσαῦ τῶν

[e] παρὰ] ὑπὸ C. Mox φωνῆς pro ψυχῆς I. [f] καὶ accessit ex A.B.C.D.F. H.I. Cat. [g] ποιησόμεθα A.B.C.H. [h] δεῖξαι pro διδάξαι omnes. [i] οὐδὲ εἷς B.C.D.E.F.I. Cat. οὐδεὶς Edd. [k] εἶναι C. [l] πανταχοῦ A.F.H.I. [m] σαφῶς om. A.D.E.F.H.I. [n] δούλων] πολλῶν C. Mox οἰκείας om. idem. [o] πραγμάτων C. [p] ἵνα μὴ π. ἀσαφ.] ἵνα σαφέστερον I. [q] γὰρ om. C. εἰπεῖν om. I. [r] πατρὸς om. A.F.H.I. [s] πατέρας ἔδει] ἔδει πατέρας C. [t] μόνον τοῦτο pro τοῦτο μόνον A.D.E.F.I. μόνου τοῦτο C. μόνον om. H. [v] ἅπανταχοῦ C. Mox διαχαρακτ. idem. [w] ἄξιον B. ἀξίους Veron. [x] γενέσεως B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν ἀπολαῦσαι τῷ Ἰακώβ· καὶ γὰρ καὶ [y]οὗτος ἀπὸ νενεκρωμένης μήτρας ἦν, καὶ στεῖρα ἦν ἡ μήτηρ αὐτοῦ. Ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ ὁ τρόπος, ὅπερ οὐ τὸ τυχὸν καὶ εἰς βίου [z]συμβάλλεται διδασκαλίαν ἡμῖν. Καὶ οὐ
D λέγει, ὅτι [a]ἐπειδὴ ὁ μὲν ἀγαθὸς, ὁ δὲ πονηρὸς, [b]διὰ τοῦτο προετιμήθη, ἵνα μὴ εὐθέως ἀντιπέσῃ αὐτῷ τοῦτο· τί οὖν; ἀγαθοὶ οἱ ἐξ ἐθνῶν μᾶλλον ἢ οἱ ἐκ περιτομῆς; Εἰ γὰρ καὶ οὕτως εἶχεν ἡ τοῦ πράγματος ἀλήθεια, ἀλλ' οὔπω [c]αὐτὸ τίθησι· καὶ γὰρ ἐδόκει φορτικώτερον εἶναι· ἀλλ' ἐπὶ τὴν τοῦ θεοῦ γνῶσιν τὸ πᾶν ἔρριψεν, [d]ἤτινι μάχεσθαι οὐδεὶς ἂν ἐτόλμησεν, οὐδὲ εἰ σφόδρα μαινόμενος ἦν. "Μήπω γὰρ γεννηθέντων, φησὶν, [e]ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι." Καὶ δείκνυσιν, [f]ὅτι οὐδὲ ἡ κατὰ σάρκα εὐγένεια ὠφελεῖ, ἀλλὰ
E ψυχῆς ἀρετὴν [g]δεῖ ζητεῖν, ἣν καὶ πρὸ τῶν ἔργων ὁ θεὸς οἶδε. "Μήπω γὰρ γεννηθέντων, φησὶ, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ, [h]ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι." Τοῦτο γὰρ προγνώσεως, τὸ καὶ ἐξ ὠδίνων αὐτῶν ἐκλέγεσθαι. [i]"Ἵνα οὖν φανῇ τοῦ θεοῦ, φησὶν, ἡ ἐκλογὴ ἡ κατὰ πρόγνωσιν γενομένη, ἐκ πρώτης ἡμέρας [k]καὶ τὸν ἀγαθὸν, καὶ τὸν [l]οὐ τοιοῦτον καὶ [m]εἶδε καὶ ἀνεκήρυξε. Μὴ τοίνυν [n]μοι λέγε, φησὶν, ὅτι νόμον ἀνέγνως καὶ προφήτας, καὶ τοσοῦτον ἐδούλευσας χρόνον. Ὁ γὰρ εἰδὼς [o]ψυχὴν δοκιμάζειν, οὗτος οἶδε καὶ τίς ἄξιός ἐστι σωθῆναι. Παραχώρει [p]τοίνυν τῷ ἀκαταλήπτῳ τῆς ἐκλογῆς·
613 καὶ γὰρ μόνος αὐτὸς οἶδεν ἀκριβῶς στεφανοῦν. Πόσοι γοῦν τοῦ Ματθαίου βελτίους εἶναι ἐδόκουν κατὰ τὴν τῶν ἔργων [q]ἐπίδειξιν τὴν φαινομένην; Ἀλλ' ὁ τὰ ἀπόρρητα εἰδὼς, καὶ διανοίας ἐπιτηδειότητα δοκιμάσαι δυνάμενος, [r]καὶ ἐν τῷ βορβόρῳ

[y] αὐτὸς A.E.F.H.I. [z] διδασκ. συμβάλλεται inverso ord. A.E.F.H.I. [a] ἐπειδὴ om. A.C. [b] διὰ] καὶ διὰ A.C. [c] αὐτὸ]+τοῦτο C. Idem post ἐδόκει add. αὐτό. [d] ἤτινι] ᾗ B.C.D.E. Statim μάχεσθαι A.C.D.F.H.I. Cat. μαχέσασθαι Edd. [e] ἐρρήθη D.E.F.I. [f] ὅτι οὐδὲ ἡ κ. σ. εὐ. ὠφελεῖ] Sic A. C. D. E. F. H. I. Cat. οὐδὲν pro οὐδὲ B. Edebatur ὅτι ἡ κ. σ. εὐ. οὐδὲν ὠφελεῖ. [g] δεῖ]+φιλεῖν καὶ B. [h] ἐρρήθη A.C.D.E.F.I. [i] Editi, ἵνα φανῇ, φησὶ, τοῦ θεοῦ ἡ ἐκλογὴ ἡ κατὰ πρόθεσιν καὶ πρόγνωσιν γενομένη. ἐκ πρώτης γὰρ ἡμέρας. Post ἵνα, οὖν est in libris omnibus et Cat. Deinde φησὶ, φανῇ τ. θ. C. φανῇ τ. θ. φησὶν A.D.E.F.H.I. φησὶ om. Cat. Mox verba πρόθεσιν καὶ absunt a libris omnibus et Ed. Veron. Statim γινομένη E.I. Denique γὰρ deest in omnibus. [k] καὶ om. B.C. [l] οὐ τοιοῦτον] φαῦλον C. [m] εἶδε] προεῖδε I. οἶδε D.E. Hoc tacite recepit Montef. Statim ἀνεκήρυξε pro ἐκήρυξε omnes. [n] μοι λ.] λ. μοι C. μοι om. I. Statim φησὶν, ὅτι νόμον pro ὅτι νόμον, φησὶν omnes. [o] ψυχὴν, καὶ δοκιμάζειν οὗτος οἶδε, καὶ Veron. Sav. Mor. ψυχὴν καὶ δοκιμάζειν, οὗτος οἶδε καὶ Ben. Sed καὶ ante δοκιμάζειν deest in omnibus. [p] τοίνυν]+αὐτῷ G. Mox καὶ γὰρ καὶ οὗτος μόνος οἶδεν idem. [q] ἐπίδειξιν] βελτίωσιν G. [r] καὶ om. A.D.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν μαργαρίτην κείμενον ἔγνω, καὶ τοὺς ἄλλους [s]παραδραμὼν, καὶ τούτου τὴν εὐμορφίαν θαυμάσας, αὐτὸν ἐξελέξατο, καὶ τῇ τῆς προαιρέσεως εὐγενείᾳ τὴν [t]παρ' ἑαυτοῦ προσθεὶς χάριν, (141) δόκιμον αὐτὸν ἀπέφηνεν. Εἰ γὰρ ἐπὶ τῶν [v]τεχνῶν τούτων τῶν ἐπικήρων, καὶ τῶν ἄλλων [w]πραγμάτων ἁπάντων, οἱ [x]δεινοὶ κρίνειν οὐκ ἀφ' ὧν οἱ ἰδιῶται ψηφίζονται, ἀπὸ τούτων ἐκλέ- B γονται τὰ προκείμενα, ἀλλ' ἀφ' ὧν ἴσασιν αὐτοὶ σαφῶς, καὶ τὸ μὲν παρὰ τοῖς ἰδιώταις δοκιμασθὲν πολλάκις ἠτίμασαν, τὸ δὲ ἀτιμασθὲν [y]ἐνέκριναν· καὶ πωλοδάμναι πολλάκις ἐπὶ τῶν ἵππων τοῦτο ἐποίησαν, καὶ οἱ τῶν τιμίων λίθων κριταὶ, καὶ οἱ τῶν ἄλλων δὲ τεχνῶν δημιουργοί· πολλῷ μᾶλλον ὁ φιλάνθρωπος θεὸς, ἡ ἄπειρος [z]σοφία, ὁ μόνος πάντα εἰδὼς σαφῶς, οὐκ ἀνέξεται τῆς τῶν ἀνθρώπων ὑπονοίας, ἀλλ' ἀπὸ τῆς οἰκείας σοφίας τῆς ἀκριβοῦς καὶ ἀδιαπτώτου τὴν περὶ πάντων οἴσει ψῆφον. Διά τοι τοῦτο καὶ τελώνην ἐξελέξατο καὶ λῃστὴν καὶ πόρνην· ἱερέας [a]δὲ καὶ πρεσβυτέρους καὶ ἄρχοντας [b]ἠτίμασε C καὶ ἐξέβαλε. Τοῦτο καὶ ἐπὶ τῶν μαρτύρων συμβαῖνον ἴδοι τις ἄν. Πολλοὶ γοῦν τῶν σφόδρα ἀπερριμμένων ἐν καιρῷ τῶν ἀγώνων ἐστεφανώθησαν· καὶ τοὐναντίον, μεγάλοι παρὰ πολλοῖς νομισθέντες εἶναί τινες, ὑπεσκελίσθησαν καὶ [c]κατέπεσον. Μὴ τοίνυν εὐθύνας ἀπαίτει τὸν δημιουργὸν, μηδὲ [d]λέγε, διὰ τί ὁ μὲν ἐστεφανώθη, ὁ δὲ ἐκολάσθη; οἶδε [e]γὰρ μετὰ ἀκριβείας ταῦτα ποιεῖν. Διὸ καὶ ἔλεγε· "Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα." "Οτι [f]γὰρ δικαίως, σὺ μὲν ἀπὸ τοῦ τέλους ἔγνως, αὐτὸς δὲ καὶ πρὸ τοῦ τέλους ἤδει σαφῶς. Οὐδὲ γὰρ D ἔργων ἐπίδειξιν ζητεῖ μόνον ὁ θεὸς, ἀλλὰ καὶ προαιρέσεως εὐγένειαν καὶ γνώμην εὐγνώμονα. Ὁ γὰρ τοιοῦτος, [g]κἂν ὑπὸ περιστάσεώς τινός [h]ποτε ἁμάρτῃ, ταχέως [i]ἑαυτὸν ἀνακτήσεται· κἂν ἐν κακίᾳ διατρίβων τύχῃ, οὐ περιοφθήσεται, ἀλλὰ ταχέως αὐτὸν [k]ἀνιμήσεται ὁ πάντα εἰδὼς θεός· [l]ὥσπερ οὖν ὁ ταύτῃ διεφθαρμένος, κἂν ἀγαθόν τι δόξῃ ποιεῖν, ἀπολεῖται μετὰ πονηρᾶς τοῦτο ἐργαζόμενος γνώμης. Ἐπεὶ καὶ ὁ Δαυὶδ, καὶ

[s] παραδραμὼν] ἀφεὶς G. [t] παρ' αὐτοῦ χάριν προσθεὶς G. [v] τέκνων G. [w] πρ. ἁπάντων G. ἁπάντων πρ. Edd. ἁπάντων om. A.D.E.F.H.I. [x] δεινοὶ] εἰδότες G. [y] ἔκριναν A.F.H.I. Statim καὶ π. δὲ A.D.E.F.H.I. [z] σοφία] φῶς H. [a] δὲ] τε F.H.I. et ante corr. A. Statim καὶ πρεσβύτας B.G. Veron. [b] ἠτίμασε E.H.I. ἠτοίμασε G. ἠτίμωσε B.D. ἠτίμησε Edd. [c] κατέπεσαν G.H.I. [d] λέγε om. I. [e] γὰρ om. G. [f] γὰρ] δὲ I. γὰρ om. A.F.H. [g] κἂν] ἂν E. Statim ἀπὸ H. [h] ποτὲ om. B.G. Veron. [i] ἑαυτὸν om. H.I. et ante corr. F. Statim ἀνακτήσεται A.B.D.G.I. et ex corr. F. ἀνακτήσηται Edd. [k] ἀνακαλέσεται G. [l] ὥσπερ οὖν ὁ ταύτῃ δ.] Sic G. ὥσπερ ὁ ταυτὶ δ. Edd. ὥσπερ ὅταν ᾖ δ. B. ὥσπερ οὖν ὅταν ᾖ δ. A.D.E. F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φονεύσας καὶ μοιχεύσας, ἐπειδὴ ἀπὸ περιστάσεώς τινος [m]καὶ
Ε συναρπαγῆς, οὐκ ἀπὸ μελέτης τῆς κατὰ τὴν πονηρίαν ταῦτα
εἰργάσατο, ταχέως αὐτὰ [n]ἀπενίψατο· ὁ μέντοι Φαρισαῖος,
οὐδὲν τούτων τολμήσας, ἀλλὰ καὶ ἐν ἄλλοις κομῶν ἀγαθοῖς, τῇ
πονηρᾷ προαιρέσει πάντα ἀπώλεσε.

17 "Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; Μὴ γένοιτο."
Οὐκοῦν οὐδὲ ἐφ' ἡμῶν καὶ τῶν Ἰουδαίων. Εἶτα ἐπάγει ἕτερον
τούτου [o]σαφέστερον. [p]Τὸ ποῖον; 18 "Τῷ γὰρ Μωϋσεῖ λέγει,
ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." Καὶ πάλιν
αὔξει τὴν ἀντίθεσιν, διὰ μέσου διακόπτων αὐτὴν καὶ λύων, καὶ
ἑτέραν πάλιν ἀπορίαν ποιῶν. Ἵνα δὲ σαφέστερον γένηται τὸ
λεγόμενον, ἑρμηνεῦσαι αὐτὸ ἀναγκαῖον. Εἶπε, φησὶν, ὁ θεὸς,
ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, πρὸ τῆς ὠδῖνος. Τί οὖν;
614 μὴ ἄδικος ὁ θεός; Οὐδαμῶς. Οὐκοῦν ἄκουε καὶ τῶν ἑξῆς. Ἐκεῖ
μὲν γὰρ κἂν ἡ ἀρετὴ [q]καὶ ἡ κακία διέκρινεν· ἐνταῦθα δὲ ἦν τὸ
ἁμάρτημα [r]ἁπάντων ἦν Ἰουδαίων, τὸ τῆς μοσχοποιΐας, καὶ
[s]ὅμως οἱ μὲν ἐκολάσθησαν, οἱ δὲ οὐκ ἐκολάσθησαν. Διὸ [t]καὶ
ἔλεγεν, "Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω."
Οὐ γὰρ σόν ἐστιν εἰδέναι, [v]φησὶν, ὦ Μωϋσῆ, τίνες ἄξιοι
φιλανθρωπίας, ἀλλ' ἐμοὶ παραχώρει [w]τούτου. Εἰ δὲ Μωϋ-
σέως οὐκ ἦν εἰδέναι, πολλῷ μᾶλλον [x]ἡμῶν. Διὰ γὰρ τοῦτο
οὐδὲ ἁπλῶς τέθεικε τὸ εἰρημένον, ἀλλὰ καὶ πρὸς τίνα εἶπεν,
ἐμνημόνευσε· "τῷ γὰρ Μωϋσεῖ, φησὶ, λέγει·" ἵνα καὶ τῷ
Β ἀξιώματι τοῦ προσώπου τὸν ἀντιλέγοντα ἐντρέψῃ. Εἰπὼν
τοίνυν τὴν λύσιν τῶν ἀπορουμένων, διὰ μέσου διακόπτει, πάλιν
ἑτέραν ἀντίθεσιν εἰσάγων, καὶ λέγων· 19 "Ἄρα οὖν οὐ τοῦ
θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ. Λέ-
γει γὰρ ἡ γραφὴ τῷ Φαραώ, ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε,
ὅπως ἐνδείξωμαι [y]ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ
τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ." Ὥσπερ γὰρ ἐκεῖ, φησὶν, οἱ μὲν
ἐσώθησαν, οἱ δὲ ἐκολάσθησαν· [z]οὕτω καὶ ἐνταῦθα οὗτος εἰς
αὐτὸ τοῦτο ἐτηρεῖτο. Εἶτα πάλιν ἀντίθεσιν ἐπάγει. 20 "Ἄρα (142)
οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι, τί

17 v. 14. 18 v. 15. 19 v. 16, 17. 20 v. 18, 19.

[m] καὶ accessit ex F.H.I. Statim συναρπαγῆς A.B.D.E.F.H.I. συναρπαγεὶς Edd. [n] ἀπεπέμψατο H. [o] σαφέστερον] Sic libri omnes et Cat. ἀσαφέστερον Edd. [p] τὸ ποῖον A.B.D.E.F.H. ποῖον G. καὶ ποῖον Edd. [q] καὶ pro κἂν A.B.D.E.F.I. Cat. καὶ bis habet H. [r] ἁπάντων ἦν] Sic A.B.D.E. πάντων ἦν H.I. Cat. ἦν ἁπάντων Edd. [s] ὅμως om. I. [t] καὶ accessit ex B.D.E.F.H.I. Cat. [v] φησὶν, quod aberat, est in B.D.E.F.H.I. Cat. Mox τῆς φιλαν. G. [w] τοῦτο Veron. τούτου Sav. τοῦτου (sic) Mor. τοῦτο revocavit Montef. E libris τοῦτο habet solus G. [x] ὑμῶν B. Veron. [y] ἐν om. G. [z] οὕτω καὶ] οὕτως G. Mox οὗτος αὐτὸς ἐτηρεῖτο idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔτι μέμφεται; τῷ γὰρ [a]βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;" C
Ὁρᾷς πῶς ἐσπούδασεν αὐτὸ ποιῆσαι διὰ πάντων ἄπορον; Καὶ
οὐδὲ τὴν λύσιν εὐθέως ἐπάγει, συμφερόντως [b]καὶ τοῦτο ποιῶν,
ἀλλ' ἐπιστομίζει πρῶτον τὸν ζητοῦντα, λέγων [c]οὕτω· 21 "Με-
νοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ;"
Ποιεῖ δὲ τοῦτο, τὴν ἄκαιρον [d]αὐτοῦ περιεργίαν ἀναστέλλων,
καὶ τὴν πολλὴν πολυπραγμοσύνην, καὶ χαλινὸν [e]περιτιθεὶς, καὶ
παιδεύων εἰδέναι τί μὲν θεὸς, τί δὲ ἄνθρωπος, καὶ πῶς ἀκατά-
ληπτος αὐτοῦ ἡ πρόνοια, καὶ πῶς ὑπερβαίνουσα τὸν ἡμέτερον
λογισμὸν, καὶ πῶς ἅπαντα αὐτῷ πείθεσθαι δεῖ· [f]ἵνα ὅταν τοῦτο D
κατασκευάσῃ παρὰ τῷ ἀκροατῇ, [g]καὶ καταστείλῃ καὶ λεάνῃ τὴν
γνώμην, τότε μετὰ πολλῆς [h]εὐκολίας ἐπάγων τὴν λύσιν, εὐπα-
ράδεκτον αὐτῷ [i]ποιήσῃ τὸ λεγόμενον. Καὶ οὐ λέγει, ὅτι
ἀδύνατον [k]τὰ τοιαῦτα λύειν, [l]ἀλλ' ὅτι παράνομον [m]τὰ τοιαῦτα
ζητεῖν. Δεῖ γὰρ πείθεσθαι τοῖς ὑπὸ τοῦ θεοῦ [n]γινομένοις, [o]οὐ
περιεργάζεσθαι, κἂν τὸν λόγον αὐτῶν ἀγνοῶμεν. Διό φησι,
"Σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ;" Εἶδες πῶς ἐξηυτέλισε,
πῶς κατήνεγκε τὸ φύσημα; "Σὺ τίς εἶ;" Κοινωνὸς εἶ τῆς
ἀρχῆς; ἀλλὰ δικαστὴς ἐκάθισας τῷ θεῷ; Πρὸς γὰρ τὴν ἐκείνου E
σύγκρισιν οὐδὲ εἶναί τι δύνασαι, οὐ τόδε ἢ τόδε, ἀλλ' οὐδὲ εἶναί
τι. Τοῦ γὰρ εἰπεῖν, οὐδὲν εἶ, πολὺ τὸ εἰπεῖν, [p]τίς εἶ, οὐδαμι-
νέστερον. Καὶ [q]ἄλλως πλείονα τὴν ἀγανάκτησιν ἐνδείκνυται
τῇ ἐρωτήσει. [r]Καὶ οὐκ εἶπε, σὺ τίς εἶ ὁ ἀποκρινόμενος τῷ
θεῷ; ἀλλ', "ὁ ἀνταποκρινόμενος," τουτέστιν, ὁ ἀντιλέγων,
ὁ ἐναντιούμενος. Τὸ γὰρ εἰπεῖν, [s]ὅτι οὕτως ἔδει, καὶ οὐχ
οὕτως ἔδει, [t]ἀνταποκρινομένου. Εἶδες πῶς ἐφόβησε, πῶς
κατέπληξε, πῶς τρέμειν μᾶλλον ἐποίησεν, ἢ ζητεῖν καὶ
περιεργάζεσθαι; Τοῦτο ἀρίστου διδασκάλου, [v]τὸ μὴ τῇ τῶν
μαθητῶν ἐπιθυμίᾳ ἕπεσθαι πανταχοῦ, ἀλλ' αὐτοὺς πρὸς τὸ 615

21 v. 20.

[a] βουλήματι A.B.D.E.G.I. Mosqq. θελήματι Edd. [b] καὶ om. A.D.E.F. H.I. Cat. [c] οὕτω] αὐτῷ G. [d] αὐτῶν G. [e] περιθεὶς I. [f] ἵνα ὅταν B.D.E. Veron. ἵν' ὅταν Sav. cet. καὶ ὅταν A.F.I. Cat. [g] καὶ καταστείλῃ om. H. Statim λεάνῃ A.B.D.E.H.I. fortasse alii. λειάνῃ Edd. praeter Ben. [h] τῆς εὐκολίας Edd. τῆς om. E.F.G.I. Cat. [i] ποιήσει H.I. Cat. [k] τὰ τοιαῦτα D.E.F.H.I. Cat. τοιαῦτα B. τὸ τοιαῦτα Edd. [l] ἀλλ' ὅτι] Sic Cat. et Sav. marg. ἀλλὰ τί; Edd. ἀλλὰ τί; ὅτι H. ἀλλὰ τί; ἀλλ' ὅτι A.B.D. E.F.I. [m] τὰ pro τὸ B.D.E.F.H.I. Cat. [n] γινομένοις A.B.G.I. Cat. γενομένοις D.E.F.H. λεγομένοις Edd. [o] οὐ] οὔτε G. καὶ οὐ E. καὶ μὴ Cat. [p] τίς] σὺ τίς A.D.E. Mox οὐδαμινώτερον G. Cat. [q] ἄλλως]+δὲ D.E. [r] Haec καὶ οὐκ εἶπε, σὺ τίς εἶ, et ἀλλ' ὁ ἀνταποκρινόμενος desunt in G. [s] ὅτι om. G. [t] ἀνταποκρινόμενος H. ἀνταποκρινομένου ἐστὶν Edd. ἐστὶν om. B.D.E.F.H.I. et a pr. man. A. [v] τὸ om. G. Mox ἕπεσθαι, ἀλλ' αὐτοὺς πανταχοῦ idem. ἕπεσθαί τε πανταχοῦ καὶ ὑπείκειν, ἀλλ' αὐτοὺς B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκεῖον [w]ἄγειν θέλημα, καὶ τὰς [x]ἀκάνθας ἀνασπᾶν, καὶ τότε [y]καταβάλλειν τὰ σπέρματα, καὶ μὴ εὐθέως πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεσθαι πανταχοῦ.

" Μὴ [z]ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; [22][a]Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ [a]κεραμεὺς, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;" Ἐνταῦθα οὐ τὸ αὐτεξούσιον ἀναιρῶν [b]τοῦτο λέγει, ἀλλὰ δεικνὺς μέχρι πόσου δεῖ πείθεσθαι τῷ θεῷ. [c]Εἰς γὰρ τὸ τὸν θεὸν ἀπαιτεῖν εὐθύνας, οὐδὲν μᾶλλον τοῦ πηλοῦ διακεῖσθαι δεῖ. [d]Οὐ γὰρ δὴ
B μόνον ἀντιλέγειν οὐ χρὴ, οὐδὲ ζητεῖν, ἀλλ' [e]οὐδὲ φθέγγεσθαι ὅλως, οὐδὲ ἐννοεῖν, ἀλλ' ἐοικέναι ἐκείνῳ τῷ ἀψύχῳ, καὶ ταῖς χερσὶν ἑπομένῳ τοῦ κεραμέως, καὶ περιαγομένῳ ὅπουπερ ἂν ἐκεῖνος ἐθέλῃ. Εἰς τοῦτο γὰρ μόνον τὸ ὑπόδειγμα ἔλαβεν, οὐκ εἰς τὴν τῆς πολιτείας ἐπίδειξιν, ἀλλ' εἰς τὴν ἐπιτεταμένην ὑπακοὴν καὶ σιγήν. [f]Καὶ τοῦτο πανταχοῦ δεῖ παρατηρεῖν, ὅτι τὰ ὑποδείγματα οὐ πάντα καθόλου δεῖ λαμβάνειν, ἀλλὰ τὸ χρήσιμον αὐτῶν ἐκλεξαμένους, καὶ εἰς [g]ὅπερ παρείληπται, τὸ
C λοιπὸν ἅπαν ἐᾶν. Ὥσπερ [h]οὖν ὅταν λέγῃ, [23] "Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων," τὸ ἄμαχον καὶ φοβερὸν ἐκλαμβάνομεν, οὐ τὸ θηριῶδες, [i]οὐδὲ ἄλλο τι τῶν τῷ λέοντι προσόντων· καὶ πάλιν ὅταν λέγῃ, [24] "Ἀπαντήσομαι αὐτοῖς, ὡς [k]ἄρκτος ἀπορουμένη," τὸ τιμωρητικόν· καὶ ὅταν λέγῃ, "Ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον," τὸ δαπανητικὸν τὸ ἐκ τῆς κολάσεως· [l]οὕτω καὶ ἐνταῦθα τὸν πηλὸν καὶ τὸν κεραμέα καὶ τὰ σκεύη ἐκλαμβάνειν ἀνάγκη. Καὶ ὅταν [m]δὲ ἐπάγῃ καὶ λέγῃ, "[a]Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς [n]τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;" μὴ εἰς δημιουργίας
D λόγον νόμιζε ταῦτα εἰρῆσθαι τῷ Παύλῳ, [o]μηδὲ εἰς γνώμης ἀνάγκην, ἀλλ' εἰς οἰκονομιῶν ἐξουσίαν καὶ διαφοράν. Εἰ γὰρ μὴ οὕτως ἐκλάβοιμεν, πολλὰ τὰ ἄτοπα ἕψεται. Καὶ γὰρ εἰ

22 v. 21. 23 Num. xxiv. 9. 24 Osee xiii. 8. Deut. iv. 24.

[w] ἐνάγειν I. [x] ἀκάνθας]+πρότερον D.E. Statim ἀνασπᾶν A.B.D.F. G.H.I. ἀποσπᾶν Edd. [y] βάλλειν H. [z] ἐρεῖ]+γάρ φησιν G. [a] κεραμεὺς]+τοῦ πηλοῦ Edd. τοῦ πηλοῦ om. F.G.H.I. Mosqq. [b] ταῦτα G. Mox ποῦ pro πόσου idem. [c] εἰς γὰρ τὸ] οὐ γὰρ δεῖ (et p. p. οὐδὲ pro οὐδέν) G. [d] οὐ γὰρ δὴ pro οὐ δὴ γὰρ A.B.D.E.F.G. Cat. οὐδὲ γὰρ clam edidit Montef. [e] οὐδέ τι φθ. ὅλως ἐννοεῖν G. [f] καὶ τοῦτο om. H. Mox τηρεῖν pro παρατηρεῖν B. [g] ὅπερ] ὃ G. Cat. Statim παρήχθη A.F.H. παρήλθη I. παρήχθησαν Cat. Deinceps τὸ δὲ λ. A.F.G.H. [h] οὖν om. I. [i] οὐδ' ἄλλο A.D.E. Cat. οὔτε ἄλλο I. [k] ἄρκος A.B.I. [l] οὕτω] Sic A.D.E.F.H.I. Cat. οὕτως οὖν Edd. [m] δὲ om. A.F.H.I. [n] τοῦ πηλοῦ om. G. Mox πηλοῦ pro φυράματος idem. [o] μηδὲ pro μὴ B.D.G. et ex corr. F. etiam Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιούτων, ἔσται αὐτὸς δημιουργὸς τούτων, καὶ ὁ ἄνθρωπος πάσης αἰτίας [q]ἐκτός. Φανεῖται δὲ καὶ ὁ Παῦλος οὕτως [r]αὐτὸς
(143) ἑαυτῷ μαχόμενος ὁ πανταχοῦ τὴν προαίρεσιν στεφανῶν. Οὐδὲν [s]τοίνυν ἐνταῦθα ἕτερον κατασκευάσαι βούλεται, ἢ τὸ πεῖσαι τὸν ἀκροατὴν μεθ' ὑπερβολῆς ἁπάσης εἴκειν τῷ θεῷ, καὶ μηδενὸς μηδέποτε ἀπαιτεῖν εὐθύνας αὐτόν. Καθάπερ [t]γὰρ ὁ κεραμεύς, φησὶν, ἐκ τοῦ αὐτοῦ φυράματος ἃ βούλεται ποιεῖ, καὶ οὐδεὶς ὁ ἀντιλέγων· οὕτω καὶ [v]τὸν θεὸν ἐκ τοῦ αὐτοῦ γένους Ε
τῶν ἀνθρώπων τοὺς μὲν κολάζοντα, τοὺς δὲ τιμῶντα μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει, ἀλλὰ προσκύνει μόνον, καὶ μιμοῦ τὸν πηλόν· καὶ καθάπερ ἐκεῖνος ἔπεται ταῖς χερσὶ τοῦ κεραμέως, οὕτω καὶ σὺ τῇ γνώμῃ τοῦ [w]ταῦτα οἰκονομοῦντος. [x]Οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἐργάζεται, κἂν αὐτὸς [y]ἀγνοῇς τὸ τῆς σοφίας ἀπόρρητον. Σὺ δὲ ἐκείνῳ μὲν συγχωρεῖς ἐκ τοῦ αὐτοῦ φυράματος [z]διάφορα ποιεῖν, καὶ οὐκ ἐγκαλεῖς· τοῦτον δὲ εὐθύνας ἀπαιτεῖς τῶν κολάσεων καὶ τῶν τιμῶν, καὶ οὐ 616
πιπραχωρεῖς αὐτῷ εἶδέναι, τίς μὲν ἄξιος, τίς δὲ οὐ τοιοῦτος, ἀλλ' ἐπειδήπερ τὸ αὐτὸ φύραμα [a]τῆς οὐσίας ἐστὶ, καὶ τὰς αὐτὰς προαιρέσεις ἀξιοῖς εἶναι. Καὶ πόσης ταῦτα [b]παραπληξίας; Καίτοιγε οὐδὲ ἐπὶ τοῦ κεραμέως ἐκ [c]τοῦ φυράματος τὸ ἄτιμον καὶ τὸ ἔντιμον, ἀλλ' ἀπὸ τῆς χρήσεως τῶν [d]μεταχειριζομένων, ὥσπερ οὖν καὶ ἐνταῦθα ἀπὸ τῆς προαιρέσεως. Πλὴν, ὅπερ ἔφθην εἰπὼν, εἰς ἓν τοῦτο [e]λαμβάνειν δεῖ μόνον τὸ ὑπόδειγμα, τὸ [f]μὴ δεῖν ἀντιλέγειν τῷ θεῷ, ἀλλὰ παραχωρεῖν αὐτοῦ τῷ ἀκαταλήπτῳ τῆς [g]προνοίας. Καὶ γὰρ τὰ παραδείγματα μείζονα εἶναι [h]δεῖ τῶν προκειμένων, καὶ ὑπὲρ ὧν εἰς μέσον ἄγεται, Β
ὥστε μᾶλλον [i]ἐνάγειν τὸν ἀκροατήν· ἐπεὶ εἰ μὴ [k]μείζω εἴη, καὶ πλείονα ἔχοι τὴν ὑπερβολὴν, οὐκ ἂν ὡς χρὴ καθικέσθαι δυνηθείη, καὶ ἐντρέψαι τὸν ἀντιλέγοντα.

Τὴν μὲν οὖν ἄκαιρον [l]αὐτῶν φιλονεικίαν οὕτως ἐπεστόμισε

[p] Verba *καὶ τῶν ἀγαθῶν——τούτων* om. B. Haec *ἔσται—τούτων* desunt in G. Statim *καὶ ἄνθρωπος* idem. [q] *ἐκτός. φανεῖται δὲ καὶ*] *ἐκτὸς φαίνεται, καὶ* Veron. *ἐκτὸς φανήσεται, καὶ* G. *καὶ* om. E. [r] *αὐτὸς* om. B. E. G. [s] *τοίνυν* om. I. Statim *ἐνταῦθα ἕτερον* pro *ἕτερον ἐνταῦθα* A.D.E.H.I. Cat. [t] *γὰρ* om. G. Veron. [v] *τὸν θεὸν*] *τοῦτον* G. [w] *οἰκον. ταῦτα* inverso ord. A.F.H.I. Cat. [x] *οὐδὲ* I. [y] *ἀγνοῇς* omnes. *ἀγνοεῖς* Edd. [z] *διάφορα*]+*σκεύη* G. [a] *τῆς αὐτῆς οὐσίας* Edd. *αὐτῆς* om. A.B.D.E.F.H.I. Cat. [b] *παραξίας* B. [c] *τοῦ*]+*αὐτοῦ* G. [d] *ἐγχειριζομένων* I. [e] *λ. δεῖ μόνον*] *μόνον δεῖ λ.* G. *μόνον* om. H.I. [f] *μὴ δεῖν*] *μηδὲν* G. [g] *προνοίας* pro *σοφίας* omnes. [h] *δεῖ*] *δοκεῖ* A.B.D. E.H. [i] *ἐνάγειν* omnes. *ἐνεργεῖν* Edd. [k] *μείζω* B.D.E.G.I. *μεῖζον* Edd. [l] *αὐτοῦ* I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τῆς προσηκούσης ὑπερβολῆς· ἐπάγει [m]δὲ λοιπὸν καὶ τὴν λύσιν. Τίς οὖν ἡ λύσις; [25] "Εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν [n]αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης [o]αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ C προητοίμασεν εἰς [p]δόξαν· οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν." [q]Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· σκεῦος ὀργῆς ἦν ὁ Φαραώ· τουτέστιν, [q]ἄνθρωπος τοῦ θεοῦ τὴν ὀργὴν ἀνάπτων διὰ τῆς οἰκείας σκληρότητος· πολλῆς γὰρ ἀπολαύσας μακροθυμίας, οὐκ ἐγένετο βελτίων, ἀλλ' ἀδιόρθωτος [r]ἔμεινε. Διὸ οὐδὲ σκεῦος ὀργῆς αὐτὸν ἐκάλεσε μόνον, ἀλλὰ καὶ, "κατηρτισμένον εἰς ἀπώλειαν" [s]τουτέστιν, ἀπηρτισμένον, οἰκοθεν μέντοι καὶ παρ' ἑαυτοῦ. Οὔτε γὰρ ὁ θεὸς ἐνέλιπέ τι τῶν εἰς [t]τὴν διόρθωσιν ἡκόντων τὴν ἐκείνου, οὔτε αὐτὸς ἐνέλιπέ D τι τῶν ἀπολλύντων [v]αὐτὸν, καὶ πάσης ἀποστερούντων συγγνώμης. Ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ὁ θεὸς, "ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ," βουλόμενος αὐτὸν εἰς μετάνοιαν ἀγαγεῖν· εἰ γὰρ μὴ τοῦτο ἤθελεν, [w]οὐδ' ἂν ἐμακροθύμησεν. [x]Ἐπειδὴ δὲ οὐκ ἠθέλησεν εἰς μετάνοιαν τῇ μακροθυμίᾳ χρήσασθαι, ἀλλ' ἀπήρτισεν ἑαυτὸν εἰς ὀργὴν, ἐχρήσατο αὐτῷ εἰς τὴν ἑτέρων διόρθωσιν, διὰ τῆς εἰς ἐκεῖνον κολάσεως ἑτέρους [y]σπουδαιοτέρους ποιῶν, καὶ τὴν δύναμιν [z]αὐτοῦ ταύτῃ δεικνύς. Ὅτι γὰρ οὐ βούλεται ὁ θεὸς οὕτως [a]αὐτοῦ γνωρίζεσθαι τὸ δυνατὸν, ἀλλ' E ἑτέρως [b]δι' ὧν εὐεργετεῖ, δι' ὧν εὖ ποιεῖ, καὶ τοῦτο διὰ πάντων ἐδήλωσεν ἄνωθεν. Εἰ γὰρ Παῦλος οὐχ οὕτω [c]βούλεται φαίνεσθαι δυνατός· [26] "Οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, φησὶν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε" πολλῷ μᾶλλον ὁ θεός. Ἀλλ' ἐπειδὴ ἐμακροθύμησε μὲν, ἵνα εἰς μετάνοιαν ἀγάγῃ, οὐ μετενόησε δὲ ἐκεῖνος, ἤνεγκεν αὐτὸν ἐπὶ πολὺν χρόνον, ὁμοῦ μὲν τὴν [d]αὐτοῦ χρηστότητα ἐπιδεικνύμενος, ὁμοῦ δὲ καὶ τὴν δύναμιν, εἰ [e]μὴ βουληθείη τι κερδᾶναι ἐκεῖνος ἀπὸ τῆς πολλῆς ταύτης μα-

[25] v. 22—24. [26] 2 Cor. xiii. 7.

[m] δὲ om. H. [n] αὐτοῦ pro αὐτοῦ B.E. fortasse alii. [o] αὐτοῦ A.B.D. E.H. αὑτοῦ Edd. [p] δόξαν]+αὐτοῦ G. [q] ὁ ἄνθρωπος Edd. ὁ abest a B.D.E.G.I. Cat. [r] ἔμενε H. et ex corr. I. necnon Cat. [s] τουτέστι τὸν ἀπ. Edd. τὸν deest in omnibus. Haec τουτέστι——παρ' ἑαυτοῦ om. G. [t] τὴν om. G.I. Statim κατόρθωσιν B.G. Veron. Deinceps ἡκόντων A.B.D. E.G.I. Cat. Veron. εἰκόντων Sav. cet. [v] αὐτὸν pro αὐτὸν A.B.D.E.H.I. Cat. αὐτὸν om. G. [w] οὐδ'] οὐκ H. [x] ἐπειδὴ] ἐπεὶ A.D.E.H.I. Cat. [y] σπουδαιοτέρους] βελτίους G. [z] αὐτοῦ pro αὐτοῦ B.D.E.H. Statim ταύτην F.H. [a] αὐτοῦ pro αὑτοῦ B.D.E.F.H.I. Statim γνωρίσαι A.F.H.I. Cat. [b] δι' ὧν εὐεργετεῖ om. G. [c] φαίνεσθαι βούλεται inverso ord. F.G.I. [d] αὐτοῦ A.B.D.E.H. αὑτοῦ Edd. praeter Ben. [e] μὴ om. G.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κροθυμίας. Ὥσπερ οὖν τοῦτον ἀδιόρθωτον [f] μείναντα κολάσας ἔδειξεν [g] αὐτοῦ τὴν δύναμιν· οὕτω τοὺς πολλὰ ἁμαρτήσαντας [h] καὶ μετανοήσαντας ἐλεήσας, ἐδήλωσεν [i] αὐτοῦ τὴν φιλανθρωπίαν. [k] Ἀλλ' οὐκ εἶπε τὴν φιλανθρωπίαν, ἀλλὰ τὴν δόξαν, 617
δεικνὺς ὅτι τοῦτο μάλιστα δόξα θεοῦ, καὶ τοῦτο πρὸ τῶν ἄλλων
(144) [l] ἁπάντων ἐσπούδακεν. Ὅταν δὲ λέγῃ, "ἃ [m] προητοίμασεν εἰς δόξαν," οὐ τοῦ θεοῦ τὸ πᾶν εἶναί φησιν· ἐπεὶ εἰ τοῦτο ἦν, οὐδὲν [n] ἐκώλυεν ἅπαντας σώζεσθαι· ἀλλὰ πάλιν αὐτοῦ τὴν πρόγνωσιν δείκνυσι, καὶ τὸ μέσον Ἰουδαίων καὶ ἐθνῶν ἀναιρεῖ. Καὶ οὐ μικρὰν [o] καὶ ἐντεῦθεν τῷ λόγῳ κατασκευάζει [p] πάλιν ἀπολογίαν. Οὐδὲ γὰρ μόνον ἐπὶ τῶν Ἰουδαίων οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐσώθησαν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐθνῶν τοῦτο γέγονε. Διόπερ [q] οὐ λέγει τὰ ἔθνη πάντα, ἀλλ', "ἐξ ἐθνῶν·" [r] οὐδὲ, Ἰουδαίους πάντας, ἀλλὰ, "τοὺς [s] ἐξ Ἰουδαίων." Ὥσπερ οὖν ὁ Φαραὼ σκεῦος Β
ὀργῆς γέγονεν ἀπὸ τῆς οἰκείας παρανομίας, οὕτω καὶ οὗτοι σκεύη ἐλέους ἀπὸ τῆς οἰκείας εὐγνωμοσύνης. Εἰ γὰρ καὶ τὸ [t] πλέον ἐστὶ τοῦ θεοῦ, ἀλλ' ὅμως καὶ αὐτοί [v] τι μικρὸν εἰσήνεγκαν. Διὸ οὐδὲ εἶπε, σκεύη κατορθωμάτων, οὐδὲ, σκεύη παρρησίας, ἀλλὰ, "σκεύη ἐλέους," δεικνὺς ὅτι τὸ πᾶν ἐστι τοῦ θεοῦ. Καὶ γὰρ τὸ, "Οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος," εἰ καὶ ἐν τάξει ἀντιθέσεως εἴρηται, ἀλλ' ὅμως καὶ παρὰ τοῦ Παύλου λεγόμενον, [w] ἀπορίαν οὐδεμίαν φέρει. Ὅταν γὰρ εἴπῃ, "οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος," οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν, C
ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος. [x] Ἔδει μὲν γὰρ καὶ θέλειν καὶ τρέχειν· θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ. Ὅπερ καὶ ἀλλαχοῦ ἔλεγεν· [27] "Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ [y] χάρις ἡ σὺν ἐμοί." Καὶ καλῶς εἶπεν, "ἃ προητοίμασεν εἰς δόξαν." Ἐπειδὴ γὰρ τοῦτο ὠνείδιζον, ὅτι χάριτι ἐσώθησαν, καὶ καταισχύνειν αὐτοὺς ἐνόμιζον, ἐκ πολλῆς τῆς περιουσίας ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν.

27 1 Cor. xv. 10.

[f] *μείναντα*] ὄντα A. [g] *αὐτοῦ* pro *αὑτοῦ* A.B.D.E.H. [h] *καὶ μετανοήσαντας* om. G. [i] *αὐτοῦ* pro *αὑτοῦ* A.D.E.H.I. [k] Haec *ἀλλ' οὐκ—φιλανθρωπίαν* om. F.H. Pro iis *οὐκ εἶπε δὲ δύναμιν* dat I. Statim *ἀλλὰ δόξαν* I. *ἀλλὰ καὶ τὴν δ.* A. [l] *ἁπάντων* om. G. Cat. [m] *προητοίμασεν*]+*ὁ θεὸς* G. [n] *ἐκώλυεν* pro *ἐκώλυσεν* D.E.F.G.I. Cat. Mox *σωθῆναι* B. [o] *καὶ*] *δὲ καὶ* Edd. *δὲ* deest in omnibus. [p] *πάλιν* om. A.F.H.I. *ἀπ. πάλιν* inverso ord. B. *κατασκ. τῷ λ. πάλιν τὴν ἀπ.* G. [q] *οὐ* pro *οὐδὲ* A.B.E.F.G. Cat. [r] *οὐδὲ*] *οὐ λέγει* G. [s] *ἐξ*] *ἀπὸ* A.F.H. Cat. [t] *πλεῖον* A.E.H.I. *πλεῖστον* Cat. *πᾶν* G. Hic autem pergit: *ἐστιν ἐκ τοῦ θεοῦ, ἀλλὰ καὶ οὗτοι.* [v] *τί* om. E. Statim *εἰσήνεγκαν* pro *εἰσηνέγκαμεν* B.D.E.G. Veron. [w] *ἀπορ. οὐδεμίαν* pro *οὐδεμίαν ἀπορ.* omnes. [x] *ἔδει* A.B.D.E.F.H.I. Cat. *δεῖ* Edd. [y] *χάρις*]+*τοῦ θεοῦ* Edd. repugnantibus libris.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ γὰρ τῷ θεῷ [z]δόξαν τὸ πρᾶγμα ἤνεγκε, πολλῷ μᾶλλον ἐκείνοις, δι' ὧν [a]καὶ ὁ θεὸς ἐδοξάσθη. Σκόπει δὲ αὐτοῦ [b]εὐ-
D γνωμοσύνην καὶ σοφίαν ἄφατον. Δυνάμενος γὰρ μὴ τὸν Φαραὼ παρενεγκεῖν εἰς τὸν [c]περὶ τῶν κολαζομένων λόγον, ἀλλ' ἐξ Ἰουδαίων τοὺς ἡμαρτηκότας, καὶ σαφέστερον μᾶλλον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι ὅτι ἔνθα οἱ αὐτοὶ πατέρες, ἔνθα τὰ αὐτὰ ἁμαρτήματα, οἱ μὲν ἀπώλοντο, οἱ δὲ [d]ἠλεήθησαν, καὶ πεῖσαι μηκέτι διαπορεῖν, [e]εἰ καὶ ἐξ ἐθνῶν τινες ἐσώθησαν, Ἰουδαίων [f]ἀπολομένων· ἵνα μὴ ποιήσῃ τὸν λόγον φορτικὸν, τὴν μὲν τῆς κολάσεως ἀπόδειξιν ἀπὸ τοῦ βαρβάρου παράγει, ὥστε μὴ ἀναγκασθῆναι [g]αὐτοὺς σκεύη ὀργῆς καλέσαι· τοὺς δὲ [h]ἐλεουμένους ἀπὸ τοῦ δήμου τῶν Ἰουδαίων παράγει.
E Καίτοιγε ἱκανῶς [i]καὶ ὑπὲρ τοῦ θεοῦ ἀπολελόγηται, ὅτι [k]καὶ σφόδρα αὐτὸν εἰδὼς ἀπαρτίζοντα ἑαυτὸν σκεῦος ἀπωλείας, ὅμως τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὴν ἀνοχὴν, τὴν μακροθυμίαν, καὶ οὐχ ἁπλῶς μακροθυμίαν, ἀλλὰ πολλὴν μακροθυμίαν· ἀλλ' ὅμως οὐκ ἠθέλησεν ἐπὶ τῶν Ἰουδαίων αὐτὸ γυμνάσαι. Πόθεν οὖν οἱ μὲν σκεύη ὀργῆς, οἱ δὲ ἐλέους; Ἀπὸ προαιρέσεως οἰκείας. Ὁ δὲ θεὸς σφόδρα ἀγαθὸς ὤν, ἐπ' ἀμφοτέρων τὴν αὐτὴν [l]ἐπιδείκνυται χρηστότητα. Καὶ γὰρ οὐχὶ τοὺς σωζομένους ἠλέησε μόνον, [m]ἀλλὰ καὶ τὸν Φαραὼ, τό γε αὐτοῦ μέρος· τῆς γὰρ [n]αὐτῆς
618 μακροθυμίας καὶ ἐκεῖνοι καὶ οὗτος ἀπήλαυσαν. Εἰ δὲ μὴ [o]ἐσώθη, παρὰ τὴν αὐτοῦ γνώμην τὸ πᾶν· ὡς τό γε εἰς τὸν θεὸν ἦκον, οὐδὲν ἔλαττον τῶν διασωθέντων ἔσχεν.

Ἀποδοὺς τοίνυν τὴν λύσιν τῷ ζητήματι [p]τὴν διὰ τῶν πραγμάτων, ὥστε καὶ ἑτέρωθεν [q]ἀξιόπιστον ποιῆσαι τὸν λόγον, [r]καὶ τοὺς προφήτας ἐπεισάγει [s]τὰ αὐτὰ προαναφωνοῦντας. Καὶ γὰρ [t]Ὡσηέ, φησὶν, ἄνωθεν ταῦτα ἔγραφεν, οὕτω λέγων· [28] "Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημέ-

[28] v. 25.

[z] δόξαν τὸ πρ. A.D.E.F.H.I. Cat. τὸ πρ. δόξαν Edd. [a] καὶ accessit ex B.D.E.F.G.H. Cat. [b] τὴν εὐγ. καὶ σοφ. τὴν ἄφατον G. [c] περὶ om. G. [d] ἐσώθησαν G. Cat. [e] εἰ γὰρ καὶ G. καὶ om. E. [f] ἀπολομένων A.B.D.E.F.I. Cat. ἀπολογουμένων H. ἀπολλυμένων Edd. Statim ἀλλ' ἵνα μὴ G. [g] αὐτοὺς σκ. ὀ. pro σκ. ὀ. αὐτοὺς omnes. Statim γενέσθαι pro καλέσαι I. [h] ἐλευθερουμένους G. [i] καὶ]+ἀπὸ τοῦ θεοῦ ἢ μᾶλλον καὶ I. Mox ἀπολελόγηται pro ἀπολογεῖται A.D.E.F.G.I. [k] καὶ om. G. Mox idem εἰς ἀπώλειαν pro ἀπωλείας. [l] δείκνυται H. [m] ἀλλὰ]+γε G. [n] αὐτοῦ H. Mox καὶ οὗτοι κἀκεῖνος G. καὶ οὗτοι καὶ οὗτος I. καὶ ἐκεῖνοι pro κἀκεῖνοι obtulerunt A.D.E.H. Cat. [o] ἐσώθη] ἐκεῖνος ἐσώθη A.D.E.F.H.I. Cat. ἐσώθη ἐκεῖνος B. Mox τό γε εἰς τὸν θεὸν, ἡμῶν οὐδὲν I. [p] τὴν om. B. [q] ἀξιοπιστότερον G. [r] καὶ accessit ex A.B.D.E.F.G.H. Cat. ὃν pro καὶ habet I. Mox ἐπεισάγει B.D.E. Cat. προεισάγει F.I. εἰσάγει vulgo. [s] τὰ αὐτὰ om. A.E.F.H.I. [t] ἐν Ὡσηὲ A.E.F.H.I. Mox ἄνωθεν δὲ ταῦτα Edd. Sed δὲ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νην, ἠγαπημένην." Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι παραλογίζῃ ἡμᾶς ταῦτα λέγων, τὸν Ὡσηὲ ἐκάλεσε μάρτυρα, βοῶντα καὶ λέγοντα, B
"Καλέσω τὸν οὐ λαόν μου, λαόν μου." Τίς γὰρ [v]ἦν ὁ οὐ λαός; Τὰ ἔθνη [w]δῆλον ὅτι. Καὶ τίς [x]ἡ οὐκ ἠγαπημένη; Τὰ [y]αὐτὰ πάλιν. Ἀλλ' ὅμως ἔφησεν αὐτοὺς καὶ λαὸν καὶ ἠγαπημένην καὶ υἱοὺς θεοῦ ἔσεσθαι. 29 "[z]Αὐτοὶ γὰρ κληθήσονται υἱοὶ θεοῦ ζῶντος." Εἰ δὲ λέγοιεν περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων τοῦτο εἰρῆσθαι, καὶ [a]οὕτως ὁ λόγος ἵσταται. Εἰ γὰρ ἐπὶ τῶν ἀγνωμονησάντων μετὰ πολλὰς εὐεργεσίας, καὶ ἀλλοτριωθέντων, καὶ τὸ λαὸς εἶναι ἀπολωλεκότων [b]τοσαύτη
(145) γέγονεν ἡ μεταβολὴ, [c]τί ἐκώλυε καὶ [d]τοὺς οὐ μετὰ τὴν οἰκείωσιν ἀλλοτριωθέντας, ἀλλ' ἐξ ἀρχῆς ἀλλοτρίους ὄντας, κληθῆναι, καὶ ὑπακούσαντας τῶν αὐτῶν ἀξιωθῆναι; Παραγαγὼν τοίνυν C
τὸν Ὡσηὲ, [e]οὐ τούτῳ ἀρκεῖται μόνον, ἀλλὰ καὶ τὸν Ἡσαΐαν [f]μετ' ἐκεῖνον εἰσάγει συνῳδὰ τούτῳ φθεγγόμενον. 30 "Ἡσαΐας [g]γὰρ κράζει, φησὶν, ὑπὲρ τοῦ Ἰσραήλ·" τουτέστι, μετὰ παρρησίας ἀναφωνεῖ, καὶ οὐχ ὑποστέλλεται. Τί τοίνυν ἡμῖν [h]ἐγκαλεῖτε, ὅταν ἐκεῖνοι σάλπιγγος [i]λαμπρότερον ταῦτα προαναφωνῶσι; Τί οὖν κράζει ὁ Ἡσαΐας; "Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ [k]ὡς ἡ ἄμμος τῆς θαλάττης, τὸ κατάλειμμα σωθήσεται." Ὁρᾷς, ὅτι καὶ ἐκεῖνος [l]οὐχὶ πάντας λέγει σώζεσθαι, ἀλλὰ τοὺς ἀξίους [m]σωθῆναι; Οὐ γὰρ αἰδοῦμαι τὸ πλῆ- D
θος, φησὶν, οὐδὲ δυσωπεῖ με τὸ γένος οὕτως ἐκκεχυμένον, ἀλλ' ἐκείνους [n]σώζω μόνον τοὺς ἀξίους ἑαυτοὺς παρέχοντας. Καὶ οὐχ ἁπλῶς ἄμμου θαλάσσης ἐμνημόνευσεν, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἐπαγγελίας, ἧς ἀναξίους ἑαυτοὺς κατέστησαν. Τί τοίνυν θορυβεῖσθε, ὡς τῆς ὑποσχέσεως διαπεσούσης, τῶν προφητῶν ἁπάντων δηλούντων, οὐ πάντας εἶναι [o]τοὺς σωζομένους; Εἶτα καὶ τὸν τρόπον τῆς σωτηρίας λέγει. Εἶδες ἀκρίβειαν προφητικὴν, καὶ σύνεσιν ἀποστολικὴν, οἵαν μαρτυρίαν

29 v. 26. 30 v. 27.

[v] ἦν ὁ om. B.D. ἦν om. E. [w] δῆλον ὅτι G. δηλονότι Cat. Vulgo abest ὅτι. [x] ἡ aberat ante Montef. invitis libris. [y] αὐτὰ]+ταῦτα B.G. [z] αὐτοὶ pro ἐκεῖ A.B.D.E.F.G.H. Mosqq. Mox φησὶ κληθ. B.G. κληθ. φησὶν Edd. φησὶν om. A.D.E.F.H.I. [a] οὕτος F.G.H. [b] τοσαύτη] αὕτη A.D. E.F.H.I. [c] τί]+οὖν G. Statim ἐκώλυε A.D.E.G.I. Cat. ἐκώλυσε Edd. [d] τοὺς] τούτους G. Mox ἀλλοτριωθέντας om. idem. [e] οὐ τούτῳ (τοῦτο E. et ante corr. I.) ἀρκ.] Sic A.D.E.F.H.I. Cat. οὐκ ἀρκ. τούτῳ Edd. Statim μόνῳ G. Cat. [f] μετ' ἐκείνου D.E. Statim ἄγει A.F.H.I. Cat. [g] γὰρ om. G. [h] ἐγκαλεῖται Veron. Sav. Mor. ἴσ. ἐγκαλεῖτε Sav. marg. ἐγκαλεῖτε est in A.D.E.F.G. Cat. [i] λαμπρότερα G. Abhinc deest folium in E. usque ad εὗρε δικαιοσύνην p. 619 E. [k] ὡς ἡ pro ὡσεὶ A.D.F.G.H.I. Mosqq. Mox κατάλειμμα pro ἐγκατάλειμμα iidem. [l] οὐχὶ] οὐ A.B.F.H.I. Cat. [m] τοῦ σωθῆναι G. Statim οὐδὲ γὰρ B. [n] σώσω B. [o] τῶν σωζομένων I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[p]παρήγαγε, πῶς σφόδρα ἐπιτηδείαν; Οὐ γὰρ μόνον ὅτι τινές
Ε εἰσιν οἱ σῳζόμενοι καὶ οὐχὶ πάντες, δείκνυσιν ἡμῖν αὕτη, ἀλλὰ
καὶ πῶς [q]σωθήσονται προστίθησι. Πῶς οὖν σωθήσονται; καὶ
πῶς αὐτοὺς [r]ὁ θεὸς ἀξιώσει τῆς εὐεργεσίας; 31 "Λόγον συντε-
λῶν καὶ συντέμνων, φησὶν, ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμη-
μένον ποιήσει κύριος ἐπὶ τῆς γῆς." [s]Ὃ δὲ λέγει, [s]τοιοῦτόν
ἐστιν· οὐ περιόδου χρεία καὶ πόνων καὶ ταλαιπωρίας τῆς ἀπὸ
τῶν ἔργων τῶν νομίμων, ἀλλὰ μετὰ πολλῆς τῆς συντομίας
ἔσται ἡ σωτηρία. Τοιοῦτον γὰρ ἡ πίστις· ἐν βραχέσι ῥήμασιν
ἔχει τὴν σωτηρίαν. 32 "Ἐὰν γὰρ ὁμολογήσῃς, [t]φησὶν, ἐν τῷ
στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου,
610 ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." Εἶδες [v]τί ἐστι,
"Λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς;" Καὶ τὸ
δὴ θαυμαστὸν, ὅτι ὁ βραχὺς οὗτος λόγος οὐ σωτηρίαν [w]μόνον,
ἀλλὰ καὶ δικαιοσύνην ἐκόμισε. 33 "Καὶ καθὼς προείρηκεν
Ἡσαΐας, Εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς
Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν."
Πάλιν ἐνταῦθα ἄλλο τι δείκνυσιν, ὅτι [x]οὐδὲ αὐτοὶ οἱ [y]ὀλίγοι
οἴκοθεν διεσώθησαν. Καὶ γὰρ καὶ οὗτοι ἀπώλοντο [z]ἂν καὶ τὰ
Σοδόμων ἔπαθον, τουτέστι, πανωλεθρίαν [a]ὑπέμειναν· καὶ γὰρ
καὶ ἐκεῖνοι [b]πρόρριζοι πάντες ἀπώλοντο, καὶ οὐδὲ τὸ τυχὸν
Β σπέρμα [c]αὐτῶν κατέλιπον· καὶ οὗτοι [d]οὖν, φησὶν, ὡς ἐκεῖνοι ἂν
ἐγένοντο, εἰ μὴ πολλῇ ὁ θεὸς ἐχρήσατο τῇ ἀγαθότητι, καὶ διε-
τήρησε [e]διὰ τῆς πίστεως αὐτούς. Τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθητῆς
γέγονεν αἰχμαλωσίας. Οἱ μὲν γὰρ πλείους ἀπήχθησαν καὶ
ἀπώλοντο, ὀλίγοι δὲ διεσώθησαν μόνοι.

34 "Τί οὖν ἐροῦμεν, φησίν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαι-
οσύνην [f]κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως·
Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ
ἔφθασεν." Ἡ σαφεστάτη λύσις ἐνταῦθα λοιπόν. Ἐπειδὴ
γὰρ καὶ ἀπὸ τῶν πραγμάτων ἔδειξεν· "Οὐ γὰρ πάντες, [g]φη-
C σὶν, οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ·" καὶ ἀπὸ τῶν προγόνων

31 v. 28. 32 Rom. x. 9. 33 v. 29. 34 v. 30, 31.

[p] *παρήγαγε* omnes. *ἐπήγαγε* Edd. [q] *σωθήσονται*] *δεῖ σωθήσεσθαι* G. [r] *ὁ θεὸς* om. G. Mox *λόγον γὰρ συντελῶν* idem. [s] *τοιοῦτον* omnes. *τοῦτο* Edd. [t] *φησὶν* om. G. Mox *ἤγειρεν αὐτὸν* inverso ord. G.I. [v] *τί ἐστι λόγον*] *τίνα λόγον* G. [w] *μόνην* G. [x] *οὐδὲ* pro *οὐδ'* A.B.D.H.I. Cat. [y] *ὀλίγοι*] λόγοι H. Statim *οἴκοθεν* om. I. [z] *ἄν* om. A.F.H.I. [a] *ὑπέμειναν ἄν* Edd. *ἄν* om. D.G.I. Cat. Veron. [b] *πρόρριζον* I. Cat. [c] *αὐτῶν* pro *αὑτῶν* A.B.D. Cat. fortasse alii. [d] *οὖν* pro *γοῦν* B.D.F.G.H. Cat. *οὖν* om. I. [e] *διὰ τῆς π.*] *καὶ διὰ π.* G. [f] Pro verbis *κατέλαβε δικαιοσύνην* posuit G. *ἡ σαφεστάτη λύσις ἐνταῦθα λοιπὸν*, quae suo loco absunt. [g] *φησὶν* accessit ex omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[h]τοῦ Ἰακὼβ καὶ τοῦ Ἡσαῦ, καὶ ἀπὸ τῶν προφητῶν [i]τοῦ Ὡσηὲ καὶ τοῦ Ἡσαΐου, καὶ τὴν κυριωτάτην ἐπάγει λύσιν, πρότερον τὴν ἀπορίαν αὐξήσας. Καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα, ὅτι καὶ τὰ ἔθνη [k]ἐπέτυχε, καὶ μὴ διώκοντα ἐπέτυχε, τουτέστι, μὴ σπουδάσαντα. Καὶ πάλιν ἐπὶ τῶν Ἰουδαίων ὁμοίως τὰ δύο ἄπορα, [l]ὅτι καὶ Ἰσραὴλ οὐκ ἐπέτυχε, καὶ σπουδάζων οὐκ ἐπέτυχε. Διὸ καὶ ταῖς λέξεσιν ἐμφαντικώτερον κέχρηται· οὐδὲ γὰρ εἶπεν, ὅτι ἔσχε δικαιοσύνην, ἀλλὰ, "κατέλαβε." Τὸ γὰρ καινὸν μάλιστα καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ὁ διώκων οὐ D
κατέλαβεν, ὁ δὲ μὴ διώκων κατέλαβε. Καὶ δοκεῖ μὲν αὐτοῖς
(145) χαρίζεσθαι τῷ λέγειν, "διώκων" ὕστερον δὲ καιρίαν ἐπάγει τὴν πληγήν. Ἐπειδὴ γὰρ ἔχει ἰσχυρὰν λύσιν [m]ἐπαγαγεῖν, οὐδὲν δέδοικε χαλεπωτέραν ποιῶν τὴν ἀντίθεσιν. Διὰ τοῦτο [n]οὐδὲ περὶ [o]πίστεως διαλέγεται, καὶ τῆς ἐντεῦθεν δικαιοσύνης, ἀλλὰ δείκνυσι [p]καὶ πρὸ τῆς πίστεως καὶ ἐν τοῖς οἰκείοις ἡττηθέντας αὐτοὺς καὶ καταδεδικασμένους. Σὺ μὲν γάρ, ὦ Ἰουδαῖε, φησὶν, οὐδὲ τὴν ἐκ τοῦ νόμου δικαιοσύνην εὗρες· παρέβης γὰρ E
αὐτὸν, καὶ ὑπεύθυνος γέγονας τῇ ἀρᾷ· οὗτοι δὲ οἱ μὴ διὰ τοῦ νόμου ἐλθόντες, [q]ἀλλ' ἑτέραν ὁδὸν, μείζονα ταύτης εὗρον δικαιοσύνην, τὴν ἀπὸ τῆς πίστεως. Ὅπερ οὖν καὶ [r]ἀνωτέρω ἔλεγεν, "Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεόν" [s]δεικνὺς ὅτι αὕτη ἡ δικαιοσύνη μείζων ἐκείνης ἐστίν. Ἔμπροσθεν [t]μὲν οὖν ἔλεγον, ὅτι δύο ἐστὶ τὰ ἀπορούμενα, [v]νυνὶ δὲ καὶ τρία τὰ [w]ζητήματα γέγονεν· ὅτι τὰ ἔθνη καὶ εὗρε δικαιοσύνην, καὶ μὴ διώκοντα εὗρε, [x]καὶ μείζονα εὗρε τῆς ἐκ τοῦ νόμου. Τὰ αὐτὰ δὴ ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων διαπορεῖται [z]πάλιν ἐξ ἐναντίας· ὅτι Ἰσραὴλ οὐχ εὗρε, καὶ σπουδάζων οὐχ εὗρε. [a]καὶ τὴν ἐλάττονα οὐχ εὗρεν. Ἐμβαλὼν τοίνυν εἰς ἀπορίαν τὸν ἀκροατὴν, ἐπάγει λοιπὸν σύντομον τὴν λύσιν, καὶ τὴν 620
αἰτίαν [b]φησὶ τῶν εἰρημένων ἁπάντων. Τίς οὖν [c]ἐστιν ἡ αἰτία;
35 "Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου." Αὕτη ἡ

35 v. 32.

[h] τοῦ Ἡ. καὶ τοῦ Ἰακὼβ A.D.F.H.I. Cat. [i] Sic B.G. Veron. In ceteris et Cat. post προφητῶν haec leguntur: καὶ τὴν κ. ἐπάγει λύσιν ἐκ (ἐκ om. D.) τοῦ Ὡσηὲ καὶ τοῦ Ἡσαΐου, πρότερον τ. ἀ. αὐ. Ita ediderunt Sav. Mor. Ben. [k] ἐπέτυχον bis I. [l] ὅτι om. A.F.H.I. Cat. καὶ om. B.D. [m] ἐπαγ. οὐδὲν] τοῦ ἐπαγ. οὐ G. [n] οὐδὲ] δὲ οὐ G. [o] πίστεως]+τέως F. [p] καὶ accessit ex A.D.F.H. Cat. ἀλλὰ καὶ δ. πρὸ G. [q] ἀλλ' om. G. Statim ἑτέραν ὁδὸν pro ἑτέρας ὁδοῦ omnes. [r] ἀνωτέρω A.B.D.F.G.H. ἀνώτερον Edd. [s] δείκνυσιν A.F.H. [t] μὲν om. B. Statim ἔλεγεν A.D.F. Cat. et ante corr. B. [v] νῦν A.D.F.H.I. et ante corr. B. Statim καὶ et τὰ om. D.F.H.I. [w] ζητούμενα G. Cat. [x] Verba καὶ μείζονα—τὰ αὐτὰ δὴ om. I. Tum pergit ταῦτα δὲ ἐπὶ. [z] πάλιν om. A.D.E.F.H.I. [a] καὶ οὐδὲ τὴν ἐ. εὗρεν D.E. [b] φησὶ om. G. τίθησι pro φησὶ Cat. [c] ἐστιν om. G. ἐστιν οὖν inverso ord. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαφεστάτη τοῦ χωρίου παντὸς λύσις, ἣν [d]εἰ εὐθέως ἐν προοιμίοις εἶπεν, οὐκ ἂν οὕτως [e]εὐπαράδεκτος ἐγεγόνει· ἐπειδὴ δὲ μετὰ πολλὰς ἀπορίας καὶ κατασκευὰς καὶ ἀποδείξεις αὐτὴν τέθεικε, καὶ προδιορθώσεσι μυρίαις ἐχρήσατο, [f]εὐμαθεστέραν τε αὐτὴν λοιπὸν καὶ εὐπαράδεκτον μᾶλλον ἐποίησε. Τοῦτο γὰρ αἴτιον, [g]φησὶ, τῆς ἀπωλείας αὐτῶν, ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' B [h]ὡς ἐξ ἔργων ἠθέλησαν δικαιωθῆναι. Καὶ οὐκ εἶπεν, ἐξ ἔργων, ἀλλ', "ὡς ἐξ ἔργων νόμου," δεικνὺς ὅτι οὐδὲ ταύτην ἔσχον τὴν δικαιοσύνην. "Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, [36]καθὼς γέγραπται· Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου· καὶ [i]πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ καταισχυνθήσεται." Εἶδες πάλιν πῶς ἀπὸ τῆς πίστεως ἡ παρρησία, καὶ καθολικὴ ἡ δωρεά; Οὐ γὰρ περὶ Ἰουδαίων εἴρηται μόνον, ἀλλὰ [k]καὶ περὶ παντὸς τοῦ τῶν ἀνθρώπων γένους. Πᾶς γὰρ, φησὶ, κἂν Ἰουδαῖος, κἂν Ἕλλην, κἂν Σκύθης, κἂν Θρᾷξ, κἂν ὁστισοῦν ἕτερος ᾖ, πιστεύσας, πολλῆς C ἀπολαύσεται τῆς παρρησίας. Τὸ δὲ θαυμαστὸν τοῦ προφήτου, ὅτι οὐχ ὅτι [l]πιστεύσουσι μόνον εἶπεν, ἀλλ' ὅτι καὶ ἀπιστήσουσι· τὸ γὰρ προσκόψαι, τὸ ἀπιστῆσαί ἐστιν. Ὥσπερ οὖν ἀνωτέρω τούς τε [m]ἀπολλυμένους, τούς τε σωζομένους ἐδήλωσεν εἰπών, "Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ [n]ὡς ἡ ἄμμος τῆς θαλάττης, τὸ κατάλειμμα σωθήσεται·" καὶ, "Εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν [o]ἐγενήθημεν·" καὶ, "Ἐκάλεσεν οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν·" οὕτω δὴ [p]οὖν καὶ ἐνταῦθα λέγει, ὅτι οἱ μὲν πιστεύσουσιν, οἱ δὲ προσκόψουσι· τὸ δὲ προσκόπτειν ἐκ τοῦ μὴ προσέχειν γίνεται, D ἐκ τοῦ πρὸς ἕτερα κεχηνέναι. Ἐπεὶ οὖν καὶ οὗτοι τῷ νόμῳ προσεῖχον, προσέκοψαν τῷ [q]λίθῳ. [r]Προσκόμματος δὲ λίθον καὶ πέτραν σκανδάλου φησὶν ἀπὸ [s]τῆς γνώμης καὶ τοῦ τέλους τῶν ἀπιστησάντων.

[36] v. 33.

[d] εἰ εὐθέως.. εἶπεν pro εὐθέως.. εἰ εἶπεν A. B. D. E. F. G. H. Cat. Tum ἐν προοιμίοις pro ἐκ προοιμίων A.B.D.F.G.H. Cat. In I. pauca exciderunt. [e] εὐαπόδεκτος I. Statim γέγονεν B.G. [f] Haec εὐμαθεστέραν τε αὐτὴν λ. καὶ om. G. [g] φησὶ, τῆς ἀ. αὐτῶν pro τῆς ἀ. αὐτῶν φησιν A.B.D.E.F.H.I. Cat. φησὶν ante αἴτιον ponit G. [h] ὡς om. H. Statim ἐξ ἔργων νόμου Edd. Sed νόμου deest in omnibus. [i] πᾶς om. G. Mox ἐπ' αὐτῷ idem. [k] καὶ accessit ex A.D.E.F.G.H.I. [l] πιστεύουσι et ἀπιστοῦσι G. Veron. [m] ἀπολωμένους (sic) F. [n] ὡς ἡ pro ὡσεὶ A.E.F.G.H.I. Mox κατάλειμμα pro ἐγκατάλειμμα omnes. [o] ἐγενήθημεν]+καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν G. Cat. [p] οὖν accessit ex A.B.D.E.F.H.I. Mox οἱ μὲν προσκόψουσιν, οἱ δὲ πιστεύσουσιν E. [q] λίθῳ]+τοῦ προσκόμματος G. Cat. [r] πρόσκομμα δὲ λίθου A.B.D.E.F.H.I. non Cat. Statim καὶ πέτρα σκ. F.H. καὶ πέτρας σκ. A. [s] τοῦ τέλους καὶ τῆς γν. inverso ord. I. Cat. Statim τῶν ἀπιστησάντων pro τῶν μὴ πιστευσάντων omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[t]Ἆρα ὑμῖν δῆλα γέγονε τὰ εἰρημένα, ἢ πολλῆς [v]ἔτι δεῖται τῆς σαφηνείας; Ἐγὼ μὲν οἶμαι τοῖς προσεσχηκόσιν εὐσύνοπτα εἶναι· εἰ δέ τινας [w]διέλαθεν, ἔξεστι καὶ ἰδίᾳ συντυχόντας ἐρωτῆσαι καὶ μαθεῖν. Διὰ γὰρ τοῦτο καὶ εἰς μακρότερον ἐξήνεγκα τοῦ λόγου τὴν ἐξήγησιν, ἵνα μὴ ἀναγκασθῶ, διατεμὼν τὸ συνεχὲς τῆς ἀκολουθίας, λυμήνασθαι τὴν σαφήνειαν τῶν [x]λεγομέ- E
νων. Διὸ δὴ καὶ ἐνταῦθα καταλύσω τὸν λόγον, [y]οὐδὲν περὶ τῶν ἠθικωτέρων ὑμῖν διαλεχθείς, ὅπερ ἔθος ἡμῖν ποιεῖν, ὥστε μὴ πάλιν [z]ἐπισκοτῆσαι τῇ μνήμῃ τῷ πλήθει τῶν λεγομένων. Ὥρα δὴ λοιπὸν καταλῦσαι εἰς τὸ προσῆκον τέλος [a]κατακλείσαντας τὸν λόγον, [b]τὴν δοξολογίαν τοῦ τῶν ὅλων θεοῦ. Κοινῇ τοίνυν ἀναπαυσάμενοι ἡμεῖς τε οἱ λέγοντες, ὑμεῖς τε οἱ ἀκούοντες, ἀναπέμψωμεν αὐτῷ δόξαν· ὅτι αὐτοῦ ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

(147) ## ΛΟΓΟΣ ΙΗ. 621

[1]Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ [a]δέησις ἡ πρὸς τὸν θεὸν, ὑπὲρ αὐτῶν [b]ἐστιν εἰς σωτηρίαν.

ΜΕΛΛΕΙ πάλιν αὐτῶν [c]καθάπτεσθαι σφοδρότερον, ἢ πρότερον· διὸ πάλιν ἀναιρεῖ πάσης ἀπεχθείας ὑπόνοιαν, καὶ πολλῇ κέχρηται τῇ [d]προδιορθώσει. Μὴ γὰρ [e]τοῖς λόγοις προσέχετε, φησὶ, μηδὲ ταῖς κατηγορίαις, ἀλλ' ὅτι οὐκ ἀπὸ B
διανοίας ἐχθρᾶς ταῦτα φθέγγομαι. Οὐ γάρ ἐστι τοῦ αὐτοῦ σωθῆναί τε αὐτοὺς ἐπιθυμεῖν, καὶ μὴ μόνον ἐπιθυμεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ πάλιν μισεῖν καὶ ἀποστρέφεσθαι. Καὶ γὰρ εὐδοκίαν ἐνταῦθα τὴν σφοδρὰν ἐπιθυμίαν φησὶ, [f]καὶ τὴν δέησιν ἣν ποιεῖται. Οὐ γὰρ ὥστε ἀπαλλαγῆναι κολάσεως μόνον, ἀλλ' ὥστε καὶ σωθῆναι αὐτοὺς, πολλὴν καὶ τὴν σπουδὴν ποιεῖται καὶ τὴν εὐχήν. [g]Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν

[1] Cap. X. v. 1.

[t] ΗΘΙΚΟΝ. Ἰστέον ὅτι διὰ τὸ μὴ λυμήνασθαι τὴν σαφήνειαν τῶν λεγομένων πολλὴν οὖσαν, διὰ τοῦτο οὐδὲν περὶ τῶν ἠθικωτέρων διειλέχθη ὁ ἅγιος. Veron. [v] ἔτι δεῖται] ἔδει G. [w] διέλαθον F. [x] εἰρημένων A.D.E.F.H. [y] οὐδὲν] οὐ A.F.H.I. Statim πέρα τῶν ἠθ. A.H. παρὰ τὸν ἠθικώτερον I. [z] ἐπισκοτῆσαι pro ἐπισκοτίσαι omnes. Statim τὴν μνήμην A.E. Deinceps τῷ πλήθει A.B.D.E.F.H.I. τὰ πλήθη Edd. In G. locus sic legitur: ἐπισκοτῆσαι τὴν μνήμην τῶν εἰρημένων. ὥρα κ. τ. ἑ. [a] κατακλείσαντα A.F.H.I. [b] τῇ δοξολογίᾳ ex corr. F. εἰς τὴν δοξολογίαν G. Hom. XVIII. [a] δέησις]+ μου Edd. μου om. B.E.F.H.I. Mosqq. Statim ἡ πρὸς τὸν θεὸν A.B.D.E.F. H.I. Mosqq. Articulus aberat. [b] ἐστιν om. G. [c] ἐφάπτεσθαι G. Mox ἢ πρότερον om. I. [d] διορθώσει B. [e] τοῖς λ. προσέχετε omnes. προσέχετε τοῖς λ. Edd. [f] Vid. Annot. [g] οὐκ] καὶ οὐκ Edd. καὶ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξῆς δείκνυσι τὴν εὔνοιαν, ἣν ἔχει πρὸς αὐτούς. Ἀπὸ γὰρ τῶν ἐγχωρούντων, ὡς [h]οἷός τε ἦν, βιάζεται καὶ φιλονεικεῖ, ζητῶν
C σκιὰν γοῦν τινα ἀπολογίας αὐτοῖς εὑρεῖν· [i]καὶ οὐκ ἰσχύει, ὑπὸ τῆς τῶν πραγμάτων νικώμενος φύσεως. [2] "Μαρτυρῶ γὰρ αὐτοῖς, φησὶν, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν." Οὐκοῦν συγγνώμης ταῦτα, οὐ κατηγορίας ἄξια. Εἰ [k]γὰρ μὴ δι' ἄνθρωπόν εἰσιν [l]ἀπεσχισμένοι, ἀλλὰ διὰ ζῆλον, ἐλεεῖσθαι μᾶλλον αὐτοὺς, ἢ κολάζεσθαι [m]δίκαιον. Ἀλλ' ὅρα πῶς σοφῶς καὶ ἐχαρίσατο τῷ ῥήματι, [n]καὶ ἔδειξεν αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν. [3] "Ἀγνοοῦντες γὰρ, φησὶ, τὴν τοῦ θεοῦ δικαιοσύνην." Πάλιν τὸ ῥῆμα συγγνώμης· ἀλλὰ τὸ ἐξῆς κατηγορίας ἐπιτε-
D ταμένης, καὶ πᾶσαν ἀναιρούσης ἀπολογίαν. "Καὶ τὴν ἰδίαν [o]γὰρ, φησὶ, δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν." Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι ἀπὸ φιλονεικίας καὶ φιλαρχίας μᾶλλον, ἢ ἐξ ἀγνοίας ἐπλανήθησαν, καὶ ὅτι οὐδὲ αὐτὴν ταύτην τὴν δικαιοσύνην τὴν ἀπὸ τῶν νομίμων [p]ἔστησαν. Τὸ γὰρ εἰπεῖν, "ζητοῦντες στῆσαι," [q]τοῦτό ἐστιν ἐμφαίνοντος. Καὶ σαφῶς [r]μὲν αὐτὸ οὐ τέθεικεν· οὐδὲ γὰρ εἶπεν, [s]ὅτι ἑκατέρας τῆς δικαιοσύνης ἐξέπεσον· ἠνίξατο δὲ αὐτὸ συνετῶς σφόδρα καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας.
E Εἰ γὰρ ἐκείνην [t]ἔτι ζητοῦσι στῆσαι, [v]εὔδηλον ὅτι οὐκ ἔστησαν· εἰ ταύτῃ οὐχ ὑπετάγησαν, καὶ ταύτης [w]ἐξέπεσον. Ἰδίαν δὲ δικαιοσύνην αὐτὴν καλεῖ, ἢ διὰ τὸ μηκέτι τὸν νόμον ἰσχύειν, ἢ διὰ τὸ πόνων εἶναι καὶ ἱδρώτων· ταύτην δὲ [x]τοῦ θεοῦ [y]δικαιοσύνην τὴν ἐκ πίστεως, διὰ τὸ ὁλόκληρον αὐτὴν ἐκ τῆς ἄνωθεν εἶναι χάριτος, καὶ οὐχὶ πόνοις, ἀλλὰ θεοῦ δικαιοῦσθαι δωρεᾷ. Ἀλλ' οἱ ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες, [z]καὶ φιλονεικοῦντες διὰ τοῦ νόμου δικαιωθῆναι, οὐ προσῆλθον τῇ πίστει· μὴ προσελθόντες δὲ τῇ πίστει, μηδὲ λαβόντες τὴν ἐξ αὐτῆς δικαιοσύνην, καὶ ἀπὸ τοῦ νόμου μὴ δυνηθέντες δικαιωθῆναι, [a]πάντοθεν ἐξέπεσον.

622 [4] "Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι." [n]Ὅρα Παύλου σύνεσιν. Ἐπειδὴ γὰρ εἶπε δικαιο-

[2] v. 2. [3] v. 3. [4] v. 4.

[h] οἷός τε ἦν] οἷον G. οἷόν τε ἦν Cat. [i] καὶ om. G. Mox ἀπὸ pro ὑπὸ A.B.D.E.G.H. [k] γὰρ μὴ pro μὴ γὰρ B.E.F.G.H.I. [l] ἀπεσχονισμένοι F. Cat. [m] ἄξιον I. [n] καὶ ἔδειξε καὶ τὴν ἀ. αὐτῶν φ. G. [o] γὰρ om. G. γὰρ, φησὶ om. D.E. [p] ἐστήσαντο G. Statim τῷ γὰρ E.G. [q] τουτέστιν G.H. Cat. et ante corr. B. Statim ἐμφαίνοντες G. Cat. [r] μὲν om. B. [s] ὅτι om. G. Mox ἐξέπεσαν H.I. [t] ἔτι ζ.] ἐπιζητοῦσι G. [v] εὔκολον I. [w] ἐξέπεσαν G.H.I. [x] τοῦ om. G. [y] δικ.] τὴν δικ. B. Statim καὶ τὴν ἐκ D.E. [z] καὶ accessit ex B.E.F.H.I. Cat. [a] καὶ πάντοθεν G. Statim ἐξέπεσαν H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σύνην [b]καὶ δικαιοσύνην, ἵνα μὴ δόξωσιν οἱ πιστεύσαντες ἐξ [c]Ἰουδαίων τὴν μὲν ἔχειν, τῆς δὲ ἀπεστερῆσθαι, καὶ παρανομίας κρίνεσθαι· καὶ γὰρ καὶ [d]τούτους οὐχ ἧττον δεδοικέναι [e]ἐχρῆν ἔτι νεήλυδας ὄντας· μηδὲ Ἰουδαῖοι πάλιν προσδοκήσωσιν αὐτὴν κατορθοῦν, καὶ εἴπωσιν, [f]ὅτι εἰ καὶ μὴ νῦν ἐπληρώσαμεν, ἀλλὰ πάντως [g]πληρώσομεν· ὅρα τί κατασκευάζει. [h]Δείκνυσιν, ὅτι B μία τίς ἐστιν ἡ δικαιοσύνη, καὶ ἐκείνη εἰς ταύτην ἀνακεφαλαιοῦται, καὶ ὅτι ὁ μὲν ταύτην ἐλόμενος τὴν [i]διὰ πίστεως, κἀκείνην ἐπλήρωσεν· ὁ δὲ ταύτην ἀτιμάσας, [k]κἀκείνης μετὰ ταύτης ἐξέπεσεν. Εἰ γὰρ τοῦ νόμου τέλος ὁ Χριστὸς, ὁ τὸν Χριστὸν οὐκ ἔχων, [l]κἂν ἐκείνην ἔχειν δοκῇ, οὐκ ἔχει· ὁ δὲ τὸν Χριστὸν (148) ἔχων, κἂν μὴ ᾖ κατωρθωκὼς τὸν νόμον, τὸ πᾶν εἴληφε. Καὶ γὰρ τέλος ἰατρικῆς ὑγεία. Ὥσπερ οὖν ὁ δυνάμενος ὑγιῆ ποιεῖν, κἂν μὴ τὴν ἰατρικὴν ἔχῃ, τὸ πᾶν ἔχει· ὁ δὲ μὴ εἰδὼς θεραπεύειν, κἂν μετιέναι δοκῇ τὴν τέχνην, τοῦ παντὸς ἐξέπεσεν· [m]οὕτως C ἐπὶ τοῦ νόμου καὶ τῆς πίστεως, ὁ μὲν ταύτην ἔχων, καὶ τὸ ἐκείνου τέλος ἔχει· ὁ δὲ ταύτης ἔξω ὤν, ἀμφοτέρων ἐστὶν ἀλλότριος. Τί γὰρ ἐβούλετο ὁ νόμος; Δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. Ἀλλ' οὐκ [n]ἴσχυσεν· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. Τοῦτο οὖν τέλος ἦν τοῦ νόμου, καὶ εἰς τοῦτο πάντα ἔβλεπε, καὶ διὰ τοῦτο πάντα [o]ἐγίνετο, καὶ ἑορταὶ καὶ ἐντολαὶ καὶ θυσίαι καὶ τὰ λοιπὰ [p]ἅπαντα, ἵνα δικαιωθῇ ὁ ἄνθρωπος. Ἀλλὰ τοῦτο τὸ τέλος ἤνυσεν ὁ Χριστὸς μειζόνως διὰ τῆς πίστεως. Μὴ τοίνυν φοβηθῇς, φησὶν, ὡς τὸν νόμον παραβαίνων, ἐπειδὴ τῇ πίστει προσ- D ἦλθες. Τότε γὰρ αὐτὸν παραβαίνεις, [q]ὅταν δι' αὐτὸν τῷ Χριστῷ μὴ [r]πιστεύσῃς· ὡς, ἂν πιστεύσῃς αὐτῷ, [s]κἀκεῖνον ἐπλήρωσας, καὶ πολλῷ πλέον ἢ [t]ἐκέλευσε· πολλῷ γὰρ μείζονα δικαιοσύνην ἔλαβες.

Εἶτα ἐπειδὴ ταῦτα ἀπόφασις ἦν, ἀπὸ τῶν γραφῶν πάλιν αὐτὰ πιστοῦται. [5] "Μωϋσῆς [v]γὰρ γράφει, φησὶ, τὴν ἐκ τοῦ νόμου δικαιοσύνην." [w]Ὁ δὲ λέγει, [w]τοῦτό ἐστι· Μωϋσῆς δεί-

[5] v. 5.

[b] καὶ δικ. om. G.I. Mox οἱ πιστεύοντες G. [c] Ἰουδαίων] ἱερείων ex corr. B. [d] τούτου A. τούτον (sic) H. τοῦτο I. [e] ἐχρῆν] εἰκὸς D.E. [f] ὅτι om. G. [g] πληρώσωμεν E.H.I. [h] καὶ δείκνυσιν A.D.E.F.H.I. Cat. Mox τις accessit ex A.E.F.G.I. πίστις pro τις dat Cat. [i] διὰ] ἐκ G. [k] κἀκείνης om. I. Statim μετ' αὐτῆς H. μετὰ ταύτης om. G. [l] κἀκείνην ἔχειν δοκεῖ G. ἔχειν δ. pro δ. ἔχειν omnes. [m] οὕτως] Sic A.D.E.F.G.I. Cat. οὕτω καὶ Edd. [n] ἴσχυσεν οὐδεὶς αὐτὸν πληρῶσαι. τοῦτο G. [o] ἐγίνετο pro ἐγένετο omnes. Statim καὶ αἱ ἑ. καὶ αἱ ἐντ. καὶ αἱ θ. Edd. repugnantibus libris, excepto D. qui καὶ αἱ ἑ. καὶ αἱ ἐ. καὶ θ. (sic) habet. [p] ἅπαντα pro πάντα A.E.F.G.H.I. [q] ὅταν vel ὅτ' ἂν D.E.F.G.H.I. ὅτε Edd. [r] πιστεύῃς A.E.F.H. [s] ἐκεῖνον G. [t] ἐκέλευε B. Cat. [v] γὰρ accessit ex A.D.E.F.G.H.I. [w] τοιοῦτον H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κνυσιν ἡμῖν τὴν ἐκ τοῦ νόμου δικαιοσύνην, ὁποία τίς ἐστι [x]καὶ ποταπή. Ποία τοίνυν [y]ἐστὶ, καὶ πόθεν συνίσταται; Ἀπὸ τοῦ
E πληρωθῆναι τὰς ἐντολάς. "Ὁ ποιήσας αὐτὰ, φησὶ, ζήσεται ἐν αὐτοῖς." Καὶ ἄλλως οὐκ [z]ἔνι δίκαιον γενέσθαι ἐν νόμῳ, ἀλλ' ἢ πάντα πληρώσαντα· τοῦτο δὲ οὐδενὶ γέγονε δυνατόν. Οὐκοῦν διαπέπτωκεν ἡ δικαιοσύνη αὕτη. Ἀλλ' εἰπὲ καὶ τὴν ἑτέραν ἡμῖν, ὦ Παῦλε, δικαιοσύνην τὴν ἐκ τῆς χάριτος. Τίς οὖν ἐστιν αὕτη, καὶ πόθεν συνίσταται; Ἄκουσον αὐτοῦ σαφῶς αὐτὴν ὑπογράφοντος. Ἐπειδὴ γὰρ [a]ἤλεγξεν ἐκείνην, μεταβαίνει λοιπὸν ἐπὶ ταύτην, καί φησιν· [b]"Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει; Ἐγγύς σοῦ τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον
623 Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." Ἵνα γὰρ μὴ λέγωσιν [b]Ἰουδαῖοι, πῶς εὗρον μείζονα δικαιοσύνην οἱ τὴν ἐλάττω μὴ εὑρόντες; λέγει λογισμὸν ἀναντίρρητον, ὅτι κουφοτέρα αὕτη ἡ ὁδὸς ἐκείνης. Αὕτη μὲν γὰρ πλήρωσιν ἀπαιτεῖ πάντων· ὅταν γὰρ ποιήσῃς πάντα, τότε [c]ζήσῃ· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὐ τοῦτο λέγει, ἀλλὰ τί; "Ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ [d]σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." Εἶτα, *ἵνα μὴ δόξῃ πάλιν
B [e]εὐκαταφρόνητον αὐτὴν ποιεῖν τῷ εὔκολον καὶ εὐτελῆ δεικνύναι, ὅρα πῶς πλατύνει τὸν λόγον τὸν περὶ αὐτῆς. Οὐ γὰρ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ὅπερ εἰρήκαμεν, ἀλλὰ τί φησιν; "Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν." Ὥσπερ γὰρ τῇ ἀρετῇ τῇ διὰ τῶν ἔργων ἀνθίσταται [f]ῥᾳθυμία, τοὺς τόνους ἐκλύουσα, καὶ δεῖ σφόδρα

[6] v. 6—9.

[x] καὶ ποταπὴ om. D.E. Cat. [y] ἐστι, quod aberat, est in D.E.F.G.H.I. Cat. favente etiam B. [z] ἔστιν I. [a] ἤλεγξεν ἐκείνην pro ἐκείνην ἤλεγξε omnes. [b] οἱ Ἰουδαῖοι A.B.E.F.H. Cat. [c] ζήσῃ pro ζήσεις omnes. [d] σου assumtum ex D. E. F. G. H. I. * Desinit Codex G. cujus in locum librum plane geminum C. suffecimus. [e] εὐκατ. αὐτὴν (αὐτὴν εὐκατ. Edd.) ποιεῖν τῷ εὔκ. καὶ εὐτ. δ.] Sic Edd. et Interpp. Libri omnes et Cat. τὸ (τῷ A.C.) εὔκολον (+καὶ A.E.) εὐκατ. αὐτὴν ποιεῖν (ποιεῖν αὐτὴν I.) καὶ εὐτ. δ. [f] ῥᾳθυμία]+καὶ ἔκλυσις Edd. Haec desunt in nostris omnibus et Cat. Mox τόνους pro πόνους ex Cat. correximus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[g] ἀγρυπνούσης ψυχῆς, ὥστε μὴ εἴκειν· οὕτω καὶ ὅταν πιστεῦσαι [h] δέῃ, εἰσὶ λογισμοὶ θορυβοῦντες καὶ λυμαινόμενοι τὴν τῶν πολλῶν διάνοιαν, [i] καὶ δεῖ νεανικωτέρας ψυχῆς, ὥστε αὐτοὺς διακρούσασθαι. Διὰ δὴ τοῦτο καὶ αὐτοὺς τούτους εἰς μέσον C ἄγει· καὶ ὅπερ ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Καὶ [k] γὰρ ἐκεῖ δείξας αὐτὸν ἀπὸ πίστεως δικαιωθέντα, ἵνα μὴ δόξῃ μάτην καὶ εἰκῇ τοσοῦτον εἰληφέναι στέφανον, ὡς οὐδὲν τοῦ πράγματος ὄντος, ἐπαίρων [l] τὴν τῆς πίστεως φύσιν, φησίν· "[m] Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν· καὶ μὴ ἀσθενήσας τῇ πίστει, [m] κατενόησε μὲν τὸ ἑαυτοῦ [n] σῶμα νενεκρωμένον, καὶ τὴν νέκρω-
(149) σιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ D διεκρίθη τῇ ἀπιστίᾳ, [o] ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι·" [p] καὶ ἔδειξεν, ὅτι καὶ δυνάμεως χρεία καὶ ψυχῆς ὑψηλῆς τὰ ὑπὲρ ἐλπίδα δεχομένης, καὶ μὴ προσπταιούσης τοῖς ὁρωμένοις. Τοῦτο τοίνυν [q] καὶ ἐνταῦθα ποιεῖ, καὶ δείκνυσιν ὅτι φιλοσόφου διανοίας χρεία, καὶ γνώμης οὐρανομήκους τινὸς καὶ μεγάλης. Καὶ οὐκ εἶπε, μὴ εἴπῃς ἁπλῶς, ἀλλὰ, "μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου·" τουτέστι, μηδὲ ἐννοήσῃς [r] ἀμφιβαλεῖν καὶ εἰπεῖν κατὰ σεαυτὸν, καὶ πῶς τοῦτο δυνατόν; Ὁρᾷς, ὅτι τοῦτο E μάλιστα πίστεως ἴδιον, τὸ τὴν κάτω πᾶσαν ἀκολουθίαν [s] ἀφέντας τὸ ὑπὲρ φύσιν ἐπιζητεῖν, καὶ λογισμῶν ἀσθένειαν [t] ἐκβάλλοντας, ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως [v] ἅπαντα παραδέχεσθαι; Καίτοιγε οὐ ταῦτα [w] Ἰουδαῖοι ἔλεγον μόνον, ἀλλ' [x] ὅτι οὐ δυνατὸν ἐκ πίστεως δικαιωθῆναι. Ἀλλ' αὐτὸς ἐφ' ἕτερον αὐτὸ ἄγει τὸ γεγενημένον, ἵνα, ὅταν δείξῃ μέγα οὕτως ὂν, ὡς καὶ μετὰ τὸ γεγενῆσθαι πίστεως [y] αὐτὸ δεῖσθαι, δικαίως δόξῃ τούτοις τὸν στέφανον πλέκειν. Καὶ κέχρηται ῥήμασι τοῖς ἐν τῇ παλαιᾷ κειμένοις, σπουδάζων ἀεὶ τὰ τῆς καινοτομίας [z] καὶ

[g] ἀγρυπνούσης]+ἀεὶ B.D.E. et in rasura C. [h] δέῃ pro δέοι omnes. [i] καὶ δεῖ] δεῖ οὖν I. καὶ om. H. Mox διακρούεσθαι C. [k] γὰρ]+καὶ C. Mox ἐκ πίστεως C. ἀπὸ τῆς π. B. Infra λαμβάνειν pro εἰληφέναι C. [l] τὴν τῆς π. φύσιν] τὸ τῆς πίστεως B.D.E. φύσιν om. H. τὴν τῆς φύσεως πίστιν ante corr. C. [m] οὐ κατένοησε Edd. οὐ om. B. Vid. Annot. ad p. 504 C. Statim μὲν om. A.C.H.I. [n] σῶμα]+ἤδη C. [o] ἀλλ' ἐν. τῇ πίστει om. B. [p] καὶ ἔδειξεν] ταῦτα οὕτως εἰπὼν ἔδειξεν D. καὶ ante ἔδειξεν om. C. καὶ post ὅτι om. B.H. [q] καὶ om. I. [r] ἀμφιβαλεῖν A.B.D.E.H.I. Cat. ἀμφιβάλλειν Edd. Mox εἰπεῖν τὰ κατὰ σ. E. [s] ἀφέντας τὸ ὑπὲρ] ἀφέντα τὰ ὑπὲρ F. Cat. ἀφέντα ὑπὲρ A.H.I. [t] ἐκβαλόντας B.D. καὶ λογισμὸν ἀσθενείας ἐκβαλόντας C. [v] καὶ ἅπαντα Edd. καὶ deest in omnibus. [w] Ἰουδ. ἔλεγον μ.] Sic B.E.F. Ἰουδ. μ. ἔλεγον D. Cat. ἔλεγον Ἰουδ. μ. Edd. ἔλεγον om. A.H.I. [x] ὅτι]+καὶ E. [y] αὐτὸ om. D.E. [z] καὶ τὰ τῆς A. Mox διαφυγεῖν C.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

624 τῆς πρὸς ἐκείνην μάχης ἐγκλήματα διαφεύγειν. Τοῦτο γὰρ, ὃ περὶ πίστεως ἐνταῦθά φησι, περὶ τῆς ἐντολῆς [a]αὐτοῖς λέγει Μωϋσῆς, δεικνὺς ὅτι πολλῆς ἀπήλαυσαν [b]παρὰ τοῦ θεοῦ τῆς εὐεργεσίας. Οὐ γὰρ ἔστιν εἰπεῖν, φησὶν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβῆναι δεῖ, καὶ πέλαγος διαβῆναι μέγα, καὶ τότε λαβεῖν τὰς ἐντολάς· ἀλλὰ τὰ οὕτω μεγάλα [c]καὶ ὑπέρογκα εὔκολα ἡμῖν ἐποίησεν ὁ θεός. Τί δέ ἐστιν, "Ἐγγὺς σοῦ τὸ ῥῆμά ἐστι;" Τουτέστιν, εὔκολόν ἐστιν· ἐν γὰρ τῇ διανοίᾳ σου καὶ τῇ γλώττῃ ἡ σωτηρία. Οὐ μακρὰν ὁδὸν [d]βαδίσαντας, οὐδὲ πέλαγος πλεύσαντας, οὐδὲ ὄρη παρελθόντας, οὕτω σωθῆναι δεῖ·
B ἀλλ' εἰ μηδὲ [e]αὐτὸν βουληθείης ὑπερβῆναι τὸν οὐδὸν, ἔξεστί σοι καὶ οἴκοι [f]καθημένῳ σωθῆναι· ἐν γὰρ τῷ [g]στόματί σου καὶ [h]ἐν τῇ καρδίᾳ σού ἐστι τῆς σωτηρίας ἡ ἀφορμή. Εἶτα καὶ ἑτέρωθεν εὔκολον ποιῶν τὸν τῆς πίστεως λόγον, φησὶν ὅτι "ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν." Ἐννόησον γὰρ τὸ ἀξίωμα τοῦ ποιήσαντος, καὶ οὐκέτι ὄψει δυσκολίαν [i]οὐδεμίαν ἐν τῷ πράγματι. Οὐκοῦν ὅτι [k]μὲν κύριος, ἐκ τῆς ἀναστάσεως δῆλον· ὃ καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγε, "Τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐξ ἀναστάσεως νεκρῶν·" ὅτι δὲ καὶ ἡ ἀνάστασις εὔκολος,
C ἐκ τῆς τοῦ ποιήσαντος ἰσχύος ἀποδέδεικται καὶ τοῖς σφόδρα διαπιστοῦσιν. Ὅταν [l]οὖν καὶ μείζων [m]ᾖ ἡ δικαιοσύνη καὶ κούφη καὶ εὐπαράδεκτος, καὶ ἄλλως δικαιωθῆναι μὴ ᾖ· οὐκ ἐσχάτης φιλονεικίας τὸ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, τὰ εὔκολα ἀφέντας καὶ ῥᾴδια; Οὐ γὰρ ἔχοιεν [n]ἂν εἰπεῖν, ὅτι ὡς φορτικὸν τὸ πρᾶγμα παρητήσαντο. Εἶδες πῶς πάσης αὐτοὺς ἀποστερεῖ συγγνώμης; Ποίας γὰρ ἂν εἶεν ἀπολογίας ἄξιοι, τὸ μὲν [o]φορτικὸν ἑλόμενοι καὶ ἀνήνυτον, παραδραμόντες δὲ τὸ κοῦφον καὶ δυνάμενον αὐτοὺς σῶσαι, κἀκεῖνα παρασχεῖν, ἅπερ ὁ νόμος
D οὐκ ἴσχυσε; Ταῦτα γὰρ οὐδὲν ἕτερον, [p]ἀλλ' ἢ φιλονεικούσης γνώμης ἐστὶ μόνον, καὶ [q]πρὸς θεὸν στασιαζούσης. Ὁ μὲν γὰρ νόμος ἐπαχθὴς, ἡ δὲ χάρις ῥᾳδία· [r]ὁ νόμος, κἂν μυρία φιλονει-

[a] αὐτοῖς om. C. [b] παρὰ] περὶ Veron. Sav. Mor. ἴσ. παρὰ Sav. marg. παρὰ est in libris omnibus. Mox εὐεργεσίας sine artic. B. [c] καὶ ὑπέρογκα om. C. Post ἐποίησεν add. αὐτὰ A.F.H.I. [d] βαδίσαντα etc. C. Mox σωθῆναι δεῖ pro δεῖ σωθῆναι omnes. [e] αὐτὴν . . . τὸν (?) ὁδὸν C. αὐτὸν . . . τὴν ὁδὸν H. Deinde βουληθείης pro βουληθῇς dant A.B.C.E.F.I. Cat. [f] καθήμενον A.B.C.D.H. [g] σώματι H. [h] ἐν om. C.E. Mox σου accessit ex A.B.D.E.F.H.I. [i] οὐδεμίαν om. E. [k] μὲν] + οὖν Edd. οὖν om. A.B.D. E.F.H. Cat. Post κύριος, θεὸς add. E. [l] οὖν] δὴ H. [m] ᾖ accessit ex B.D.E.F.H.I. Cat. ᾖ pro ἡ A. [n] ἂν om. A.H. [o] φορτικὸν A.B.C.D. E.F.I. φορτικώτερον Edd. [p] ἀλλ' om. E. et a pr. man. C. [q] πρὸς τὸν θ. Edd. τὸν om. A.B.E.F.H.I. [r] ὁ νόμος om. a pr. man. C. Mox ἡ δὲ χάρις C.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κήσωσιν, οὐ σώζει· ἡ χάρις καὶ τὴν ἐξ ἑαυτῆς καὶ τὴν ἐκ τοῦ νόμου παρέχει δικαιοσύνην. Τίς οὖν αὐτοὺς ἐξαιρήσεται λόγος πρὸς μὲν ταύτην φιλονείκως διακειμένους, ἐκείνου δὲ ἀντεχομένους εἰκῆ καὶ μάτην;

Εἶτα, ἐπειδὴ μέγα εἴρηκε, πάλιν ἀπὸ τῆς γραφῆς αὐτὸ πιστοῦται. [7] "Λέγει γὰρ ἡ γραφή, φησί· πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ε Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς κύριος πάντων, πλουτῶν [s]εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται." Εἶδες πῶς καὶ τῆς πίστεως καὶ τῆς ὁμολογίας παράγει [t]μάρτυρας; [v]Τῷ μὲν γὰρ εἰπεῖν, ὅτι "πᾶς ὁ πιστεύων," τὴν πίστιν ἐδήλωσε· τῷ δὲ εἰπεῖν, "[w]ὃς ἂν ἐπικαλέσηται," τὴν ὁμολογίαν ἐνέφηνεν. Εἶτα πάλιν τὸ κοινὸν τῆς χάριτος ἀνακηρύττων, καὶ τὸ ἐκείνων φύσημα καταστέλλων, ἃ διὰ πολλῶν ἔμπροσθεν ἀπέδειξε, ταῦτα ἐν βραχέσιν ἀναμιμνήσκει, πάλιν δεικνὺς, ὅτι οὐδὲν τὸ (150) μέσον [x]Ἰουδαίου καὶ ἀκροβύστου. "Οὐ γάρ ἐστι διαστολὴ, φησὶν, Ἰουδαίου τε καὶ Ἕλληνος." Καὶ ὃ περὶ τοῦ πατρὸς εἴρηκεν ἐν τῇ [y]περὶ τούτου ἀποδείξει, τοῦτο [z]ἐνταῦθα περὶ τοῦ υἱοῦ λέγει. Ὥσπερ γὰρ ἔμπροσθεν αὐτὸ κατασκευάζων ἔλεγεν· "Ἢ Ἰουδαίων ὁ θεὸς [a]μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ θεός" οὕτω καὶ ἐνταῦθά φησιν· "Ὁ γὰρ αὐτὸς κύριος πάντων, [b]πλουτῶν εἰς πάντας καὶ ἐπὶ [c]πάντας." Ὁρᾷς πῶς δείκνυσιν αὐτὸν σφοδρῶς ἐφιέμενον ἡμῶν τῆς σωτηρίας, εἴγε καὶ πλοῦτον οἰκεῖον ἡγεῖται [d]ταύτην; ὥστε μηδὲ νῦν αὐτοὺς ἀπογνῶναι, μηδὲ νομίσαι, εἴγε βουληθεῖεν μετανοῆσαι, Β ἀσυγγνώστους εἶναι. Ὁ γὰρ πλοῦτον οἰκεῖον ἡγούμενος τὸ σώζειν ἡμᾶς, οὐ [e]παύσεται πλουτῶν· ἐπεὶ καὶ τοῦτο πλοῦτος τὸ εἰς πάντας ἐκχεῖσθαι τὴν δωρεάν. [f]Ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα αὐτοὺς [g]ἐθορύβει, τὸ προεδρίας ἀπολαύοντας ὑπὲρ τὴν

[7] v. 11—13.

[s] εἰς]+πάντα (sic) καὶ ἐπὶ Edd. repugnantibus libris. [t] μάρτυρας pro μαρτυρίας omnes. [v] τῷ pro τὸ bis B.C.D.E.F.I. Cat. et in priore loco A. Mox ὅτι om. C.I. [w] ὃς δ' ἂν C. [x] Sic A.B.D.E.H. τοῦ Ἰ. καὶ ἀκρ. F. τοῦ Ἰ. τε καὶ ἀκρ. C. τοῦ Ἰ. καὶ τοῦ ἀκρ. Edd. [y] περὶ om. a pr. man. E. Statim τούτων C.D. Cat. Veron. [z] καὶ ἐνταῦθα Edd. καὶ om. A.B.E.F.H.I. Mox υἱοῦ pro Χριστοῦ omnes. [a] μόνων A. et ex corr. B.E. Statim δὲ accessit ex omnibus. [b] πλουτῶν om. A.F.H. Statim εἰς πάντας A.B.D.E.F.I. εἰς πάντα Edd. πάντας καὶ ἐπὶ om. C. [c] πάντας]+τοὺς ἐπικαλουμένους αὐτὸν Edd. Haec om. A.B.D.E.F.H.I. [d] ταύτην]+οὕτω δὲ τοῦτό φησιν D.E. et ex corr. C. Statim ὥστε μηδένα αὐτῶν ἀπογ. C. [e] παύεται F.Veron. [f] ἐπειδὴ γὰρ καὶ τοῦτο μ.] Sic A.D.F.H. Cat. ἐπειδὴ γὰρ τοῦτο καὶ μ. I. ἐπειδήπερ καὶ τοῦτο μ. Veron. Sav. Mor. ἐπειδήπερ μάλιστα καὶ τοῦτο C. [g] ἐξεθορύβει A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκουμένην ἅπασαν, νῦν ἐκ [h]τῆς πίστεως ἀπὸ τῶν θρόνων καταβιβάζεσθαι ἐκείνων, καὶ μηδὲν πλέον τῶν λοιπῶν ἔχειν· [i]συνεχῶς τοὺς προφήτας εἰσάγει ταύτην [k]ἐπάδοντας αὐτοῖς τὴν ἰσοτιμίαν. "Πᾶς γάρ, [l]φησὶν, ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται·" καὶ, "Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται." C Καὶ πανταχοῦ τὸ "πᾶς" [m]τέθειται, ἵνα μὴ ἀντιλέγωσιν.

[n]Ἀλλ' οὐδὲν κενοδοξίας χεῖρον· αὕτη γάρ, [o]αὕτη μάλιστα πάντων αὐτοὺς ἀπώλεσε. Διὸ καὶ ὁ Χριστὸς αὐτοῖς ἔλεγε· [8]"Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ [p]μόνου θεοῦ οὐ ζητοῦντες;" Αὕτη μετὰ τῆς ἀπωλείας [q]πολὺν καὶ τὸν γέλωτα ἐπάγει, καὶ πρὸ τῆς κολάσεως τῆς ἐκεῖ, μυρίοις ἐνταῦθα περιβάλλει δεινοῖς. Καὶ εἰ δοκεῖ, ἵνα τοῦτο μάθῃς [r]σαφῶς, τοὺς οὐρανοὺς ἀφέντες τέως, ὧν ἡμᾶς ἐξάγει, καὶ τὴν γέενναν, εἰς [s]ἣν ἐμβάλλει, τὸ πρᾶγμα D ἐντεῦθεν ἐξετάσωμεν ἅπαν. Τί τοίνυν ταύτης δαπανηρότερον; τί δὲ αἰσχρότερον γένοιτ' ἂν καὶ δυσκολώτερον; Ὅτι μὲν γὰρ δαπανηρὸν τὸ νόσημα τοῦτο, δῆλον ἐκ τῶν ἀναλισκόντων εἰκῇ καὶ μάτην ἐν θεάτροις καὶ ἱπποδρομίαις καὶ ἄλλαις τοιαύταις ἀκαίροις φιλοτιμίαις· ἐκ τῶν τὰς οἰκίας οἰκοδομούντων τὰς λαμπρὰς καὶ πολυτελεῖς, καὶ τὰ ἄλλα πάντα [t]τὰ εἰς περιουσίαν κατασκευαζόντων ἀνόνητον, ἅπερ οὐκ ἔστιν ἐπελθεῖν τῷ λόγῳ νῦν. Ὅτι δὲ δαπανηρὸν ὄντα καὶ πολυτελῆ τὸν οὕτω νοσοῦντα, καὶ ἅρπαγα καὶ πλεονέκτην εἶναι ἀνάγκη, παντί που δῆλον. E Ἵνα γὰρ ἔχῃ τῷ θηρίῳ παρέχειν τροφὴν, εἰς [v]τὰς τῶν ἄλλων οὐσίας τὰς ἑαυτοῦ ῥίπτει χεῖρας. Καὶ τί λέγω τὰς οὐσίας; Οὐδὲ γὰρ [w]χρήματα μόνον, ἀλλὰ καὶ ψυχὰς τουτὶ κατεσθίει τὸ πῦρ, καὶ οὐ τὸν παρόντα μόνον, ἀλλὰ καὶ τὸν μέλλοντα ἐργάζεται θάνατον. Μήτηρ γὰρ γεέννης κενοδοξία, καὶ τὸ πῦρ ἀνάπτει σφοδρῶς ἐκεῖνο, καὶ τὸν [x]σκώληκα τὸν ἰοβόλον. Ἴδοι δ' ἄν τις αὐτὴν καὶ ἐν νεκροῖς κρατοῦσαν· οὗ τί χεῖρον γένοιτ' ἄν; Τὰ μὲν γὰρ ἄλλα πάντα πάθη καταλύεται τῷ θανάτῳ·

[8] Joan. v. 44.

[h] *τῆς* om. C. Statim *ἐκ τῶν θρ.* B.F.H.I. *ἀπὸ* tuetur Cat. [i] *συνεχῶς δὲ τοὺς* Edd. ante Montef. *δὲ* deest in omnibus. [k] *ἐπάγοντας* A.B.F.H.I. Vulgatum habet Cat. [l] *φησὶν ὁ π.* pro *ὁ π. φησὶν* A.B.D.E.F.H.I. Statim *ἐπ' αὐτῷ* om. C. [m] *τέθεικεν* I. [n] ΗΘΙΚΟΝ. *Περὶ κενοδοξίας, καὶ πῶς δυνατὸν ταύτην φυγεῖν· εἰ τὴν τοῦ θεοῦ μᾶλλον ζητοῦμεν δόξαν, καὶ μὴ τὴν τῶν ἀνθρώπων.* Veron. [o] *αὕτη* om. E. [p] *μόνου* om. I. [q] *πολὺν καὶ τὸν*] *καὶ πολὺν* C. Infra *κακοῖς* pro *δεινοῖς* idem. [r] *σαφῶς* (*φῶς* A.) est in libris omnibus, non in Edd. [s] *ἣν*]+*ἡμᾶς* C. Mox *ἐξετάσομεν* B.F. Paullo post *αὐτῆς* pro *ταύτης* H. [t] *τὰ* om. C. Mox *κατασκευάζοντα* I. [v] *τὰς . . . οὐσίας* omnes. *τὴν . . . οὐσίαν* Edd. [w] *χρημάτων* I. Mox *τουτὶ κατ.* pro *κατ. τουτὶ* omnes. [x] *σκώληκα*]+*τρέφει* D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη δὲ καὶ μετὰ τελευτὴν βιάζεται καὶ φιλονεικεῖ τὴν [y]ἑαυτῆς ἐπιδείκνυσθαι φύσιν ἐν τῷ τεθνηκότι σώματι. [z]Ὅταν γὰρ σήματα λαμπρὰ καὶ πᾶσαν αὐτῶν ἀναλίσκοντα τὴν οὐσίαν 626
ἐπισκήπτωσι [z]τελευτῶντες αὐτοῖς ἀνιστᾶν, καὶ [a]ἐνταφίων ἀσωτίαν πολλὴν σπουδάζωσι προαποτίθεσθαι, καὶ ζῶντες μὲν ὑπὲρ ὀβολοῦ καὶ ἄρτου ἑνὸς [b]ὑβρίζωσι τοὺς προσιόντας πένητας, τελευτῶντες δὲ δαψιλῇ τῷ σκώληκι παρέχωσι [c]τράπεζαν, ποίαν ἑτέραν ζητεῖς ὑπερβολὴν τῆς τοῦ νοσήματος τυραννίδος; Ἀπὸ τούτου καὶ ἔρωτες ἄτοποι τίκτονται τοῦ δεινοῦ. Πολλοὺς γὰρ οὐχ ἡ τῆς ὄψεως ὥρα, οὐδὲ ἡ τῆς μίξεως ἐπιθυμία, ἀλλὰ τὸ βούλεσθαι καυχᾶσθαι, ὅτι τὴν δεῖνα [d]ὑπεσκέλισα, [e]καὶ εἰς μοιχείαν ἐνέβαλε. Καὶ τί δεῖ τὰ ἄλλα [f]λέγειν, ὅσα ἐντεῦθεν B
βλαστάνει κακά; Μυρίων γὰρ [g]ἂν ἐλοίμην βαρβάρων γενέσθαι [h]δοῦλος, ἢ κενοδοξίας ἅπαξ. Οὐδὲ γὰρ ἐπιτάττουσιν ἐκεῖνοι τοιαῦτα τοῖς αἰχμαλώτοις, οἷα αὕτη κελεύει τοῖς ὑπηκόοις. Πάντων γὰρ ἔσο δοῦλος, φησὶ, κἂν λαμπρότεροί σου, κἂν εὐτελέστεροι τύχωσιν ὄντες· καταφρόνει ψυχῆς, ἀμέλησον ἀρετῆς, καταγέλασον ἐλευθερίας, κατάθυσόν σου τὴν σωτηρίαν· κἂν [i]ἀγαθόν τι ποιῇς, μὴ πρὸς ἀρέσκειαν [k]θεοῦ, ἀλλὰ πρὸς ἐπίδειξιν τῶν πολλῶν, ἵνα ἀπολέσῃς τὸν ἐπὶ τούτοις στέφανον· C
(151) κἂν ἐλεῇς, κἂν νηστεύῃς, τὸν μὲν πόνον ὑπόστηθι, τὸ δὲ κέρδος ἀπολέσαι σπούδασον. Τί τούτων [l]ὠμότερον τῶν ἐπιταγμάτων γένοιτο; Ἐντεῦθεν καὶ βασκανία τὴν ἀρχὴν ἔχει, ἐντεῦθεν καὶ ἀπόνοια, ἐντεῦθεν καὶ ἡ μήτηρ τῶν κακῶν ἡ φιλαργυρία. Ὁ γὰρ ἐσμὸς τῶν οἰκετῶν, καὶ οἱ χρυσοφοροῦντες [m]βάρβαροι, καὶ οἱ παράσιτοι, καὶ οἱ κόλακες, καὶ τὰ ἀργυρένδετα ὀχήματα, καὶ τὰ ἄλλα τὰ τούτων καταγελαστότερα, οὐχ ἡδονῆς ἕνεκεν οὐδὲ χρείας τινὸς γίνεται, ἀλλ' ἢ κενοδοξίας μόνης.

Ναὶ, φησίν· ἀλλ' ὅτι μὲν κακὸν τουτὶ τὸ πάθος, παντί που δῆλόν ἐστι· πῶς δ' ἂν αὐτὸ διαφύγοιμεν, τοῦτο εἰπεῖν χρή. D
Μάλιστα μὲν, ἂν πείσῃς σαυτὸν καλῶς, ὅτι χαλεπὸν τουτὶ τὸ νόσημα, ἀρχὴν λήψῃ διορθώσεως [n]ἀρίστην· ἐπεὶ καὶ ὁ νοσῶν

[y] ἑαυτῆς (αὐτῆς D.) pro αὐτῆς omnes. Statim δείκνυσθαι I. [z] τελευτώντων αὐτῶν ἀνιστᾶν C. [a] ἐνταφίων omnes. ἐν ταφῇ Edd. Statim ἀσωτείαν H. ἁπληστίαν I. [b] ἐνυβρίζουσι C. [c] τὴν τράπεζαν A.E. Mox ἐπιζητεῖς C. [d] ὑπεσκέλισαν I. ὑποσκελίσας C. [e] καὶ om. C.E.I. Veron. Mox ἐνέβαλε I. Veron. ἐνέβαλαν H. ἐνέβαλον Edd. [f] καταλέγειν C. Statim ὅσα ἐνταῦθα β. H. [g] ἂν om. I. Mox β. γενέσθαι δ. pro γενέσθαι β. δ. A.B.E.F.H.I. β. δοῦλος εἶναι C. [h] δοῦλος]+διηνεκῶς B.D.E. [i] ἀγαθὸν] καλὸν C. Statim ποιῇς pro ποιήσῃς A.B.D.E.F.H.I. [k] τοῦ θεοῦ Edd. repugnantibus libris. Mox τῶν om. I. [l] ὠμ. τῶν ἐπ. γένοιτο] Sic A.B.D.E.F.H.I. ὠμ. τῶν ἐπ. γένοιτ' ἂν C. τῶν ἐπ. ὠμ. γένοιτ' ἂν Edd. [m] βάρβαροι] ἵπποι C. In fine μόνον pro μόνης idem. [n] ἀρίστης C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταχέως ἐπιζητήσει τὸν ἰατρὸν, ἂν τοῦτο μάθῃ πρὸ τῶν ἄλλων, ὅτι νοσεῖ. Εἰ δὲ καὶ ἑτέραν [o]ὁδὸν ἐπιζητεῖς τῆς ἐντεῦθεν φυγῆς, ὅρα πρὸς τὸν θεὸν διηνεκῶς, καὶ ἀρκοῦ τῇ παρ' αὐτοῦ δόξῃ. Κἂν ἴδῃς τὸ πάθος γαργαλίζον σε, καὶ διεγείρον εἰπεῖν τοῖς συνδούλοις τὰ κατωρθωμένα σοι, λογισάμενος πάλιν, ὅτι μετὰ τὸ εἰπεῖν οὐδὲν γίνεται κέρδος, σβέσον τὴν ἄτοπον ἐπιθυμίαν, Ε καὶ πρὸς τὴν ψυχήν σου εἰπέ· ἰδοὺ τοσοῦτον ὤδινες χρόνον εἰπεῖν [p]σου τὰ κατορθώματα, καὶ οὐκ ἐκαρτέρησας σιγῇ κατασχεῖν, ἀλλ' εἰς πάντας ἐξήνεγκας· τί οὖν σοι πλέον γέγονεν ἐντεῦθεν; Πλέον μὲν οὐδὲν, ζημία δὲ [q]ἐσχάτη, καὶ τὸ κενῶσαι ἅπαντα τὰ μετὰ πολλοῦ συλλεγέντα πόνου. Μετὰ δὲ [r]τούτων κἀκεῖνο ἐννόησον, ὅτι διεφθαρμένη τῶν πολλῶν ἡ ψῆφος καὶ ἡ κρίσις ἐστὶ, καὶ οὐ διεφθαρμένη μόνον, ἀλλ' ὅτι καὶ ταχέως μαραίνεται. Κἂν γὰρ πρὸς ὥραν θαυμάσωσι, τοῦ καιροῦ παρελθόντος, πάντων εἰσὶν ἐπιλελησμένοι, καὶ τὸν παρὰ τοῦ θεοῦ σοι [s]στέφανον δεδομένον ἥρπασαν, καὶ τὸν παρ' ἑαυτῶν οὐκ ἴσχυσάν σοι διατηρῆσαι. Καίτοι [t]καὶ εἰ οὗτος ἔμενε, πολλῆς ἀθλιότητος ἦν ἐκείνου τοῦτον ἀλλάξασθαι· ὅταν δὲ καὶ οὗτος 627 διαρρέῃ, ποίαν ἕξομεν ἀπολογίαν, ὑπὲρ τοῦ μὴ μένοντος τὸν μένοντα προδιδόντες, ὑπὲρ τῆς τῶν ὀλίγων εὐφημίας τοσαῦτα ἀπολλύντες ἀγαθά; Καίτοι [v]καὶ εἰ πολλοὶ οἱ ἐπαινοῦντες εἶεν, καὶ [w]οὕτω τοῦ ταλανίζεσθαι ἄξιοι, καὶ τότε μᾶλλον, ὅταν πλείους οἱ τοῦτο ποιοῦντες ὦσιν. Εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, [x]ἄκουσον τοῦ Χριστοῦ ταῦτα ψηφιζομένου. [9] "Οὐαὶ γὰρ ὑμῖν, φησὶν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι." Καὶ μάλα εἰκότως. Εἰ γὰρ ἑκάστης τέχνης τοὺς δημιουργοὺς [y]δεῖ ζητεῖν κριτὰς, πῶς τῆς ἀρετῆς τὴν δοκιμασίαν τοῖς πολλοῖς ἐπιτρέπεις, ἀλλ' οὐχὶ πρὸ πάντων ἐκείνῳ τῷ μάλιστα [z]πάντων Β εἰδότι, καὶ συγκροτῆσαι καὶ στεφανῶσαι δυναμένῳ; Τοῦτο τοίνυν τὸ ῥῆμα [a]ἐγγράψωμεν καὶ τοίχοις καὶ θύραις καὶ διανοίᾳ, καὶ συνεχῶς λέγωμεν πρὸς ἑαυτοὺς, οὐαὶ ἡμῖν, ὅταν καλῶς ἡμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. Καὶ γὰρ καὶ αὐτοὶ οἱ λέ-

[9] Luc. vi. 26.

[o] ὁδὸν ἐπιζ. pro ἐπιζ. ὁδὸν B.C.D.E.F.H.I. ὁδὸν om. A. [p] σου om. B. Infra σιγῇ om. H. Mox ἐξήνεγκες A.C.H.I. [q] ἐσχάτη] μεγάλη C. Mox τὰ ante μετὰ accessit ex A.B.C.D.E.F. [r] τούτων pro τοῦτο A.B.E.F.I. Statim ἐκεῖνο I. Mox ἀλλὰ pro ἀλλ' ὅτι idem. [s] στ. δεδομένον pro δεδομένον στ. B.F.H.I. Statim διήρπασαν C. [t] καὶ εἰ] εἰ καὶ B.C. Statim αὐτὸς ἔμενε H. οὗτος ἔμεινεν C. [v] καὶ εἰ pro εἰ καὶ A.B.D.E.F.H. Statim πολλοὶ οἱ εὐφημοῦντες C. [w] οὕτοι Edd. ἴσ. οὕτω Suv. marg. οὕτω est in libris omnibus. Statim τοῦ om. E. [x] ἄκουε C. [y] ἔδει C. [z] πάντων] +αὐτὴν C.D.E.H. A.D.E.F.H.I. [a] ἐγγράφωμεν C. Infra ἡμᾶς εἴπωσι pro εἴπωσιν ἡμᾶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γοντες ὕστερον διαβάλλουσιν, ὡς κενόδοξον καὶ φιλότιμον καὶ ἐρῶντα τῆς παρ' αὐτῶν εὐφημίας. Ἀλλ' οὐχ ὁ θεὸς οὕτως, ἀλλ' ὅταν ἴδῃ σε ἐρῶντα τῆς παρ' αὐτοῦ δόξης, τότε σε μάλιστα ἐπαινέσεται [b]καὶ θαυμάσεται καὶ ἀνακηρύξει. Ὁ δὲ ἄνθρωπος οὐχ οὕτως, ἀλλὰ λαβών σε δοῦλον ἀντ' ἐλευθέρου, καὶ διὰ ψιλοῦ [c]ῥήματος πολλάκις σοι χαρισάμενος ἔπαινον ψευδῆ, ἥρπασεν ἀπὸ σοῦ μισθὸν ἀληθῆ, καὶ ἀργυρωνήτου μᾶλ- C
λον ὑπέταξεν. Ἐκείνους μὲν γὰρ μετὰ τὰ ἐπιτάγματα ἔχουσιν ὑπακούοντας οἱ δεσπόται, σὺ δὲ καὶ χωρὶς [d]ἐπιταγμάτων δουλεύεις. Οὐδὲ γὰρ ἀναμένεις ἀκοῦσαί τι παρ' αὐτῶν, ἀλλ' ἂν γνῷς μόνον δι' ὧν αὐτοῖς [e]χαριῇ, οὐδὲ ἐπιταττόντων αὐτῶν πάντα ποιεῖς. Πόσης οὖν οὐκ ἂν εἴημεν ἄξιοι γεέννης, τοὺς [f]μὲν μοχθηροὺς τέρποντες, καὶ πρὶν ἐπιτάξουσι θεραπεύοντες, τοῦ δὲ θεοῦ καθ' ἑκάστην ἡμέραν ἐγκελευομένου καὶ παραινοῦντος, μηδὲ [g]οὕτως ἀκούοντες; Καίτοιγε εἰ δόξης καὶ ἐπαίνων ἐρᾷς, [h]φύγε τὸν παρὰ ἀνθρώπων ἔπαινον, καὶ τότε ἐπιτεύξῃ δόξης· D
ἀποστράφηθι τὰς εὐφημίας, καὶ τότε μυρίων ἀπολαύσεις τῶν ἐπαίνων καὶ παρὰ θεῷ, καὶ παρὰ ἀνθρώποις. [i]Οὐδένα γὰρ οὕτω δοξάζειν εἰώθαμεν, ὡς τὸν ὑπερορῶντα δόξης, οὐδὲ ἐπαινεῖν καὶ θαυμάζειν, ὡς τὸν καταφρονοῦντα τοῦ θαυμάζεσθαι καὶ ἐπαινεῖσθαι. Εἰ δὲ ἡμεῖς, πολλῷ μᾶλλον ὁ [k]τῶν ὅλων θεός. Ὅταν δὲ ἐκεῖνός [l]σε δοξάζῃ καὶ ἐπαινῇ, τίς σου μακαριστό-
(152) τερος γένοιτ' ἄν; Καὶ γὰρ ὅσον δόξης καὶ ἀτιμίας [m]τὸ μέσον, τοσοῦτον τῆς ἄνωθεν δόξης πρὸς τὴν ἀνθρωπίνην τὸ διάφορον· μᾶλλον δὲ πολλῷ πλέον καὶ ἄπειρον. Εἰ γὰρ καὶ μηδενὶ [n]παραβαλλομένη αἰσχρά τις ἐστὶ καὶ δυσειδὴς, ὅταν καὶ πρὸς E
ἑτέραν αὐτὴν ἀντεξετάζωμεν, ἐννόησον ὅσον φανεῖται τὸ αἶσχος. Καθάπερ γὰρ ἑταιριζομένη γυνὴ καὶ ἐπὶ τοῦ [o]τέγους ἑστῶσα ἅπασιν ἑαυτὴν ἐκδίδωσιν, οὕτω καὶ οἱ κενοδοξίας δοῦλοι· μᾶλλον δὲ καὶ ἐκείνης αἰσχίους οὗτοι. Ἐκεῖναι μὲν γὰρ πολλαχοῦ [p]καὶ κατεφρόνησάν τινων ἐρασθέντων αὐτῶν· σὺ δὲ ἅπασι σαυτὸν προύθηκας, καὶ δραπέταις καὶ λησταῖς καὶ βαλλαντιοτόμοις· ἀπὸ γὰρ τούτων καὶ τῶν τοιούτων τὰ ἐπαινοῦντα ὑμᾶς συνέστηκε

[b] Verba καὶ θαυμάσεται desunt in A.B.D.E.F.H.I. καὶ θαυμάσει καὶ ἀνακηρύξει ὁ δεσπότης C. [c] τοῦ ῥήματος C. [d] ἐπιτάγματος H. [e] χαριεῖ E.H. [f] μὲν] μόνον A.F.H. Mox ἐπιτάξωσι pro ἐπιτάξουσι B.F.H. [g] οὕτως] ὁπωσοῦν I. [h] φύγε pro φεῦγε A.B.D.E.F.H. [i] οὐδὲν H. [k] τῶν ὅλων om. I. [l] σε om. C. Mox μακαριώτερος idem. [m] τὸ μ. τοσοῦτον] τοσοῦτον τὸ μ. A.B.F.H.I. [n] παραβαλλ.]+αὕτη Edd. αὕτη abest a B.D. E.F.H.I. Mox ἀντεξετάσωμεν H. ἐξετάζωμεν C. [o] στέγους B.E.H. receptum a Montef. Statim ἅπασιν pro πᾶσιν (πᾶσαν est mendum Ed. Ben.) omnes. [p] καὶ accessit ex A. B. C. D. E. F. I. Mox βαλλαντ. pro βαλαντ. A.B.D. fortasse alii.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέατρα· καὶ οὓς καθ' ἑαυτοὺς ὄντας οὐδενὸς ἀξίους εἶναι νομίζεις,
628 τούτους συλλεγέντας τῆς [q]σεαυτοῦ προτιμᾶς σωτηρίας, καὶ
πάντων ἐκείνων ἀτιμότερον σαυτὸν ἀποφαίνεις. Πῶς γὰρ οὐκ
ἀτιμότερος [r]ὁ τῆς παρ' ἑτέρων δεόμενος εὐφημίας, καὶ μὴ νομί-
ζων ἀρκεῖν σεαυτῷ, εἰ μὴ τὴν παρ' ἑτέρων δόξαν λάβοις; Οὐκ
ἐννοεῖς, εἰπέ μοι, μετὰ τῶν εἰρημένων, ὅτι περίβλεπτος μὲν ὢν
καὶ πᾶσι κατάδηλος, ἂν ἁμάρτῃς, μυρίους ἔχεις κατηγόρους·
ἄγνωστος δὲ [s]ὢν, ἐν ἀσφαλείᾳ μένεις; Ναὶ, φησίν· ἀλλὰ καὶ
κατορθῶν μυρίους ἔχω τοὺς θαυμαστάς. Τοῦτο γάρ ἐστι τὸ
δεινὸν, ὅτι οὐ μόνον ἁμαρτάνοντά σε, ἀλλὰ καὶ κατορθοῦντα
B βλάπτει τῆς κενοδοξίας ἡ νόσος, τότε μὲν μυρίους ὑποσκελί-
ζουσα, νῦν δὲ πάντα σου κενοῦσα τὸν μισθόν.

Δεινὸν μὲν οὖν, καὶ πάσης ἀτιμίας ἀνάμεστον, τὸ καὶ ἐν
πολιτικοῖς πράγμασι δόξης ἐρᾶν· ὅταν δὲ καὶ ἐν τοῖς πνευ-
ματικοῖς τὸ αὐτὸ [t]τοῦτο πάσχῃς, τίς λείπεταί σοι συγγνώμη
λοιπὸν, μηδὲ τοσαύτην βουλομένῳ παρέχειν τῷ θεῷ τιμὴν, ὅσην
αὐτὸς παρὰ τῶν οἰκετῶν ἔχεις; Καὶ γὰρ ὁ δοῦλος πρὸς τοὺς
ὀφθαλμοὺς ὁρᾷ τοῦ δεσπότου, καὶ ὁ μισθωτὸς πρὸς τὸν τοῦ
ἔργου κύριον τὸν μέλλοντα ἀποδιδόναι [v]τοὺς μισθοὺς, καὶ ὁ
μαθητὴς πρὸς τὸν διδάσκαλον· σὺ δὲ τοὐναντίον ἅπαν, τὸν
C μισθωσάμενόν [w]σε θεὸν ἀφεὶς καὶ τὸν δεσπότην, πρὸς τοὺς
ὁμοδούλους βλέπεις, καὶ ταῦτα εἰδὼς, ὅτι ὁ μὲν θεὸς μέμνηται
καὶ εἰς τὰ μετὰ ταῦτα τῶν σῶν κατορθωμάτων, ἄνθρωπος δὲ
εἰς τὸ παρόν· καὶ ἐν οὐρανῷ τὸ θέατρον ἔχων [x]καθήμενον, τοὺς
ἐπὶ τῆς γῆς θεατὰς συνάγεις. Καὶ ὁ μὲν ἀθλητὴς [y]ἔνθα ἀγω-
νίζεται, ἐκεῖ βούλεται εὐδοκιμεῖν· σὺ δὲ ἀγωνιζόμενος ἄνω, κάτω
στεφανοῦσθαι σπουδάζεις. Καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν
τῆς ἀνοίας; Ἴδωμεν [z]δὲ, εἰ δοκεῖ, καὶ τοὺς στεφάνους· ὁ μὲν
γὰρ ἐξ ἀπονοίας σύγκειται, ὁ δὲ ἐκ τῆς πρὸς ἕτερον βασκανίας,
D ὁ δὲ ἐξ εἰρωνείας καὶ κολακείας, ὁ δὲ ἀπὸ χρημάτων, ὁ δὲ ἀπὸ
δουλοπρεποῦς διακονίας. Καὶ καθάπερ [a]τὰ παιδία τὰ παί-
ζοντα χόρτου στέφανον ἐπιτιθέασιν ἀλλήλοις, καὶ τοῦ στεφα-
νωθέντος οὐκ εἰδότος καταγελῶσιν ὄπισθεν πολλάκις· οὕτω δὴ
καὶ νῦν οἱ ἐγκωμιάζοντές σε, καθ' ἑαυτοὺς πολλάκις ἐχλεύασαν,
τὸν χόρτον [b]ἡμῖν ἐπιτιθέντες. Καὶ εἴθε χόρτον [c]μόνον· νυνὶ

[q] ἑαυτοῦ B.C.E. Mox post ἐκείνων add. αὐτῶν I. [r] ὁ om. D.E. Statim ἑτέρων pro ἐκείνων A.B.C.D.F.H.I. [s] ὢν pro κἂν omnes. Statim μένεις B.C.D.E.F.H. μενεῖς Edd. [t] τοῦτο om. C. Mox παρέχειν A.B.C.D.E. F.H. παρασχεῖν Edd. Statim τὴν τιμὴν F. [v] τοὺς assumtum ex omnibus. [w] σε om. H. [x] καθήμενος C. Statim τῆς accessit ex A.B.C.D.E.F.I. [y] ἐνταῦθα ἀγ. ἐκεῖ δὲ β. C. [z] δὲ om. C. Mox ὁ μὲν γὰρ καὶ τοῖς ἐξ ἀπονοίας συγκρίνεται idem. [a] τὰ om. C. [b] ὑμῖν C. Statim ἐπιθέντες B.D.H.I. [c] μόνον]+ἡμῖν ἐπιθέντες I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ πολλῆς γέμει βλάβης ὁ στέφανος, καὶ πάντα [d]ἡμῶν ἀπόλλυσι τὰ κατορθώματα. [e]Ἐννοήσας τοίνυν αὐτοῦ τὸ εὐτελὲς, φύγε τὴν ζημίαν. Πόσους γὰρ εἶναι βούλει σου τοὺς [f]ἐπαινέτας; ἑκατὸν, ἢ δὶς τοσούτους, [g]καὶ τρὶς καὶ τετράκις; μᾶλλον δὲ, εἰ βούλει, [h]τίθει δεκάκις τοσούτους καὶ εἰκοσάκις, καὶ ἔστωσαν δισχίλιοι καὶ τετρακισχίλιοι, εἰ [i]δὲ βούλει, καὶ Ε
μυρίοι οἱ κροτοῦντες· ἀλλ' οὐδὲν οὗτοι κολοιῶν ἄνωθεν κραζόντων διαφέρουσι· μᾶλλον δὲ, ἂν ἐννοήσῃς τὸ τῶν ἀγγέλων θέατρον, καὶ σκωλήκων οὗτοι φανοῦνται εὐτελέστεροι, καὶ ἀράχνης [k]ἀσθενεστέρα αὐτῶν ἡ εὐφημία, καὶ καπνοῦ καὶ ὀνειράτων. [x]Ἄκουσον γοῦν πῶς ὁ Παῦλος [l]ὁ ταῦτα διεσκεμμένος ἀκριβῶς, οὐ μόνον αὐτὰ οὐκ ἐπιζητεῖ, ἀλλὰ καὶ [m]ἀπεύχεται, λέγων· 10 "[n]Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ [n]Χριστοῦ." Ταύτην τοίνυν καὶ σὺ ζήλωσον τὴν καύχησιν, ἵνα 629
μὴ παροξύνῃς τὸν δεσπότην. Καὶ γὰρ [o]εἰς τὸν θεὸν ὑβρίζεις, τοῦτο ποιῶν, οὐκ εἰς σαυτὸν μόνον. Οὐδὲ γὰρ εἰ ζωγράφος ὢν μαθητήν τινα εἶχες, εἶτα ἐκεῖνος ἀφεὶς ἐπιδείξασθαί σοι τὰ τῆς τέχνης, τὸν πίνακα ἔξω [p]προυτίθει τοῖς παριοῦσιν ἁπλῶς, πράως ἂν [q]ἤνεγκας. Εἰ δὲ ἐπὶ τῶν ὁμοδούλων τοῦτο ὕβρις, πολλῷ
(153) μᾶλλον ἐπὶ τοῦ δεσπότου. Εἰ δὲ καὶ ἑτέρωθεν βούλει μαθεῖν τοῦ πράγματος καταφρονεῖν, ὑψηλὸς γενοῦ [r]τὴν διάνοιαν, καταγέλασον τῶν ὁρωμένων, αὔξησον τῆς ἀληθοῦς δόξης τὸν ἔρωτα, ἐμπλήσθητι φρονήματος [s]πνευματικοῦ, εἰπὲ πρὸς τὴν ψυχὴν, ὡς Παῦλος εἶπεν, 11 "Οὐκ οἶδας ὅτι ἀγγέλους κρινοῦμεν;" καὶ Β
[t]ἀναστήσας αὐτὴν ἐντεῦθεν, ἐπιτίμησον λοιπὸν, καὶ εἰπὲ, ἡ ἀγγέλους κρινοῦσα, ὑπὸ καθαρμάτων κρίνεσθαι βούλει, καὶ [v]μετὰ ὀρχηστῶν ἐπαινεῖσθαι καὶ μίμων καὶ θηριομάχων καὶ ἡνιόχων; ταύτας γὰρ οὗτοι τὰς εὐφημίας διώκουσιν. Ἀλλὰ σὺ ὑψηλότερον τῆς τούτων κραυγῆς τὸ πτερὸν κατασκεύασον, καὶ ζήλωσον τὸν τῆς [w]ἐρήμου πολίτην [x]Ἰωάννην, καὶ μάθε πῶς ὑπερεώρα [x]τοῦ πλήθους ἐκεῖνος, καὶ κολακεύοντος οὐκ ἐπεστρέ-

10 Gal. vi. 14. 11 1 Cor. vi. 3.

[d] ὑμῶν H. [e] ἐννόησον H. Mox φύγε pro φεῦγε A.B.D.E.F.H. καὶ φεῦγε C. [f] ἐπαινοῦντας H. [g] ἢ τρὶς ἢ τετρ. C. [h] τίθει om. C. [i] δὲ]+καὶ E. Mox οἱ ante κροτοῦντες om. A.B.F.H.I. [k] εὐτελεστέρα C. Mox καπνοῦ pro καπνῶν omnes. [l] ὁ om. B.D.E.F.H.I. [m] ἐπεύχεται I. [n] κυρίου D. Veron. [o] εἰς om. D.E. Mox οὐκ εἰς σαυτὸν F. οὐκ εἰς αὐτὸν B.E. οὐχὶ σαυτὸν A.D.I. οὐχὶ σεαυτὸν Edd. [p] προυτίθει pro προτιθεὶς A.B.D.E.F.H.I. ἴσ. προτιθεῖη Sav. marg. Statim τοῖς παριοῦσιν (παροῦσιν C.H.) omnes. τοῖς παρατηροῦσιν Edd. [q] ἤνεγκες A.F.H.I. [r] τὴν διάνοιαν A. B. D. E. F. H. I. et ex corr. C. τῇ διανοίᾳ Edd. [s] δεσποτικοῦ I. [t] ἀνάστησον A.B.D.E.F.H.I. [v] μετὰ τῶν ὀρχ. Edd. τῶν om. B.C.D.E.F.I. [w] ἐρήμου pro ἐρημίας omnes. [x] τοῦ accessit ex D.E. Mox iidem καὶ κολακεύοντος οὐκ ἐπ. pro eo quod vulgo legitur, καὶ κολακεύοντας ὁρῶν οὐκ ἐπ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φετο, ἀλλ' ὁρῶν ἅπαντας τοὺς τὴν Παλαιστίνην οἰκοῦντας περὶ
C αὐτὸν ἐκκεχυμένους καὶ θαυμάζοντας καὶ ἐκπληττομένους, οὐκ
ἐχαυνοῦτο τῇ τοσαύτῃ τιμῇ, [y]ἀλλὰ καὶ κατεξανίστατο αὐτῶν,
καὶ ὡς ἑνὶ μειρακίῳ δήμῳ τοσούτῳ διαλεγόμενος, οὕτως ἐπέ-
πληττε λέγων, [12] "Ὄφεις, γεννήματα ἐχιδνῶν." Καίτοιγε δι'
αὐτὸν συνέδραμον, καὶ τὰς πόλεις ἀφῆκαν, [z]ὥστε τὴν ἱερὰν
κεφαλὴν ἐκείνην ἰδεῖν· ἀλλ' ὅμως οὐδὲν [a]αὐτὸν τούτων ἐξέλυσε·
πόρρω γὰρ ἦν δόξης, καὶ τύφου παντὸς ἐλεύθερος. Οὕτω καὶ
ὁ Στέφανος ὁρῶν τὸν αὐτὸν δῆμον πάλιν οὐχὶ τιμῶντα, ἀλλὰ
μαινόμενον καὶ τρίζοντα τοὺς ὀδόντας, ὑψηλότερος αὐτῶν γενό-
μενος τῆς ὀργῆς, ἔλεγε· [13] "Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι
D ταῖς καρδίαις." Οὕτω καὶ [b]Ἠλίας, τῶν στρατοπέδων παρόν-
των ἐκείνων καὶ τοῦ βασιλέως καὶ τοῦ δήμου παντὸς, ἔλεγεν·
[14] "Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;"
Ἀλλ' ἡμεῖς ἅπαντας κολακεύομεν, θεραπεύομεν, τῇ δουλοπρεπεῖ
διακονίᾳ ταύτῃ τὴν ἐκείνων τιμὴν ὠνούμενοι. Διὰ τοῦτο πάντα
ἄνω καὶ κάτω γέγονε, [c]καὶ τῆς χάριτος ταύτης προδέδοται τὰ
τοῦ Χριστιανισμοῦ πράγματα, καὶ [d]πάντα ἠμέληται διὰ τὴν
τῶν πολλῶν δόξαν. Ἐξορίσωμεν τοίνυν τὸ πάθος, καὶ τότε
εἰσόμεθα καλῶς τὴν ἐλευθερίαν καὶ τὸν λιμένα καὶ τὴν γαλήνην.
E Ὁ μὲν γὰρ κενόδοξος τοῖς χειμαζομένοις ἔοικεν, ἀεὶ τρέμων καὶ
δεδοικὼς καὶ μυρίους θεραπεύων δεσπότας· ὁ δὲ ταύτης [e]ἔξω τῆς
τυραννίδος ὢν, τοῖς ἐν [f]λιμέσι καθημένοις, καὶ ἐλευθερίας ἀπο-
λαύουσι καθαρᾶς. Ἀλλ' οὐκ ἐκεῖνος, ἀλλ' ὅσοις ἐστὶ γνώριμος,
τοσούτους ἔχει δεσπότας, πᾶσι δουλεύειν ἀναγκαζόμενος. Πῶς
οὖν ἀπαλλαγησόμεθα τῆς χαλεπῆς ταύτης δουλείας; [A]Ἂν ἑτέρας
ἐρασθῶμεν δόξης, τῆς ὄντως δόξης. Καθάπερ γὰρ τοὺς τῶν
σωμάτων [g]ἐρῶντας λαμπροτέρα ἑτέρα φανεῖσα ὄψις τῆς προ-
τέρας ἀπέστησεν· οὕτω δὴ καὶ τοὺς δόξης [h]ἐπιθυμοῦντας τῆς
παρ' ἡμῖν, ἡ ἐκ τῶν οὐρανῶν λάμψασα δόξα [i]ἀπαγαγεῖν ταύτης
630 δυνήσεται. [j]Ἴδωμεν τοίνυν ἐκείνην, καὶ καταμάθωμεν αὐτὴν
ἀκριβῶς, ἵνα τὸ κάλλος αὐτῆς θαυμάσαντες, φύγωμεν [k]ταύτης
τὴν αἰσχρότητα, καὶ πολλῆς [l]ἀπολαύσωμεν ἡδονῆς, ἐντρυφῶν-

12 Matth. iii. 7. 13 Act. vii. 51. 14 3 Reg. xviii. 21.

[y] ἀλλ' ἐξανίστατο C. [z] ὥστε] ὡς C. Mox ἐκείνην κεφ. inverso ord. A.C.D.E. [a] αὐτὸν τούτων] Sic E.F.H.I. τούτων αὐτὸν C. αὐτὸν τοῦτον A.B.F. αὐτῶν τοῦτον Edd. [b] Sic A.B.D.E.H.I. ὁ Ἠλίας Edd. [c] καὶ] κἀκ I. Post ταύτης addunt ἐξεπέσομεν καὶ D.E. καὶ τῆς—πράγματα] καὶ τοῦ Χριστιανοῦ προδέδοται τὸ πρᾶγμα C. [d] πάντα] πᾶν I. [e] ἔξω τῆς τ. pro τῆς τ. ἔξω A.C.D.E.F.H.I. [f] λιμένι C. [g] ἔρωτας C. Statim ἑτέρα om. idem. [h] ἐρῶντας C. [i] ἀπάγειν C. [k] ταύτης om. C. [l] ἀπολαύσαντες ἡ. ἐντρυφῶμεν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες ἐκείνῃ διηνεκῶς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΘ. B

[1]Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ [a]ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; [b]καθὰ γέγραπται.

ΠΑΛΙΝ ἀναιρεῖ τὴν [c]συγγνώμην αὐτῶν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι "Μαρτυρῶ [d]αὐτοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν·" καὶ, ὅτι "Ἀγνοοῦντες τὴν τοῦ θεοῦ δικαιοσύνην, [e]οὐχ ὑπετάγησαν," δείκνυσι λοιπὸν, ὅτι καὶ αὐτῆς τῆς C ἀγνοίας δίκην ὀφείλουσι τῷ θεῷ. Καὶ οὐ λέγει μὲν οὕτω, κατασκευάζει δὲ τοῦτο, κατὰ ἐρώτησιν προάγων τὸν λόγον, καὶ σαφέστερον ποιῶν τὸν ἔλεγχον τῷ κατὰ ἀντίθεσιν καὶ λύσιν
(154) ἅπαν [f]ὑφᾶναι τουτὶ τὸ χωρίον. [g]Σκόπει δὲ ἄνωθεν. Εἶπεν, φησὶν, ὁ προφήτης, [h]ὅτι "Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται." Ἀλλ' ἴσως ἔχοι τις ἂν εἰπεῖν· καὶ πῶς [i]ἠδύναντο ἐπικαλέσασθαι τοῦτον, ᾧ οὐκ ἐπίστευσαν; Εἶτα ἐρώτησις παρ' αὐτοῦ μετὰ τὴν ἀντίθεσιν· καὶ διὰ τί οὐκ ἐπίστευσαν; Καὶ πάλιν ἀντίθεσις· πάντως [k]ἔχει τις εἰπεῖν, καὶ πῶς εἶχον πιστεῦσαι μὴ ἀκούσαντες; Καὶ μὴν ἤκουσαν, φησίν. Εἶτα ἑτέρα πάλιν ἀντίθεσις· καὶ πῶς ἠδύναντο ἀκοῦσαι χωρὶς D κηρύσσοντος; Εἶτα πάλιν λύσις· καὶ [l]μὴν ἐκήρυξαν, καὶ ἀπεστάλησαν εἰς [m]αὐτὸ τοῦτο πολλοί. Καὶ πόθεν δῆλον, ὅτι οὗτοί εἰσιν [n]ἐκεῖνοι οἱ ἀποσταλέντες; Τότε [o]δὴ λοιπὸν εἰσάγει τὸν προφήτην λέγοντα, "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά." Ὁρᾷς πῶς

[1] Cap. X. v. 14, 15.

Hom. XIX. [a] ἀκούσωσι H.I. Mox κηρύξωσιν H. [b] καθὰ pro καθὼς B.D.E.F.H.I. Mosq. 8. καθάπερ γέγραπται, ὡς ὡραῖοι—ἀγαθὰ C. [c] γνώμην A.B.D.F.H. Vulgatum firmat Cat. [d] αὐτοῖς om. I. [e] οὐχ] τῷ θεῷ οὐχ C. [f] ὑφαίνειν A.B.D.E.I. ὑφαίνων F.H. Vulgatum ὑφᾶναι est in C. Cat. [g] Edebatur σκόπει δὲ ἄνωθεν, φησὶν, εἶπεν ὁ πρ. Pro φησὶν εἶπεν, εἶπεν φησὶν inverso ord. exhibent B.C.D.E.F.H.I. Cat. εἶπεν om. A. Distinctionem correximus ex F. Cat. et fortasse aliis. [h] ὅτι om. C. Mox ἂν pro ἐὰν omnes. [i] ἠδύνατο H. ἐδύναντο Edd. invitis libris. Statim ἐπικαλεῖσθαι C. [k] ἔχοι τις ἂν εἰπεῖν C. [l] μὴν]+καὶ B.D.E.F.H. [m] αὐτὸ τοῦτο] αὐτοὺς C. αὐτὸ om. I. [n] ἐκεῖνοι om. F. [o] δὴ accessit ex omnibus. Mox τὸν πρ. τὸν λέγοντα H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ τοῦ τρόπου τοῦ κηρύγματος δείκνυσι τοὺς κήρυκας; Οὐδὲν γὰρ ἄλλο περιήεσαν οὗτοι [p]πανταχοῦ λέγοντες, ἀλλ' ἢ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ, καὶ τὴν τοῦ θεοῦ πρὸς [q]τοὺς ἀνθρώπους γεγενημένην εἰρήνην. Ὥστε ἀπιστοῦντες, οὐχ ἡμῖν ἀπιΕστεῖτε, φησὶν, [r]ἀλλὰ τῷ Ἡσαΐᾳ τῷ πρὸ πολλῶν ἐτῶν εἰπόντι, ὅτι καὶ ἀποσταλησόμεθα καὶ κηρύξομεν [s]καὶ ἐροῦμεν ἅπερ εἰρήκαμεν. [t]Εἰ τοίνυν τὸ μὲν σωθῆναι ἐκ τοῦ ἐπικαλέσασθαι ἦν, τὸ δὲ ἐπικαλέσασθαι ἐκ τοῦ πιστεῦσαι, τὸ δὲ πιστεῦσαι ἐκ τοῦ ἀκοῦσαι, τὸ δὲ ἀκοῦσαι ἐκ τοῦ κηρῦξαι, τὸ δὲ κηρῦξαι ἐκ τοῦ ἀποσταλῆναι, ἀπεστάλησαν [v]δὲ καὶ ἐκήρυξαν, καὶ μετ' αὐτῶν ὁ προφήτης περιήει, δεικνὺς αὐτοὺς καὶ ἀνακηρύττων, καὶ λέγων ὅτι οὗτοί εἰσιν, οὓς πρὸ πολλῶν ἄνωθεν [w]ἐδήλουν χρόνων, ὧν καὶ τοὺς πόδας ἐνεκωμίαζον διὰ τὸν τοῦ κηρύγματος τρόπον· εὔδηλον, ὅτι τὸ μὴ πιστεῦσαι ἐκείνων ἔγκλημα γέγονε [x]μόνων· καὶ γὰρ τὰ παρὰ τοῦ θεοῦ πάντα ἀπήρτισται.

631 2 "Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ." Ἐπειδὴ πάλιν ἑτέραν [y]ἐπῆγον ἀντίθεσιν λέγοντες, [z]ὅτι καὶ μὴν εἰ ἦσαν οὗτοι [a]οἱ ἀπεσταλμένοι καὶ παρὰ τοῦ θεοῦ πεμφθέντες, ἔδει πάντας [b]ὑπακοῦσαι· σκόπει τοῦ Παύλου τὴν σύνεσιν, πῶς αὐτὸ τοῦτο, ὃ τὸν θόρυβον [c]ἐποίει, τοῦ θορύβου καὶ τῆς ταραχῆς δείκνυσιν ὂν ἀναιρετικόν. Τί γάρ σε σκανδαλίζει, φησὶν, ὦ Ἰουδαῖε, μετὰ τοσαύτην καὶ τηλικαύτην μαρτυρίαν καὶ πραγμάτων ἀπόδειξιν; ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; Τοῦτο μὲν οὖν Βαὐτὸ μετὰ τῶν ἄλλων ἱκανόν σε πιστώσασθαι [d]ὑπὲρ τῶν εἰρημένων, τὸ μὴ πάντας ὑπακούειν· καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης. Καὶ σκόπει τὴν ἄφατον σοφίαν, πῶς πλέον δείκνυσιν, ἢ προσεδόκων ἐκεῖνοι [e]καὶ ἤλπιζον ἀντερεῖν. Τί γάρ φατε, φησίν; [f]ὅτι οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; Ἀλλὰ καὶ τοῦτο ἄνωθεν προεῖπεν Ἡσαΐας· μᾶλλον δὲ οὐ

2 v. 16, 17.

[p] *πανταχοῦ* libri omnes et Cat. *πανταχόθεν* Edd. Mox edebatur, *ἀλλ' ἢ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ἀπόρρητα*, reclamantibus libris. [q] *τοὺς* assumtum ex A.B. E.F.H.I. Statim *γενομένην* C. [r] *ἀλλὰ*] *ἀλλ' ἢ* C. [s] *καὶ*]+*ἕτερα* I. Mox *ἅπερ* pro *ὅπερ* A.B.C.D.E.H.I. Cat. [t] *εἰ* om. A. *μὲν* om. C. *ἐπικαλεῖσθαι* bis idem. [v] *δὲ*]+*ἕκαστος* I. [w] *ἐδήλου* C. Mox *ἐνεγκωμίαζον* A. Cat. *ἐνεκόμιζον* H. [x] *μόνων* pro *μόνον* E.H.I. Cat. et ex corr. B. Mox *παρὰ τοῦ θ.* B.D.E.F.H.I. Articulus aberat. [y] *ἐπῆγον* A.B.D.E.I. *ἐπεῖγον* F.H. *ἐπήγαγον* Cat. *ἐπήγοντο* Edd. *ἐπειδὴ π. δευτέραν ἀντίθεσιν ἐπῆγον* λ. C. [z] *ὅτι* om. Cat. et a pr. man. B. [a] *οἱ* om. C. [b] *ἀκοῦσαι* A. [c] *ποιεῖ* C. Mox *δείκνυσιν* om. E. [d] *ὑπὲρ*] *μετὰ* C. [e] *καὶ*] *ἢ* C. [f] *ὅτι* om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο μόνον, ἀλλὰ καὶ πολλῷ τούτου πλέον. Ὑμεῖς [g]μὲν γὰρ ἐγκαλεῖτε, διὰ τί μὴ πάντες ὑπήκουσαν· ὁ δὲ Ἡσαΐας πλέον τούτου λέγει. Τί γάρ φησι; "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" Εἶτα, ἐπειδὴ τὸν θόρυβον τοῦτον ἐξεῖλε [h]παρεμβαλὼν τὸν προφήτην, πάλιν ἔχεται τῆς προτέρας ἀκολουθίας. Ἐπειδὴ γὰρ εἶπεν, [i]ὅτι ἐπικαλέσασθαι ἔδει, τοὺς δὲ ἐπικαλου- C μένους πιστεῦσαι, τοὺς [k]δὲ πιστεύοντας ἀκοῦσαι πρῶτον, τοὺς δὲ μέλλοντας [l]ἀκούσεσθαι τοὺς κηρύσσοντας ἔχειν, τοὺς δὲ κηρύσσοντας ἀπεστάλθαι, καὶ ἔδειξεν ὅτι ἀπέστάλησαν καὶ ὅτι ἐκήρυξαν· ἑτέραν πάλιν [m]μέλλων εἰσάγειν ἀντίθεσιν, ἀφορμὴν λαβὼν πρότερον ἀπὸ ἑτέρας μαρτυρίας τοῦ προφήτου, καθ' ἣν ἔλυσε τὴν μικρῷ πρὸ ταύτης ἀντίθεσιν, οὕτως αὐτὴν πλέκει καὶ [n]συνείρει τοῖς προτέροις. Ἐπειδὴ γὰρ παρήγαγε τὸν προφήτην λέγοντα· "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" εὐκαίρως τῆς μαρτυρίας ἐπιλαβόμενός φησιν, "Ἄρα ἡ πίστις ἐξ D ἀκοῆς." Τοῦτο δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἐπειδὴ καθ' ἕκαστον καιρὸν σημεῖα [o]ἐζήτουν οἱ Ἰουδαῖοι, καὶ τὴν ὄψιν τῆς ἀναστάσεως, καὶ [p]πολὺ πρὸς τὸ πρᾶγμα κεχηνότες ἦσαν, φησὶν ὅτι καὶ μὴν ὁ προφήτης [q]οὐ ταῦτα ἐπηγγείλατο, ἀλλ' ὅτι ἐξ ἀκοῆς
(155) ἡμᾶς ἔδει πιστεῦσαι. Διὸ πρότερον αὐτὸ κατασκευάζει, καί φησιν, "Ἄρα ἡ πίστις ἐξ ἀκοῆς." Εἶτα, ἐπειδὴ ἐδόκει τοῦτο εὐτελὲς εἶναι, ὅρα πῶς αὐτο [r]ἀνάγει. Οὐ γὰρ ἁπλῶς [s]ἀκοὴν εἶπον, φησὶν, οὐδ' ὅτι ἀνθρωπίνων δεῖ ῥημάτων ἀκοῦσαι καὶ πιστεῦσαι, ἀλλ' ἀκοὴν μεγάλην λέγω· [t]ἡ γὰρ ἀκοὴ διὰ ῥήματος θεοῦ. Οὐ γὰρ τὰ [v]αὐτῶν ἔλεγον, ἀλλὰ τὰ παρὰ τοῦ θεοῦ E μανθάνοντες ἀπήγγελλον· ὃ σημείων ἐστὶν ὑψηλότερον. [w]Τῷ γὰρ θεῷ καὶ λέγοντι καὶ θαυματουργοῦντι ὁμοίως [x]πιστεύειν καὶ πείθεσθαι δεῖ· ἐπεὶ καὶ τὰ ἔργα καὶ τὰ θαύματα ἀπὸ τῶν λόγων ἐστὶ τῶν ἐκείνου. Καὶ γὰρ καὶ [y]ὁ οὐρανὸς καὶ τὰ ἄλλα πάντα οὕτως ἔστη.

[g] μὲν om. H. [h] παρεμβάλλων C. [i] ὅτι om. C. Mox τοὺς δὲ ἐπικαλεσαμένους π. τοὺς δὲ πιστεύσαντας idem. [k] δὲ assumtum ex B.C.D.E.I. Cat. [l] ἀκούσεσθαι pro ἀκούσασθαι A.B.D.E.F.H. ἀκοῦσαι Cat. Statim τοῦ κηρύγματος ἔχεσθαι pro τοὺς κ. ἔχειν C. [m] μέλλων εἰσάγειν pro εἰσ. μέλλων omnes. [n] συναίρει H. [o] ἐπεζήτουν I. Statim οἱ accessit ex A.B.C.D.E.F.I. Cat. [p] πολὺ (πολλοὶ I.) πρὸς τὸ πρᾶγμα] Sic libri omnes et Cat. πολλοὶ πρὸς ταῦτα Edd. [q] οὐ ταῦτα ἐπηγ. ἀλλ' (ἀλλ' om. C.H.) ὅτι] Sic omnes. ἐπηγγείλατο ὅτι Edd. Mox ἔδει pro δεῖ A.B.D.E.F.H.I. δεῖ ἡμᾶς inverso ord. C. [r] ἐνάγει A.B.E.F.H. Alterum habet Cat. [s] ἀκοὴν omnes. Edebatur ἀκούειν. [t] ἡ] καὶ H. Mox τοῦ θεοῦ Edd. Articulum om. B.C.D.E.H.I. Cat. [v] αὐτῶν pro αὑτῶν B.E.H. Cat. [w] τῷ γὰρ] τὸ τῷ D.E. καὶ ante λέγοντι om. A.D.E.F.H. et ante corr. B. Habet Cat. [x] π. καὶ π. δεῖ] δεῖ π. καὶ π. I. et ex corr. B.F. δεῖ om. D.E. et a pr. man. B.F. In H. verba π. καὶ π. δεῖ. ἐπεὶ καὶ absunt. [y] ὁ om. C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δείξας τοίνυν, ὅτι δεῖ πιστεῦσαι τοῖς προφήταις ἀεὶ τὰ τοῦ θεοῦ λέγουσι, καὶ ἀκροάσεως μηδὲν πλέον ἐπιζητῆσαι, ἐπάγει λοιπὸν τὴν ἀντίθεσιν, ἣν εἶπον, καί φησιν· 3 "Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν;" Τί γὰρ, φησὶν, εἰ ἀπεστάλησαν οἱ κηρύσσοντες,
632 καὶ ἐκήρυξαν ἅπερ ἐκελεύσθησαν, οὗτοι δὲ οὐκ ἤκουσαν; Εἶτα μεθ' ὑπερβολῆς πάσης ἡ λύσις τῆς ἀντιθέσεως· "Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν." Τί λέγεις, φησίν; οὐκ ἤκουσαν; Ἡ οἰκουμένη καὶ τὰ πέρατα τῆς γῆς ἤκουσαν· καὶ ὑμεῖς, παρ' οἷς τοσοῦτον οἱ κήρυκες διέτριψαν χρόνον, καὶ ὅθεν ἦσαν, οὐκ ἠκούσατε; καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ τὰ πέρατα τῆς οἰκουμένης [z]ἤκουσε, πολλῷ μᾶλλον ὑμεῖς. Εἶτα πάλιν ἑτέρα ἀντίθεσις· 4 "Ἀλλὰ λέγω, μὴ Ἰσραὴλ οὐκ ἔγνω;"
Τί γὰρ, εἰ ἤκουσαν μὲν, [a]φησὶν, οὐκ ἔγνωσαν δὲ τὰ εἰρημένα,
B οὐδὲ συνῆκαν, ὅτι [b]οὗτοι ἐκεῖνοι ἦσαν οἱ ἀποσταλέντες; οὐκ ἄξιοι συγγνώμης τῆς ἀγνοίας ἕνεκεν ταύτης; Οὐδαμῶς. Καὶ γὰρ ὁ Ἡσαΐας ἐχαρακτήρισεν αὐτοὺς, εἰπών, "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην·" καὶ πρὸ τούτου πάλιν ὁ νομοθέτης αὐτός. Διὸ καὶ ἐπήγαγε, "Πρῶτος Μωϋσῆς λέγει· Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς." Ὥστε καὶ ἐντεῦθεν ἐχρῆν γνωρίσαι τοὺς κήρυκας, οὐκ ἀφ' ὧν ἠπίστησαν οὗτοι μόνον, οὐκ ἀφ' ὧν [c]εἰρήνην ἐκήρυττον ἐκεῖνοι, οὐκ ἀφ' ὧν τὰ ἀγαθὰ [d]ἐκεῖνα εὐηγγελίζοντο, οὐκ ἀφ' ὧν πανταχοῦ τῆς οἰκουμένης ὁ λόγος ἐσπείρετο,
C ἀλλὰ καὶ ἀφ' ὧν τοὺς καταδεεστέρους αὐτῶν τοὺς ἐξ ἐθνῶν εἶδον ἐν πλείοσιν ὄντας τιμῆ. [e]Ἃ γὰρ μηδέποτε ἤκουσαν οὗτοι, μηδὲ τούτων οἱ πρόγονοι, ταῦτα ἐξαίφνης ἐφιλοσόφουν ἐκεῖνοι· ὅπερ ἐπιτεταμένης ἦν τιμῆς, [e]παρακινιζούσης αὐτοὺς, καὶ εἰς [f]ζῆλον ἀγούσης, [g]καὶ εἰς μνήμην τῆς προφητείας Μωϋσέως τῆς λεγούσης, "Παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει." Οὐ γὰρ δὴ μόνον τὸ μέγεθος τῆς τιμῆς ἱκανὸν ἦν αὐτοὺς εἰς ζῆλον ἐμβαλεῖν, ἀλλὰ καὶ τὸ οὕτως εὐτελὲς εἶναι τὸ ἔθνος τὸ τούτων ἀπολαῦσαν, ὡς μηδὲ ἔθνος ἄξιον εἶναι [h]λογίζεσθαι. "Ἐγὼ γὰρ παραζηλώσω
D ὑμᾶς ἐπ' οὐκ [i]ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς." Τί

3 v. 18. 4 v. 19.

[z] ἤκουσαν C. Mox καὶ ὑμεῖς I. [a] φησὶν accessit ex A.B.D.E.H.I. Cat. Statim οὐκ ἔγνωσαν A.B.D.E.F.H.I. Cat. οὐκ ἐνόησαν Edd. [b] οὗτοι ἐκεῖνοι pro ἐκεῖνοι οὗτοι omnes. Mox ἕνεκεν ταύτης pro ταύτης ἕνεκεν B.D.E.F.H.I. Cat. [c] εἰρήνην om. H. [d] ἐκεῖνα om. I. [e] παραζηλούσης C. [f] ζῆλον]+μνήμης C. [g] Haec καὶ εἰς μνήμην—λεγούσης desunt in A.B.D.E.F.H.I. invita Cat. [h] νομίζεσθαι C.H. [i] ἔθνει]+φησὶν Edd. φησὶν om. A.B.D.E.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ Ἑλλήνων ἀσυνετώτερον ἦν; τί δὲ εὐτελέστερον; [k]Ὁρᾷς πῶς διὰ πάντων γνωρίσματα καὶ σημεῖα σαφῆ τῶν καιρῶν τούτων [l]ἄνωθεν ἔδωκεν αὐτοῖς ὁ θεὸς, ὥστε διανοῖξαι αὐτῶν τὴν [m]πώρωσιν; Οὐδὲ γὰρ ἐν γωνίᾳ μικρᾷ τὸ [n]γινόμενον ἦν, ἀλλ' ἐν γῇ καὶ θαλάττῃ, καὶ πανταχοῦ τῆς οἰκουμένης· καὶ ἑώρων μυρίων ἀπολαύοντας ἀγαθῶν τοὺς πρότερον παρ' αὐτῶν καταφρονουμένους. Ἔδει τοίνυν ἐννοῆσαι, ὅτι τοῦτο ἐκεῖνό ἐστι τὸ ἔθνος, περὶ οὗ φησιν ὁ Μωϋσῆς· "Παραζηλώσω ὑμᾶς ἐπ' οὐκ Ε [o]ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς." [r]Ἆρα οὖν Μωϋσῆς μόνος τοῦτο εἶπεν; Οὐδαμῶς, ἀλλὰ καὶ [p]Ἡσαΐας μετ' ἐκεῖνον. Διὸ καὶ Παῦλος ἔλεγε, "[q]Πρῶτος Μωϋσῆς," δεικνὺς ὅτι καὶ δεύτερος [r]ἥξει τὰ αὐτὰ λέγων καὶ τρανότερον καὶ σαφέστερον. Ὥσπερ οὖν ἀνωτέρω εἶπε, "κράζει Ἡσαΐας·" οὕτω καὶ ἐνταῦθα, [s]"Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει." [t]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐβιάσατο καὶ ἐφιλονείκησε μηδὲν συνεσκιασμένον εἰπεῖν, ἀλλὰ καὶ γυμνὰ πρὸ τῶν ὀφθαλμῶν [s]ὑμῶν θεῖναι τὰ πράγματα, [t]μᾶλλον ἑλόμενος κινδυνεύειν ἐκ τοῦ φανερῶς εἰπεῖν, (156) ἢ τὴν οἰκείαν ὑφορώμενος σωτηρίαν, σκιὰν γοῦν [v]ὑμῖν καταλιπεῖν ἀγνωμοσύνης. Καίτοιγε προφητείας οὐκ ἦν [w]τὸ σαφῶς 633 οὕτως εἰπεῖν. Ἀλλ' ὅμως ὥστε ἐκ περιουσίας ὑμῶν ἐμφράξαι τὰ στόματα, σαφῶς [x]πάνυ καὶ διαρρήδην [y]ἅπαντα προλέγει. Ἅπαντα, ποῖα; Καὶ τὴν ὑμῶν ἔκπτωσιν, καὶ τὴν ἐκείνων εἰσαγωγὴν, οὕτω λέγων· "Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι." Τίνες οὖν οἱ μὴ ζητοῦντες; τίνες οἱ μὴ ἐπερωτῶντες; [z]Εὔδηλον ὅτι οὐκ Ἰουδαῖοι, ἀλλ' οἱ ἐξ ἐθνῶν, οἱ μηδέποτε αὐτὸν ἐπιγνόντες. Ὥσπερ οὖν Μωϋσῆς ἐχαρακτήρισεν αὐτοὺς [a]εἰπὼν, "ἐπ' οὐκ ἔθνει," [b]καὶ, "ἔθνει ἀσυνέτῳ·" οὕτω καὶ ἐνταῦθα ἀπὸ τῆς αὐτῆς ὑποθέσεως αὐτοὺς δηλοῖ, τῆς ἀγνοίας τῆς ἐπιτεταμένης· ὃ μεγίστη κατηγορία Β

5 v. 20.

[k] ὁρᾷς pro ὅρα A.C.E.F.I. Cat. [l] ἄνωθεν om. A.D.E. Statim ἔδ. αὐτοῖς ὁ θ. A.B.D.E.F.H. αὐτοῖς ἔδ. ὁ θ. I. δέδωκεν ὁ θ. αὐτοῖς C. ἔδωκεν ὁ θ. αὐτοῖς Edd. [m] πόρρωσιν mendose F.H. [n] γινόμενον B.C.D.E.H.I. γενόμενον Edd. [o] ἔθνει]+φησὶν B.F.H. Statim ἐπὶ ἔθνει—ὑμᾶς om. C. παροργιῶ ὑμᾶς om. I. [p] Ἡσαΐας sine artic. B.D.E.F.H.I. Cat. Mox Παῦλος sine artic. A.B.C.D.E.F.H. Cat. [q] πρῶτος pro πρῶτον omnes. [r] ἥξει] ἐξηγεῖται C. [s] ἡμῶν I. ὑμῶν om. B.H. [t] μᾶλλον δὲ ἑλ. Edd. δὲ om. A.B.D.E.F.H.I. Cat. δὴ pro δὲ conjecit Sav. [v] ἡμῖν B.F.H. [w] τὸ] Sic C. et ex corr. B. τοῦτο τὸ D. τοῦτο Edd. Statim σαφῶς οὕτως εἰπεῖν hoc ord. A.B.D.E.F.H. οὕτως εἰπεῖν σαφῶς Edd. οὕτως om. C. σαφῶς om. I. [x] πανὺ] τοίνυν A.B.D.E.F.H.I. Vulgatum tuetur Cat. [y] ἅπαντα pro πάντα A.B.C.D.E.F.I. Cat. Mox ἅπαντα pro πάντα omnes. [z] εὔδ.] δῆλον C.H.I. Cat. [a] εἰπὼν om. E. Statim ἐπ' οὐκ pro οὐκ A.B.D.E.F.H.I. [b] καὶ ἐπ' ἔθνει B. ἐπὶ pro καὶ I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰουδαίων [c]ἦν, ὅτι οἱ μὴ ζητοῦντες εὗρον, [d]καὶ οἱ ζητοῦντες ἀπώλεσαν.

[6] "Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα." Εἶδες πῶς τὸ ἄπορον ἐκεῖνο καὶ παρὰ πολλῶν ζητούμενον εὑρίσκεται ἄνωθεν [e]καὶ ἐν τοῖς προφητικοῖς ῥήμασι κείμενον, καὶ σαφῶς λυόμενον; Τί δὲ τοῦτό ἐστιν; Ἤκουσας [f]ἔμπροσθεν Παύλου λέγοντος· "Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε." Τοῦτο καὶ [g]Ἡσαΐας C ἐνταῦθά φησι. Τὸ γὰρ, "Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι," ταὐτόν [h]ἐστι τῷ εἰπεῖν, [i]ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην. Εἶτα δεικνὺς, ὅτι [k]οὐχὶ τῆς τοῦ θεοῦ χάριτος μόνον ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς γνώμης τῶν προσελθόντων, [l]ὥσπερ οὖν καὶ ἡ ἐκείνων ἔκπτωσις τῆς φιλονεικίας τῶν [m]ἀπειθησάντων, ἄκουσον τί ἐπήγαγε· "Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα·" ἡμέραν ἐνταῦθα τὸν πάντα χρόνον λέγων τὸν D ἔμπροσθεν. Τὸ δὲ ἐκπετάσαι τὰς χεῖρας, τὸ καλέσαι καὶ ἐπισπάσασθαι καὶ παρακαλέσαι δηλοῖ. Εἶτα δεικνὺς τὸ ἔγκλημα ἅπαν ἐκείνων ὂν, φησὶ, "πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα." Εἶδες πόση ἡ κατηγορία; Οὗτοι μὲν γὰρ οὐδὲ παρακαλοῦντι ἐπείσθησαν, ἀλλὰ καὶ ἀντεῖπον, καὶ ταῦτα [n]οὐχ ἅπαξ, οὐ δὶς, οὐ τρὶς, [o]ἀλλὰ διὰ παντὸς τοῦ χρόνου ταῦτα ποιοῦντα ὁρῶντες· ἕτεροι δὲ οἱ μηδέποτε αὐτὸν ἐγνωκότες ἴσχυσαν αὐτὸν E ἐπισπάσασθαι. [p]Ἀλλ' οὐ λέγει, ὅτι αὐτοὶ ἴσχυσαν αὐτὸν ἐπισπάσασθαι, ἀλλὰ καθαιρῶν καὶ τῶν [q]ἐξ ἐθνῶν τὰ φρονήματα, καὶ δεικνὺς τὴν αὐτοῦ χάριν τὸ πᾶν ἐργασαμένην, φησὶν, ὅτι ἐγὼ ἐμφανὴς ἐγενόμην, καὶ ἐγὼ εὑρέθην. Οὐκοῦν κενοὶ πάντων ἐκεῖνοι, φησίν. Οὐδαμῶς, ἀλλὰ [r]τὸ εὑρεθέντα λαβεῖν καὶ φανέντα ἐπιγνῶναι, τοῦτο παρ' ἑαυτῶν εἰσήνεγκαν. Εἶτα

[6] v. 21.

[c] ἦν] ἐστὶν I. [d] καὶ οἱ] οἱ δὲ C. [e] καὶ om. E. Mox προφητικοῖς ζητήμασί τε καὶ ῥήμασι I. ῥήμασιν ἐγκείμενον C. [f] ἔμπρ. Παύλου pro Παύλου ἔμπρ. A.B.D.E.F.H.I. [g] Ἡσαΐας sine artic. A.B.E.F.H. Cat. [h] ἐστι om. H. Statim τὸ εἰπεῖν E.H. [i] ὅτι om. A.E. [k] οὐχὶ pro οὐ et χάριτος μόνον pro μόνον χάριτος omnes. [l] ὥσπερ οὖν καὶ ἡ ἐκείνων ἔκπτωσις] Sic C. Cat. cum Editis. καὶ μετ' ἐκείνων ἡ ἔκπτωσις ceteri. [m] ἀπιστησάντων C. Mox λέγει pro ἐπήγαγε idem. [n] οὐχ ἅ. καὶ δ. καὶ τρὶς C. [o] ἀλλὰ]+καὶ Edd. repugnantibus libris. [p] Haec ἀλλ' οὐ λέγει——ἐπισπάσασθαι om. A.B.E.F.H.I. Agnoscit ea Cat. [q] ἐξ om. C. [r] τὸ pro τὰ A.B.D.E. F.H.I. Cat. Mox καὶ φανέντα pro καὶ τὰ φανέντα omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα μὴ λέγωσιν οὗτοι, διὰ τί οὖν καὶ ἡμῖν ἐμφανὴς οὐκ [s]ἐγένου; τὸ πλέον τούτου τίθησιν, ὅτι οὐ μόνον ἐμφανὴς ἐγενόμην, ἀλλὰ καὶ παρέμεινα τὰς χεῖρας ἀναπεταννὺς καὶ παρακαλῶν, [t]πατρὸς φιλοστόργου καὶ μητρὸς φιλόπαιδος κηδεμονίαν ἐπιδεικνύμενος. [v]Ὅρα πῶς σαφεστάτην τῶν ἔμπροσθεν διαπορηθέντων ἁπάντων 634
τὴν λύσιν ἐπήγαγε, δείξας τῆς γνώμης αὐτῶν τὴν ἀπώλειαν γενομένην, καὶ ὡς [w]πάντοθεν ἀνάξιοι συγγνώμης εἰσὶ, [x]καὶ ἀκούσαντες καὶ νοήσαντες τὰ λεγόμενα, [y]καὶ οὐδὲ οὕτω βουληθέντες προσελθεῖν. Καὶ τὸ πολὺ [z]πλεῖον, ὅτι οὐ μόνον ἀκοῦσαι αὐτοὺς ταῦτα ἐποίησεν, οὐδὲ μόνον νοῆσαι, ἀλλὰ καὶ ὃ μείζονα ἰσχὺν ἔχει πρὸς τὸ διεγεῖραι, καὶ φιλονεικοῦντας καὶ ἀντιλέγοντας ἐπισπάσασθαι, καὶ τοῦτο προσέθηκε. Ποῖον δὴ τοῦτο; Τὸ παρακινῆσαι αὐτοὺς καὶ παραζηλῶσαι. Ἴστε γὰρ τοῦ πάθους τὴν τυραννίδα, καὶ ὅσην ἔχει τὴν ἰσχὺν τῆς ζηλοτυπίας ἡ φύσις πρὸς τὸ λῦσαι φιλονεικίαν ἅπασαν, καὶ τοὺς ἀναπεπτωκότας B
διαναστῆσαι. Καὶ τί δεῖ λέγειν ἐπ' ἀνθρώπων τοῦτο, ὅπου γε καὶ ἐπὶ ἀλόγων καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἀώρου τῶν [a]παιδίων πολλὴν τὴν δύναμιν ἐπιδείκνυται; Καὶ γὰρ παιδίον πολλάκις παρακαλούμενον μὲν οὐκ εἶξε τῷ πατρὶ, ἀλλ' ἔμεινε φιλονεικοῦν·
(157) ἑτέρου δὲ θεραπευθέντος παιδίου, καὶ μὴ καλούμενον ἐπανῆλθε πρὸς τοὺς κόλπους τοὺς πατρικοὺς, καὶ ὅπερ οὐκ ἴσχυσεν ἡ παράκλησις, τοῦτο ἐποίησεν ἡ παραζήλωσις. Τοῦτο τοίνυν καὶ ὁ θεὸς ἐποίησεν. Οὐ γὰρ παρεκάλεσε μόνον, καὶ τὰς χεῖρας ἐξεπέτασεν, ἀλλὰ καὶ τὸ τῆς ζηλοτυπίας ἐν αὐτοῖς διήγειρε C
πάθος, τοὺς πολλῷ καταδεεστέρους αὐτῶν, ὃ μάλιστα ποιεῖ παραζήλωσιν, εἰσάγων, οὐκ εἰς τὰ ἐκείνων ἀγαθὰ, ἀλλ', ὃ πολλῷ μεῖζον ἦν καὶ τυραννικώτερον ποιεῖ τὸ πάθος, εἰς τὰ πολλῷ μείζονα ἐκείνων καὶ ἀναγκαιότερα, καὶ ἃ μηδὲ ἄναρ αὐτοί ποτε ἐφαντάσθησαν. Ἀλλ' οὐδὲ οὕτως εἶξαν. Τίνος [b]οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, μετὰ τοσαύτης ὑπερβολῆς τὴν φιλονεικίαν ἐπιδειξάμενοι; Οὐδεμιᾶς. Ἀλλὰ τοῦτο [c]αὐτὸς μὲν οὐ λέγει, καταλιμπάνει δὲ ἐκ τοῦ συμπεράσματος τῶν εἰρημένων τῷ συνειδότι τῶν ἀκουόντων αὐτὸ [d]συλλογίσασθαι, καὶ πάλιν αὐτὸ D
[e]διὰ τῶν ἑξῆς κατασκευάζει μετὰ τῆς εἰωθυίας αὐτῷ σοφίας. [f]Ὅπερ γὰρ [f]ἐν τοῖς ἔμπροσθεν ἐποίησεν, ἀντιθέσεις εἰσάγων καὶ

[s] ἐγένετο C. [t] πατρὸς] καὶ πατρὸς A.B.D.E.F. [v] ὅρα] εἶδες I. ὅρα om. A.C.H. Post ἔμπροσθεν deest folium in E. usque ad τὸν λαὸν αὐτοῦ p. 635 B. [w] πάντοθεν]+ὅρᾳς ὡς C. [x] καὶ] καὶ γὰρ καὶ Edd. καὶ γὰρ om. B.C.H.I. Cat. [y] καὶ οὐδὲ οὕτω βουληθέντες] Sic C.H.I. Cat. οὐδὲ οὕτως ἐβουλήθησαν Edd. [z] πλεῖον pro πλέον A.B.D.H.I. [a] παιδίων A.B.C. D.H.I. Cat. παίδων Edd. ante Ben. [b] οὖν om. D.F.H. [c] αὐτὸς μὲν pro μὲν αὐτὸς A.B.D.E.F.H.I. Cat. [d] συλλογίζεσθαι C. Cat. [e] διὰ] καὶ διὰ Edd. καὶ om. A.B.D.F.H.I. [f] ἐν accessit ex omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τοῦ νόμου καὶ ἐπὶ τοῦ λαοῦ, μείζονα κατηγορίαν ἐχούσας τῆς οὔσης, εἶτα ἐν τῇ λύσει τῇ ἀνατρεπούσῃ ταύτην τοσαῦτα συγχωρῶν, ὅσα ἐβούλετο, καὶ τὰ πράγματα ἐδίδου, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον· τοῦτο καὶ ἐνταῦθα ποιεῖ, οὕτω γράφων· [7] "Λέγω οὖν, μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω; Μὴ γένοιτο." Καὶ σχῆμα διαποροῦντος [g]εἰσάγει, ὡς ἐκ
Ε τῶν [h]εἰρημένων λαβὼν τὴν ἀρχήν, καὶ τὸ [i]φοβερὸν τοῦτο [k]θεὶς, τῇ ἀναιρέσει αὐτοῦ [l]τὸ μετ' ἐκεῖνο λοιπὸν εὐπαράδεκτον ποιεῖ, ὃ διὰ τῶν ἔμπροσθεν ἁπάντων [m]ἐσπούδασε δεῖξαι, τοῦτο καὶ ἐνταῦθα κατασκευάζων. Ποῖον δὴ τοῦτο; Ὅτι κἂν ὀλίγοι ὦσιν οἱ διασεσωσμένοι, τὰ τῆς ἐπαγγελίας ἔστηκε. Διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, "τὸν λαὸν," ἀλλὰ προσέθηκεν, "ὃν προέγνω." Εἶτα ἐπάγων ἀπόδειξιν τοῦ μὴ [n]ἀπῶσθαι τὸν λαὸν, φησί· "Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν." Ἐγὼ, φησὶν, ὁ διδάσκαλος, ὁ κήρυξ. Ἐπεὶ οὖν ἐδόκει τοῦτο ἐναντίον εἶναι τοῖς ἔμπροσθεν εἰρημένοις τοῖς [o]λέγουσι, "Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" καὶ, "Ὅλην τὴν
635 ἡμέραν ἐξεπέτασα [p]τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα·" καὶ, "Παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει·" οὐκ ἠρκέσθη τῇ ἀπαγορεύσει, οὐδὲ τῷ εἰπεῖν, "Μὴ γένοιτο," ἀλλὰ [q]καὶ κατασκευάζει αὐτὸ πάλιν ἀναλαμβάνων καὶ λέγων, [8] "Οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ." Ἀλλὰ τοῦτο οὐκ ἔστι κατασκευὴ, φησὶν, ἀλλ' ἀπόφασις. Ὅρα οὖν τὴν κατασκευὴν τήν [r]τε προτέραν καὶ τὴν μετ' ἐκείνην. Προτέρα μὲν γάρ ἐστι τὸ δεῖξαι ὅτι αὐτὸς ἐκεῖθεν [s]ἦν· οὐκ ἂν δὲ, εἰ ἀπωθεῖσθαι
Β [t]αὐτοὺς ἔμελλεν, ᾧ τὸ κήρυγμα [v]ἅπαν καὶ τὰ πράγματα τῆς οἰκουμένης ἐνεπίστευσε, καὶ τὰ μυστήρια πάντα, καὶ τὴν οἰκονομίαν ὅλην, τοῦτον [w]ἐκεῖθεν ἂν ἐξελέξατο. Αὕτη μὲν οὖν μία κατασκευή· δευτέρα δὲ μετ' ἐκείνην, τὸ εἰπεῖν, "τὸν λαὸν, ὃν προέγνω·" τουτέστιν, ὃν ἤδει σαφῶς ἐπιτήδειον ὄντα καὶ τὴν πίστιν [x]δεξόμενον· καὶ γὰρ τρισχίλιοι καὶ πεντακισχίλιοι καὶ μυρίοι ἐξ ἐκείνων [y]ἦσαν πιστεύσαντες. Ἵνα [z]γὰρ μὴ λέγῃ τις, σὺ οὖν ὁ λαὸς εἶ; καὶ ἐπειδὴ σὺ ἐκλήθης, τὸ ἔθνος ἐκλήθη; ἐπήγαγεν,

[7] Cap. XI. v. 1. [8] v. 2.

[g] εἰσάγει ὡς] εἰσάγων A.B.D.F.H.I. [h] προειρημένων C. [i] φανερὸν C. [k] τιθεὶς C.I. Statim τῇ αἱρέσει A.B.D.F.H. [l] τὸ μετ' ἐκεῖνο] καὶ ἐκεῖνο I. τὸ om. A.B.D.F.H. [m] ἐσπούδαζε A.I. [n] ἀπώσασθαι C. [o] λέγουσι] +κύριε C. [p] τὰς χεῖράς μου om. Veron. Sav. Mor. repugnantibus libris. τὰς χεῖρας (sine μου) recepit Montef. [q] καὶ accessit ex A.B.D.F.H.I. [r] τε om. B.H. [s] ἦν] ἐστι C. [t] αὐτὸν C.H.I. necnon Cat. et Veron. [v] ἅπαν pro πᾶν omnes. [w] ἐκεῖθεν ἂν pro ἂν ἐκεῖθεν A.B.D.F.H.I. ἂν om. C. Cat. Statim ἐξείλετο C. [x] δεξάμενον A.B.F.H. Cat. [y] οἱ pro ἦσαν, hoc superscripto, C. [z] γὰρ] οὖν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

"Οὐκ [a]ἀπώσατο τὸν λαὸν, ὃν προέγνω." Ὡς ἂν εἰ ἔλεγεν, ἔχω μετ' ἐμοῦ τρισχιλίους, ἔχω πεντακισχιλίους, ἔχω μυρίους. Τί οὖν; [b]οὗτος λαός; καὶ εἰς τρισχιλίους [c]καὶ πεντακισχιλίους C καὶ μυρίους περιέστη τὸ σπέρμα ἐκεῖνο τὸ μιμούμενον τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ τὴν ἄμμον [d]τὴν θαλαττίαν; καὶ οὕτως ἡμᾶς ἀπατᾷς καὶ παραλογίζῃ, τὸν λαὸν ἅπαντα [e]σαυτὸν τιθεὶς, καὶ τοὺς ὀλίγους τοὺς μετὰ σοῦ; καὶ κεναῖς ἡμᾶς [f]ἐφύσησας ἐλπίσι, τὴν ἐπαγγελίαν πεπληρῶσθαι λέγων, πάντων [g]ἀπολομένων, καὶ εἰς ὀλίγους τῆς σωτηρίας περιστάσης; Κόμπος ταῦτα καὶ τῦφος, καὶ οὐκ [h]ἂν ἀνασχοίμεθα τῶν σοφισμάτων τούτων. Ἵν' οὖν μὴ ταῦτα λέγωσιν, ὅρα πῶς διὰ τῶν ἑξῆς τὴν λύσιν ἐπάγει, τὴν μὲν ἀντίθεσιν οὐ θεὶς, πρὸ δὲ τῆς ἀντιθέσεως τὴν λύσιν αὐτῆς ἀπὸ παλαιᾶς ἱστορίας κατασκευάζων. D

(158) Τίς οὖν ἡ λύσις; "Οὐκ οἴδατε ἐν Ἠλίᾳ, φησὶ, τί λέγει ἡ γραφή; [i]ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραήλ; [j]Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, [k]τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν." [a]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἀπώσατο ὁ θεὸς E τὸν λαόν· εἰ γὰρ ἀπώσατο, οὐδένα ἂν ἐδέξατο· εἰ δὲ ἐδέξατό τινας, οὐκ ἀπώσατο. Καὶ μὴν, φησὶν, εἰ μὴ ἀπώσατο, πάντας ἂν ἐδέξατο. Οὐδαμῶς. Καὶ γὰρ ἐπὶ Ἠλίᾳ [l]ἐν ἑπτακισχιλίοις περιέστη τὰ τῆς σωτηρίας· καὶ νῦν δὲ εἰκὸς πολλοὺς εἶναι τοὺς πεπιστευκότας. Εἰ δὲ ἀγνοεῖτε ὑμεῖς, θαυμαστὸν οὐδὲν, ἐπεὶ καὶ ὁ προφήτης ἐκεῖνος, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ἠγνόει· ἀλλ' ὁ θεὸς ᾠκονόμει τὰ ἑαυτοῦ, καὶ τοῦ προφήτου ἀγνοοῦντος. Σκόπει δὲ αὐτοῦ σύνεσιν, πῶς ἐν τῷ κατασκευάζειν τὸ προκείμενον, λανθανόντως τὴν κατηγορίαν αὐτῶν αὔξει. Διὰ γὰρ τοῦτο καὶ πάσης ἐμνήσθη τῆς μαρτυρίας, ἵνα αὐτῶν ἐκπομπεύσῃ τὴν ἀγνωμοσύνην, καὶ [m]δείξῃ τοιούτους ἄνωθεν 636 ὄντας. Εἰ γὰρ μὴ [n]τοῦτο ἤθελεν, ἀλλ' ἓν μόνον [o]δεῖξαι

[9] v. 3—5.

[a] ἀπώσατο]+ὁ θεὸς C. Statim τὸν λαὸν αὐτοῦ Edd. αὐτοῦ om. A.B.F.H. Cat. [b] Vid. Annot. [c] καὶ εἰς π. A.B.D.E.F.H. Mox καὶ εἰς μυρίους D.E. [d] τὴν θ.] τῆς θαλάττης I. [e] ἑαυτὸν C. [f] ἐφύσησας omnes. φυσᾷς Edd. ante Ben. etiam ante corr. C. [g] ἀπολομένων] Sic B.D.E. et ex corr. F. ἀπολογουμένων H. et a pr. man. F. ἀπολλυμένων, ut videtur, A.I. ἀπολλομένων (sic) Veron. ἀπόλλυμένων Sav. cet. Postremo ἀπελειμμένων Cat. [h] ἂν accessit ex D.I. [i] ὡς pro ὃς A.B.C.D.F.H.I. Mosqq. [k] τὰ] καὶ τὰ C. [l] ἐν om. I. [m] δείξῃ]+αὐτοὺς C. [n] τοῦτο om. C. [o] δεῖξαι om. E. δεῖξαι μόνον inverso ord. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροιας

ἐσπούδαζεν, ὅτι ἐν τοῖς ὀλίγοις ὁ λαὸς, εἶπεν ἂν, ὅτι καὶ ἐπὶ Ἠλία ἑπτακισχίλιοι ὑπελείφθησαν· νυνὶ δὲ ἄνωθεν ἀναγινώσκει τὴν μαρτυρίαν ἅπασαν. Πανταχοῦ γὰρ ἐσπούδακε δεῖξαι οὐδὲν ξένον ποιήσαντας ἐπὶ τοῦ [p]Χριστοῦ καὶ τῶν ἀποστόλων, ἀλλὰ τὰ συνήθη [q]καὶ μεμελετημένα. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ὡς πλάνον ἀνείλομεν τὸν Χριστὸν, καὶ ὡς ἀπατεῶνας διώκομεν τοὺς ἀποστόλους, παράγει τὴν μαρτυρίαν τὴν λέγουσαν·
B "Κύριε, [r]τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν." Εἶτα, ὥστε μὴ ποιῆσαι τὸν λόγον ἐπαχθῆ, ἑτέραν τῇ τῆς μαρτυρίας παραγωγῇ περιτίθησιν αἰτίαν. Οὐ γὰρ [s]ὡς προηγουμένως αὐτῶν κατηγορῆσαι βουλόμενος παράγει, ἀλλ' ὡς ἕτερά τινα ἀποδεῖξαι σπουδάζων· καὶ ἀποστερεῖ πάσης αὐτοὺς συγγνώμης καὶ ἀπὸ τῶν ἔμπροσθεν γεγενημένων. Ὅρα γὰρ πῶς ἐπιτεταμένη ἡ κατηγορία καὶ ἀπὸ τοῦ προσώπου γίνεται. Οὐδὲ γὰρ Παῦλός ἐστιν ὁ κατηγορῶν, οὐδὲ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, ἀλλ' ὁ μάλιστα [t]πάντων παρ' αὐτοῖς θαυμασθεὶς, τῶν προφητῶν τὸ κεφάλαιον, ὁ τῷ θεῷ
C φίλος, ὁ ὑπὲρ αὐτῶν [v]οὕτω ζηλώσας, ὡς καὶ λιμῷ παραδοθῆναι, ὁ μέχρι σήμερον [w]μηδέπω τετελευτηκώς. Τί οὖν οὗτός φησι; "Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, [x]τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ ὑπελείφθην ἐγὼ μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου." Τί τῆς θηριωδίας ταύτης [y]χεῖρον γένοιτ' ἄν; Δέον γὰρ παρακαλεῖν ὑπὲρ τῶν [z]ἤδη πλημμεληθέντων, οἱ δὲ καὶ αὐτὸν ἐβούλοντο ἀνελεῖν. Ἅπερ ἅπαντα [a]πάσης ἀπεστέρει συγγνώμης αὐτούς. Οὐδὲ γὰρ τοῦ λιμοῦ κρατοῦντος, ἀλλὰ τῆς
D εὐετηρίας γενομένης, καὶ τῆς αἰσχύνης λυθείσης, καὶ τῶν δαιμόνων καταισχυνθέντων, καὶ τῆς τοῦ θεοῦ δειχθείσης δυνάμεως, καὶ τοῦ βασιλέως ὑποκύψαντος, ἑτοίμων ταῦτα ἐκεῖνοι, ἀπὸ φόνων εἰς φόνους μεταβαίνοντες, καὶ τοὺς διδασκάλους [b]καὶ διορθοῦντας αὐτῶν τὴν γνώμην ἀναιροῦντες. Τί γὰρ ἂν ἔχοιεν εἰπεῖν; [c]μὴ καὶ ἐκεῖνοι πλάνοι; μὴ καὶ ἐκεῖνοι ἀπατεῶνες; μὴ καὶ ἐκείνους οὐκ [d]ἤδεσαν πόθεν ἦσαν; [e]Ἀλλὰ ἐλύπουν ὑμᾶς; Ἀλλὰ καὶ χρηστὰ ἔλεγον. Τί δὲ [f]τὰ θυσιαστήρια; μὴ καὶ

[p] Χριστοῦ] κυρίου C. [q] καὶ τὰ μεμ. E. [r] τοὺς] καὶ τοὺς B. [s] ὡς om. A.B.C.F.H.I. Habet Cat. [t] πάντων om. B. [v] οὕτω om. B. [w] μηδέποτε A.C. [x] τὰ] καὶ τὰ Edd. καὶ om. A.C.D.E.F.H. [y] χεῖρον Codd. ὠμότερον Edd. [z] ἤδη om. I. [a] πάσης om. I. ἁπάσης ἀποστερεῖ αὐτούς σ. C. [b] καὶ] τοὺς Cat. καὶ τοὺς B. καὶ om. C. [c] μὴ καὶ ἐκεῖνοι—ἀπατεῶνες;] μὴ καὶ ἐ. πλάνοι; Edd. et Cat. μὴ καὶ ἐκεῖνοι ἀπατεῶνες; A.B.D.E. F.H.I. Solus C. utramque clausulam servavit. [d] ἤδεσαν pro ἤδεισαν A.B.D.F.H.I. Cat. Statim ὅθεν A.B.D.F.H.I. [e] ἀλλὰ sine elisione A.B.E.H. Cat. [f] τὰ] καὶ τὰ Edd. καὶ om. A.B.C.D.E.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[g]τὰ θυσιαστήρια ἐλύπει; μὴ καὶ αὐτὰ παρώξυνεν; [h]Ὁρᾷς πόσης φιλονεικίας, πόσης ὕβρεως ἐξήνεγκαν ἀεὶ [i]δείγματα; Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος, Θεσσαλονικεῦσι γράφων· Ε
10 "Τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ [k]θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων." Ὅπερ οὖν καὶ ἐνταῦθά φησιν, ὅτι καὶ τὰ θυσιαστήρια κατέσκαψαν, καὶ τοὺς προφήτας ἀνεῖλον. "Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ
(159) ἔκαμψαν γόνυ τῇ Βάαλ." Τί οὖν ἐκεῖνα πρὸς τὰ παρόντα, φησί; Καὶ σφόδρα μὲν οὖν πρὸς τὰ παρόντα. [l]Δείκνυται γὰρ ἐντεῦθεν, ὅτι τοὺς ἀξίους [m]ὁ θεὸς ἀεὶ σώζειν εἴωθε, [n]κἂν πρὸς ἅπαν τὸ ἔθνος ἡ ἐπαγγελία κειμένη ᾖ. Καὶ τοῦτο 637
[o]ἔδειξεν ἄνωθεν δι' ὧν ἔλεγεν· "Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ [p]ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται·" καὶ, "Εἰ μὴ κύριος [q]Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν [r]ἐγενήθημεν." Δείκνυσι δὲ καὶ ἐντεῦθεν· [s]διὸ καὶ ἐπάγει λέγων· "Οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν." Ὅρα ἑκάστην λέξιν τὴν οἰκείαν εὐγένειαν διασώζουσαν, καὶ τὴν τοῦ θεοῦ χάριν καὶ τὴν τῶν σωζομένων εὐγνωμοσύνην ἐμφαίνουσαν. [t]Τῷ μὲν γὰρ εἰπεῖν, "ἐκλογὴν," ἔδειξεν ἐκείνων τὴν δοκιμήν· τῷ δὲ εἰπεῖν, "χά- Β
ριτος," ἔδειξε τοῦ θεοῦ τὴν δωρεάν. 11 "Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι [v]ἐστὶ χάρις. [w]Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον." Πάλιν ἐπιπηδᾷ τῇ φιλονεικίᾳ τῶν Ἰουδαίων, μετὰ τῶν [x]εἰρημένων καὶ ἐντεῦθεν αὐτοὺς ἀποστερῶν συγγνώμης. Οὐδὲ γὰρ ἔχετε, φησὶν, εἰπεῖν, ὅτι προφῆται μὲν ἐκάλουν, καὶ ὁ [y]θεὸς παρεκάλει, καὶ τὰ πράγματα ἐβόα, καὶ ἡ παραζήλωσις ἱκανὴ ἡμᾶς ἐπισπάσασθαι

10 1 Thess. ii. 14, 15. 11 v. 6.

[g] αὐτὰ pro τὰ θ. I. Mox τὰ θ. pro αὐτὰ B. [h] ὁρᾷς pro ὅρα omnes. ὁρᾷς πόσης ὑ. πόσης φ. ἐξένεγκεν δείγματα C. [i] δόγματα A. [k] τῷ θεῷ Edd. τῷ om. A.B.C.D.E.F.I. [l] δείκνυται A.C.D.E.H.I. Cat. δείκνυσι Edd. [m] ὁ θεὸς ἀεὶ σώζειν] Sic A.B.C.D.E.F.H. Cat. ἀεὶ om. I. ἀεὶ σώζειν ὁ θ. Edd. [n] κἂν] καὶ A.B.E.F.H.I. κἂν εἰ D. Post ἅπαν add. ἐστὶ D.E. Post κειμένη, ᾖ assumtum ex C. Cat. [o] ἔδειξεν ἄνωθεν pro ἄνωθεν ἔδειξε A.B.D.E.F.H.I. [p] ὡς ἡ pro ὡσεὶ A. C. E. F. H. I. Cat. Mox κατάλειμμα omnes. ἐγκατ. Edd. [q] Σαβαὼθ] ὁ θεὸς C. [r] ἐγενήθημεν]+καὶ ὡς Γόμορρα ἂν ὁμοιώθημεν E. [s] διὸ καὶ] δι' ὧν C. Mox οὕτως οὖν καὶ idem. [t] τὸ pro τῷ bis H. [v] ἐστι] γίνεται C. [w] Haec εἰ δὲ—χάρις desunt in C.H.I. et Mosq. 8. [x] εἰρημένων]+καὶ ἐνταῦθα ἐναντιοῦται Edd. Haec om. A.B.C.D.E.F.H. Cat. Mox ἀποστερῶν A.C.D.F.H.I. Cat. ἀποστερεῖ Edd. [y] θεὸς] πατὴρ C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

C ἦν· φορτικὰ δὲ τὰ ἐπιταττόμενα, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθημεν προσελθεῖν, ἐπειδὴ ἔργων ἐπίδειξιν ἀπῃτούμεθα, καὶ κατορθώματα ἐπίπονα· οὐδὲ γὰρ τοῦτο ἔστιν εἰπεῖν. Πῶς γὰρ ἃ ταῦτα ἀπήτησεν ὁ θεὸς παρ' ὑμῶν, ὁπότε καὶ τὴν χάριν αὐτοῦ τοῦτο ἐπισκιάζειν ἔμελλε; Ταῦτα δὲ εἶπε, βουλόμενος ἐνδείξασθαι [z]ὅτι σφόδρα ἐβούλετο αὐτοὺς σωθῆναι. Οὐδὲ γὰρ ἡ σωτηρία αὐτοῖς προεχώρει μόνον εὐκόλως, ἀλλὰ καὶ τῷ θεῷ δόξα μεγίστη ἦν, τὸ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι τὴν ἑαυτοῦ. Τί τοίνυν ἐφοβήθης προσελθεῖν, οὐκ ἀπαιτούμενος [a]ἔργα; τί δὲ στασιάζεις καὶ φιλονεικεῖς, χάριτος προκειμένης, καὶ νόμον μοι προβάλλῃ εἰκῇ καὶ μάτην; Οὔτε γὰρ ἐκεῖθεν
D σωθήσῃ, καὶ [b]ταύτην λυμαίνῃ τὴν δωρεάν. Εἰ γὰρ φιλονεικεῖς ἐκεῖθεν σώζεσθαι, ἀναιρεῖς τοῦ θεοῦ τὴν χάριν ταύτην. Εἶτα, ἵνα μὴ νομίσωσι τοῦτο ξένον εἶναι, προλαβὼν καὶ τοὺς ἑπτακισχιλίους ἐκείνους ἀπὸ χάριτος ἔφη [c]σεσῶσθαι. Ὅταν γὰρ εἴπῃ, ὅτι "Οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονε," δείκνυσιν ὅτι καὶ ἐκεῖνοι χάριτι ἐσώθησαν. Καὶ οὐ [d]τούτῳ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, "κατέλιπον ἐμαυτῷ·" τοῦτο γὰρ ἐμφαίνοντός ἐστιν, ὅτι τὸ πλέον αὐτὸς εἰσήνεγκε. Καὶ εἰ χάριτι, φησὶν, διὰ τί μὴ πάντες [e]ἐσωζόμεθα; Ὅτι μὴ
E βούλεσθε. Ἡ γὰρ χάρις, κἂν χάρις ᾖ, τοὺς ἐθέλοντας σώζει, οὐ τοὺς μὴ βουλομένους [f]καὶ ἀποστρεφομένους αὐτὴν, καὶ πολεμοῦντας [g]αὐτῇ διηνεκῶς καὶ ἐναντιουμένους. Εἶδες πῶς δι' ὅλου ἐκεῖνο κατασκευάζει, τὸ, "Οὐχ οἷον δὲ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ;" δεικνὺς ὅτι εἰς τοὺς ἀξίους ἦλθεν ἡ ἐπαγγελία, καὶ ὅτι οὗτοι, εἰ καὶ ὀλίγοι εἰσὶ, δύνανται εἶναι λαὸς τοῦ θεοῦ. Καίτοιγε ἐν [h]προοιμίοις τῆς ἐπιστολῆς μετὰ πλείονος αὐτὸ [i]ὑπερβολῆς τέθεικεν εἰπὼν, "Τί γὰρ εἰ ἠπίστησάν τινες;" καὶ μηδὲ μέχρι τούτου στὰς, ἀλλὰ ἐπαγαγών," Γινέσθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης." Καὶ νῦν δὲ πάλιν ἑτέρως αὐτὸ [k]κατασκευάζει, καὶ τῆς χάριτος δείκνυσι τὴν ἰσχὺν, καὶ ἀεὶ τοὺς μὲν σωζομένους, τοὺς δὲ ἀπολλυμένους.

638 [l]Εὐχαριστῶμεν [m]τοίνυν, ὅτι τῶν σωζομένων γεγόναμεν, καὶ μὴ δυνηθέντες ἀπὸ τῶν ἔργων σωθῆναι, ἐσώθημεν ἀπὸ τῆς τοῦ

[z] ὅτι] καὶ ὅτι I. [a] τὰ ἔργα C. [b] ταύτη E. Statim λυμαίνη A.B.D.E.F.H. λυμήνῃ Cat. λυμανῇ Edd. [c] σώζεσθαι C. Veron. ἔφησε σώζεσθαι in textu I. [d] τούτῳ pro τοῦτο A.C.D. Cat. Mox τῷ pro τὸ A.B.C.D.E.F.I. Cat. [e] ἐσωζόμεθα A.D.E.F.H.I. Cat. σωζόμεθα Edd. [f] Sic omnes. Verba καὶ ἀποστρεφομένους post διηνεκῶς transp. Sav. Mor. [g] αὐτὴν B.D.F.H.I. αὐτῇ om. C. [h] προοιμίοις] + τοῦ λόγου I. [i] τῆς ὑπερβολῆς Edd. τῆς om. B.C.D.E.F.H.I. Cat. [k] κατεσκεύασε C. Veron. παρασκευάζει H. [l] ΗΘΙΚΟΝ. Περὶ εὐχαριστίας. Veron. [m] τοίνυν] + τῷ θεῷ I. Idem mox pro τοῦ θεοῦ dat αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ δωρεᾶς. Εὐχαριστοῦντες δὲ, μὴ ῥήμασι τοῦτο ποιῶμεν μόνον, ἀλλὰ καὶ [n]ἔργοις καὶ πράξεσιν. Αὕτη γὰρ ἡ εὐχαριστία ἡ ἀκριβὴς, ὅταν ταῦτα πράττωμεν, δι' ὧν ὁ θεὸς δοξάζεσθαι μέλλει· ὅταν ἐκεῖνα [o]φεύγωμεν, ὧν ἀπηλλάγημεν. Καὶ γὰρ [p]εἰ βασιλέα ὑβρίσαντες, ἀντὶ τοῦ δοῦναι δίκην ἐτιμήθημεν, εἶτα πάλιν ὑβρίσαμεν, ἅτε ἐσχάτης ἀχαριστίας ἁλόντες, τὴν ἐσχάτην δικαίως ἂν [q]ἔδομεν δίκην, καὶ πολλῷ μείζονα τῆς B
προτέρας. Οὐδὲ γὰρ οὕτως ἡμᾶς ἀχαρίστους ἡ προτέρα ὕβρις ἐδείκνυ, ὡς ἡ μετὰ τὴν τιμὴν καὶ τὴν πολλὴν θεραπείαν. Φεύγωμεν τοίνυν ἐκεῖνα, ὧν ἀπηλλάγημεν, καὶ μὴ τῷ στόματι μόνον εὐχαριστῶμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, [13] "Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, [r]τῇ δὲ καρδίᾳ πόρρω ἀπέχει
(160) ἀπ' ἐμοῦ." Πῶς γὰρ οὐκ ἄτοπον, ὅταν οἱ μὲν οὐρανοὶ [s]διηγῶνται δόξαν θεοῦ, σὺ δὲ, δι' ὃν [t]οἱ οὐρανοὶ οἱ δοξάζοντες ἐγένοντο, τοιαῦτα [v]πράττῃς, ὡς βλασφημεῖσθαι διὰ σὲ τὸν ποιήσαντά σε θεόν; Διά τοι τοῦτο οὐκ ἐκεῖνος μόνον ὁ βλασφημῶν, ἀλλὰ καὶ σὺ λοιπὸν ὑπεύθυνος [w]ἔσῃ τῆς κολάσεως. C
Οὐδὲ γὰρ οἱ οὐρανοὶ φωνὴν ἀφιέντες δοξάζουσι τὸν θεὸν, ἀλλ' [x]ἑτέρους διὰ τῆς ὄψεως εἰς τοῦτο παρασκευάζοντες, καὶ ὅμως αὐτοὶ λέγονται διηγεῖσθαι [y]δόξαν θεοῦ. Οὕτω καὶ οἱ παρεχόμενοι βίον θαυμαστὸν, κἂν σιγῶσι, τὸν θεὸν δοξάζουσιν, ἑτέρων δι' αὐτοὺς [z]αὐτὸν δοξαζόντων. Οὐ γὰρ οὕτως ἀπὸ τοῦ οὐρανοῦ θαυμάζεται, ὡς ἀπὸ βίου καθαροῦ. Ὅταν γοῦν πρὸς Ἕλληνας διαλεγώμεθα, [a]οὐ τὸν οὐρανὸν εἰς μέσον παράγομεν, [b]ἀλλὰ τοὺς ἀνθρώπους, [c]οὓς θηρίων χεῖρον διακειμένους ἔπεισε D
γενέσθαι ἐφαμίλλους ἀγγέλοις. Καὶ ταύτην λέγοντες τὴν μεταβολὴν, [d]ἐμφράττομεν αὐτῶν τὰ στόματα. Καὶ γὰρ πολὺ [e]βελτίων τοῦ οὐρανοῦ ἄνθρωπος, καὶ δύναται λαμπροτέραν τοῦ κάλλους αὐτοῦ κεκτῆσθαι ψυχήν. Οὗτος μὲν γὰρ ὁρώμενος ἐπὶ τοσοῦτον χρόνον, οὐ σφόδρα ἔπεισε· Παῦλος δὲ ὀλίγον κηρύξας χρόνον, τὴν οἰκουμένην ἐφεικύσατο πᾶσαν.

[13] Esai. xxix. 13.

[n] ἔργοις] τοῖς ἔργοις I. Post ἔργοις add. καὶ εὐχαριστίαις Edd. ante Ben. contra fidem librorum. [o] φεύγωμεν pro φύγωμεν hic et infra A.B.D.E.F.H.I. [p] εἰ] εἰς Edd. ἴσ. εἰ Sav. marg. εἰ pro εἰς habent A.B.C.D.F. Post ἀντὶ deest folium in E. qui rursus incipit p. 639 C. ἔνθα οὐδείς. [q] ἔδομεν B.C.D.F.I. ἐδώκαμεν vulgo. [r] τῇ δὲ κ.] ἡ δὲ καρδία αὐτῶν C. [s] διηγοῦνται B.F. [t] οἱ bis om. C. [v] πράττῃς A.C.D. πράττεις Edd. [w] ἔσῃ pro εἶ A.B.D. F.H.I. [x] ἑτέρους] ἄλλους C. [y] τὴν δόξαν τοῦ θεοῦ A.B.D.H.I. τὴν δόξαν θεοῦ C. [z] αὐτὸν] τὸν θεὸν C. [a] οὐ] μὴ D. Mox παράγομεν B.D.F.H. [b] ἀλλὰ] ἀλλ' ὅτι C. Mox οὓς om. idem. [c] οὓς] τοὺς I. Mox οὓς ἔπεισε idem. [d] ἐμφράττωμεν D. [e] βέλτιον H. Mox ὁ ἄνθρωπος C.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

Καὶ γὰρ ἐκέκτητο [f]τὴν ψυχὴν τοῦ οὐρανοῦ οὐχ ἧττονα, πάντας
Ε ἐπισπάσασθαι δυναμένην. Ἡ μὲν γὰρ ἡμετέρα οὐδὲ τῆς γῆς
ἐστιν ἀξία, ἡ δὲ ἐκείνου καὶ τῶν οὐρανίων ἀνταξία. Οὗτος μὲν
γὰρ ἔστηκε τὸν οἰκεῖον φυλάττων ὅρον καὶ τὸν κανόνα· τῆς δὲ
ἐκείνου ψυχῆς τὸ ὕψος [g]πάντας ὑπερέβη τοὺς οὐρανούς, καὶ
[h]αὐτῷ ὁμιλεῖ τῷ Χριστῷ. Καὶ τὸ κάλλος δὲ αὐτῆς τοιοῦτον
ἦν, ὡς καὶ τὸν θεὸν ἀνακηρύττειν [i]αὐτό. Τὰ μὲν [k]γὰρ ἄστρα
οἱ ἄγγελοι ἐθαύμασαν ὅτε [l]ἐγένετο· τοῦτον δὲ αὐτὸς ἐθαύ-
μασεν εἰπών, [14] "Σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος." Καὶ τοῦτον
μὲν τὸν οὐρανὸν [m]νεφέλη πολλάκις ἐκάλυψε· τὴν δὲ Παύλου
ψυχὴν οὐδεὶς ἐκάλυψε πειρασμός, ἀλλ' ἐν τοῖς χειμῶσι λαμ-
πρότερος ἐφαίνετο [n]σταθερᾶς μεσημβρίας, καὶ [o]ὁμοίως ἔλαμπεν,
ὥσπερ οὖν καὶ πρὸ τῶν [p]νεφῶν. Ὁ γὰρ ἐν αὐτῷ φαίνων
639 ἥλιος οὐ τοιαύτας ἠφίει τὰς ἀκτῖνας, ὡς συσκιάζεσθαι τῇ τῶν
πειρασμῶν συνδρομῇ, ἀλλὰ [q]καὶ τότε μᾶλλον ἐξέλαμπε. Διὸ
καὶ ἔλεγεν· [15] "Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν
ἀσθενείᾳ τελειοῦται." Ζηλώσωμεν τοίνυν αὐτόν, καὶ οὐδὲν
ἔσται οὐδὲ πρὸς ἡμᾶς [r]οὗτος ὁ οὐρανὸς, ἐὰν ἐθέλωμεν, οὔτε ὁ
ἥλιος, οὔτε ὁ κόσμος ἅπας· ταῦτα γὰρ δι' ἡμᾶς, οὐχ ἡμεῖς [s]δι'
αὐτά. Δείξωμεν, ὅτι ἄξιοί ἐσμεν τοῦ [t]γενέσθαι ταῦτα δι'
ἡμᾶς. [u]Ἂν γὰρ τούτων ἀνάξιοι φανῶμεν, πῶς βασιλείας ἐσό-
μεθα ἄξιοι; Καὶ [v]γὰρ ἀνάξιοι πάντες τὸν ἥλιον ὁρᾶν, ὅσοι εἰς
βλασφημίαν ζῶσι τοῦ θεοῦ· ἀνάξιοι τῶν κτισμάτων ἀπολαύειν
τῶν δοξαζόντων αὐτὸν οἱ βλασφημοῦντες αὐτόν· ἐπεὶ καὶ υἱὸς
Β πατέρα ὑβρίζων, ἀνάξιος οἰκετῶν εὐδοκιμούντων ἀπολαύειν
διακονίας. Διά τοι τοῦτο ταῦτα μὲν καὶ πολλῆς ἀπολαύσεται
δόξης· ἡμεῖς δὲ κόλασιν ὑποστησόμεθα καὶ τιμωρίαν. Πόσης
οὖν ἀθλιότητος ἂν εἴη, τὴν μὲν κτίσιν τὴν [w]διὰ σὲ γεγενη-
μένην εἰς ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ [x]σχηματί-
ζεσθαι, ἡμᾶς δὲ τοὺς τέκνα [y]θεοῦ γεγενημένους, διὰ τὴν πολλὴν
ῥᾳθυμίαν εἰς ἀπώλειαν πέμπεσθαι καὶ γέενναν, δι' οὓς ἡ κτίσις

[14] Act. ix. 15. [15] 2 Cor. xii. 9.

[f] *τὴν ψυχὴν* H. Mox *οὐχ ἧττον* B.C.D.F. Veron. [g] *πάντας* omnes. *ἅπαντας* Edd. [h] *αὐτῷ*] *οὕτως* C. [i] *αὐτὸν* C. [k] *γὰρ*] *οὖν* D. *γὰρ* om. C. Statim *ἐθαύμ. ἄγγελοι* inverso ord. C. [l] *ἐγένοντο* B.F.H.I. Statim *τοῦτο δὲ* H.I. [m] *νέφη* C. [n] *σταθερᾶς* pro *σταθηρᾶς* A.B.C.D.F.I. [o] *ὅμως* A.F.H.I. et ex corr. C. Mox *ὥσπερ οὖν καὶ* om. B. [p] *νεφῶν*] *πειρασμῶν* C. [q] *καὶ* om. B.D. Mox *ἐξέλαμπε* A.B.D. *ἐξέλαμπεν* C.F.I. *ἐξέλαμψεν* H. *ἐξέλαμπον* Edd. [r] *οὗτος* om. B. *ὁ οὐρανὸς οὗτος* C. Mox *ἐθέλωμεν* pro *θέλωμεν* A.B.D.H. [s] *δι' αὐτὰ* omnes. *διὰ ταῦτα* Edd. [t] *γενέσθαι* A.B.D.F.H.I. *γενεσθῆναι* Edd. [u] *γὰρ* pro *εἰ* omnes. [v] *γὰρ* pro *εἰ* omnes. [w] *διὰ σέ*] *δι' ἡμᾶς* C. Statim *γεγενημένην* omnes. *γενημένην* Edd. [x] *μετασχημ.* I. [y] *τοῦ θεοῦ* Edd. *τοῦ* om. B.F.H.I. Statim *γεγενημένους* A.B.C.D.H. *γεγεννημένους* I. *γενομένους* Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς μεγάλης ἀπολαύσεται εὐημερίας [z]ἐκείνης; Ἵν' οὖν μὴ τοῦτο γένηται, οἱ μὲν καθαρὰν κεκτημένοι ψυχὴν, φυλάξωμεν αὐτὴν τοιαύτην· μᾶλλον δὲ καὶ ἐπιτείνωμεν αὐτῆς τὴν [a]λαμπηδόνα· C οἱ δὲ ῥυπῶσαν ἔχοντες, μὴ ἀπογνῶμεν. 16 "Ἐὰν γὰρ [b]ὦσι, φησὶν, αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, [c]ὡσεὶ ἔριον λευκανῶ." Ὅταν δὲ ὁ θεὸς ἐπαγγέλληται, μὴ ἀμφίβαλλε, ἀλλ' ἐκεῖνα ποίει, δι' ὧν [d]ἐπισπάσασθαι τὰς ἐπαγγελίας ταύτας δυνήσῃ. Μυρία σοι εἴργασται δεινὰ καὶ πεπλημμέληται; Καὶ τί τοῦτο; Οὐδέπω [e]γὰρ εἰς τὸν ᾅδην ἀπῆλθες, ἔνθα οὐδεὶς ἐξομολογήσεται· οὐδέπω [f]σου τὸ θέατρον λέλυται, ἀλλ' [g]ἔσω τοῦ σκάμματος ἔστηκας, καὶ δύνασαι [h]καὶ δι' ἐσχάτης πάλης [i]πάσας ἀναπαλαῖσαι τὰς ἥττας. D [k]Οὔπω γέγονας, ἔνθα ὁ πλούσιος, ἵνα ἀκούσῃς, ὅτι 17 "Χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν·" [l]οὔπω παρεγένετο ὁ νυμφίος, ἵνα φοβηθῇ τις μεταδοῦναι ἐλαίου· ἔτι δύνασαι ἀγοράσαι καὶ ἀποθέσθαι. Καὶ οὐκ ἔστιν οὐδέπω ὁ λέγων, 18 "Μήποτε [m]οὐ μὴ ἀρκέσῃ [n]ἡμῖν καὶ ὑμῖν·" ἀλλ' εἰσὶν οἱ πωλοῦντες πολλοὶ, οἱ γυμνοὶ, οἱ πεινῶντες, οἱ ἀρρωστοῦντες, οἱ δεσμωτήριον οἰκοῦντες.
(161) Θρέψον τούτους, ἔνδυσον ἐκείνους, ἐπίσκεψαι τοὺς κειμένους, καὶ ὑπὲρ τὰς πηγὰς ἥξει τὸ ἔλαιον. Οὔπω τοῦ λογοθεσίου ἐφέστηκεν ἡ ἡμέρα. Χρῆσαι [o]εἰς δέον τῷ καιρῷ, καὶ χρεῶν E ἀποκοπὰς ποίησον, καὶ τῷ ὀφείλοντι τοὺς ἑκατὸν [p]βάδους τοῦ ἐλαίου εἰπὲ, 19 "Δέξαι σου τὸ γραμματεῖον, καὶ ποίησον πεντήκοντα." Καὶ ἐπὶ χρημάτων [q]καὶ ἐπὶ ῥημάτων καὶ [r]ἐπὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ποίει, τὸν οἰκονόμον ἐκεῖνον μιμούμενος· καὶ ταῦτα καὶ σεαυτῷ καὶ τοῖς συγγενέσι παραίνει. Ἔτι γὰρ εἰ κύριος τοῦ ταῦτα λέγειν· οὐδέπω κατέστης εἰς ἀνάγκην τοῦ παρακαλεῖν ἕτερον ὑπὲρ τούτων, ἀλλ' ἐξουσίαν ἔχεις καὶ σεαυτῷ καὶ [s]ἑτέροις συμβουλεύειν. Ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, οὐδέτερον τούτων δυνήσῃ [t]εἰς δέον ποιεῖν· εἰκότως. Ὁ γὰρ τοσαύτην 640 λαβὼν προθεσμίαν, καὶ μήτε σαυτὸν μήτε ἕτερον ὠφελήσας,

16 Esai. i. 18. 17 Luc. xvi. 26. 18 Matth. xxv. 9. 19 Luc. xvi. 6.

[z] ἐκείνης om. C. [a] λαμπάδα I. Veron. [b] ὦσιν pro ὦσι φησὶν C. [c] ὡσεὶ] ὡς B.H.I. [d] ἐπισπᾶσθαι H. Mox ἐκείνας pro ταύτας C. [e] γὰρ om. C. [f] σοι I. [g] ἔσω pro εἴσω A.B.D.E.F.H.I. [h] καὶ om. C.E. δι' om. Veron. et ante corr. B. [i] πάσας om. C. Statim ἀναπαλέσαι F. ἀνακαλέσαι Veron. ἀνακαλέσασθαι C. ἀνασπᾶσαι H. [k] οὐδέπω A.B.F.H.I. οὔπω δὲ (sic) C. Mox ἔνθα που ὁ πλ. Edd. που om. A.B.C.E.F.H.I. [l] οὔπω γὰρ παρ. Edd. γὰρ om. A.B.D.E.F.H. οὔπω γὰρ φαίνεται C. [m] οὐ μὴ] οὐκ C. Statim ἀρκέσει D. [n] ὑμῖν καὶ ἡμῖν A. καὶ ἡμῖν καὶ ὑμῖν Edd. Prius καὶ deest in omnibus. [o] καὶ εἰς δ. Edd. καὶ deest in omnibus. [p] βάδους E. βάδδους C. κάδους A.B.D.F.H.I. βάτους Edd. [q] Haec καὶ ἐπὶ ῥημάτων absunt a nostris omnibus. [r] ἐπὶ om. I. [s] ἑτέροις] ἄλλοις C. [t] εἰς δέον ποιεῖν pro π. εἰς δέον B.C.D.E.F.H. εἰς δέον ποιῆσαι I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

πῶς λοιπὸν ὑπὸ ταῖς χερσὶ τοῦ δικαστοῦ γενόμενος, δυνήσῃ ταύτης ἐπιτυχεῖν τῆς χάριτος;

Ταῦτ' οὖν ἅπαντα συλλέγοντες, ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μὴ προδῶμεν τὴν εὐκαιρίαν τοῦ παρόντος βίου. Ἔστι γὰρ, ἔστι καὶ εἰς ἐσχάτας ἀναπνοὰς εὐαρεστῆσαι τῷ θεῷ· ἔστι καὶ ἀπὸ διαθήκης εὐδοκιμῆσαι, οὐχ [v]οὕτω μὲν ὡς ζῶντας, ἔστι δὲ ὅμως. Πῶς καὶ τίνι τρόπῳ; [a]Ἂν ἐγγράψῃς αὐτὸν μετὰ τῶν [w]σῶν κληρονόμων, καὶ μοῖραν
B καὶ αὐτῷ τοῦ παντὸς [x]ἀπονείμῃς κλήρου. Οὐκ ἔθρεψας αὐτὸν ζῶν; Κἂν ἀπελθὼν, ὅτε οὐκέτι κύριος εἶ, μετάδος αὐτῷ τῶν σῶν. Φιλάνθρωπός ἐστιν, οὐκ ἀκριβολογεῖται πρὸς σέ. Μείζονος [y]μὲν γὰρ πόθου καὶ πλείονος μισθοῦ, τὸ ζῶντά σε τρέφειν αὐτόν· εἰ δὲ τοῦτο [z]αὐτῷ μὴ πεποίηκας, κἂν ἐπὶ τὸ δεύτερον ἐλθέ· συγκληρονόμον αὐτὸν [a]ἄφες τοῖς παισὶ τοῖς σοῖς. Εἰ δὲ καὶ τοῦτο ὀκνεῖς, ἐννόησον ὅτι ὁ πατὴρ αὐτοῦ συγκληρονόμον αὐτοῦ σε [b]ἐποίησε, καὶ κατάλυσον τὴν ἀπανθρωπίαν. Τίνα γὰρ [c]ἕξεις ἀπολογίαν, μηδὲ τῶν παίδων τῶν σῶν κοινωνὸν αὐτὸν ποιῶν, τὸν κοινωνόν σε ποιήσαντα τῶν
C οὐρανῶν, καὶ σφαγέντα διὰ σέ; Καίτοιγε [d]αὐτὸς πάντα ὅσα ἐποίησεν, οὐκ ὀφειλὴν ἀποδιδοὺς ἐποίησεν, ἀλλὰ χάριν ἐπιδεικνύμενος· σὺ δὲ μετὰ τοσαύτας εὐεργεσίας καὶ ὀφειλέτης κατέστης. Ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, ὡς χάριν λαμβάνων, οὐχ ὡς ὀφειλὴν ἀπαιτῶν, οὕτω σε στεφανοῖ, καὶ ταῦτα, τὰ [e]αὐτοῦ μέλλων λαμβάνειν. Δὸς τοίνυν αὐτῷ χρήματα [f]τὰ σοὶ λοιπὸν ἄχρηστα, καὶ ὧν οὐκ εἶ κύριος, καὶ δώσει σοι βασιλείαν τὴν σοὶ χρησίμην διηνεκῶς, καὶ μετ' ἐκείνης καὶ
D τὰ ἐνταῦθα χαριεῖται. [g]Ἂν γὰρ γένηται συγκληρονόμος τῶν παίδων, ἐπικουφίζει τὴν ὀρφανίαν αὐτοῖς, [g]λύει τὰς ἐπιβουλὰς, ἀποκρούεται τὰς ἐπηρείας, [h]ἐμφράττει τὰ στόματα τῶν συκοφαντῶν· κἂν αὐτοὶ μὴ δύνωνται προστῆναι τῶν διαθηκῶν, αὐτὸς προστήσεται, καὶ οὐκ ἀφήσει [i]διαρραγῆναι. Εἰ δὲ καὶ τοῦτο [k]συγχωρήσειεν, ἀναπληροῖ παρ' ἑαυτοῦ τὰ [l]ἐγγεγραμμένα πάντα μετὰ πλείονος τῆς φιλοτιμίας, ἐπειδὴ ἐτιμήθη τῷ

[v] οὕτω μὲν] οὕτως δὲ H. Mox ζῶντας pro ζῶντα A. B. D. E. F. H. et Flor. p. 369. (Tom. xii. p. 597 D.) [w] σῶν om. H. [x] ἀπονέμῃς C.I. [y] μὲν γὰρ] γὰρ in rasura C. μὲν γὰρ καὶ D.E. [z] αὐτῷ D.H.I. Flor. αὐτὸ A.C. E.F. Hoc edidit Montef. αὐτὸν Veron. Sav. Mor. [a] ἀφεὶς C. [b] πεποίηκε A.B.D.E.F. Flor. [c] ἔχεις C. [d] αὐτὸς πάντα ὅσα] ὅσα αὐτὸς I. [e] αὐτοῦ pro αὐτοῦ B.E.F.H. ἑαυτοῦ C. [f] Haec τὰ σοὶ λ. ἄ. καὶ om. I. [g] Sic libri omnes. Editi λύει τὰς ἐπηρείας, ἀποκρούεται τὰς ἐπιβουλάς. [h] ἐμφράττει omnes. ἐμφράττεται Edd. [i] διαρπαγῆναι C. [k] συγχωρήσειεν A.B.C.D.E.F.I. συγχωρήσει Edd. [l] γεγραμμένα I. Statim πάντα A.B.E.F.H.I. ἅπαντα Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγγραφῆναι ἅπαξ. Ἄφες τοίνυν αὐτὸν κληρονόμον· πρὸς γὰρ αὐτὸν ἀπιέναι μέλλεις· αὐτός σοι [m]δικάσει τὴν δίκην τῶν ἐνταῦθα γεγενημένων ἁπάντων. Ἀλλὰ γάρ εἰσί τινες οὕτως ἄθλιοι καὶ ταλαίπωροι, [n]οἳ μηδὲ παῖδας ἔχοντες οὐκ ἀνέχονται Ε τοῦτο ποιεῖν, ἀλλὰ παρασίτοις καὶ κόλαξι καὶ τῷ δεῖνι [o]καὶ τῷ δεῖνι μᾶλλον [p]τὰ αὐτῶν καταδέχονται διανέμειν, ἢ τῷ τοσαῦτα αὐτοὺς εὐεργετήσαντι Χριστῷ· ὧν τί γένοιτ' ἂν ἀλογώτερον; Τοὺς γὰρ τοιούτους, κἂν ὄνοις κἂν λίθοις τις [q]παραβάλῃ, οὐδὲν οὐδέπω τῆς ἀνοίας αὐτῶν καὶ τῆς ἀναισθησίας ἄξιον ἐρεῖ· οὐδ' ἂν εὕροι τις εἰκόνα τὴν μανίαν αὐτῶν παραστῆσαι δυναμένην, καὶ τὴν παραφροσύνην. Ποίας γὰρ τεύξονται συγγνώμης οὗτοι [r]ὑπὲρ τοῦ μὴ θρέψαι αὐτὸν ζῶντες, ὅταν καὶ ἀπιέναι μέλλοντες πρὸς αὐτὸν, μηδὲ ἀπὸ τῶν χρημάτων τούτων, ὧν οὐκ εἰσὶ κύριοι λοιπὸν, βουληθῶσιν αὐτῷ μικρόν τι χαρίσασθαι, ἀλλ' οὕτως ἐχθρῶς [s]διακέωνται καὶ πολεμίως, ὡς μηδὲ τῶν 641
ἀχρήστων αὐτοῖς γενομένων [t]αὐτῷ μεταδοῦναι; Οὐχ ὁρᾷς ὅσοι τῶν ἀνθρώπων οὐδὲ τούτου κατηξιώθησαν τοῦ τέλους, ἀλλ' ἁρπαγέντες ἀπῆλθον; Σὲ δὲ ὁ θεὸς καὶ ἐπισκῆψαι τοῖς προσήκουσι, καὶ εἰπεῖν περὶ τῶν ὄντων, καὶ τὰ κατὰ τὴν οἰκίαν
(162) ἅπαντα διαθεῖναι ἐποίησε κύριον. Ποίαν οὖν ἀπολογίαν ἕξεις, ὅταν καὶ ταύτην [v]παρ' αὐτοῦ λαβὼν τὴν χάριν, [w]προδῷς τὴν εὐεργεσίαν, καὶ ὥσπερ ἐκ διαμέτρου ἀπεναντίας [x]στῇς τοῖς τῆς πίστεώς σου προγόνοις; [y]Ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες ἐπώλουν ἅπαντα, καὶ ἔφερον παρὰ τοὺς πόδας τῶν ἀποστόλων· σὺ δὲ Β
οὐδὲ τελευτῶν μοίρας τινὸς μεταδίδως τοῖς [z]δεομένοις. Τὸ μὲν οὖν ἄμεινον καὶ πολλὴν παρρησίαν παρέχον, ζῶντα διορθοῦν πενίαν· εἰ δὲ ἐκεῖνο μὴ [a]βουληθείης, κἂν τελευτῶν ποίησόν τι γενναῖον. Οὐ πολλῆς μὲν γάρ ἐστιν ἀγάπης τοῦτο τῆς περὶ τὸν Χριστόν· ἀγάπης δ' οὖν ὅμως. Εἰ γὰρ [b]καὶ μὴ τὴν προεδρίαν ἔξεις τὴν μετὰ τῶν ἀρνῶν, ἀλλ' οὐ μικρὸν τὸ κἂν μετ' ἐκείνους γενέσθαι, καὶ μὴ στῆναι μετὰ τῶν ἐρίφων, μηδὲ ἐξ εὐωνύμων. Ἂν δὲ [c]μηδὲ τοῦτο ποιῇς, τίς σε ἐξαιρήσεται λόγος, ὅταν μήτε ὁ τοῦ [d]θανάτου φόβος, μήτε τὸ ἄχρηστά C

[m] δικάσει pro δικάζει A.B.D.E.F.I. [n] οἳ] καὶ C. [o] καὶ τῷ δεῖνι om. C. [p] τὰ αὐτῶν (sic F.H.I. fortasse alii) καταδ. pro καταδ. τὰ αὐτῶν A.B.E.F.H.I. [q] παραβάλῃ (παραβάλλῃ C.) pro παραβάλοι omnes. [r] ὑπὲρ τοῦ] οἱ πρὸς τῷ I. favente Flor. [s] διακέωνται C.F. διακέωντα (corr. διακείωνται) A. διακέονται B.H. διάκεινται Edd. [t] αὐτῷ om. C. Statim δοῦναι E. [v] παρ' αὐτοῦ λ. pro λ. παρ' αὐτοῦ omnes. [w] προδῷ H. et ante corr. F. προδίδως C. [x] στὰς A.H. στᾶς F. Mox σου om. A.F. [y] ἐκεῖνοι] οἱ I. [z] πενομένοις C. [a] βουληθείης A.B.E.F.I. βουληθεὶς C. βουληθῇς Edd. et Flor. [b] καὶ om. E. Flor. [c] μηδὲ pro μὴ A.C.D.E.F.H.I. Flor. [d] θανάτου omnes. θεοῦ Veron. Sav. Mor. Statim λόγος pro φόβος H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοι λοιπὸν [e]γεγενῆσθαι τὰ χρήματα, μήτε τὸ ἀσφάλειαν καταλιμπάνειν τοῖς τέκνοις, μήτε τὸ πολλὴν σαυτῷ προαποτίθεσθαι [f]ἐκεῖ συγγνώμην, ποιῇ σε φιλάνθρωπον; Διὸ παρακαλῶ μάλιστα μὲν ζῶντας [g]προΐεσθαι τοῖς δεομένοις ἐκ τῶν ὄντων τὴν πλείονα μοῖραν. Εἰ δέ τινες [h]εἶεν οὕτω μικρόψυχοι, ὡς μὴ ἀνέχεσθαι τοῦτο, κἂν ὑπὸ τῆς ἀνάγκης γινέσθωσαν οὗτοι φιλάνθρωποι. Ὅταν [i]μὲν γὰρ ἔζης, ὡς ἀθάνατος, οὕτως ἀντείχου τῶν ὄντων· νυνὶ δὲ, ἐπειδὴ ἔμαθες, ὅτι θνητὸς γέγονας, κἂν νῦν [k]τὸ δόγμα κατάλυσον, καὶ ὡς θνητὸς περὶ τῶν σαυτοῦ βού-
D λευσαι· μᾶλλον δὲ, ὡς ὀφείλων ἀθανάτου ζωῆς διηνεκῶς [l]ἀπολαύειν. Εἰ γὰρ καὶ φορτικὸν τὸ μέλλον ῥηθήσεσθαι, καὶ φρίκης γέμον, ἀλλ' ὅμως ἀναγκαῖον εἰπεῖν· ἀρίθμησον μετὰ τῶν δούλων σου τὸν δεσπότην. Ἐλευθεροῖς τοὺς δούλους; Ἐλευθέρωσον [m]τὸν Χριστὸν λιμοῦ καὶ ἀνάγκης καὶ δεσμωτηρίων καὶ γυμνότητος. Ἔφριξας ἀκούσας; Οὐκοῦν φρικωδέστερον, ὅταν μηδὲ [n]αὐτὸ τοῦτο ποιῇς. Καὶ ἐνταῦθα μὲν τὸ ῥῆμά σε ναρκᾶν ἐποίησεν, ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, καὶ [o]τὰ πολλῷ
E χαλεπώτερα τούτων ἀκούῃς, καὶ τὰ ἀνήκεστα βλέπῃς βασανιστήρια, τί ἐρεῖς; πρὸς τίνα καταφεύξῃ; τίνα καλέσεις σύμμαχον καὶ βοηθόν; Τὸν Ἀβραάμ; Ἀλλ' οὐκ ἀκούσεται. Ἀλλὰ τὰς παρθένους [p]ἐκείνας; Ἀλλ' οὐδὲ [q]αὗται σοι μεταδώσουσι τοῦ ἐλαίου. Ἀλλὰ τὸν πατέρα, ἀλλὰ τὸν πάππον; Ἀλλ' οὐδὲ τούτων οὐδεὶς ἔσται κύριος, κἂν σφόδρα ἅγιος ᾖ, λῦσαι τὴν ψῆφον ἐκείνην. Ταῦτ' οὖν ἅπαντα λογισάμενος, τὸν μόνον κύριον ὄντα τὸ χειρόγραφον ἐξαλεῖψαι τὸ σὸν, καὶ τὴν φλόγα ἐκείνην σβέσαι, τοῦτον ἱκέτευε καὶ παρακάλει καὶ
642 ποίησον ἵλεων ἤδη, τρέφων, [r]ἐνδύων διηνεκῶς· ἵνα καὶ ἐντεῦθεν μετὰ χρηστῆς ἀπέλθῃς ἐλπίδος, καὶ ἐκεῖ γενόμενος τῶν [s]αἰωνίων ἀπολαύσῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [t]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[e] *γενέσθαι* I. *γίνεσθαι* D.E. [f] *ἐκεῖ* om. C. Veron. [g] *προέσθαι* C.I. *προΐστασθαι* H. [h] *εἰσὶν* C. Mox *ἀνασχέσθαι* B.E.I. [i] *μὲν* om. B. Flor. [k] *τὰ δόγματα* I. [l] *ἀπολαύειν*]+*καὶ τί λέγω ταῦτα; εἶπω τι καὶ τοιοῦτον* E. [m] *τὸν*] *καὶ τὸν* C. [n] *αὐτὸ*] *δεδιὼς* I. [o] *τὰ* om. E. Mox *ἀκούῃς* pro *ἀκούσῃ* A.B.D.E.F.H.I. [p] *ἐκείνας* om. C. [q] *αὐταὶ* B.E.F.H. Mox *τοῦ ἐλαίου* cum artic. A.B.D.E.F.H.I. [r] *καὶ ἐνδύων* Edd. *καὶ* deest in omnibus. [s] *αἰωνίων*] *αὐτῶν* H. [t] *μετασχεῖν* A.B.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΛΟΓΟΣ Κ.

[1]Τί οὖν ὃ ἐπιζητεῖ [a]Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν; ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν.

[b]Εἶπεν, ὅτι οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, καὶ δεικνὺς πῶς οὐκ ἀπώσατο, πάλιν ἐπὶ τοὺς προφήτας κατέφυγε· B καὶ δι' αὐτῶν δηλώσας, ὅτι τὸ πλέον μέρος τῶν Ἰουδαίων ἀπόλωλεν, ἵνα μὴ δόξῃ πάλιν οἴκοθεν [c]ἐκφέρειν τὴν κατηγορίαν, καὶ ἐπαχθῆ τὸν λόγον ποιεῖν, καὶ ὡς ἐχθρὸς αὐτῶν καθάπτεσθαι, ἐπὶ τὸν Δαυὶδ καὶ τὸν Ἡσαΐαν καταφεύγει, [d]λέγων· [2]"Καθὼς γέγραπται· Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως." Μᾶλλον δὲ ἄνωθεν [e]ἡμῖν ἀρκτέον τοῦ λόγου. Καὶ γὰρ εἰπὼν τὰ κατὰ τὸν Ἠλίαν, καὶ δείξας τί ποτέ ἐστι χάρις, ἐπήγαγε· "[f]Τί οὖν ὃ ἐπιζητεῖ Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχε;" Τοῦτο δὲ οὐκ ἐρωτῶντος μᾶλλόν ἐστιν, ἢ ἐγκαλοῦντος. Ἑαυτῷ C γὰρ μάχεται, φησὶν, ὁ Ἰουδαῖος, ζητῶν [g]δικαιοσύνην, ἣν οὐ βούλεται λαβεῖν. Εἶτα ἀποστερῶν αὐτοὺς πάλιν συγγνώμης, (163) ἀπὸ τῶν εἰληφότων δείκνυσιν αὐτῶν τὴν ἀγνωμοσύνην, οὕτω λέγων· "Ἡ γὰρ ἐκλογὴ ἐπέτυχε" κἀκεῖνοι τούτους κατακρινοῦσιν. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν· [3]"Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ [h]τοῦτο κριταὶ ὑμῶν ἔσονται." Ἵνα γὰρ μηδεὶς [i]τῇ τοῦ πράγματος ἐγκαλῇ φύσει, ἀλλὰ τῇ ἐκείνων γνώμῃ, δείκνυσι καὶ τοὺς ἐπιτυχόντας. Διὸ καὶ σφόδρα ἐμφαντικῶς τῇ λέξει κέχρηται, καὶ τὴν ἄνωθεν χάριν καὶ τὴν αὐτῶν σπου- D δὴν ἐνδεικνύμενος. Οὐδὲ γὰρ ἵνα ἀνέλῃ τὸ αὐτεξούσιον, φησὶν ὅτι ἐπέτυχον, ἀλλ' ἵνα δηλώσῃ τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ ὅτι τὸ πλέον τῆς χάριτος ἦν, οὐ τὸ πᾶν. Καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα ἐπέτυχεν, ὁ δεῖνα εὗρεν, ὅταν πολὺ [k]κέρδος ᾖ τὸ γινόμενον. [l]Οὐ γὰρ ἀνθρωπίνοις πόνοις, ἀλλὰ θείᾳ δωρεᾷ τὸ

[1] Cap. XI. v. 7. [2] v. 8. [3] Luc. xi. 19.

Hom. XX. [a] ὁ Ἰσραὴλ bis I. Statim τοῦτο οὐκ A.C.D.E. Mosqq. τοῦτο οὖν οὐκ F. τούτου οὐκ Edd. [b] εἰπὼν C. Mox αὐτοῦ pro αὑτοῦ A.B.D.E.H. [c] εἰσφέρειν A.B.E.H.I. φέρειν C. [d] λέγων· καθὼς γέγρ.] λοιπόν· καὶ, καθὼς γέγραπται, λέγει I. [e] ἡμῖν ἀρκτέον τοῦ λ.] ἀνακτέον ἡμῖν τὸν λόγον I. [f] Vid. Annot. [g] δικαιοσύνην ἣν] τὴν δικαιοσύνην C. [h] τοῦτο]+αὐτοὶ Edd. αὐτοὶ om. A.B.E.F.H.I. αὐτοὶ post κριταὶ habent C. Cat. Statim ὑμῶν ἔσονται pro ἔσονται ὑμῶν A.B.D.E.F.H.I. Cat. [i] τῇ τοῦ πρ. om. H. Statim ἐγκαλῇ φύσει pro φύσει ἐγκαλῇ A. B. E. F. H. I. Cat. Infra ἐμφατικῶς F. [k] τὸ κέρδος A.C.H.I. [l] οὐ pro οὐδὲ A.B.F.H.I. Cat. Statim ἀνθρωπίνης φύσεως πόνοις I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλέον γέγονεν. "Οἱ δὲ λοιποὶ ἐπωρώθησαν." Ὅρα πότε ἐθάρρησεν εἰπεῖν οἰκείᾳ φωνῇ τὴν τῶν λοιπῶν ἐκβολήν. Εἶπε μὲν γὰρ αὐτὴν καὶ ἤδη, ἀλλὰ τοὺς προφήτας εἰσάγων κατηγορῶν· ἐνταῦθα δὲ καὶ αὐτὸς λοιπὸν ἀποφαίνεται. Ἀλλ' ὅμως οὐδὲ ἐνταῦθα ἀρκεῖται τῇ οἰκείᾳ ἀποφάσει, ἀλλὰ πάλιν τὸν Ἡσαΐαν εἰσάγει τὸν προφήτην. Εἰπὼν γὰρ, "ἐπωρώθησαν," ἐπήγαγε, "Καθὼς γέγραπται· Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως." Καὶ [m]πόθεν ἡ πώρωσις αὕτη; Εἶπε μὲν καὶ ἔμπροσθεν τὰς αἰτίας, καὶ τὸ πᾶν εἰς τὴν αὐτῶν [n]περιέτρεψε κεφαλὴν, δεικνὺς ὅτι ἐξ ἀκαίρου φιλονεικίας τοῦτο ὑπέμειναν· λέγει δὲ καὶ νῦν. Ὅταν γὰρ [o]εἴπῃ, "Ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν," οὐδὲν ἕτερον ἢ τὴν γνώμην
643 αὐτῶν τὴν φιλόνεικον διαβάλλει. [p]Καὶ γὰρ ὀφθαλμοὺς ἔχοντες ὥστε ἰδεῖν τὰ θαύματα, καὶ ὦτα κεκτημένοι ὥστε ἀκοῦσαι τῆς [q]θαυμαστῆς ἐκείνης διδασκαλίας, οὐδενὶ τούτων [r]εἰς δέον ἐχρήσαντο. Τὸ δὲ, "ἔδωκεν," ἐνταῦθα μὴ ἐνέργειαν νόμιζε [s]εἶναι, ἀλλὰ συγχώρησιν. Κατάνυξιν δὲ ἐνταῦθα τὴν [t]ἐπὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς φησι, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ Δαυὶδ, [4] "Ὅπως ἂν [v]ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ·" τουτέστιν, οὐ μὴ μεταστῶ, οὐ μὴ μεταβληθῶ. Ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ κατα-
B νενυγμένος οὐκ ἂν εὐκόλως [w]μετασταίη· οὕτω καὶ ὁ ἐν πονηρίᾳ κατανυγεὶς [x]πάλιν οὐκ ἂν ῥᾳδίως μεταβάλοιτο. Κατανυγῆναι γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἐμπαγῆναί που καὶ προσηλῶσθαι. Τὸ τοίνυν ἀνίατον [y]αὐτῶν καὶ δυσμετάθετον τῆς γνώμης δηλῶν, "πνεῦμα κατανύξεως," εἶπεν.

Εἶτα δεικνὺς, ὅτι τῆς ἀπιστίας ταύτης τὴν ἐσχάτην δώσουσι δίκην, πάλιν ἐπάγει τὸν προφήτην [z]ταῦτα ἀπειλοῦντα, ἅπερ ἐξέβη καὶ τέλος ἔλαβε. [5] "Γενηθήτω γὰρ, φησὶν, ἡ τράπεζα
C αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον·" τουτέστιν, ἡ τρυφή· τὰ ἀγαθὰ πάντα [a]μεταβαλλέσθω καὶ ἀπολλύσθω, καὶ γενέσθωσαν εὐχείρωτοι πᾶσι. Καὶ δηλῶν, ὅτι ἁμαρτη-

4 Psal. xxix. 13. 5 v. 9.

[m] πόθεν]+μὲν Edd. repugnantibus libris. [n] περιέτρεψε pro περιέστρεψε A. C. D. E. F. Cat. [o] εἴπῃ]+ὅτι C. [p] καὶ (om. γὰρ) ἔχ. ὀφθ. C. [q] θαυμαστῆς] φοβερᾶς C. Statim ἐκείνης δ. pro δ. ἐκείνης A. B. F. H. I. Cat. [r] εἰς δ. ἐχρήσαντο A.B.C.F.H.I. Cat. ἐχρήσαντο εἰς δ. Edd. [s] εἶναι om. I. [t] ἐπὶ pro περὶ A.B.D.E.F.H.I. Cat. ἐνταῦθα. ἐπὶ τὴν περὶ τὸ χ. ἕξιν φησὶ τῆς ψ. (sic) C. [v] ψάλῃ pro ψάλλῃ omnes. [w] μεταστῇ A.B.H.I. Cat. [x] πάλιν om. C. Mox μεταβάλλοιτο F.H. [y] αὐτῶν καὶ δυσμετάθ. (ἀμετάθ. C.) τῆς γν.] Sic omnes. τῆς γν. αὐτῶν καὶ δυσμ. Edd. [z] ταῦτα pro τὰ αὐτὰ A.B. F.H.I. Cat. [a] μεταβαλέσθω A.C.I. Statim καὶ ἀπολύσθω C. καὶ ἀπολλύσθωσαν Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων [b]τίνουσι δίκην ταῦτα πάσχοντες, ἐπήγαγε· "Καὶ εἰς ἀνταπόδομα αὐτοῖς." [6] "Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον." Ταῦτ' οὖν ἔτι ἑρμηνείας δεῖταί τινος; οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις [c]δῆλα; Καὶ πρὸ τῶν ἡμετέρων [d]ῥημάτων αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις [e]προλαβοῦσα μαρτυρεῖ τοῖς εἰρημένοις. Πότε γὰρ οὕτως εὐχείρωτοι γεγόνασι; πότε εὐάλωτοι; πότε οὕτω τὸν νῶτον αὐτῶν [f]συνέκαμψε; πότε τοιαύτην δουλείαν D ὑπέστησαν; Καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ λύσις ἔσται τῶν δεινῶν τούτων· ὃ καὶ [g]αὐτὸς ὁ προφήτης ἠνίξατο. Οὐδὲ γὰρ ἁπλῶς εἶπε, "τὸν νῶτον αὐτῶν σύγκαμψον," [h]ἀλλὰ, "διαπαντός." Εἰ δὲ φιλονεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ παρόντα. Κατέβης εἰς Αἴγυπτον· ἀλλ' ἐγένετο [i]διακόσια ἔτη, καὶ ταχέως [k]σε τῆς δουλείας ἐκείνης ἀπήλλαξεν ὁ θεὸς, καὶ [l]ταῦτα ἀσεβοῦντα καὶ πορνεύοντα [m]πορνείαν τὴν χαλεπωτάτην. Ἀπηλλάγης Αἰγύπτου, καὶ προσεκύνησας [n]μόσχον, ἔθυσας τοὺς υἱούς σου τῷ Βεελφεγὼρ, τὸν ναὸν ἐμόλυνας, πᾶν εἶδος ἐπῆλθες κακίας, τὴν φύσιν αὐτὴν E ἠγνόησας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνοὺς, τὰς πηγὰς, τοὺς (164) ποταμοὺς, τοὺς κήπους τῶν θυσιῶν ἐνέπλησας τῶν ἐναγῶν, προφήτας [o]ἔσφαξας, θυσιαστήρια [p]κατέστρεψας, πᾶσαν ὑπερβολὴν [q]ἐπεδείξω πονηρίας καὶ ἀσεβείας. Ἀλλ' ὅμως ἑβδομήκοντά [r]σε ἔτη παραδοὺς Βαβυλωνίοις, πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν, καὶ τὸν ναὸν καὶ τὴν πατρίδα ἀπέδωκε, καὶ τὸ παλαιὸν τῆς [s]πολιτείας σχῆμα, καὶ προφῆται πάλιν καὶ πνεύματος χάρις· μᾶλλον δὲ οὐδὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας [t]ἐγκατελείφθης, ἀλλὰ καὶ ἐκεῖ Δανιὴλ καὶ Ἰεζεκιὴλ, καὶ ἐν Αἰγύπτῳ Ἱερεμίας, καὶ ἐν ἐρήμῳ Μωϋσῆς. Μετ' ἐκεῖνα 644 πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες κακίαν, καὶ ἐξεβακχεύθης, καὶ πρὸς τὴν Ἑλληνικὴν μετετάξω πολιτείαν ἐπὶ Ἀντιόχου τοῦ ἀσεβοῦς· ἀλλὰ καὶ τότε ἔτη τρία [v]μόνον καὶ μικρόν τι

[6] v. 10.

[b] τιννύουσι H. [c] δῆλα ἦν Edd. ἦν deest in omnibus. [d] ῥημάτων om. C. [e] προδραμοῦσα C. [f] συνέκαμψαν B.F.H.I. Cat. [g] αὐτὸς pro αὐτὸ A.B.D.E.F.H.I. Cat. [h] ἀλλὰ καὶ δ. Edd. καὶ om. A.B.C.F.H.I. Cat. [i] τετρακόσια C. Cat. [k] σε τῆς δ. ἐ. pro τῆς δ. ἐ. σε A.B.D.E.F.H.I. Cat. σε om. a pr. man. C. [l] ταῦτα]+σε C. [m] πορνείαν τὴν χ. D.E. τὴν π. τὴν χ. A.B.C.F.H.I. τὴν χ. πορνείαν Edd. [n] τὸν μόσχον Edd. τὸν om. A.B.C.D.E.F. Cat. [o] ἔσφαξας omnes. Ante Montef. edebatur ἔσκαψας. [p] κατέσκαψας D.E. κατεμόλυνας Veron. [q] ἐπεδείξω A.B.D.E.F. ἀπεδείξω H. ἐνεδείξω Edd. [r] σε om. I. [s] πολιτείας C.D.E. et Sav. marg. *vivendi institutum* Montan. προφητείας Edd. [t] ἐγκατελ. pro ἐνεκατελ. A.B. C.D.E.F.I. Cat. [v] μόνον om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς, Ἀντιόχῳ παραδοθέντες, διὰ τῶν Μακκαβαίων τὰ λαμπρ
πάλιν ἐστήσατε τρόπαια. Ἀλλὰ νῦν τοιοῦτον οὐδὲν, ἀλλ
τοὐναντίον ἅπαν γέγονεν· ὃ καὶ μάλιστά ἐστι θαυμάσαι, ὅτ
τὰ μὲν τῆς κακίας ἔληξε, τὰ δὲ τῆς τιμωρίας [w]ἐπιτέταται, κα
οὐδὲ ἐλπίδα τινὰ [x]ἔχει μεταβολῆς. [y]Οὐδὲ γὰρ ἑβδομήκοντ
Β ἔτη παρῆλθε μόνον, οὐδὲ ἑκατὸν, οὐδὲ δὶς τοσαῦτα, ἀλλὰ [z]κα
τριακόσια καὶ πολλῷ [a]πλείω, καὶ οὔτε σκιὰν ἐλπίδος τοιαύτη
ἔστιν [b]εὑρεῖν· καὶ ταῦτα οὔτε εἰδωλολατρούντων ὑμῶν, οὔτ
[c]τὰ ἄλλα ποιούντων, ἅπερ ἔμπροσθεν ἐτολμᾶτε. Τί ποτ' οὖ
ἐστι τὸ αἴτιον; Διεδέξατο τὸν τύπον ἡ ἀλήθεια, καὶ τὸν νόμο
ἐξέκλεισεν ἡ χάρις. [d]Ἅπερ οὖν ἄνωθεν προαναφωνῶν ὁ προ
φήτης ἔλεγε· "Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον."
Εἶδες προφητείας ἀκρίβειαν, πῶς καὶ τὴν ἀπιστίαν προανεφώ
νησε, καὶ τὴν φιλονεικίαν ἔδειξε, καὶ τὴν ἐψομένην [d]δίκην ἐδή
C λωσε, καὶ τὸ ἀπέραντον τῆς κολάσεως ἐνεδείξατο; Ἐπειδὴ γὰρ
[e]πολλοὶ τῶν παχυτέρων τοῖς μέλλουσι διαπιστοῦντες, ἀπὸ τῶ
παρόντων τὰ μέλλοντα ἐβούλοντο [f]ἰδεῖν, ἐντεῦθεν ἤδη ἐφ' ἑκά
τερα τῆς [g]ἑαυτοῦ δυνάμεως τὴν ἀπόδειξιν παρέσχετο ὁ [h]θεὸς
τοὺς μὲν ἐξ ἐθνῶν πιστεύσαντας ἐπάρας ὑπὲρ τὸν οὐρανὸν, τοὺ
δὲ ἐξ Ἰουδαίων ἀπιστήσαντας εἰς ἔσχατον ἐρημίας κατενεγκὼν
καὶ ἀλύτοις κακοῖς παραδούς.

Καθαψάμενος τοίνυν αὐτῶν σφοδρῶς, καὶ ἀφ' ὧν ἠπίστησαν
καὶ ἀφ' ὧν ἔπαθόν τε καὶ ἔμελλον πείσεσθαι, πάλιν παραμυ
θεῖται τὰ εἰρημένα, γράφων οὕτω· [7] "Λέγω οὖν, μὴ ἔπταισα
D ἵνα πέσωσι; Μὴ γένοιτο." Ὅτε ἔδειξε μυρίων [i]κακῶν ὄντα
ὑπενθύνους, τότε παραμυθίαν ἐπινοεῖ. Καὶ σκόπει τὴν σύνεσι
[k]τὴν Παύλου. Τὴν μὲν κατηγορίαν ἀπὸ τῶν προφητῶν εἰσήγαγε
τὴν δὲ παραμυθίαν παρ' [l]ἑαυτοῦ τίθησιν. Ὅτι μὲν γὰρ αὐτοῖ
ἡμάρτηται μεγάλα, φησὶν, οὐδεὶς ἀντερεῖ· ἴδωμεν δὲ, εἰ τοι
οὗτον τὸ πτῶμα, ὡς καὶ ἀνίατον εἶναι, καὶ μηδεμίαν ἔχει
διόρθωσιν. Ἀλλ' οὐκ ἔστι τοιοῦτον. Εἶδες πῶς αὐτῶν πάλι
καθάπτεται, καὶ [m]ἐν προσδοκίᾳ παραμυθίας ὑπευθύνους ποιε

[7] v. 11.

[w] *ἐπιτείνεται* in textu I. *ἐπείγεται* C. [x] *ἔχεις* I. *ἔχειν* F. [y] *οὐδὲ*] *ο*
E.H.I. Haec *παρῆλθε——τοσαῦτα* om. I. [z] *καὶ* om. Veron. Sav. Mor
invitis libris. [a] *πλείω* pro *πλέον* omnes. [b] *εὑρεῖν*] *ἰδεῖν* C. [c] *τὰ* om
A.B.F. [d] *κόλασιν* I. [e] *πολὺ* F.H. [f] *εἰδέναι* C. [g] *αὐτοῦ* A.B.F
H.I. [h] *θεὸς* pro *Χριστὸς* A.B.D.E.F.H.I. [i] *κακῶν ὄντας ὑπ.* pro *ὄντα*
κακῶν ὑπ. A.B.F.H.I. Cat. *κακῶν ὑπ. ὄντας* C. [k] *τὴν*, quod aberat, est in
B.D.E.F.I. Ita tacite Montef. *τοῦ* pro *τὴν* habent H. Cat. [l] *ἑαυτοῦ* A.B
D.E.F.H.I. Cat. *αὐτοῦ* Veron. Sav. Mor. Mox *ὅτι γὰρ αὐτοὶ ἥμαρτον μ. φ*
C. [m] *ἐν προσδοκίᾳ*] *οὐ προσδοκία* a pr. man. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμαρτημάτων [n]ὡμολογημένων; Ἴδωμεν [o]δὲ τίνα αὐτοῖς καὶ παραμυθίαν ἐπινοεῖ. Τίς οὖν ἡ παραμυθία; [8] "[p]Ὅταν τὸ πλή- E
ρωμα τῶν ἐθνῶν εἰσέλθῃ, φησὶ, τότε πᾶς Ἰσραὴλ σωθήσεται," κατὰ τὸν καιρὸν [q]τῆς παρουσίας τῆς δευτέρας καὶ τῆς συντελείας. Ἀλλ' εὐθέως μὲν τοῦτο οὐ λέγει· ἐπειδὴ δὲ σφοδρῶς αὐτῶν κατέδραμε, καὶ κατηγορίαις συνῆψε κατηγορίας, προφήτας ἐπὶ [r]προφήταις εἰσάγων καταβοῶντας αὐτῶν, τὸν Ἡσαΐαν, τὸν Ἠλίαν, τὸν Δαυὶδ, τὸν Μωϋσέα, τὸν Ὡσηέ, καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις· ἵνα [s]μὴ ταύτῃ καὶ τούτους εἰς ἀπόγνωσιν ἐμβαλὼν, [t]ἀποτειχίσῃ τὴν πρὸς τὴν πίστιν ἐπάνοδον, καὶ τοὺς ἐξ ἐθνῶν πάλιν πιστεύσαντας εἰς ἀπόνοιαν ἐπάρῃ, καὶ φυσηθέντες καὶ αὐτοὶ βλαβῶσιν εἰς τὸν τῆς πί- 645
στεως λόγον, παραμυθεῖται πάλιν αὐτοὺς, λέγων· "Ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία [v]ἐν τοῖς ἔθνεσι." Δεῖ δὲ ἡμᾶς οὐχ ἁπλῶς ἀκούειν τῶν λεγομένων, ἀλλὰ τὴν γνώμην εἰδέναι καὶ τὸν σκοπὸν τοῦ λέγοντος, καὶ τί κατορθῶσαι [w]ἐσπούδακεν· ὅπερ ἀεὶ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην. [x]Ἂν γὰρ μετὰ τῆς διανοίας ταύτης δεξώμεθα τὰ εἰρημένα, [x]ἐν οὐδενὶ
(165) τούτων ὀψόμεθα δυσκολίαν οὖσαν. Τὸ γὰρ σπουδαζόμενον αὐτῷ νῦν, τὴν ἐκ τῶν εἰρημένων ἐγγινομένην ἀπόνοιαν τοῖς ἐξ ἐθνῶν καθελεῖν· οὕτω γὰρ καὶ οὗτοι ἀσφαλέστερον μένειν B
ἔμελλον ἐν τῇ πίστει, μετριάζειν [y]μαθόντες, καὶ οἱ ἐξ Ἰουδαίων τῆς ἀπογνώσεως ἀπαλλαγέντες, [z]τῇ χάριτι προθυμότερον προσιέναι. Πρὸς τοῦτον τοίνυν τὸν σκοπὸν ὁρῶντες, πάντων [a]ἀκούωμεν τῶν ἐν τῷ χωρίῳ τούτῳ λεγομένων. Τί οὖν φησι; καὶ πόθεν δείκνυσιν, ὅτι οὐκ ἀνίατα [b]ἔπεσον, οὐδὲ εἰς τέλος ἐξεβλήθησαν; Ἀπὸ τῶν ἐθνῶν, οὕτω λέγων· "Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία [c]τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς." Οὗτος δὲ οὐκ αὐτοῦ [d]μόνον ὁ λόγος, ἀλλὰ καὶ ἐν τοῖς εὐαγγελίοις τοῦτο βούλονται αἱ παραβολαί. Καὶ γὰρ ὁ τοὺς γάμους ποιήσας τῷ υἱῷ, ἐπειδὴ οἱ κεκλημένοι οὐκ ἠθέλησαν C
ἐλθεῖν, τότε τοὺς ἐν ταῖς τριόδοις ἐκάλεσε. Καὶ ὁ τὸν ἀμπε-

8 v. 25, 26.

[n] ὡμολογημένων B.D.E.I. Cat. ὁμολογημένων H. ὁμολογουμένων Edd. ante Ben. [o] δὲ om. C. Statim καὶ om. idem. [p] ὅταν] ὅτι ἂν H. ὅταν δὲ Edd. δὲ om. A.B.C.F.H. Cat. [q] τῆς π. τῆς δ.] τῆς δ. παρουσίας A. [r] προφήτας H. [s] μὴ]+καὶ I. καὶ ante τούτους om. C. [t] ἀποτειχίσῃ]+αὐτοῖς I. [v] ἐν om. B.C.E.I. Ita Montef. Post ἔθνεσιν add. εἰς τὸ παραζηλῶσαι αὐτοὺς C. [w] ἐσπούδακεν A.B.D.E.F.H.I. Cat. ἐσπούδασεν C. ἐσπούδαζεν Edd. Statim ὅπερ γὰρ ἀεὶ C. [x] ἐν om. C. [y] μανθάνοντες C. [z] τῇ] ἐν τῇ C. [a] ἀκούσωμεν C. [b] ἔπεσαν H.I. ἔπταισαν C. Cat. [c] ἐν τοῖς Edd. ἐν om. A.B.C.E.F.I. Mosqq. [d] μόνος ὁ λ. A.B.D.F.H.I. μόνου λ. C. μόνως ὁ λ. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λῶνα δὲ [e]καταφυτεύσας, ἐπειδὴ ἔσφαξαν οἱ γεωργοὶ τὸν κληρονόμον, τότε ἐξέδωκεν ἑτέροις τὸν ἀμπελῶνα. Καὶ [f]χωρὶς δὲ παραβολῆς αὐτοῖς ἔλεγεν· [9] "Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα [g]οἴκου Ἰσραήλ." Καὶ τῇ Συροφοινικίσσῃ δὲ ἐπιμενούσῃ πλέον τι πάλιν ἔλεγεν· "[h]Οὐ γάρ ἐστι καλὸν, φησὶ, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ [i]δοῦναι τοῖς κυναρίοις." Καὶ ὁ Παῦλος δὲ πρὸς τοὺς στασιάζοντας τῶν Ἰουδαίων, [10] "Ὑμῖν [k]πρῶτον, φησὶν, ἀναγκαῖον ἦν λαληθῆναι τὸν λόγον τοῦ θεοῦ· ἐπειδὴ δὲ ἀναξίους [l]ἐκρίνατε ἑαυτοὺς, ἰδοὺ
D στρεφόμεθα εἰς τὰ ἔθνη." Καὶ διὰ πάντων δηλοῦται, ὅτι ἡ μὲν ἀκολουθία τῶν πραγμάτων αὕτη ἦν, ἐκείνους προσελθεῖν πρώτους, καὶ τότε τοὺς ἐξ ἐθνῶν· ἐπειδὴ δὲ ἠπίστησαν, ἀντεστράφη ἡ τάξις, καὶ ἡ ἀπιστία αὐτῶν καὶ τὸ παράπτωμα τούτους ἐποίησεν εἰσενεχθῆναι προτέρους. Διό φησι, "Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία [m]ἐν τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς." Εἰ δὲ τὸ ἐξ ἀκολουθίας ἐκβὰν ὡς προηγουμένως γεγενημένον λέγει, μὴ θαυμάσῃς· βούλεται γὰρ αὐτῶν παραμυθήσασθαι πεπληγυίας τὰς ψυχάς. [8]Ὃ δὲ λέγει, τοιοῦτόν
E ἐστιν· ἦλθε πρὸς αὐτοὺς [n]Ἰησοῦς· οὐκ ἐδέξαντο αὐτὸν μυρία [o]θαυματουργοῦντα, ἀλλ' ἐσταύρωσαν· ἐπεσπάσατο λοιπὸν τὰ ἔθνη, ἵνα ἡ ἐκείνων τιμὴ δάκνουσα αὐτῶν τὴν ἀναισθησίαν, κἂν ἐκ τῆς πρὸς ἑτέρους φιλονεικίας αὐτοὺς πείσῃ προσελθεῖν. Ἔδει μὲν γὰρ [p]δεχθῆναι πρῶτον ἐκείνους, καὶ τότε ἡμᾶς· διὸ καὶ ἔλεγε· "Δύναμις γὰρ θεοῦ [q]ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι" ἐπειδὴ δὲ ἀπεσκίρτησαν, οἱ δεύτεροι πρῶτοι [r]γεγόναμεν. Εἶδες τοίνυν πόσην αὐτοῖς [s]κἀντεῦθεν συνάγει τιμήν; μίαν μὲν, ὅτι τότε φησὶν
646 ἡμᾶς [t]κληθῆναι, ὅτε αὐτοὶ οὐκ ἠθέλησαν· δευτέραν δὲ, ὅτι διὰ τοῦτό φησι κληθῆναι, οὐχ ἵνα ἡμεῖς σωθῶμεν [v]μόνον, ἀλλ' ἵνα καὶ ἐκεῖνοι διὰ τῆς [w]ἡμετέρας σωτηρίας ζηλώσαντες, βελτίους γένωνται. Τί οὖν, φησίν; εἰ μὴ διὰ τοὺς Ἰουδαίους, οὐκ ἂν

[9] Matth. xv. 24, 26. [10] Act. xiii. 46.

[e] φυτεύσας B. [f] χωρὶς παρ. δὲ F.H.I. Statim αὐτοῖς pro αὐτὸς A.B.C. D.E.F.I. αὐτοὺς H. [g] τοῦ οἴκου C. [h] οὐ γάρ ἐστι] οὐκ ἔστι D.E. Mox φησὶ om. iidem. [i] βαλεῖν C. [k] πρῶτον] νῦν πρῶτον Edd. νῦν deest in omnibus. ὑμῖν ἀναγκ. πρῶτον λαλ. C. [l] κρίνετε Veron. Sav. Mor. repugnantibus libris. [m] ἐν accessit ex A.B.D.E.F.H. [n] ὁ Ἰησοῦς C.D.E. [o] θαυματουργήσαντα H. [p] δ. πρῶτον ἐκείνους] Sic A.B.F.H. Cat. δ. ἐκείνους πρῶτον Edd. πρῶτον δειχθῆναι (sic) ἐκείνους I. δεχθῆναι πρῶτον Ἰουδαίους C. Idem pro ἡμᾶς, τοὺς ἐξ ἐθνῶν habet. [q] ἐστιν om. C. [r] γεγόνασιν C. [s] κἀντ. σ. τιμὴν A.B.F.H.I. κἂν. τιμὴν σ. D.E. σ. κἀντ. τιμὴν Edd. [t] κληθῆναι]+ἔδει C. Mox φησὶν ἐκλήθημεν pro φ. κληθῆναι idem. [v] μόνον om. I. [w] ἡμετέρας] ἡμῶν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκλήθημεν καὶ ἐσώθημεν; Οὐκ ἂν πρὸ ἐκείνων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει. Διὸ καὶ ὅτε [x]τοῖς μαθηταῖς ἔλεγεν, οὐκ εἶπεν [y]ἁπλῶς, πορεύεσθε πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἀλλὰ, [11] "Πορεύεσθε μᾶλλον [z]πρὸς τὰ πρόβατα" [a]δεικνὺς ὅτι καὶ πρὸς ἐκεῖνα δεῖ μετὰ ταῦτα ἀπελθεῖν. Καὶ Παῦλος πάλιν οὐκ εἶπεν, [b]ὑμῖν ἀναγκαῖον ἦν λαληθῆναι τὸν B
λόγον [c]τοῦ θεοῦ, ἀλλ', [12] "Ὑμῖν [d]ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον," δεικνὺς ὅτι [e]καὶ ἐκ δευτέρου καὶ ἡμῖν. Ταῦτα δὲ καὶ ἐγίνετο καὶ ἐλέγετο, ἵνα [f]μηδὲ ἀναίσχυντον ἔχωσιν ἐκεῖνοι πρόφασιν ὡς παροφθέντες, καὶ διὰ τοῦτο μὴ πιστεύσαντες. Διὰ δὴ τοῦτο καὶ πάντα προειδὼς ὁ Χριστὸς, ὅμως πρὸς αὐτοὺς παρεγένετο πρώτους.

[13] "Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;" Ἐνταῦθα πρὸς χάριν αὐτοῖς διαλέγεται. Καὶ γὰρ εἰ μυριάκις παρέπεσον οὗτοι, οὐκ ἂν ἐσώθη τὰ ἔθνη, εἰ μὴ πίστιν [g]ἐπεδείξαντο· ὥσπερ οὖν [h]οὐδ' ἂν Ἰουδαῖοι ἀπώλοντο, εἰ μὴ ἠπίστησαν καὶ ἐφιλονείκησαν. Ἀλλ', ὅπερ ἔφην, παραμυ- C
θεῖται αὐτοὺς κειμένους, ἐκ περιουσίας παρασκευάζων θαρρεῖν ὑπὲρ τῆς σωτηρίας αὐτῶν, εἰ μετάθοιντο. Εἰ [i]γὰρ ὅτε, φησὶ,
(166) προσέκρουσαν, τοσοῦτοι σωτηρίας ἀπήλαυσαν, καὶ ἐν τῷ [k]ἐκβληθῆναι ἐκείνους τοσοῦτοι ἐκλήθησαν, ἐννόησον τί [l]ἔσται, ὅταν ἐπιστρέψωσιν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ὅταν ἐπιστρέψωσιν. Οὐ γὰρ εἶπε, πόσῳ μᾶλλον ἡ ἐπιστροφὴ αὐτῶν, οὐδὲ ἡ μεταβολὴ αὐτῶν, οὐδὲ τὸ κατόρθωμα αὐτῶν, ἀλλὰ, "πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν," τουτέστιν, [m]ὅταν πάντες εἰσιέναι μέλλωσι. Τοῦτο δὲ εἶπε, δεικνὺς καὶ τότε τὸ πλέον τῆς χάριτος ἐσόμενον, καὶ τῆς δωρεᾶς τοῦ θεοῦ, [n]καὶ σχεδὸν τὸ πᾶν. [14] "Ὑμῖν [o]γὰρ D
λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μέν [p]εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα,

11 Matth. x. 6. 12 Act. xiii. 46. 13 v. 12. 14 v. 13, 14.

[x] τοῖς μ. ἔλεγεν] τοὺς μαθητὰς ἀπέστειλεν D. E. [y] ἁπλῶς]+τὸ C. [z] Haec πρὸς τὰ πρόβατα, quae aberant, sunt in libris omnibus et Cat. [a] δεικνὺς om. A.B.F.H.I. δηλῶν pro δεικνὺς D.E. Vulgatum firmat Cat. [b] ὑμῖν ἀν. pro ἀν. ὑμῖν A.B.D.E.F.H.I. Statim ἦν accessit ex A.B.E.H.I. ὑμῖν ἦν ἀν. C. [c] τοῦ θεοῦ est in A.B.D.E.F.H. non in Edd. Statim καὶ pro ἀλλ' H. [d] ἦν om. C. Mox τὸν λόγον accessit ex A.B.D.E.F.I. [e] καὶ om. I. καὶ μετὰ ταῦτα ἡμῖν. ταῦτα δὲ C. [f] μηδὲ] μὴ C. [g] ἐπεδείξαντο pro ἐπεδείξατο omnes. ἐσώθησαν et ἐπεδείξαντο Cat. [h] οὐδ' ἂν Ἰουδ.] Sic A.B. C.F.H.I. οὐδ' ἂν οἱ Ἰουδ. D.E. οἱ Ἰουδαῖοι οὐκ ἂν Edd. [i] γὰρ ὅτε] ὅτι I. [k] ἀποβληθῆναι C. Mox ἐσώθησαν pro ἐκλήθησαν idem. [l] ἔστι C. Mox quae vulgo desiderantur, ἀλλ' οὐκ εἶπεν οὕτως ὅταν ἐπιστρέψωσιν, ex hoc uno libro assumsimus. [m] ὅταν . . . μέλλωσι] Sic A.B.D.E.F.H.I. ὅτε . . . μέλλουσι Edd. [n] καὶ om. C. [o] γὰρ] δὲ C. [p] εἰμὶ ἐγὼ] οὖν ἐγώ εἰμι C.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σώσω τινὰς ἐξ αὐτῶν." Πάλιν ὑποψίας πονηρᾶς ἑαυτὸν ἀπαλλάξαι ἐσπούδακε. Καὶ δοκεῖ μὲν ἐπιπλήττειν [q]τοῖς ἐξ ἐθνῶν, καὶ ταπεινοῦν αὐτῶν τὰ φρονήματα, ἠρέμα δὲ παρακνίζει τὸν Ἰουδαῖον. Καὶ περιέρχεται μὲν ζητῶν περιστεῖλαι καὶ παραμυθήσασθαι τὴν τοσαύτην αὐτῶν ἀπώλειαν, οὐδὲν δὲ εὑρίσκει διὰ τὴν τῶν πραγμάτων φύσιν. Καὶ γὰρ ἐξ ὧν εἴρηκε, μείζονος ἦσαν κατηγορίας [r]ἄξιοι, ὅταν τὰ αὐτοῖς εὐτρεπισμένα ἕτεροι σφόδρα [s]αὐτῶν ἀποδέοντες εἰληφότες ὦσι. Διὰ δὴ τοῦτο ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τοὺς ἐξ ἐθνῶν [t]μεταβαίνει, καὶ μέσον παρεντίθησι τὸν περὶ τούτων λόγον, ἐνδείξασθαι βουλόμενος, ὅτι [v]πάντα ταῦτα λέγει, ἵνα αὐτοὺς μετριάζειν παιδεύσῃ. Ἐπαινῶ γὰρ ὑμᾶς, φησί, διὰ δύο ταῦτα· δι' ἓν μέν, ὅτι ἀνάγκην ἔχω τὴν διακονίαν ὑμῶν ἐγκεχειρισμένος· δι' ἕτερον δὲ, ἵνα δι' ὑμῶν ἑτέρους σώσω. Καὶ οὐ λέγει, τοὺς ἀδελφούς μου, τοὺς συγγενεῖς μου, ἀλλὰ, "τὴν σάρκα." Εἶτα τὴν φιλονει-
647 κίαν αὐτῶν ἐνδεικνύμενος, οὐ λέγει, εἴ πως πείσω, [w]ἀλλὰ, "παραζηλώσω καὶ σώσω," καὶ οὐδὲ ἐνταῦθα [x]ἅπαντας, ἀλλὰ, "τινὰς ἐξ αὐτῶν·" οὕτως ἦσαν σκληροί. Καὶ ἐν [y]αὐτῇ τῇ ἐπιτιμήσει δὲ λαμπρὰ δείκνυσι πάλιν τὰ τῶν ἐθνῶν· [z]εἴγε καὶ αἴτιοι γίνονται σωτηρίας αὐτοῖς, [a]καὶ οὐ διὰ τῶν αὐτῶν· ἐκεῖνοι μὲν γὰρ [b]τούτοις ἐξ ἀπιστίας, οὗτοι δὲ ἐκείνοις ἀπὸ πίστεως πρόξενοι [c]γίνονται τῶν ἀγαθῶν. [d]Ὅθεν δοκεῖ καὶ ἰσάζειν καὶ πλεονεκτεῖν τὰ τῶν ἐθνῶν. Τί γὰρ ἂν εἴποις, ὦ Ἰουδαῖε; [d]εἰ μὴ ἐξεβλήθημεν ἡμεῖς, οὐκ ἂν ἐκλήθητε εὐθέως ὑμεῖς; [e]Τὸ αὐτὸ
Β λέγει καὶ ὁ ἐξ ἐθνῶν· εἰ μὴ ἐσώθην ἐγὼ, οὐκ ἂν ἐζήλωσας σύ. Εἰ δὲ καὶ [f]ᾧ πλεονεκτοῦμεν βούλει μαθεῖν, ἐγὼ μὲν ἐκ τοῦ πιστεῦσαι, σὲ σώζω· σὺ δὲ προσκεκρουκὼς, πάροδον ἡμῖν δέδωκας σοῦ προτέραν.

Εἶτα πάλιν [g]αἰσθόμενος ὅτι καθήψατο αὐτῶν, τὸ πρότερον ἀναλαμβάνει, καί φησιν· [15] "Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;" Ἀλλὰ καὶ τοῦτο [h]αὐτοὺς καταδικάζει πάλιν, εἴγε ἄλλοι μὲν ἐκ

[15] v. 15.

[q] τοῖς] τοὺς H. Cat. Mox αὐτῶν om. A. [r] ἄξιοι] + πῶς δὲ οὐ μείζονος D.E. [s] αὐτοῖς A.B.F.H. [t] διαβαίνει I. [v] πάντα ταῦτα pro ταῦτα πάντα A.B.C.F.I. Cat. [w] Haec ἀλλὰ παραζ. καὶ σώσω desunt in A.B.F. H.I. [x] ἅπαντας pro πάντας A.B.D.E.F.H. Cat. [y] αὐτῇ] + δὲ D. Cat. Mox δὲ om. D.E. Cat. [z] εἴγε] εἰ γὰρ A.B.F.H.I. Cat. εἰ δὲ et mox γένωνται C. [a] καὶ] ἀλλ' A. καὶ om. Cat. [b] τούτοις] αὐτοῖς C. [c] γίνονται] καθίστανται D.E. γένωνται a pr. man. C. [d] εἰ] ὅτι εἰ C. D. E. [e] τὸ αὐτὸ pro τοῦτο δὲ omnes. [f] ᾧ pro ὃ A.B.C.F.H. Cat. Statim πλεονεκτῶ τοῦτο βούλει μ. I. [g] αἰσθανόμενος B.C. [h] αὐτοῖς H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἁμαρτημάτων αὐτῶν [i]ἐκέρδαινον, οὗτοι δὲ [k]οὐδὲ ἐκ τῶν κατορθωμάτων ἑτέρων ὠφελήθησαν. Εἰ δὲ τὸ ἐξ ἀνάγκης C
συμβὰν, τοῦτο ἐκείνων εἶναί φησι, μὴ θαυμάσῃς· ἵνα γὰρ καὶ τούτους, ὃ πολλάκις εἶπον, καταστείλῃ, κἀκείνους προτρέψῃ, οὕτω σχηματίζει τὸν λόγον. Ὅπερ [l]γὰρ ἔφθην εἰπὼν, [m]εἰ καὶ μυριάκις ἀπεβλήθησαν Ἰουδαῖοι, πίστιν δὲ μὴ ἐπεδείξαντο τὰ ἔθνη, οὐκ ἂν ἐσώθησάν [n]ποτε. Ἀλλὰ τῷ ἠσθενηκότι παρίσταται μέρει, καὶ βοηθεῖ τῷ πεπονηκότι. Ὅρα δὲ καὶ ἐν οἷς [o]χαρίζεται, διὰ ῥημάτων αὐτοὺς [p]παραμυθούμενον μόνον. Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, φησὶ, καταλλαγὴ κόσμου. Καὶ τί τοῦτο πρὸς Ἰουδαίους; Τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νε- D
κρῶν; Ἀλλ' οὐδὲ τοῦτό τι πρὸς [q]ἐκείνους, εἰ μὴ προσελήφθησαν. [a]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ ὀργιζόμενος αὐτοῖς, [r]τοσαῦτα ἐχαρίσατο ἑτέροις, ὅταν αὐτοῖς καταλλαγῇ, τί οὐ χαριεῖται; Ἀλλ' ὥσπερ ἡ ἀνάστασις τῶν νεκρῶν οὐ διὰ τὴν πρόσληψιν αὐτῶν, οὕτως οὐδὲ [s]ἡ σωτηρία νῦν ἡ ἡμετέρα δι' αὐτούς· ἀλλ' [t]ἐξεβλήθησαν μὲν ἐκ τῆς ἀνοίας αὐτῶν, ἐσώθημεν δὲ ἀπὸ τῆς πίστεως ἡμεῖς, καὶ τῆς ἄνωθεν χάριτος. [v]Τούτων δὲ οὐδὲν ἐκείνους ὠφελῆσαι δυνήσεται, εἰ μὴ τὴν προσήκουσαν [w]ἐπιδείξαιντο πίστιν. Πλὴν ἀλλὰ τὰ αὐτῷ συνήθη ποιῶν, E
προάγει τὸν λόγον εἰς [x]ἕτερον ἐγκώμιον, οὐκ ὂν ἐγκώμιον,
(167) ἀλλὰ δοκοῦν εἶναι μόνον, τοὺς ἀρίστους τῶν ἰατρῶν μιμούμενος, οἳ τοσαῦτα παραμυθοῦνται τοὺς κάμνοντας, ὅσα ἡ τῆς ἀρρωστίας [y]ἐνδίδωσι φύσις. Τί γάρ φησιν; [16] Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα [z]ἁγία, καὶ οἱ κλάδοι· ἀπαρχὴν ἐνταῦθα καὶ ῥίζαν καλῶν, [a]τοὺς περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τοὺς προφήτας, τοὺς πατριάρχας, τοὺς ἐπὶ τῆς παλαιᾶς εὐδοκιμηκότας ἅπαντας· κλάδους δὲ τοὺς ἐξ αὐτῶν πιστεύσαντας. Εἶτα ἐπειδὴ ἀντέπιπτεν αὐτῷ τὸ πολ- 648
λοὺς ἠπιστηκέναι, ὅρα πῶς [b]πάλιν αὐτὸ ὑποτέμνεται, καὶ

16 v. 16.

[i] ἐκέρδαινον C. [k] οὐδὲ ἐκ τῶν κατ. ἑτ. ὠφ.] Sic omnes. ἐκ τῶν ἑτ. κατ. οὐκ ὠφ. Veron. Sav. Mor. οὐδὲ ἐκ τῶν ἑτ. κατ. ὠφ. Ben. [l] γὰρ] καὶ H. [m] εἰ καὶ] Sic A.B.C.F.H.I. Cat. κἂν Edd. [n] ποτὲ om. I. [o] χαρίζεται]+ὅπως χαρίζεται I. [p] παραμυθούμενον B.E.F. παραμυθούμενος Edd. αὐτὸν παραμυθούμενον pro αὐτοὺς παραμυθούμενος Cat. Statim μόνον om. C. Veron. [q] ἐκείνους]+αὐτοὺς C. [r] τοιαῦτα C. [s] ἡ σωτηρία νῦν pro νῦν ἡ σ. B.C.D.E.F.H.I. Cat. [t] ἐβλήθησαν C. Mox post αὐτῶν add. ἐκεῖνοι Cat. [v] τούτων] τοῦτο C. [w] ἐπιδείξαιτο B. ἐπιδείξονται C. ἐπεδείξαντο F.H.I. Cat. [x] ἑτέρων A.B.F.H.I. ἕτερον tuetur Cat. [y] δίδωσι C. [z] ἁγία om. C. [a] Haec τοὺς περὶ τὸν Ἀβραὰμ——Ἰακὼβ desunt in A.B.D.E.F.H.I. τοὺς περὶ τὸν Ἀβρ. (omissis ceteris) habet Cat. [b] πάλιν αὐτὸ ὑπ.] Sic C. πάλιν αὐτοὺς ὑπ. (ἀπ. H.) ceteri. αὐτὸ πάλιν ὑπ. Edd. πάλιν ὑπ. αὐτὸ Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησιν· 17 "Εἰ δέ τινες [c]τῶν κλάδων ἐξεκλάσθησαν." Καὶ μὴν ἄνω ἔλεγες, ὅτι οἱ πλείους ἀπώλοντο, καὶ ὀλίγοι διεσώθησαν· πῶς [d]οὖν ἐνταῦθα ἐπὶ τῶν ἀπολλυμένων τὸ, "τινὲς," [e]τέθεικας, ὅπερ ὀλιγότητός ἐστιν ἐμφαντικόν; Οὐκ ἐμαυτῷ, φησὶ, περιπίπτων, ἀλλὰ θεραπεῦσαι [f]σπεύδων καὶ ἀνακτήσασθαι τοὺς πεπονηκότας. Εἶδες πῶς διὰ παντὸς τοῦ χωρίου [g]τοῦτο δείκνυται κατασκευάζων, τὸ βούλεσθαι παραμυθήσασθαι αὐτούς; Β κἂν ἀνέλῃς αὐτὸ, πολλὰ ἕψεται τὰ ἐναντιώματα. Σὺ δέ μοι σκόπει αὐτοῦ τὴν σοφίαν, πῶς δοκῶν ὑπὲρ αὐτῶν λέγειν, καὶ [h]παραμυθίας αὐτοῖς ἐπινοεῖν, [i]καὶ πλήττει λανθανόντως, καὶ πάσης ἀπολογίας δείκνυσιν ἐστερημένους, ἀπὸ τῆς ῥίζης, ἀπὸ τῆς ἀπαρχῆς. Ἐννόησον γὰρ πονηρίαν τῶν κλάδων, [k]ὅταν μηδὲ ῥίζαν ἔχοντες γλυκεῖαν, μιμῶνται αὐτήν· καὶ τὴν κακίαν τοῦ φυράματος, ὅταν μηδὲ ἀπὸ τῆς ἀπαρχῆς [l]μεταβάληται. "Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν." Καὶ μὴν τὸ πλέον ἐξεκλάσθη· ἀλλ', ὅπερ ἔφην, βούλεται αὐτοὺς παραμυθεῖσθαι. Διὰ τοῦτο οὐδὲ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' ἐκείνων εἰσάγει τὸν C λόγον, καὶ ἐν τούτῳ λανθανόντως αὐτῶν καθικνούμενος, καὶ δεικνὺς τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐκπεπτωκότας. Τοῦτο γὰρ ἦν, ὃ ἔσπευδεν εἰπεῖν, ὅτι οὐδὲν κοινὸν πρὸς [m]ἐκείνους ἔχουσιν. Εἰ γὰρ ἁγία ἡ ῥίζα, οὗτοι δὲ οὐχ ἅγιοι, ἄρα πόρρω τῆς ῥίζης οὗτοι. Εἶτα δοκῶν [n]παραμυθεῖσθαι τὸν Ἰουδαῖον, πάλιν πλήττει διὰ τῆς κατηγορίας τοὺς ἐξ ἐθνῶν. Εἰπὼν γὰρ, "Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν," ἐπήγαγε· "Σὺ δὲ ἀγριέλαιος ὢν, ἐνεκεντρίσθης." Ὅσῳ γὰρ ἂν εὐτελὴς [o]ᾖ ὁ ἐξ ἐθνῶν, τοσούτῳ μᾶλλον ὁ Ἰουδαῖος ἀλγεῖ, τοῖς αὐτοῦ τοῦτον D ἐντρυφῶντα ὁρῶν. Κἀκείνῳ δὲ οὐ τοσαύτη ἀπὸ τῆς εὐτελείας ἡ αἰσχύνη, ὅση ἀπὸ τῆς μεταβολῆς ἡ τιμή. Καὶ σκόπει [p]σοφίαν. Οὐκ εἶπεν, ἐνεφυτεύθης, ἀλλ', "ἐνεκεντρίσθης," ἐν τούτῳ πάλιν δάκνων τὸν Ἰουδαῖον, καὶ δεικνὺς ἐν τῷ [q]δένδρῳ τῷ αὐτοῦ τὸν ἐξ ἐθνῶν ἑστηκότα, καὶ τοῦτον [r]κείμενον χαμαί. Διόπερ οὐδὲ μέχρι τούτου ἔστη, οὐδὲ εἰπὼν, "ἐνεκεντρίσθης,"

17 v. 17.

[c] τῶν κλάδων om. C. [d] οὖν om. H. Cat. [e] ἔθηκας H. Mox ἐμφατικὸν F. [f] σπεύδων] θέλων C. [g] τοῦτο δ. pro δ. τοῦτο A.B.C.H. Cat. [h] παραμυθίας B.C.D.E.F.H. παραμυθίαν Edd. [i] καὶ accessit ex nostris omnibus. [k] ὅταν et μιμῶνται libri omnes et Cat. ὅτε et μιμοῦνται Edd. [l] μεταβάληται B.C.D.E. μεταβάλληται Edd. [m] ἐκείνους A.B.C.D.E.F.I. Cat. ἐκεῖνοι Edd. [n] παραμυθεῖσθαι pro παραμυθήσασθαι B.C.F.H.I. Cat. [o] ᾖ om. B.F.H. Mox τοσοῦτον H. [p] τὴν σοφίαν C. [q] δ. τῷ αὐτοῦ] αὐτοῦ δ. C. [r] δεικνύμενον H. In marg. autem correxit Dav. Hoeschelius κείμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπηλλάγη, καίτοι τὸ πᾶν [s]ἐδήλωσε τούτῳ· ἀλλ' ὅμως ἐνδιατρίβει τῇ εὐημερίᾳ τούτου, καὶ εὑρύνει τὴν εὐδοκίμησιν, λέγων· "Καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου." Καὶ δοκεῖ μὲν [t]αὐτὸν ἐν τάξει προσθήκης τεθεικέναι· δείκνυσι δὲ οὐδὲν αὐτὸν ταύτῃ παραβλαπτόμενον, ἀλλὰ τὸ πᾶν Ε ἔχοντα, ὅσον εἶχεν ὁ κλάδος ὁ ἐκ τῆς ῥίζης ἀναβάς. Ἵνα γὰρ μὴ ἀκούσας, "σὺ δὲ ἐνεκεντρίσθης," ἠλαττῶσθαι αὐτὸν [v]νομίσῃς, πρὸς τὸν ἔμφυτον κλάδον συγκρίνων, ὅρα πῶς αὐτὸν ἐξισοῖ λέγων· "[w]συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου·" τουτέστιν, εἰς τὴν [x]αὐτὴν κατέστης εὐγένειαν, εἰς τὴν αὐτὴν φύσιν. Εἶτα ἐπιπλήξας, καὶ εἰπών, [18] "Μὴ κατακαυχῶ τῶν κλάδων," δοκεῖ μὲν παραμυθεῖσθαι τὸν Ἰουδαῖον, δείκνυσι δὲ αὐτοῦ τὸ εὐτελὲς καὶ τὴν πολλὴν ἀτιμίαν. Διὰ τοῦτο οὐδὲ εἶπε, μὴ καυχῶ, [y]ἀλλὰ, "μὴ κατακαυχῶ," μὴ κατ' ἐκείνων καυχῶ, ὥστε αὐτοὺς ἀπορρῆξαι· καὶ γὰρ εἰς τὰ ἐκείνων ἔστηκας, 649
[z]τῶν ἐκείνων ἀπολαύεις. Ὁρᾷς πῶς δοκεῖ μὲν ἐπιπλήττειν [a]τούτοις, δάκνει δὲ ἐκείνους; "Εἰ δὲ κατακαυχᾶσαι, φησὶν, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ." Τί οὖν πρὸς τοὺς κλάδους τοῦτο τοὺς ἐκκοπέντας; Οὐδέν. Ὅπερ γὰρ ἔφθην εἰπὼν, σκιάν τινα παραμυθίας ἀσθενῆ δοκῶν ἐπινοεῖν, καὶ ἐν
(168) αὐτῷ τῷ πρὸς τὸν ἐξ ἐθνῶν ἀποτείνεσθαι, καιρίαν αὐτοῖς δίδωσι πληγήν. Εἰπὼν [b]γὰρ, "μὴ κατακαυχῶ," καὶ [c]ὅτι "εἰ καυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν [d]βαστάζεις," ἔδειξε τῷ Ἰουδαίῳ, ὅτι καυχήσεως ἄξια τὰ γεγενημένα, εἰ καὶ μὴ κατακαυχᾶσθαι δεῖ· [e]καὶ διεγείρων αὐτὸν καὶ παροξύνων εἰς πίστιν, καὶ ἐν τάξει Β συνηγόρου βάλλων, καὶ δεικνὺς αὐτῷ τὴν ζημίαν, ἣν ὑπέμεινε, καὶ ὅτι τὰ ἐκείνων κατέχουσιν ἕτεροι.

[19] "Ἐρεῖς οὖν, [f]φησὶν, ἐξεκλάσθησαν [g]κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ." Πάλιν ἐν τάξει ἀντιθέσεως τὸ ἐναντίον τῷ προτέρῳ κατασκευάζει, δεικνὺς ὅτι καὶ τὰ μικρῷ [h]πρόσθεν εἰρημένα οὐχὶ προηγουμένως ἔλεγεν, ἀλλ' ἐφελκόμενος αὐτούς.

[18] v. 18. [19] v. 19.

[s] ἐδήλωσεν ἐν τούτῳ C.I. Cat. [t] αὐτὸ A.B.C.D.E.F. Cat. [v] νομίζῃς F.H.I. Cat. [w] καὶ συγκ. Edd. καὶ om. B.C.D.E.F. Cat. [x] αὐτῆς H. et bis C. Mox καὶ εἰς τὴν I. [y] ἀλλὰ om. B.F.H.I. Statim haec μὴ κατακ. μὴ κατ' ἐκείνων καυχῶ desunt in A.B.D.F.H.I. non in Cat. [z] τῶν] καὶ τῶν C. [a] τούτους A.B.D.E.H. Cat. Statim δάκνειν H. [b] γὰρ] δὲ ὅτι I. [c] ὅτι εἰ καυχᾶσαι] Sic B. ὅτι καυχᾶσαι A.F.H. εἰ καυχᾶσαι D.E.I. ὅτι εἰ κατακαυχᾶσαι vulgo. [d] βαστάζεις]+ἀλλ' ἡ ῥίζα σε I. [e] καὶ om. D.E. [f] φησὶν accessit ex omnibus. [g] οἱ κλάδοι D.E. [h] πρόσθεν pro ἔμπροσθεν A.B.D.E.F.H.I. Cat. Mox προηγούμενος A.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐκέτι [i]γὰρ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, οὐδὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, οὐδὲ διὰ τοῦτο C ἐσώθημεν ἐπειδὴ [k]ἔπεσον, ἀλλὰ τοὐναντίον. Καὶ δείκνυσι προηγουμένην [l]καὶ τὴν εἰς τὰ ἔθνη πρόνοιαν, εἰ καὶ [m]δοκεῖ ἑτέρως σχηματίζειν τὰ εἰρημένα· καὶ ὅλον τὸ χωρίον δι' ἀντιθέσεως [n]ὑφαίνει, [o]ἑαυτὸν ἀπαλλάττων τῆς κατὰ τὴν ἀπέχθειαν ὑπονοίας, καὶ εὐπαράδεκτον ποιῶν τὸν λόγον. [20] "Καλῶς." Ἐπῄνεσε τὸ εἰρημένον· εἶτα [p]καὶ φοβεῖ πάλιν λέγων· "Τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει [q]ἐνεκεντρίσθης." Ἰδοὺ πάλιν [r]ἕτερον ἐγκώμιον, καὶ [s]ἐκείνων κατηγορία. Ἀλλὰ πάλιν αὐτῶν [t]καταστέλλει τὸ φύσημα, ἐπάγων καὶ λέγων· "Μὴ D [v]ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ." Οὐ γὰρ φύσεως τὸ πρᾶγμά ἐστιν, ἀλλὰ πίστεως καὶ ἀπιστίας. Καὶ δοκεῖ μὲν πάλιν ἐπιστομίζειν τὸν ἐξ ἐθνῶν, διδάσκει δὲ τὸν Ἰουδαῖον, ὅτι οὐ δεῖ τῇ [w]τῆς φύσεως συγγενείᾳ προσέχειν. Διὸ καὶ ἐπάγει, "μὴ ὑψηλοφρόνει" καὶ οὐκ εἶπε, ταπεινοῦ, ἀλλὰ, "φοβοῦ" ἡ γὰρ ἀπόνοια καταφρόνησιν ἐμποιεῖ καὶ ῥᾳθυμίαν. Εἶτα μέλλων ἐκτραγῳδεῖν αὐτῶν τὴν συμφοράν, ὥστε [x]ἀνεπαχθέστερον ποιῆσαι τὸν λόγον, ἐν τάξει τῆς πρὸς [y]ἐκεῖνον ἐπιτιμήσεως αὐτὸ τίθησιν οὕτω λέγων· [21] "Εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν E κλάδων οὐκ ἐφείσατο" καὶ οὐκ εἶπεν, οὐδὲ σοῦ φείσεται, ἀλλὰ, "Μή πως [z]οὐδὲ σοῦ φείσηται" ὑποτεμνόμενος τοῦ λόγου τὸ φορτικὸν, καὶ ποιῶν ἐναγώνιον [a]εἶναι τὸν πιστὸν, κἀκείνους ἐφελκόμενος, καὶ τούτους καταστέλλων. [22] "Ἰδε οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σέ, χρηστότητα, ἐὰν [b]ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ." [c]Οὐκ εἶπεν, ἴδε οὖν [d]κατόρθωμα σὸν, ἴδε οὖν πόνους σοὺς, ἀλλὰ θεοῦ φιλανθρωπίαν, δεικνὺς ὅτι τὸ πᾶν τῆς χάριτος τῆς ἄνωθεν γέγονε, καὶ παρασκευάζων τρέμειν. Ἡ γὰρ ὑπόθεσις τῆς καυχήσεως, [e]αὕτη σε ποιείτω δεδοικέναι.

[20] v. 20. [21] v. 21. [22] v. 22.

[i] γὰρ]+φησὶ D.E. Statim τῷ αὐτῷ Edd. ἴσ. τῶ αὐτῶν Sav. marg. "Utraque lectio bene habere videtur." *Montef.* Libri omnes τῷ αὐτῶν. [k] ἔπεσαν C.H.I. [l] καὶ om. C.I. [m] δοκεῖ ἑ. σχηματίζειν] ἑ. σχηματίζει C. [n] ἐμφαίνει C. [o] ἑαυτὸν]+ὁμοῦ I. [p] καὶ om. C. [q] ἐνεκεντ.] ἔστηκας C. [r] ἕτερον]+τούτων D.E. [s] ἐκείνων]+πάλιν C. [t] καταστέλλων τὸ φ. ἐπάγει λέγων ὅτι μὴ I. [v] ὑψηλὰ φρόνει bis C. [w] τῆς φύσεως om. C. [x] ἀνεπαχθῆ C. [y] ἐκείνους B. [z] μηδὲ I. [a] εἶναι τὸν π. pro τὸν π. εἶναι A.B.C.E.F.H.I. Cat. Statim κἀκείνον I. [b] ἐπιμένῃς A.E.H. ἐπιμένεις C. [c] καὶ οὐκ Edd. καὶ deest in omnibus. [d] τὸ κατόρθ. C. Statim ἴδε τοὺς π. σ. idem. [e] αὕτη σε ποιείτω δ.] Sic I. Cat. αὕτη (αὐτὴ C.) σε ποιεῖ τὸ δ. B.C. αὕτη σοι ποιεῖ τὸ δ. D.E. αὕτη ἐποίει τῷ δ. H. αὐτῆς ἐποίει τὸ δ. Veron. αὕτη σε ποιεῖ δ. Sav. Mor. Ben. consentientibus, ut videtur, A.F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[f]Ἐπειδὴ γὰρ χρηστὸς περὶ σὲ γέγονεν ὁ δεσπότης, διὰ τοῦτο 650
φοβοῦ· οὐ γὰρ ἀκίνητά σοι μένει τὰ ἀγαθά, ἐὰν [g]ῥᾳθυμῇς· ὥσπερ οὖν οὐδὲ ἐκείνοις τὰ κακά, ἐὰν [h]μεταβάλωνται. Καὶ γὰρ σὺ, φησὶν, ἐὰν [i]μὴ ἐπιμείνῃς τῇ πίστει, ἐκκοπήσῃ· [23] "Καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται." Οὐ γὰρ ὁ θεὸς αὐτοὺς ἐξέκοψεν, ἀλλ' αὐτοὶ ἐξεκλάσθησαν καὶ [k]κατέπεσον. Καὶ καλῶς εἶπεν, "ἐξεκλάσθησαν·" [l]οὐδέποτε γὰρ οὕτως αὐτοὺς ἐξέβαλε, καίτοι πολλὰ πολλάκις ἡμαρτηκότας. Εἶδες ὅσον τῆς προαιρέσεως τὸ κῦρος; πόση τῆς γνώμης ἡ ἐξουσία; Οὐδὲν γὰρ τούτων ἀκίνητον, οὔτε τὸ σὸν B
καλὸν, οὔτε τὸ ἐκείνου κακόν. Εἶδες πῶς καὶ ἐκεῖνον ἀπογινώσκοντα ἀνέστησε, καὶ τοῦτον θαρροῦντα κατέστειλε; Μήτε γὰρ σὺ ἀποτομίαν ἀκούων, ἀπαγορεύσῃς· μήτε σὺ [m]χρηστότητα, θαρρήσῃς. Διὰ τοῦτο σὲ [n]ἀποτόμως ἐξέκοψεν, ἵνα ποθήσῃς ἐπανελθεῖν· διὰ τοῦτο περὶ σὲ χρηστότητα [o]ἐπεδείξατο, ἵνα ἐπιμείνῃς. Καὶ οὐκ εἶπε, τῇ πίστει, ἀλλὰ, "τῇ χρηστότητι," τουτέστιν, [p]ἐὰν ἄξια τῆς τοῦ θεοῦ φιλανθρωπίας πράττῃς· οὐ γὰρ πίστεως δεῖ μόνον. Ὁρᾷς πῶς [q]οὔτε ἐκείνους ἀφῆκε κεῖσθαι, οὔτε τούτους μέγα φρονεῖν, ἀλλὰ καὶ παρεζήλωσε τούτους [r]πάλιν δι' ἐκείνων, δοὺς τῷ Ἰουδαίῳ C
στῆναι [s]εἰς τὸν τούτου τόπον, καθάπερ ἐκεῖνος [t]προκατέλαβε
(169) τὸ τούτου χωρίον; Καὶ τὸν μὲν ἐξ ἐθνῶν ἀπὸ τῶν Ἰουδαίων φοβεῖ καὶ τῶν ἐκείνοις συμβεβηκότων, ἵνα μὴ ἐπαίρωνται κατ' [v]αὐτοῦ· τὸν δὲ Ἰουδαῖον ἀπὸ τῶν τῷ Ἕλληνι παρασχεθέντων θαρρεῖν παρασκευάζει. Καὶ γὰρ [w]καὶ σὺ ἐκκοπήσῃ, φησὶν, ἐὰν [x]ῥᾳθυμῇς· καὶ γὰρ ὁ Ἰουδαῖος ἐξεκόπη· καὶ ἐκεῖνος ἐγκεντρισθήσεται, ἐὰν [y]σπουδάζῃ· καὶ γὰρ [z]καὶ σὺ ἐνεκεντρίσθης. Πάνυ [a]δὲ συνετῶς ὅλον τὸν λόγον πρὸς τὸν ἐξ ἐθνῶν τρέπει, [b]ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐν τῇ τῶν ἰσχυροτέρων ἐπιπλήξει τοὺς D

23 v. 23.

[f] ἐπειδὴ pro ἐπεὶ A.B.D.E.F.H.I. [g] ῥᾳθυμήσῃς C. [h] μεταβάλλωνται A.C.F.H.I. [i] μὴ] οὐκ I. Mox κἀκεῖνοι δὲ C.D.E. [k] κατέπεσον pro ἔπεσον D.E. Cat. ἔπεσαν C. In ceteris haec καὶ κατέπεσον——ἐξεκλάσθησαν exciderunt. [l] οὐδέπω γὰρ I. Statim οὕτως αὐτοὺς Cat. secundum conjecturam Savilii. αὐτοὺς οὕτως inverso ord. C.D.E. [m] τῇ χρηστότητι I. [n] ἀποτ.] οὐκ ἀποτ. A. D. E. F. H. I. et ex corr. C. Vulgatum firmat Cat. [o] ἐπεδείξατο pro ἐνεδ. A.B.C.D.E.H.I. Cat. [p] ἐὰν pro ἂν A.B.D.E.H.I. Cat. [q] οὐδὲ C.E. et bis D. [r] πάλιν om. I. [s] εἰς om. ante corr. C. [t] προκατελάβετο pro προκατέλαβε C.D.E. [v] αὐτοῦ pro αὐτῶν A.B.D.F.H. et ante corr. E. [w] καὶ, quod aberat ante Montef. est in B.C.D.E.F.H.I. Cat. [x] ῥᾳθυμήσῃς C. Statim καὶ γὰρ καὶ ὁ Ἰ. D. καὶ γὰρ καὶ Ἰ. I. [y] σπουδάζῃ] ζῇ A.B.F.H.I. ζηλώσῃ Cat. [z] καὶ aberat ante Montef. repugnantibus libris. [a] δὲ] γε I. [b] ὅπερ pro ἅπερ B.C.D.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀσθενεῖς διορθούμενος. Τοῦτο καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς ἐργάζεται, περὶ τῆς τῶν σιτίων διαλεγόμενος παρατηρήσεως.

Εἶτα καὶ ἐκ τῶν παρελθόντων αὐτὸ [c]κατασκευάζει, οὐκ ἀπὸ τῶν μελλόντων μόνον· ὅπερ μᾶλλον ἔπειθε τὸν ἀκροατήν. Καὶ μέλλων λογισμῶν ἀκολουθίαν [d]κινεῖν ἀναντίρρητον, πρότερον ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως τὴν ἀπόδειξιν τίθησιν. Εἰ γὰρ καὶ ἀπεκόπησαν καὶ [e]ἀπερρίφησαν, καὶ ἄλλοι τὰ αὐτῶν προκατέλαβον, μηδὲ οὕτως ἀπογνῷς· "Δυνατὸς γάρ ἐστι, [f]φησὶ, πάλιν ὁ θεὸς ἐγκεντρίσαι αὐτούς," [g]ὁ καὶ τὰ ὑπὲρ ἐλπίδα
E ποιῶν. Εἰ δὲ καὶ πραγμάτων τάξιν ζητεῖς, καὶ λογισμῶν ἀκολουθίαν, ἔχεις οἰκοθεν τὸ ὑπόδειγμα μετὰ πλείονος τῆς περιουσίας. [24] "Εἰ γὰρ σὺ, φησὶν, ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι [h]οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;" Εἰ γὰρ τὸ παρὰ φύσιν ἴσχυσεν ἡ πίστις, πολλῷ μᾶλλον τὸ κατὰ φύσιν. Εἰ γὰρ οὗτος τῶν κατὰ φύσιν αὐτοῦ [i]πατέρων ἐκκοπεὶς, ἦλθε [k]παρὰ φύσιν πρὸς Ἀβραὰμ, πολλῷ
651 μᾶλλον σὺ τὸ οἰκεῖον ἀπολαβεῖν δυνήσῃ. [l]Τοῦ μὲν γὰρ ἐθνικοῦ τὸ κακὸν κατὰ φύσιν· ἀγριέλαιος γὰρ κατὰ φύσιν [m]ἦν· τὸ δὲ καλὸν, παρὰ φύσιν· παρὰ φύσιν γὰρ ἐνεκεντρίσθη τῷ Ἀβραάμ· σοῦ δὲ τοὐναντίον τὸ καλὸν κατὰ φύσιν· οὐ γὰρ ἐν ἀλλοτρίᾳ [n]ῥίζῃ, ὥσπερ ὁ ἐθνικὸς, ἀλλ' ἐν οἰκείᾳ παγήσῃ, ἐὰν βουληθῇς ἐπανελθεῖν. [o]Τίνος οὖν ἂν εἴης ἄξιος, ὅταν τοῦ ἐθνικοῦ τὸ παρὰ φύσιν δυνηθέντος, σὺ τὸ κατὰ φύσιν μὴ ἰσχύσῃς, ἀλλὰ καὶ τοῦτο προδῷς; Εἶτα ἐπειδὴ εἶπε, "παρὰ φύσιν," [p]καὶ, "ἐνεκεντρίσθης," ἵνα μὴ πλέον τι τὸν Ἰουδαῖον ἔχειν νομίζῃς, πάλιν [q]αὐτὸ διορθοῦται, λέγων καὶ αὐτὸν ἐγκεντρίζεσθαι. "[r]Πόσῳ μᾶλλον οὗτοι, φησὶν, οἱ κατὰ φύσιν
B ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;" Καὶ πάλιν, "Δυνατὸς ὁ θεὸς ἐγκεντρίσαι αὐτούς." Καὶ πρὸ τούτου δέ φησιν, ὅτι ἐὰν

[24] v. 24.

[c] παρασκενάζει I. Veron. Statim καὶ οὐκ Edd. καὶ damnant omnes. [d] κινεῖν omnes. τηρεῖν Edd. [e] ἀπερρίφησαν A.B.C.D.E. Cat. ἀπερρίφθησαν Edd. [f] φησὶ om. a. pr. man. C. Statim ὁ θ. πάλιν hoc ord. idem. πάλιν ὁ θ. φησι I. [g] ὁ om. B.D.E.F.H.I. Retinet Cat. ὁ καὶ τὰ] διὸ καὶ ταῦτα C. [h] οἱ (οἱ F.) κ. φ. ἐγκεντρισθήσονται] Sic nostri omnes et Mosqq. Edebatur ἐὰν κ. φ. ἐγκεντρισθῶσι. [i] πατέρων] παρ' ἑτέρων D.E.F.H. [k] παρὰ φύσιν om. I. [l] τοῦ μὲν γὰρ ἐθ. τὸ κ.] Sic A.B.C.D.E.H. τοῦ γὰρ ἐθ. τὸ μὲν κ. Edd. τοῦ μὲν γὰρ ἐθ. τὸ μὲν κ. F. Cat. τοῦ γὰρ ἐθ. τὸ κ. I. [m] ἦν] ὢν I. Statim τὸ δὲ καλὸν——παρὰ φύσιν γὰρ om. idem. [n] ῥίζῃ]+εἰ C. [o] τίνος] τίς A. Mox ἄξιος συγγνώμης Edd. συγγνώμης deest in nostris omnibus et Cat. [p] καὶ om. B. Statim ἐνεκεντρίσθη A.D.E.F.H.I. Cat. et ante corr. B. [q] αὐτὸν C. [r] πόσῳ]+γὰρ C.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. Παρὰ φύσιν δὲ καὶ κατὰ φύσιν ὅταν ἀκούσῃς αὐτοῦ συνεχῶς λέγοντος, μὴ τὴν ἀκίνητον [s]ταύτην φύσιν νόμιζε λέγειν αὐτὸν, [t]ἀλλὰ τὸ εἰκὸς καὶ τὸ ἀκόλουθον, καὶ τὸ ἀπεικὸς πάλιν τούτοις [v]δηλοῦν τοῖς ὀνόμασιν. Οὐ γὰρ [w]φυσικὰ τὰ καλὰ καὶ τὰ μὴ τοιαῦτα, ἀλλὰ γνώμης καὶ προαιρέσεως μόνης. Σκόπει δὲ αὐτοῦ καὶ τὸ ἀνεπαχθές. Εἰπὼν γὰρ, [x]ὅτι καὶ σὺ ἐκκοπήσῃ, ἐὰν μὴ ἐπιμείνῃς τῇ πίστει, καὶ οὗτοι ἐγκεντρισθήσονται, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, τὸ σκυθρωπότερον ἀφεὶς, τὸ χρηστότερον C κατασκευάζει, καὶ εἰς αὐτὸ τελευτᾷ, μεγάλας τοῖς Ἰουδαίοις [y]ὑποφαίνων ἐλπίδας, εἰ βουληθεῖεν. Διὸ καὶ ἐπάγει λέγων· 25 "Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι·" μυστήριον ἐνταῦθα τὸ ἀγνοούμενον καὶ ἀπόρρητον λέγων, καὶ πολὺ μὲν τὸ θαῦμα, πολὺ δὲ τὸ παράδοξον ἔχον· [z]ὥσπερ καὶ ἀλλαχοῦ φησιν· 26 "Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα." Τί οὖν ἐστι τὸ μυστήριον; "Ὅτι πώρωσις [a]ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν." Ἐνταῦθα πάλιν πλήττει τὸν Ἰουδαῖον, δοκῶν καταστέλλειν τὸν ἐξ ἐθνῶν. [b]Ὁ D δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι οὐκ ἐξ ὁλοκλήρου ἡ ἀπιστία, ἀλλ' ἐκ μέρους, [b]ὥσπερ ὅταν λέγῃ· 27 "Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, [c]ἀλλὰ ἀπὸ μέρους." Οὕτω δὴ καὶ ἐνταῦθα [d]τοῦτό φησιν, ὅπερ ἀνωτέρω ἔλεγεν· "Οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω·" καὶ πάλιν· "Τί οὖν; ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο." Τοῦτο E δὴ καὶ ἐνταῦθα λέγει· ὅτι οὐχ ὁλόκληρον ἀνασπᾶται τὸ ἔθνος, (170) ἀλλὰ καὶ ἤδη πολλοὶ ἐπίστευσαν, καὶ μέλλουσι πάλιν πιστεύειν.

Εἶτα ἐπειδὴ [e]μέγα ἐπηγγείλατο, φέρει μάρτυρα τὸν προφήτην οὕτω [f]λέγοντα. Ὅτι μὲν γὰρ πώρωσις γέγονεν, οὐ παράγει [g]μαρτυρίαν· καὶ γὰρ δῆλον ἅπασιν ἦν· ὅτι δὲ πιστεύσουσι καὶ σωθήσονται, τὸν Ἡσαΐαν πάλιν εἰσάγει βοῶντα καὶ

25 v. 25. 26 1 Cor. xv. 51. 27 2 Cor. ii. 5.

[s] ταύτην om. C. [t] ἀλλὰ καὶ τὸ Edd. καὶ deest in omnibus. [v] δηλῶν C. [w] φυσικὰ pro φύσει A.B.D.E.H.I. Cat. receptum a Montef. [x] ὅτι om. C. [y] ὑποφαίνων pro ὑφαίνων omnes. [z] ὅπερ B. [a] ἀπὸ μ. τῷ Ἰ. pro τῷ Ἰ. ἀπὸ μ. omnes. [b] ὥσπερ] καὶ ὥσπερ C. [c] ἀλλὰ ἀπὸ A.D.E. ἀλλ' ἐκ F. ἀλλ' ἀπὸ Edd. Post μέρους Editi addunt haec: ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς· καὶ, ἐὰν ὑμῶν πρῶτον (πρῶτον om. C.) ἀπὸ μέρους ἐμπλησθῶ: quae desunt in nostris excepto C. omnibus. [d] τοῦτο φ. pro φ. τοῦτο omnes. Statim ὥσπερ ἀν. I. [e] μεγάλα I. [f] λέγων a pr. man. C. Statim μὲν om. C. [g] μάρτυρα C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγοντα, [h]ὅτι [28] "Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ." Εἶτα τὸ [i]παράσημον τῆς σωτηρίας
652 τιθεὶς, ἵνα μή τις εἰς τοὺς ἔμπροσθεν αὐτὸ χρόνους ἑλκύσῃ καὶ [k]συζεύξῃ, φησί· [29] "Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν·" οὐχ ὅταν περιτμηθῶσιν, οὐχ ὅταν θύσωσιν, οὐχ ὅταν τὰ ἄλλα νόμιμα ποιῶσιν, ἀλλ' ὅταν ἁμαρτημάτων ἀφέσεως τύχωσιν. Εἰ τοίνυν τοῦτο ἐπήγγελται, γέγονε δὲ ἐπ' αὐτῶν οὐδέπω, [l]οὐδὲ ἀπήλαυσαν τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, πάντως ἔσται· διὸ καὶ ἐπήγαγεν· [30] "Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ θεοῦ." Καὶ οὐδὲ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται, ἀλλὰ καὶ τῷ ἤδη συμβεβηκότι· καὶ ὅπερ ἐξ ἀκολουθίας συνέβη, τοῦτο ὡς προη-
B γούμενον τίθησιν, οὕτω λέγων· [31] "Κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' [m]ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας." Ἵνα γὰρ μὴ φυσᾶται ὁ ἐξ ἐθνῶν, λέγων, ἐγὼ ἔστηκα· μή μοι λέγε, τί ἂν ἐγένετο, ἀλλὰ τί γέγονε· καὶ [n]ἐντεῦθεν αὐτὸν καταστέλλει λέγων, "Κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς." Ἐπειδὴ γὰρ ὑμεῖς ἐκλήθητε, φιλονεικότεροι γεγόνασιν ἐκεῖνοι. Ἀλλ' ὅμως ὁ θεὸς οὐδὲ οὕτως ἀνέκοψεν ὑμῶν τὴν κλῆσιν, [o]ἀλλ' ἀναμένει πάντας τοὺς ἐξ ἐθνῶν μέλλοντας πιστεύειν εἰσελθεῖν, καὶ τότε κἀκεῖνοι ἥξουσιν. Εἶτα
C χαρίζεταί [p]τινα αὐτοῖς καὶ ἑτέραν χάριν λέγων· "[q]Κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας." Καὶ τί τοῦτο; [r]Ἔνθα μὲν γὰρ ἐχθροί, ἡ κόλασις αὐτῶν· ἔνθα δὲ ἀγαπητοί, οὐδὲν πρὸς αὐτοὺς ἡ τῶν προγόνων ἀρετὴ, ἐὰν μὴ πιστεύσωσιν. Ἀλλ' ὅμως, ὅπερ [s]ἔφην, οὐ παύεται ῥήμασιν αὐτοὺς παραμυθούμενος, ἵνα ἐφελκύσηται. Διὸ καὶ ἑτέρωθεν κατασκευάζων τὸ ἔμπροσθεν εἰρημένον, φησίν· [32] "Ὥσπερ [t]γὰρ ὑμεῖς ποτε ἠπειθήσατε τῷ θεῷ, [v]νυνὶ δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ·
D οὕτω [w]καὶ οὗτοι νῦν ἠπείθησαν τῷ [x]ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. Συνέκλεισε γὰρ [y]ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ." Δείκνυσιν ἐνταῦθα τοὺς

28 v. 26. 29 v. 27. 30 v. 29. 31 v. 28. 32 v. 30—32.

[h] ὅτι accessit ex A.B.D.E.F.H.I. et corr. C. [i] παράσημον] ἔπαθλον C. [k] συνάξῃ C. [l] οὐδὲ] οὐδέπω δὲ C. Mox ἀμεταμέλητα τοῦ θεοῦ τὰ χ. καὶ ἡ κλῆσις. καὶ οὐδ' ἐν τούτῳ idem. [m] ἡμᾶς H.I. et ante corr. A. [n] ἐντεῦθεν] εὐθέως C. [o] ἀλλὰ μένει A. Cat. [p] τινα αὐτοῖς κ. ἑ. χ.] Sic A.B.D.E. F.H.I. Cat. καὶ ἑ. αὐτοῖς τινα χ. C. καὶ ἑ. τινα χ. αὐτοῖς Edd. [q] κατὰ δὲ τ. ἐκλ. om. A. [r] ἐνταῦθα H. [s] ἔφην omnes. ἔφθην εἰπὼν Edd. [t] γὰρ om. B.F.I. Mosqq. ὥσπερ γὰρ καὶ ὑμεῖς tacite dederunt Mor. Ben. [v] νῦν C.D.E. [w] καὶ οὗτοι νῦν] νυνὶ καὶ οὗτοι I. νῦν om. C.D.E. [x] ὑμῶν C.D.E. ἡμετέρῳ I. [y] ὁ θ. τοὺς π. pro τοὺς π. ὁ θ. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξ ἐθνῶν πρότερον κεκλημένους, εἶτα ἐπειδὴ οὐκ ἠθέλησαν, τοὺς Ἰουδαίους ἐκλεγέντας, καὶ [z]τὸ αὐτὸ πάλιν συμβὰν μετὰ ταῦτα· ἐπειδὴ γὰρ οὐκ ἠθέλησαν [a]οἱ Ἰουδαῖοι πιστεῦσαι, πάλιν προσήχθη τὰ ἔθνη. Ἀλλ' οὐ μέχρι τούτου ἵσταται, οὐδὲ εἰς τὴν ἐκβολὴν αὐτῶν καταστρέφει τὸ πᾶν, ἀλλ' εἰς τὸ [b]καὶ αὐτοὺς ἐλεηθῆναι πάλιν. Ὅρα πόσον δίδωσι τοῖς ἐξ ἐθνῶν· ὅσον ἔμπροσθεν [c]Ἰουδαίοις. Ἐπειδὴ γὰρ ὑμεῖς ἠπειθήσατε, φησίν, οἱ ἐξ ἐθνῶν ποτε, προσῆλθον οἱ Ἰουδαῖοι· πάλιν ἐπειδὴ οὗτοι Ε ἠπείθησαν, προσήλθετε ὑμεῖς. Οὐ μὴν εἰς τέλος ἀπολοῦνται· "Συνέκλεισε γὰρ [d]ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν·" τουτέστιν, ἤλεγξεν, ἀπέδειξεν ἀπειθοῦντας· οὐχ ἵνα μείνωσιν ἀπειθοῦντες, ἀλλ' ἵνα τοὺς ἑτέρους διὰ τῆς ἑτέρων σώσῃ φιλονεικίας, τούτους δι' ἐκείνων, [e]καὶ ἐκείνους διὰ τούτων. Σκόπει δέ. Ἠπειθήσατε ὑμεῖς, καὶ οὗτοι ἐσώθησαν· πάλιν οὗτοι ἠπείθησαν, καὶ ὑμεῖς ἐσώθητε· οὐ μὴν οὕτως ἐσώθητε, ὡς πάλιν ἐξελθεῖν, καθάπερ οἱ Ἰουδαῖοι, ἀλλ' ὥστε αὐτοὺς ἐπισπάσασθαι τῷ ζήλῳ [f]μένοντες.

33 "[g]Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς 653
ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ." Ἐνταῦθα ἐπὶ τοὺς προτέ-
(171) ρους χρόνους ἐπανελθὼν, καὶ τὴν ἄνωθεν τοῦ θεοῦ [g]καταμαθὼν οἰκονομίαν [h]τὴν ἐξ οὗπερ ὁ κόσμος ἐγένετο μέχρι τοῦ παρόντος, καὶ λογισάμενος [i]πῶς ποικίλως ἅπαντα ᾠκονόμησεν, ἐξεπλάγη καὶ ἀνεβόησε, πιστούμενος τοὺς ἀκούοντας, ὅτι ἔσται πάντως ἅπερ εἶπεν. Οὐ γὰρ ἂν [k]ἀνεβόησε καὶ ἐξεπλάγη, [l]εἰ μὴ πάντως ἔμελλεν ἔσεσθαι τοῦτο. Καὶ ὅτι μὲν βάθος ἐστὶν, [m]οἶδε· πόσον δὲ, οὐκ οἶδε· θαυμάζοντος γάρ ἐστιν ἡ ῥῆσις, οὐκ εἰδότος Β τὸ πᾶν. Θαυμάσας δὲ καὶ ἐκπλαγεὶς τὴν χρηστότητα, [n]κατὰ τὸ ἐγχωροῦν αὐτῷ διὰ δύο τῶν ἐπιτατικῶν ὀνομάτων αὐτὴν ἀνεκήρυξε, τοῦ πλούτου καὶ τοῦ βάθους· καὶ ἐξεπλάγη, ὅτι καὶ ἠθέλησε καὶ ἴσχυσε ταῦτα, καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία κατεσκεύασεν. "Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ." Οὐ γὰρ μόνον [o]καταληφθῆναι αὐτὰ ἀδύνατον, ἀλλ' οὐδὲ ἐρευνηθῆναι. "Καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ." Τουτέστιν, αἱ

33 v. 33.

[z] τὸ] τοῦτο C. Mox μετὰ τοῦτο H. [a] οἱ, quod tacite recepit Montef. habent B.C.D.F.H.I. Cat. [b] καὶ αὐτοὺς om. I. [c] τοῖς Ἰουδ. Edd. reclamantibus libris. [d] Sic omnes. τοὺς πάντας εἰς ἀπ. ὁ θεὸς hoc ord. Edd. [e] καὶ ἐκείνους A.B.H.I. Cat. κἀκείνους Edd. [f] μένοντας H. [g] καταμαθὼν omnes. κατανοήσας Edd. [h] τὴν] καὶ τὴν I. [i] πῶς] ὡς C. Statim ἅπαντα pro πάντα omnes. [k] ἐβόησε C.I. Cat. [l] εἰ μὴ] ἢ ὅτι C. Folium deest in E. usque ad γίνεσθε οὖν p. 654 C. [m] εἶδε vel εἶδεν bis B.C.F.H.I. [n] καὶ κατὰ Edd. καὶ om. C. Cat. erasum in A. [o] καταλειφθῆναι H. Cat. οὐ καταληφ. αὐτὰ δυνατὸν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκονομίαι· καὶ γὰρ [p]καὶ αὗται οὐ μόνον γνωσθῆναι, ἀλλ' οὐδὲ ζητηθῆναι δύνανται. Οὐδὲ γὰρ ἐγὼ, φησὶν, εὗρον [q]ἅπαντα, ἀλλὰ μέρος μικρὸν, οὐ τὸ πᾶν· μόνος γὰρ αὐτὸς οἶδε τὰ [r]αὐτοῦ C σαφῶς. Διὸ καὶ ἐπήγαγε· [34] "Τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;" [a]Ὁ δὲ λέγει, [s]τοιοῦτόν ἐστιν· ὅτι οὕτω σοφὸς ὢν, οὐδὲ παρ' ἑτέρου σοφός ἐστιν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν [t]ἀγαθῶν· καὶ τοσαῦτα ἐργασάμενος καὶ χαρισάμενος ἡμῖν, οὐ παρ' ἑτέρου δανεισάμενος ταῦτα ἔδωκεν, ἀλλ' οἴκοθεν ἀναβλύσας, οὐδὲ ἀμοιβὴν ὀφείλων τινὶ, [v]ὡς εἰληφώς τι παρ' αὐτοῦ, ἀλλ' αὐτὸς κατάρχων ἀεὶ τῶν εὐεργεσιῶν. Τοῦτο γὰρ μάλιστά ἐστι πλούτου, [w]τὸ καὶ ὑπερχεῖσθαι καὶ μὴ δεῖσθαι ἑτέρου. Διὸ καὶ ἐπήγαγεν· [35] "Ὅτι ἐξ αὐτοῦ, καὶ δι' D αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα." Αὐτὸς εὗρεν, αὐτὸς ἐποίησεν, αὐτὸς [x]συγκροτεῖ. Καὶ γὰρ καὶ πλούσιός ἐστι, καὶ οὐ δεῖται παρ' ἑτέρου λαβεῖν· καὶ σοφός ἐστι, καὶ οὐ δεῖται συμβούλου. Τί λέγω συμβούλου; Οὐδὲ εἰδέναι τις δύναται τὰ αὐτοῦ, ἀλλ' ἢ μόνος αὐτὸς ὁ πλούσιος καὶ σοφός. Καὶ γὰρ πολλοῦ πλούτου, τὸ τοὺς ἐξ ἐθνῶν [y]εὐπόρους οὕτω ποιῆσαι· καὶ πολλῆς σοφίας, τὸ τοὺς Ἰουδαίων καταδεεστέρους Ἰουδαίων [z]κατασκευάσαι διδασκάλους. Εἶτα, ἐπειδὴ ἐξεπλάγη, καὶ εὐχαριστίαν ἀναφέρει λέγων· "Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν." Ὅταν γάρ τι τοιοῦτον λέγῃ μέγα καὶ [a]ἄπορον, θαυμάζων εἰς E δόξαν καταλήγει. Τοῦτο καὶ ἐπὶ τοῦ υἱοῦ ποιεῖ. Καὶ γὰρ καὶ ἐκεῖ θαυμάσας, αὐτὸ δὴ τοῦτο ὅπερ καὶ ἐνταῦθα ἐπήγαγεν· "Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, [b]ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν."

[c]Τοῦτον δὴ καὶ ἡμεῖς [d]μιμώμεθα, καὶ πανταχοῦ τὸν θεὸν δοξάζωμεν διὰ τῆς κατὰ τὸν βίον ἐπιμελείας, μηδὲ προγόνων

[34] v. 34, 35. [35] v. 36.

[p] καὶ accessit ex B.C.D.F.H.I. [q] ἅπαν I. [r] αὐτοῦ A.B.H. Cat. αὑτοῦ Edd. [s] τοῦτο A.B.D.F. [t] ἀγαθῶν] αὐτῶν a pr. man. C. Statim καὶ τ. ἐργ. καὶ om. idem. [v] Sic omnes. ὡς παρ' αὐτοῦ εἰληφώς τι hoc ord. Edd. [w] τὸ καὶ] καὶ τὸ C. καὶ om. I. Statim ὑπερεκχεῖσθαι C.D. [x] συγκροτεῖ B.F.H.I. et ante corr. A. Edebatur συγκρατεῖ. Statim καὶ πλούσιος (om. γὰρ καὶ) I. καὶ γὰρ πλ. C. [y] οὕτως εὐπόρους inverso ord. C.D.E. [z] κατασκ. διδ. pro διδ. κατασκ. A.B.D.F.H.I. Cat. [a] ἄπορον libri omnes et Cat. ἀπόρρητον Edd. Mox εἰς δυξολογίαν κατ. C. [b] ὁ ὢν εὐλ. ὁ ἐπὶ π. θ. εἰς τ. α. C. Statim ἀμὴν om. A. [c] ΗΘΙΚΟΝ. Περὶ τοῦ δεῖν δοξάζειν τὸν θεὸν, ἀρετῆς ἐπιμελομένους καὶ ὀρθῶς ζῶντας· καὶ ὅτι οὐ δεῖ τοῖς τῶν προγόνων κατορθώμασι θαρρεῖν, ἀλλὰ τοῖς ἰδίοις· καὶ τίνες οἱ ἀληθεῖς συγγενεῖς κατὰ πνεῦμα· καὶ ὅτι δεῖ κατὰ πάντα μιμεῖσθαι τὸν θεόν· καὶ περὶ ἐπιεικείας· καὶ ὅτι οὐδὲν βλάπτει πρὸς ἐλεημοσύνην πενία. Veron. [d] μιμώμεθα πανταχοῦ καὶ τ. θ. C. Statim δοξάζομεν B.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρεταῖς θαρρῶμεν, τὸ κατὰ [e]τοὺς Ἰουδαίους εἰδότες παράδειγμα. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν αὕτη παρὰ Χριστιανοῖς ἡ συγγένεια, ἀλλ' ἡ κατὰ πνεῦμα ἀγχιστεία. Οὕτω καὶ ὁ Σκύθης τοῦ Ἀβραὰμ γίνεται παῖς, καὶ ὁ ἐκείνου παῖς τοῦ Σκύθου 654
πάλιν ἀλλοτριώτερος καθίσταται. Μὴ τοίνυν [f]πατέρων κατορθώμασι θαρρῶμεν, ἀλλά, κἂν θαυμαστὸν ἔχῃς τὸν γεγεννηκότα, μὴ νομίσῃς ἀρκεῖν σοι τοῦτο εἰς σωτηρίαν, ἢ εἰς τιμὴν καὶ δόξαν, ἐὰν μὴ συγγενὴς αὐτῷ [g]γίνῃ κατὰ τοὺς τρόπους· ὥσπερ οὖν κἂν φαῦλον ἔχῃς, μὴ [h]νόμιζε καταδικάζεσθαι ἐντεῦθεν καὶ αἰσχύνεσθαι, εἴγε τὰ κατὰ σαυτὸν [i]διαθείῃ καλῶς. Τί γὰρ τῶν ἐθνῶν ἀτιμότερον; ἀλλ' ὅμως τῇ πίστει [k]ταχέως τῶν ἁγίων γεγόνασι. Τί δὲ Ἰουδαίων οἰκειότερον; ἀλλ' ὅμως διὰ τὴν ἀπιστίαν ἠλλοτριώθησαν. Ἐκείνη μὲν [l]γὰρ ἡ συγγένεια φύσεώς ἐστι καὶ ἀνάγκης, καθ' ἣν πάντες ἐσμὲν συγγενεῖς· B
ἀπὸ [m]γὰρ τοῦ Ἀδὰμ πάντες γεγόναμεν, καὶ οὐκ ἂν εἴη μᾶλλον ἕτερος ἑτέρου συγγενὴς, καὶ κατὰ τὸν τοῦ Ἀδὰμ καὶ κατὰ τὸν τοῦ Νῶε λόγον, καὶ κατὰ τὸν τῆς γῆς τῆς κοινῆς ἁπάντων μητέρος· ἡ δὲ τῶν στεφάνων ἀξία συγγένεια, [n]ἡ διαιροῦσα ἡμᾶς ἀπὸ τῶν φαύλων ἐστίν. Οὐ γὰρ ἔστι πάντας εἶναι συγγενεῖς ἐνταῦθα, ἀλλὰ τοὺς ὁμοτρόπους· οὐδὲ ἀδελφοὺς καλοῦμεν
(172) τοὺς τὰς αὐτὰς λύσαντας ὠδῖνας ἡμῖν, ἀλλὰ τοὺς τὸν αὐτὸν ζῆλον ἐπιδεικνυμένους. Οὕτω καὶ τέκνα θεοῦ καλεῖ ὁ Χριστὸς, οὕτω καὶ [o]υἱοὺς διαβόλου πάλιν ἐξ ἐναντίας· οὕτω καὶ ἀπειθείας, οὕτω καὶ γεέννης, οὕτω καὶ ἀπωλείας. [p]Οὕτω καὶ Παύλου C
Τιμόθεος ἐξ ἀρετῆς τέκνον ἐκαλεῖτο, τοῦ δὲ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ οὐδὲ ὄνομα ἴσμεν. Καίτοιγε ὁ μὲν κατὰ φύσιν ἦν αὐτῷ προσήκων· ἀλλ' οὐδὲν ὄφελος· ὁ δὲ καὶ φύσει καὶ τόπῳ διεστηκώς· καὶ γὰρ Λύστρων πολίτης ἦν· [q]ἀλλ' ὅμως πάντων ἐγγύτερος γέγονε. Γενώμεθα τοίνυν καὶ ἡμεῖς τῶν ἁγίων παῖδες, μᾶλλον δὲ [r]γενώμεθα τοῦ θεοῦ παῖδες. [s]Ὅτι γὰρ ἔστι καὶ [s]τοῦ θεοῦ γενέσθαι παῖδας, ἄκουσον τί φησι· [36] "Γίνεσθε οὖν

[36] Matth. v. 48, 44.

[e] τοὺς Ἰουδ.] Ἰουδαίων C. [f] πατέρων κατορθ.] Sic C. κατορθ. πατέρων Edd. τοῖς παρ' ἑτέρων κατορθ. A.B.D.F.H.I. [g] γίνῃ pro γένῃ A.B.D.F.H. [h] νομίσῃς C. Mox verba ἐντεῦθεν καὶ αἰσχύνεσθαι desunt in A.B.D.E.I. καὶ αἰσχύνεσθαι om. H. [i] διαθείῃς pro διαθῇς A.B.D.F.H.I. διάθῃ (sic) C. [k] ταχέως om. D. Statim τῶν ἁγίων γέγονασι A.C.F.H.I. οἰκεῖοι τῶν ἁγ. γεγόνασι D. παῖδες τῶν ἁγ. γεγόνασι I. τῶν ἁγ. γεγόνασι συγγενεῖς B. Hoc edidit Montef. γεγόνασι συγγενεῖς (om. τῶν ἁγ.) Veron. Sav. Mor. [l] γὰρ om. C. [m] γὰρ τοῦ Ἀ. pro τοῦ Ἀ. γὰρ omnes. [n] ἡ accessit ex A.B.C. D.F.I. Ita tacite Montef. [o] υἱοὺς] τέκνα H. [p] Vid. Annot. [q] ἀλλ' om. D. [r] γενώμεθα et παῖδες om. I. τοῦ θεοῦ pro καὶ θεοῦ omnes. [s] τοῦ accessit ex A.B.D.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς." Διὰ τοῦτο καὶ
D πατέρα καλοῦμεν εὐχόμενοι, [t]οὐχὶ τῆς χάριτος μόνον ἀναμιμνήσκοντες ἑαυτοὺς, ἀλλὰ καὶ τῆς ἀρετῆς, ἵνα μηδὲν ἀνάξιον τῆς τοιαύτης [v]συγγενείας ποιῶμεν. Καὶ πῶς ἔστι, φησὶν, υἱὸν εἶναι θεοῦ; Πάντων ἀπηλλαγμένον τῶν παθῶν, ἐπιείκειαν ἐπιδεικνύμενον περὶ τοὺς ὑβρίζοντας καὶ ἀδικοῦντας· [w]καὶ γὰρ ὁ πατὴρ ὁ σὸς τοιοῦτος περὶ τοὺς βλασφημοῦντάς ἐστι. Διὰ τοῦτο πολλὰ πολλάκις εἰπὼν, [x]οὐδαμοῦ φησιν, "Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς [y]ὑμῶν·" ἀλλ' ὅτε εἶπεν, "Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς," τότε [z]ἐπήγαγε τοῦτο τὸ ἔπαθλον. Οὐδὲν γὰρ οὕτως
E ἡμᾶς προσάγει θεῷ καὶ ὁμοίους ποιεῖ, ὡς [a]τοῦτο τὸ κατόρθωμα. Διὰ τοῦτο καὶ Παῦλος ὅταν λέγῃ, [37] "Γίνεσθε μιμηταὶ τοῦ θεοῦ," κατὰ τοῦτο [b]γίνεσθαι λέγει. Πάντων μὲν γὰρ χρείαν ἔχομεν τῶν κατορθωμάτων, μάλιστα δὲ φιλανθρωπίας καὶ ἡμερότητος, ἐπεὶ καὶ αὐτοὶ πολλῆς δεόμεθα [c]φιλανθρωπίας. Καὶ γὰρ πολλὰ καθ' ἑκάστην πλημμελοῦμεν [d]τὴν ἡμέραν· διὸ καὶ πολλοῦ [e]ἡμῖν δεῖ τοῦ ἐλέου. [f]Τὸ δὲ πολὺ καὶ ἔλαττον οὐ τῷ μέτρῳ τῶν διδομένων κρίνεται, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τῶν παρεχόντων. Μὴ τοίνυν μήτε ὁ πλουτῶν μέγα φρονείτω,
[g]55 μήτε ὁ πένης καταπιπτέτω ὡς ὀλίγα παρέχων· πολλάκις γὰρ οὗτος ἐκείνου πλείονα δέδωκεν. [g]Οὐδὲ ταλανίζειν ἑαυτοὺς χρὴ διὰ τὴν πενίαν· καὶ γὰρ [h]εὐκολωτέραν ἡμῖν ποιεῖ τὴν ἐλεημοσύνην. Ὁ μὲν γὰρ πολλὰ κεκτημένος, καὶ ἀπονοίᾳ καὶ [i]ἐπιθυμίᾳ πλείονι κατέχεται τῶν ὄντων· ὁ δὲ ὀλίγα ἔχων, ἑκατέρας ταύτης ἀπήλλακται τῆς τυραννίδος· διὸ καὶ πλείονας ἀφορμὰς εὑρίσκει τοῦ [k]ποιεῖν εὖ. Καὶ γὰρ εἰς δεσμωτήριον οὗτος βαδιεῖται εὐκόλως, καὶ ἀρρωστοῦντας ἐπισκέψεται, καὶ ποτήριον
[l]ψυχροῦ δώσει· ἐκεῖνος δὲ οὐδὲν τούτων [m]καταδέξεται, ἅτε ὑπὸ
B τοῦ πλούτου [n]φλεγμαίνων. Μὴ οὖν ἀθύμει διὰ τὴν πενίαν·

[37] Ephes. v. 1.

[t] καὶ οὐχὶ Edd. καὶ om. A. B. C. D. E. F. H. Mox ἑαυτοὺς pro αὐτοὺς A.E.H.I. Ita tacite Montef. [v] εὐγενείας C. [w] καὶ γὰρ]+καὶ C.D.E. Statim ὁ π. σου τοιοῦτος C. [x] οὐδαμῶς C.I. Mox γενήσεσθε C. [y] ἡμῶν A.D.E. Mox εἶπεν om. C. [z] ἐπήγαγε (+λέγων I.) τοῦτο (τοῦτο om. C.) τὸ ἔ. pro τοῦτο τὸ ἔ. ἐπήγαγεν omnes. [a] τοῦτο pro τουτὶ omnes. [b] γίνεσθε A.F.H. Ita clam ediderunt Mor. Ben. [c] τῆς φιλ. C. [d] τὴν om. C. [e] ἡμῖν δεῖ] δεῖ ἡμῖν C.D.E. Statim ἐλέου (ἐλαίου H.) pro ἐλέους A.B.D.E.F.H.I. [f] τό τε π. καὶ τὸ ἔλ. C. [g] οὐδὲ pro οὐ τοίνυν omnes. [h] εὐκολώτερον H. [i] ἀθυμίᾳ I. [k] ποιεῖν εὖ pro εὖ ποιεῖν omnes. Statim καὶ γὰρ pro καὶ γὰρ καὶ A.B.C.D.E.H.I. Mox οὗτος om. C. [l] ψυχροῦν C. [m] καταδέχεται C. [n] φλεγόμενος C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ γὰρ [o]καὶ τὴν ἐμπορίαν [p]σοι τῶν οὐρανῶν εὐκολωτέραν ἡ πενία ποιεῖ. Κἂν [q]μηδὲν ἔχῃς, συναλγοῦσαν δὲ [r]ἔχῃς ψυχήν, καὶ [s]τούτου σοι μισθὸς ἀποκείσεται. Διὰ τοῦτο καὶ Παῦλος [t]ἐπέτασσε κλαίειν μετὰ κλαιόντων, καὶ τοῖς δεσμίοις ὡς [v]συνδεδεμένους εἶναι ἐκέλευσεν. Οὐ γὰρ τοῖς κλαίουσι μόνον φέρει τινὰ παραμυθίαν τὸ πολλοὺς εἶναι τοὺς συναλγοῦντας, ἀλλὰ καὶ τοῖς ἐν ἄλλαις περιστάσεσιν οὖσι. Καὶ γάρ ἔστιν ὅπου χρημάτων οὐκ ἔλαττον λόγος ἀνακτήσασθαι [w]δύναται τὸν πεπονηκότα. Διὰ γὰρ τοῦτο καὶ χρήματα [x]ἐκέλευσε διδόναι ὁ θεὸς τοῖς δεομένοις, οὐχ ἵνα τὴν ἐκείνων πενίαν διορθώσῃ C
μόνον, ἀλλ' ἵνα καὶ ἡμᾶς διδάξῃ συναλγεῖν τοῖς τοῦ πλησίον κακοῖς. Διὰ τοῦτο καὶ ὁ φιλάργυρος μισητὸς, οὐχ ὅτι περιορᾷ τοὺς ἐν πτωχείᾳ μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς [y]εἰς ὠμότητα ἀλείφεται καὶ ἀπανθρωπίαν πολλήν· ὥσπερ οὖν καὶ ὁ χρημάτων ὑπερορῶν δι' ἐκείνους, καὶ διὰ τοῦτο [z]ποθητὸς, ὅτι ἐλεήμων γίνεται καὶ φιλάνθρωπος. Καὶ ὁ Χριστὸς δὲ ὅταν μακαρίζῃ τοὺς ἐλεήμονας, οὐ τοὺς διὰ χρημάτων ἐλεοῦντας μόνον, ἀλλὰ καὶ τοὺς διὰ προαιρέσεως τοῦτο ποιοῦντας μακαρίζει καὶ ἐπαινεῖ. Ταύτην τοίνυν παρέχωμεν ἐπιτηδείαν πρὸς ἔλεον, [a]καὶ πάντα ἕψεται τὰ ἀγαθά. Ὁ γὰρ [b]γνώμην φιλάνθρωπον D
ἔχων καὶ ἐλεήμονα, κἂν χρήματα ἔχῃ, προήσεται, κἂν ἐν συμφοραῖς ἴδῃ τινὰ, κλαύσεται καὶ θρηνήσει, κἂν ἀδικουμένῳ περιτύχῃ, προστήσεται, κἂν ἐπηρεαζόμενον θεάσηται, χεῖρα ὀρέξει. Τὸν γὰρ θησαυρὸν [c]ἔχων τῶν ἀγαθῶν, [d]τὴν φιλάνθρωπον καὶ ἐλεήμονα ψυχὴν, [e]πάντα ἐκεῖθεν ἀναβλύσει τὰ ὑπὲρ
(173) τῶν ἀδελφῶν, καὶ πάντων ἀπολαύσεται τῶν παρὰ [f]τῷ θεῷ κειμένων μισθῶν. [g]Ἵν' οὖν καὶ ἡμεῖς τούτων ἐπιτύχωμεν, πρὸ πάντων τὴν ψυχὴν ἥμερον κατασκευάσωμεν. Οὕτω γὰρ καὶ ἐνταῦθα ὄντες μυρία [g]ἐργασόμεθα ἀγαθὰ, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, E
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι'

[o] καὶ accessit ex A.B.D.E.F.H.I. praeeunte Montef. [p] σοι τῶν οὐρ. εὐκ. ἡ π. ποιεῖ pro τῶν οὐρ. εὐκ. σοι ποιεῖ ἡ πενία omnes. [q] μηδὲν]+δὲ Edd. δὲ om. B.C.D.E.H. [r] ἔχεις D.E. [s] τούτου A.B.D.E.F.I. τοῦτο Veron. Sav. Mor. [t] ἐπέτασσε B.D.E.F.H.I. ἐπέταξε Edd. [v] συνδεδεμένος C.H. [w] δυνήσεται C. Statim πεπονηκότα pro πεπτωκότα omnes. Ita edidit Montef. [x] ἐκέλευσε δ. pro δ. ἐκέλευσε A.B.D.E.F.H. ἐκέλευσεν ὁ θ. παρέχειν (διδόναι in marg.) I. [y] εἰς ὠμ. ἀλείφεται] ὠμότητα ἡμφίασται C. [z] ποθητὸς pro ποθεινὸς A.B.D.E.F.H.I. [a] καὶ πάντως ἕψ. ἀγαθὰ C. [b] γν. φιλ. pro φιλ. γνώμην omnes. [c] ἔχει C. [d] τὸ φιλάνθρωπον ὑπὲρ τῶν ἀδελφῶν, omissis interpositis I. [e] καὶ πάντα C. [f] τῷ θεῷ C.D.E.H. probante Dunaeo. τοῦ θεοῦ vulgo. [g] ἐργασώμεθα C.F. Mox ἀπολαύσομεν B.D.E. ἀπολαύσωμεν C.F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

656

ΛΟΓΟΣ ΚΑ.

[1] Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, [a]ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.

ΠΟΛΛΑ περὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας διαλεχθεὶς, καὶ
B δείξας αὐτοῦ [b]τὴν ἄφατον κηδεμονίαν, καὶ τὴν ἀπόρρητον ἀγαθότητα καὶ οὐδὲ ἐρευνηθῆναι δυναμένην, αὐτὴν λοιπὸν ταύτην προβάλλεται, εἰς τὸ πεῖσαι τοὺς εὐεργετηθέντας ἀξίαν τῆς δωρεᾶς ἐπιδείξασθαι τὴν πολιτείαν. Καὶ τοσοῦτος ὢν καὶ τηλικοῦτος, οὐ παραιτεῖται παρακαλεῖν· καὶ ταῦτα οὐχ ὑπὲρ ὧν [c]ἔμελλεν αὐτὸς ἀπολαύειν, ἀλλ' ὑπὲρ ὧν ἐκεῖνοι [d]κερδαίνειν εἶχον. Καὶ τί θαυμάζεις, εἰ αὐτὸς οὐ παραιτεῖται παρακαλεῖν, ὅπου γε καὶ τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ προβάλλεται; Ἐπειδὴ γὰρ τὰ μυρία [e]ὑμῖν ἐντεῦθεν, φησὶν, ἀγαθὰ, ἀπὸ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, [f]αὐτοὺς αἰδέσθητε, αὐτοὺς δυσωπήθητε. Καὶ γὰρ
C αὐτοὶ τὴν ἱκετηρίαν τιθέασιν, ἵνα μηδὲν ἀνάξιον αὐτῶν ἐπιδείξησθε. Δι' αὐτῶν οὖν τούτων, φησὶ, παρακαλῶ, δι' ὧν ἐσώθητε· [g]ὥσπερ ἂν εἴ τις τὸν μεγάλα εὐεργετηθέντα ἐντρέψαι βουλόμενος, αὐτὸν τὸν εὐεργετήσαντα ἱκέτην ἀγάγοι. Καὶ τί παρακαλεῖς, εἰπέ μοι; "Παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν." Ἐπειδὴ γὰρ εἶπε, "θυσίαν," ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε, "ζῶσαν." Εἶτα διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς, φησὶν, "ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν
D λογικὴν λατρείαν ὑμῶν." Ἐκείνη γὰρ σωματικὴ, καὶ οὐ σφόδρα εὐάρεστος. [2] "Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν," φησί; Καὶ πολλαχοῦ [h]ἀλλαχοῦ φαίνεται διακρουόμενος αὐτάς. Ἀλλ' οὐχὶ ταύτην, [i]ἀλλὰ καὶ ἐκείνης διδομένης ταύτην ἐζήτει. Διὸ καὶ ἔλεγε, [3] "Θυσία αἰνέσεως δοξάσει με·" καὶ πάλιν, "Αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς, καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς."

[1] Cap. XII. v. 1. [2] Esai. i. 12. [3] Psal. xlix. 23. lxviii. 31, 32.

Hom. XXI. [a] ἁγίαν om. A. [b] τὴν ἄφατον—καὶ οὐδὲ] ἄφατον τὴν κ. καὶ τὴν ἀγαθότητα, οὐδὲ D.E. [c] ἔμελλεν αὐτὸς pro αὐτὸς ἔμελλεν A.B.F.H.I. Cat. [d] κερδαίνειν A.B.C.D.E.F.I. Cat. κερδανεῖν Edd. [e] ἡμῖν C.H. ἡμῖν φησὶν ἐνταῦθα ἀγαθὰ C. [f] αὐτοὺς om. C. [g] ὥσπερ]+γὰρ H. [h] ἀλλαχοῦ] καὶ ἀλλαχοῦ I. ἀλλαχοῦ om. C. [i] ἀλλὰ καὶ] ἀλλ' C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[k]Καὶ ἀλλαχοῦ ἐκβάλλων αὐτὴν, καὶ λέγων, [4] "Μὴ [l]φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;" ἐπήγαγε, "Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου." E Οὕτω καὶ Παῦλος ἐνταῦθα [m]κελεύει παραστῆσαι τὰ σώματα θυσίαν ζῶσαν. Καὶ πῶς ἂν γένοιτο [n]τὸ σῶμα, φησὶ, θυσία; [o]Μηδὲν [p]ὁ ὀφθαλμὸς βλεπέτω πονηρὸν, καὶ γέγονε θυσία· μηδὲν ἡ γλῶττα λαλείτω αἰσχρὸν, καὶ [q]γέγονε προσφορά· μηδὲν ἡ χεὶρ πραττέτω παράνομον, καὶ γέγονεν ὁλοκαύτωμα. Μᾶλλον δὲ οὐκ ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ τῆς τῶν ἀγαθῶν ἡμῖν [r]ἐργασίας δεῖ, [s]ἵνα ἡ μὲν χεὶρ ἐλεημοσύνην ποιῇ, τὸ δὲ στόμα εὐλογῇ τοὺς ἐπηρεάζοντας, ἡ δὲ ἀκοὴ θείαις σχολάζῃ [t]διηνεκῶς ἀκροάσεσιν. Ἡ γὰρ θυσία οὐδὲν ἔχει ἀκάθαρτον, ἡ θυσία ἀπαρχὴ τῶν ἄλλων ἐστί. Καὶ ἡμεῖς τοίνυν καὶ χειρῶν καὶ 657
[v]ποδῶν καὶ στόματος καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχώμεθα τῷ θεῷ. Ἡ τοιαύτη θυσία [w]εὐάρεστος, ὡς ἡ [x]γε τῶν Ἰουδαίων καὶ ἀκάθαρτος ἦν. [5] "Αἱ θυσίαι γὰρ αὐτῶν, φησὶν, ἄρτος πένθους αὐτοῖς." Ἀλλ' [y]οὐχὶ ἡ ἡμετέρα. Ἐκείνη τὸ τεθυμένον νεκρὸν [z]ἀπέφηνεν· αὕτη τὸ τεθυμένον ζῶν [a]ἐργάζεται. Ὅταν γὰρ νεκρώσωμεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. Καινὸς γὰρ οὗτος τῆς θυσίας ὁ νόμος· διὸ καὶ παράδοξος [b]τοῦ πυρὸς ὁ τρόπος. Οὐδὲ γὰρ ξύλων δεῖται καὶ ὕλης ὑποκειμένης, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ [c]ζῇ τὸ πῦρ τὸ ἡμέτερον· καὶ οὐδὲ κατακαίει τὸ ἱερεῖον, ἀλλὰ μᾶλλον [d]αὐτὸ ζωογονεῖ. Ταύ- B
την ἄνωθεν [e]τὴν θυσίαν ὁ θεὸς ἐζήτει· διὸ καὶ ἔλεγεν ὁ προ-
(174) φήτης, [6] "Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον." Καὶ οἱ παῖδες [f]δὲ οἱ τρεῖς ταύτην προσῆγον λέγοντες· [7] "Οὐκ ἔστιν ἄρχων οὐδὲ προφήτης, [g]οὐ τόπος τοῦ καρπῶσαι καὶ εὑρεῖν [h]ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν."

4 Ibid. xlix. 13, 14. 5 Osee ix. 4. 6 Psal. l. 19. 7 Dan. iii. 38, 39.

[k] καὶ]+πάλιν H. [l] φάγωμαι D.E. Cat. φάγομεν H. [m] κελεύει] λέγει I. Statim παραστῆσαι A.B.C.E.F.H.I. Cat. παραστήσατε Edd. Post σώματα add. ἡμῶν C. [n] τὸ] τοῦτο τὸ H. φησὶ τὸ σῶμα θ. hoc ord. A.C. τὸ σ. θυσία φησὶ I. [o] μηδὲν] μηδενὸς bis C. [p] ὁ accessit ex C.D.E.I. Cat. et corr. A. Mox βλ. πονηρὸν pro πονηρὸν βλ. A.C.D.E.F.H.I. Cat. [q] γέγονε]+θυσία I. [r] εὐεργεσίας a pr. man. B. [s] ἵνα—εὐλογῇ] ἵνα ἡ μὲν γλῶττα εὐλογῇ C. [t] διηνεκῶς] ἀεὶ I. [v] ποδὸς I. [w] εὐαρεστήσεως. ἡ δέ γε τῶν Ἰ. ἀκάθαρτος. ὃν αἱ θ. αὐτῶν ἄρτος πένθους αὐτοῖς C. [x] γε om. A. C. Statim ζωογονεῖ pro ζωοποιεῖ omnes. [e] τὴν θ. ὁ θ. pro ὁ θ. τὴν θ. A.B.D.E.H.I. Statim ἐπεζήτει I. [f] δὲ om. C. Mox προσήγαγον C.I. [g] οὐ pro οὐδὲ A.B.D.E.F.I. [h] ἔλεον F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σκόπει [i]δὲ πῶς καὶ ἑκάστῃ λέξει μετὰ πολλῆς κέχρηται τῆς ἀκριβείας. [k]Οὐ γὰρ εἶπε, [l]ποιήσατε τὰ σώματα ὑμῶν θυσίαν, ἀλλὰ, "παραστήσατε" ὡς ἂν εἰ ἔλεγε, μηδὲν [m]κοινὸν ἔχετε C λοιπὸν πρὸς αὐτά· ἑτέρῳ αὐτὰ ἐξεδώκατε. Καὶ γὰρ οἱ τοὺς ἵππους τοὺς πολεμιστηρίους παριστῶντες, [n]οὐδὲν λοιπὸν κοινὸν πρὸς αὐτοὺς ἔχουσι. Καὶ σὺ τοίνυν παρέστησας τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου [o]τὰ μέλη, καὶ τῇ παρατάξει τῇ φοβερᾷ· μὴ κάθελκε [p]αὐτὰ πρὸς ἰδιωτικὰς διακονίας. Καὶ ἕτερον δὲ ἐκ τούτου δείκνυσιν, ὅτι [q]καὶ δόκιμα αὐτὰ δεῖ ποιεῖν, εἴγε παριστᾶν μέλλομεν. Οὐ γάρ τινι τῶν ἐπιγείων ἀνθρώπων, ἀλλ' αὐτῷ παριστῶμεν αὐτὰ τῷ βασιλεῖ τῶν ὅλων θεῷ, οὐχ ἵνα D πολεμῇ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸν ἐπικαθήμενον ἔχῃ τὸν βασιλέα. Οὐδὲ γὰρ παραιτεῖται [r]ἐπικαθῆσθαι τοῖς μέλεσιν ἡμῶν, ἀλλὰ καὶ σφόδρα τοῦτο βούλεται· καὶ ὅπερ βασιλεὺς οὐκ ἂν ἕλοιτο ὁμόδουλος ἡμῖν, τοῦτο ὁ τῶν [s]ἀγγέλων δεσπότης αἱρεῖται. Ἐπεὶ οὖν καὶ παρίστασθαι μέλλει, καὶ θυσία ἐστὶ, πάντα μῶμον περίελε· ὡς ἐὰν ἔχῃ μῶμον, οὐκέτ' ἂν εἴη θυσία. Οὐδὲ γὰρ ὀφθαλμὸς δύναται τυθῆναι πορνικὰ βλέπων, οὐ χεὶρ παραστῆναι ἁρπάζουσα καὶ πλεονεκτοῦσα, οὐ πόδες χωλὰ βαδίζοντες καὶ ἐπὶ θέατρα ἀναβαίνοντες, οὐ γαστὴρ τρυφῇ E δουλεύουσα, καὶ τῶν ἡδονῶν [t]ἀνάπτουσα τὰς ἐπιθυμίας, οὐ καρδία θυμὸν ἔχουσα καὶ ἔρωτα πορνικὸν, οὐ γλῶττα αἰσχρὰ φθεγγομένη. Διὸ χρὴ [v]πανταχόθεν μωμοσκοπεῖσθαι τὸ σῶμα τὸ ἡμέτερον. Εἰ γὰρ οἱ τὰς παλαιὰς ἀναφέροντες θυσίας ἐκελεύοντο πάντα περισκοπεῖν, [8]καὶ οὔτε ὠτότμητον, οὔτε κολοβόκερκον, οὔτε ψωραγριῶντα, οὔτε [w]λειχῆνα ἔχοντα ἐπετρέποντο ἀναφέρειν· πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐ πρόβατα ἄλογα, ἀλλ' ἑαυτοὺς ἀναφέροντας, πλείονα ἀκρίβειαν ἐπιδείκνυσθαι χρὴ, καὶ [x]πάντοθεν εἶναι καθαροὺς, ἵνα δυνηθῶμεν καὶ 658 ἡμεῖς κατὰ Παῦλον λέγειν· [9]"Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς [y]ἐμῆς ἀναλύσεως ἐφέστηκε." Καὶ γὰρ θυσίας ἁπάσης καθαρώτερος ἦν· διὸ καὶ σπονδὴν ἑαυτὸν ἐκάλει. [z]Ἔσται δὲ τοῦτο, ἐὰν ἀνέλωμεν τὸν παλαιὸν ἄνθρωπον, ἐὰν νεκρώσωμεν

8 Lev. xxii. 22, 23. 9 2 Tim. iv. 6.

[i] δὲ πῶς] ὅτι I. Statim καὶ accessit ex A.B.D.E.F.H.I. [k] οὐ] οὐδὲ C.D.E. [l] ποιήσασθαι (sic) B. [m] κ. ἔχετε λ. pro λοιπὸν κ. ἔχετε A.B.D.E.F.H.I. λοιπὸν om. C. [n] οὐδένα A.H. λοιπὸν om. C.H. [o] τὰ σὰ μέλη C. [p] αὐτὰ πρὸς ἰδ. A.B.D.E.F.H.I. πρὸς ἰδ. αὐτὰ Edd. [q] καὶ om. C. Mox γε om. idem. [r] ἐπικαθίσαι B.C.F. Veron. [s] ἀγγέλων] ὅλων C. βασιλεὺς pro δεσπότης C.D. [t] ἀπαιτοῦσα A.B.D.E.F.H.I. [v] πάντοθεν C. Statim ἄμωμον σκοπεῖσθαι B. [w] λιχῆνα B.F. [x] πανταχόθεν A. [y] ἐμῆς om. D.E. τῆς ἀναλ. μου C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ μέλη τὰ ἐπὶ [z]τῆς γῆς, ἐὰν σταυρώσωμεν τὸν κόσμον ἑαυτοῖς. Οὕτως οὐδὲ μαχαίρας δεησόμεθα λοιπὸν, οὐδὲ θυσιαστηρίου οὐδὲ πυρός· μᾶλλον δὲ, τούτων ἁπάντων δεησόμεθα, πλὴν οὐ χειροποιήτων, ἀλλ' ἄνωθεν ἡμῖν ἅπαντα ἥξει, καὶ τὸ πῦρ ἄνωθεν καὶ ἡ μάχαιρα, καὶ [a]τὸ θυσιαστήριον δὲ ἡμῖν ἔσται τοῦ οὐρανοῦ τὸ πλάτος. Εἰ γὰρ, τοῦ [b]Ἠλία θυσίαν ἀναφέροντος B
αἰσθητὴν, λαμπὰς ἄνωθεν κατενεχθεῖσα πάντα ἀνάλωσε, [c]καὶ τὸ ὕδωρ καὶ τὰ ξύλα καὶ τοὺς λίθους· πολλῷ μᾶλλον ἐπὶ σοῦ τοῦτο ἔσται· κἂν [d]ἔχῃς τι διαρρέον καὶ βιωτικὸν, [e]προσάγῃς δὲ θυσίαν μετὰ γνώμης ὀρθῆς, κατελθὸν τοῦ πνεύματος τὸ πῦρ, καὶ τὸ βιωτικὸν ἐκεῖνο δαπανήσει, καὶ τὴν προσφορὰν [f]ἀνύσει πᾶσαν. Τί δέ ἐστι λογικὴ λατρεία; [g]Ἡ πνευματικὴ διακονία, ἡ πολιτεία ἡ κατὰ Χριστόν. Καθάπερ οὖν ὁ ἐν τῷ οἴκῳ τοῦ θεοῦ διακονούμενος [h]καὶ ἱερωμένος, οἷος ἂν ᾖ, συστέλλεται τότε, καὶ σεμνότερος γίνεται· οὕτω καὶ ἡμᾶς τὸν ἅπαντα βίον διακεῖσθαι χρὴ, ὡς λατρεύοντας καὶ ἱερωμένους. Ἔσται δὲ τοῦτο, C
ἐὰν καθ' ἑκάστην ἡμέραν προσφέρῃς [i]αὐτῷ θύματα, καὶ ἱερεὺς τοῦ οἰκείου σώματος γένῃ, καὶ [k]τῆς κατὰ ψυχὴν ἀρετῆς· οἷον, ὅταν σωφροσύνην προσενέγκῃς, ὅταν ἐλεημοσύνην, ὅταν ἐπιείκειαν καὶ ἀνεξικακίαν. Ταῦτα γὰρ ποιῶν, ἀναφέρεις λογικὴν λατρείαν, τουτέστιν, οὐδὲν ἔχουσαν σωματικὸν, οὐδὲν παχὺ, οὐδὲν αἰσθητόν.

Ἐπάρας [l]τοίνυν διὰ τῶν ὀνομάτων τὸν ἀκροατὴν, καὶ ἕκαστον ἱερέα [m]τῆς ἑαυτοῦ σαρκὸς διὰ τῆς πολιτείας ἀποφήνας, λέγει καὶ τὸν τρόπον, δι' οὗ δυνατὸν [n]ταῦτα κατορθοῦν. Τίς οὖν ὁ τρόπος; [10] "Μὴ συσχηματίζεσθε, φησὶ, τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν." Καὶ D
γὰρ χαμαίζηλον τὸ σχῆμα τοῦ αἰῶνος τούτου, καὶ εὐτελὲς καὶ
(175) πρόσκαιρον, [o]οὐδὲν ἔχον ὑψηλὸν, οὐδὲ διηνεκὲς [p]οὐδὲ εὐθὲς, ἀλλὰ πάντα διεστραμμένα. Εἰ τοίνυν ὀρθὰ βούλει βαδίζειν, μὴ [q]τυπώσῃς ἑαυτὸν κατὰ τὸ σχῆμα τοῦ παρόντος βίου· οὐδὲν

10 v. 2.

[z] τῆς, quod aberat ante Montef. est in A.B.C.D.E.H.I. [a] τὸ om. Veron. Sav. Mor. reclamantibus libris. Statim δὲ accessit ex A. B. C. D. E. F. I. [b] Ἠλία A.B.D.E.H. Ἠλίου Edd. [c] καὶ om. C. [d] ἔχῃ C. [e] προσάγῃς A.D.E.I. προσάγεις B.F.H. προσαγάγῃς Edd. [f] ἀνύσει Edd. ἀνοίσει Codd. [g] ἡ om. C. Mox ἡ πολιτεία κατὰ Χρ. idem. [h] καὶ accessit ex A.B.C.D.E.F.I. Statim ἱερούμενος A. [i] αὐτῷ θύματα] σεαυτὸν θῦμα C.D.E. χρήματα pro θύματα Veron. [k] τῆς] τὴν (sic) D.E. [l] τοίνυν] οὖν C. [m] τῆς] διὰ τῆς Edd. διὰ deest in omnibus. [n] ταῦτα pro πάντα omnes. [o] καὶ οὐδὲν Edd. et Cat. καὶ deest in A.B.D.E.F.H.I. [p] οὐδὲ pro οὐδὲν iidem. [q] ταπεινώσῃς I. Statim σεαυτὸν D.E. Cat. σεαυτῷ C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τῶν ἐν αὐτῷ μένον καὶ βεβηκός ἐστι. Διὸ [r]καὶ σχῆμα ἐκάλεσεν [s]αὐτό· καὶ ἀλλαχοῦ πάλιν, [11] "[t]Παράγει τὸ σχῆμα
E τοῦ κόσμου τούτου." Οὐδὲν γὰρ διαρκὲς [v]οὐδὲ πεπηγὸς ἔχει, ἀλλὰ πάντα πρόσκαιρα. Διὸ καὶ, "τῷ αἰῶνι τούτῳ," εἶπε· διὰ τούτου μὲν τὸ ἐπίκηρον [w]δηλῶν, διὰ δὲ τοῦ σχήματος τὸ ἀνυπόστατον. Κἂν γὰρ πλοῦτον εἴπῃς, κἂν δόξαν [x]εἴπῃς, κἂν σώματος ὥραν, κἂν τρυφὴν, κἂν [y]ἄλλ' ὁτιοῦν τῶν δοκούντων εἶναι μεγάλων, σχῆμα μόνον ἐστὶν, οὐ πράγματος ἀλήθεια, ἐπίδειξις καὶ [z]προσωπεῖον, [a]οὐχ ὑπόστασις μένουσα. Ἀλλὰ [b]σὺ μὴ συσχηματίζου τούτῳ, ἀλλὰ "μεταμορφοῦ, [c]φησὶ, τῇ ἀνακαινώσει τοῦ νοός." Οὐκ [d]εἶπε, μετασχηματίζου, ἀλλὰ, "μεταμορφοῦ," δεικνὺς ὅτι τὸ μὲν τοῦ κόσμου, σχῆμα· τὸ δὲ τῆς
659 ἀρετῆς, οὐ σχῆμα, ἀλλὰ μορφή [e]τις ἀληθὴς φυσικὸν ἔχουσα κάλλος, οὐ δεόμενον τῶν ἔξωθεν ἐπιτριμμάτων τε καὶ σχημάτων, τῶν ὁμοῦ τε φαινομένων καὶ ἀπολλυμένων. Καὶ γὰρ ἅπαντα ταῦτα, πρὶν ἢ φανῆναι, [f]διαλύεται. [g]Ἂν τοίνυν τὸ σχῆμα ῥίψῃς, ταχέως ἐπὶ τὴν μορφὴν ἥξεις. Οὐδὲν γὰρ τῆς κακίας ἀσθενέστερον, οὐδὲν οὕτω παλαιοῦται ῥᾳδίως. [g]Εἶτα ἐπειδὴ ἀνθρώπους ὄντας εἰκὸς καθ' ἑκάστην ἁμαρτάνειν τὴν ἡμέραν, παραμυθεῖται τὸν ἀκροατὴν λέγων, ὅτι καθ' ἑκάστην ἀνακαίνου
B σαυτόν. [h]Ὅπερ ἐπὶ τῶν οἰκιῶν [i]ποιοῦμεν, παλαιουμένας αὐτὰς [k]ἀεὶ διορθοῦντες, τοῦτο καὶ ἐπὶ σαυτοῦ ποίει. Ἥμαρτες σήμερον; ἐπαλαίωσάς σου τὴν ψυχήν; Μὴ ἀπογνῷς [l]μηδὲ ἀναπέσῃς, ἀλλ' ἀνακαίνισον αὐτὴν μετανοίᾳ καὶ δάκρυσι καὶ ἐξομολογήσει, καὶ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ· καὶ [m]μηδέποτε τοῦτο διαλίπῃς ποιῶν. Καὶ πῶς δυνησόμεθα τοῦτο ποιεῖν; "Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, [n]καὶ γινώσκειν τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον." [o]Ἢ τοῦτό φησιν, ἀνανεώθητε, ἵνα μάθητε τὰ συμφέροντα καὶ τὸ
C θέλημα τοῦ θεοῦ· ἢ ὅτι οὕτω δύνασθε ἀνανεωθῆναι, ἐὰν μάθητε τὰ συμφέροντα, καὶ τί ποτε βούλεται ὁ θεός. [g]Ἂν γὰρ [p]εἰδῇς

[11] 1 Cor. vii. 31.

[r] καὶ om. C. [s] αὐτὸν C. [t] παράγει γὰρ τὸ Edd. γὰρ deest in omnibus. [v] οὐδὲ pro καὶ omnes. Ita edidit Montef. [w] δηλῶν om. I. [x] εἴπῃς assumtum ex A.C.D.E.F.H.I. [y] ἄλλό τι οὖν B. ἄλλο ὁτιοῦν D.E. [z] πρόσωπον A.H.I. [a] οὐχὶ A.B.F.I. Statim ὑπόστασίς τις Edd. τις deest in A.B.D.E.F.H.I. [b] σὺ om. C. [c] φησὶν ἐν τῇ Edd. ἐν om. A.C.D. F.H.I. Cat. φησὶν ἐν om. B. [d] εἶπεν]+ἀλλὰ A.E.F.H.I. [e] τις ἀληθὴς om. C. [f] διαλύεται omnes. λύεται Edd. [g] εἶτα ἐπειδὴ δὲ ἀνθ. (sic) C. [h] ὅπερ] καὶ ὅπερ B.D. [i] ποιοῦμεν om. C. [k] ἀεὶ om. I. Statim διορθοῦμεν idem. [l] μηδὲ] μὴ C. [m] μηδέπω C.D. Mox διαλείπῃς E.H. [n] Haec καὶ γινώσκειν accesserunt ex nostris A.B.D.E.F.H.I. et Mosqq. [o] εἰδῆς pro ἴδῃς A.B.D.E.H. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο, καὶ τῶν πραγμάτων [p]μάθης διαγινώσκειν τὰς φύσεις, ἐπελάβου τῆς ὁδοῦ τῆς [q]κατὰ τὴν ἀρετὴν ἁπάσης. Καὶ τίς ἀγνοεῖ τὰ συμφέροντα, φησὶ, καὶ τί τὸ θέλημα τοῦ θεοῦ; Οἱ πρὸς τὰ παρόντα ἐπτοημένοι πράγματα, οἱ πλοῦτον ζηλωτὸν εἶναι [r]νομίζοντες, καὶ πενίαν ἐξευτελίζοντες, οἱ [s]δυναστείαν διώκοντες, οἱ πρὸς τὴν δόξαν τὴν [t]ἔξωθεν κεχηνότες, οἱ μεγάλους ἑαυτοὺς εἶναι νομίζοντες, ὅταν οἰκίας [v]λαμπρὰς ἐγείρωσι, καὶ τάφους πολυτελεῖς πρίωνται, καὶ ἀνδραπόδων ἀγέλας ἔχωσι, D καὶ πολὺν εὐνούχων περιφέρωσιν ἐσμόν. [w]Οὗτοι καὶ τὰ συμφέροντα αὐτοῖς καὶ [x]τὰ θελήματα τοῦ θεοῦ ἀγνοοῦσι. Καὶ γὰρ ἀμφότερα ταῦτα [y]ἕν τι ἐστί. Τά τε γὰρ συμφέροντα ἡμῖν ὁ θεὸς βούλεται· καὶ ἃ βούλεται ὁ θεὸς, ταῦτα καὶ [z]τὰ συμφέροντα ἡμῖν ἐστι. Τίνα οὖν ἐστιν, ἅπερ ὁ θεὸς βούλεται; Ἐν πενίᾳ ζῆν, ἐν ταπεινοφροσύνῃ, [a]ἐν ὑπεροψίᾳ δόξης, ἐν ἐγκρατείᾳ, οὐκ ἐν τρυφῇ, ἐν θλίψει, οὐκ ἐν ἀνέσει, ἐν τῷ [b]πενθεῖν, οὐκ ἐν τῷ διαχεῖσθαι καὶ γελᾶν, ἐν τοῖς ἄλλοις οἷς ἐνομοθέτησεν [c]ἅπασιν. Ἀλλ' οἱ πολλοὶ ταῦτα καὶ οἰωνίζονται· E τοσοῦτον [d]ἀπέχουσι νομίζειν εἶναι [e]τὰ συμφέροντα, καὶ θεοῦ θελήματα. Διά τοι τοῦτο οὐδὲ ἐγγύς ποτε τῶν ὑπὲρ [f]τῆς ἀρετῆς ἐλθεῖν δυνήσονται πόνων. Οἱ γὰρ μηδὲ αὐτὸ τοῦτο, ὅ τι ποτέ ἐστιν ἀρετὴ εἰδότες, ἀλλὰ τὴν κακίαν [g]ἀντὶ ταύτης θαυμάζοντες, καὶ τὴν πόρνην ἀντὶ τῆς σώφρονος γυναικὸς ἑαυτοῖς [h]συγκατακλίνοντες, πότε δυνήσονται ἀποστῆναι [i]τοῦ παρόντος αἰῶνος; Διὸ χρὴ πρὸ τῶν ἄλλων ἁπάντων τὴν κρίσιν ἡμῖν εἶναι τῶν πραγμάτων [k]διηρθρωμένην· κἂν μὴ μετίωμεν ἀρετὴν, ἐπαινεῖν ἀρετήν· κἂν μὴ [l]φεύγωμεν κακίαν, κακίζειν [m]πονηρίαν, ἵνα τέως τὰς ψήφους ἀδεκάστους ἔχωμεν. Οὕτω γὰρ ὁδῷ προβαίνοντες, καὶ τῶν ἔργων [n]ἐπιλαβέσθαι δυνησό- 660 μεθα. Διά τοι τοῦτο καὶ αὐτὸς κελεύει ἀνανεοῦσθαι, "εἰς τὸ δοκιμάζειν [o]ὑμᾶς, τί τὸ θέλημα τοῦ θεοῦ." Ἐνταῦθα δέ μοι

[p] μαθήσῃ C. Mox καὶ τῆς ὁδοῦ ἐπελάβου τῆς κ. τ. ἀρετὴν φερούσης idem. [q] κατὰ τὴν ἀρετὴν omnes. κατ' ἀρετὴν Edd. et Cat. [r] νομίσαντες et ἐξευτελίσαντες C. [s] δυναστείαν omnes. δυναστείας Edd. [t] ἔξω C. [v] λαμπρὰς] πολυτελεῖς A.B.F.H.I. [w] Sequentia desunt in A. usque ad v. δεικνὺς p. 660 E. [x] τὰ θελήματα τοῦ θ. B.F.H.I. Cat. τοῦ θ. τὰ θ. D.E. τὸ θέλημα τοῦ θ. Edd. [y] ἕν τι om. C. [z] τὰ, quod aberat, est in B.C.E. F.H.I. Mox ἐστι accessit ex omnibus. [a] ἐν] οὐκ ἐν C. [b] πενθεῖν B.C.D.E.F.H. πένθει Edd. [c] ἅπασιν om. C. [d] ἀπέχ. ν. εἶναι] ἀπέχουσιν εἰδέναι I. νομίζουσιν εἶναι C. [e] τὰ] ταῦτα B.D.E. αὐτὰ Cat. Mox θέλημα C. [f] τῆς om. C. [g] ἀντ' αὐτῆς B.E. πρὸ ταύτης I. [h] συγκατακλίνοντες pro συγκατακλείοντες C.D.E.F. et ex corr. B. [i] τοῦ] ἀπὸ τοῦ C. [k] διωρθωμένην C. [l] φεύγωμεν C. D. E. F. H. I. φύγωμεν Edd. [m] πονηρίαν] κακίαν I. τὴν πονηρίαν C.D. [n] ἐπιλαθέσθαι I. [o] ἡμᾶς C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ Ἰουδαίων καθάπτεσθαι δοκεῖ, τῶν ἐχομένων τοῦ νόμου. Θέλημα [p]μὲν γὰρ ἦν τοῦ θεοῦ καὶ ἡ παλαιὰ πολιτεία· ἀλλ' οὐ προηγούμενον, ἀλλὰ διὰ τὴν ἐκείνων ἀσθένειαν συγχωρηθέν· τὸ δὲ τέλειον καὶ εὐάρεστον, [q]ἡ καινὴ πολιτεία. Καὶ γὰρ λογικὴν [r]ὅτε ἐκάλεσε λατρείαν, πρὸς ἐκείνην ἀντιδιαστέλλων αὐτὴν οὕτως ὠνόμασε.

12 "Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ
B ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως." Ἀνωτέρω εἰπών, "Διὰ τῶν [s]οἰκτιρμῶν παρακαλῶ ὑμᾶς," ἐνταῦθα πάλιν λέγει, "διὰ τῆς χάριτος." Ὅρα διδασκάλου ταπεινοφροσύνην, ὅρα γνώμην [t]κατεσταλμένην. Οὐδαμοῦ ἑαυτὸν ἀξιόπιστον εἶναί φησι πρὸς τὴν τοιαύτην παραίνεσιν καὶ συμβουλήν· ἀλλὰ ποτὲ μὲν τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ παραλαμβάνει μεθ' ἑαυτοῦ, ποτὲ δὲ τὴν χάριν. Οὐ γὰρ ἐμὸν λόγον λέγω, φησὶν, ἀλλὰ τὸν ἀπὸ τοῦ θεοῦ. Καὶ οὐκ εἶπε, λέγω γὰρ ὑμῖν διὰ τῆς σοφίας τοῦ θεοῦ, [v]λέγω γὰρ ὑμῖν διὰ τῆς
C νομοθεσίας τοῦ θεοῦ, ἀλλὰ, "διὰ τῆς χάριτος" συνεχῶς τῶν εὐεργεσιῶν ἀναμιμνήσκων, ὥστε [w]εὐγνωμονεστέρους ποιῆσαι, καὶ δεῖξαι καὶ ταύτῃ ὑπευθύνους ὄντας τῇ τῶν λεγομένων ὑπακοῇ. "Παντὶ τῷ ὄντι ἐν ὑμῖν." Οὐχὶ τῷ δεῖνι καὶ τῷ δεῖνι [x]μόνον, ἀλλὰ καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ, καὶ ἰδιώτῃ καὶ σοφῷ, καὶ γυναικὶ καὶ ἀνδρὶ, καὶ νέῳ καὶ γέροντι. Κοινὸς γὰρ οὗτος ὁ νόμος, ἐπειδὴ καὶ δεσποτικός. Οὕτω καὶ ἀνεπαχθῆ [y]τὸν λόγον ποιεῖ, πᾶσι προτιθεὶς τὰ διδάγματα, καὶ τοῖς οὐκ οὖσιν ὑπευθύνοις, ἵνα οἱ ὑπεύθυνοι τὴν
D τοιαύτην ἐπιτίμησιν καὶ διόρθωσιν εὐκολώτερον δέξωνται. Καὶ τί λέγεις, εἰπέ μοι; "Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν." Τὴν μητέρα ἐνταῦθα εἰσάγει τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην, τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος. Καθάπερ γὰρ ἐκεῖνος εἰς τὸ ὄρος ἀναβὰς, καὶ τὸν [z]ἠθικὸν μέλλων ὑφαίνειν λόγον, ἐντεῦθεν ἤρξατο πρῶτον, καὶ ταῦτα κατέβαλε τὰ θεμέλια, [a]οὕτω λέγων· 13 "Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι·" οὕτω καὶ [b]αὐτὸς ἀπὸ τῶν δογματικῶν ἐπὶ τὰ ἠθικώτερα νῦν

12 v. 3. 13 Matth. v. 3.

[p] μὲν et τοῦ θεοῦ om. C. Mox παλαιὰ om. B. [q] ἡ καινὴ——πρὸς ἐκείνην] ἡ λογικὴ λατρεία. πρὸς ἐκείνην γὰρ I. [r] ὅτε] αὐτὴν C. [s] οἰκτιρμῶν]+τοῦ θεοῦ Edd. τοῦ θεοῦ om. B.E.F.H.I. [t] καταστελλομένην H. [v] Haec λέγω γὰρ ὑμῖν διὰ τῆς νομοθεσίας τοῦ θεοῦ desunt in B. D. E. F. H. I. Cat. [w] συγγνωμονεστέρους C. [x] μόνῳ H. [y] τὸν λ. ποιεῖ (ποιεῖται H.)] Sic omnes. ποιεῖται τὸν λόγον Edd. [z] ἠθικώτερον C. [a] οὕτω om. D.E. [b] οὗτος C. Mox ἐπὶ τὸ ἠθικώτερον H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(176) ἐκβὰς, ἐδίδαξε [c]μὲν καθόλου τὴν ἀρετὴν, [d]τὴν θαυμαστὴν θυσίαν παρ' ἡμῶν ἀπαιτήσας· μέλλων δὲ [e]καὶ κατὰ μέρος αὐτὴν ὑπογράφειν, ὥσπερ ἀπὸ κεφαλῆς τῆς ταπεινοφροσύνης ἄρχεται, καί φησι, "Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν·" τοῦτο γάρ E
ἐστι [f]θέλημα τοῦ θεοῦ· "ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν." [a]Ὃ δὲ λέγει, [g]τοιοῦτόν ἐστιν· ἐλάβομεν φρόνησιν, οὐχ ἵνα εἰς ἀπόνοιαν αὐτῇ χρησώμεθα, ἀλλ' ἵνα εἰς σωφροσύνην. [h]Καὶ οὐκ εἶπεν, εἰς τὸ ταπεινοφρονεῖν, ἀλλ', "εἰς τὸ σωφρονεῖν·" σωφροσύνην ἐνταῦθα λέγων, [i]οὐ τὴν ἀντιδιαστελλομένην [k]τῇ ἀσελγείᾳ ἀρετὴν, οὐδὲ τὸ ἀπηλλάχθαι ἀκολασίας, ἀλλὰ τὸ νήφειν καὶ ὑγιαίνειν κατὰ διάνοιαν. Καὶ γὰρ καὶ τοῦτο σωφροσύνη λέγεται, ἀπὸ τοῦ σώας ἔχειν τὰς φρένας. Δεικνὺς τοίνυν, ὅτι τὸν μὴ μετριάζοντα οὐδὲ σωφρονεῖν ἔνι, τουτέστι, καθεστηκέναι καὶ ὑγιαίνειν, ἀλλὰ παραπαίει καὶ ἐξέστηκεν ὁ τοιοῦτος, [l]καὶ παραπλῆγος παντός ἐστι μανικώτερος, σωφροσύνην ἐκάλεσε τὴν ταπεινοφροσύνην. "Ἑκάστῳ ὡς ὁ θεὸς 661
ἐμέρισε μέτρον πίστεως." Ἐπειδὴ γὰρ [m]τῶν χαρισμάτων ἡ δόσις πολλοὺς εἰς ἀπόνοιαν ἐπῆρε καὶ παρὰ τούτοις καὶ παρὰ Κορινθίοις, ὅρα πῶς [n]καὶ τὴν αἰτίαν τοῦ νοσήματος δήλην ποιεῖ, καὶ κατὰ μικρὸν [o]ὑποσύρει. Εἰπὼν γὰρ ὅτι δεῖ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἐπήγαγεν, "Ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως" πίστιν ἐνταῦθα τὸ χάρισμα καλῶν. Εἰπὼν δὲ ὅτι ἐμέρισε, καὶ τὸν ἔλαττον εἰληφότα παρεμυθήσατο, καὶ τὸν μείζονος ἀπολαύσαντα κατέστειλεν. Εἰ γὰρ ὁ θεὸς ἐμέρισε, καὶ μὴ σὸν τὸ κατόρθωμα, τί μέγα φρονεῖς; Εἰ δέ [p]τις B
τὴν πίστιν ἐνταῦθα μὴ τὸ χάρισμα λέγοι καλεῖσθαι, καὶ [q]τοῦτο πάλιν μειζόνως δείκνυσιν αὐτὸν ταπεινοῦντα τοὺς ἀλαζόνας. Εἰ γὰρ [r]ὃ τοῦ χαρίσματος αἴτιόν ἐστιν, ἡ πίστις καθ' ἣν τὰ θαύματα [s]γίνεται, καὶ τοῦτο παρὰ τοῦ θεοῦ, πόθεν μέγα φρονεῖς; Καὶ γὰρ εἰ μὴ παρεγένετο, μηδὲ ἐσαρκώθη, οὐδ' ἂν τὰ τῆς πίστεως προεχώρησεν. Ὥστε πάντα ἐκεῖθεν τὴν ἀρχὴν ἔχει τὰ ἀγαθά. Εἰ δὲ αὐτὸς δίδωσιν, οἶδε πῶς μερίζει. Πάντας

[c] μὲν]+γὰρ C. Statim καθόλου om. I. [d] τὴν om. C.I. Mox οὖσαν pro θυσίαν H. [e] καὶ accessit ex omnibus. Statim κατὰ μ. αὐτὴν pro αὐτὴν κατὰ μ. omnes. [f] τὸ θέλημα Edd. τὸ om. C. τοῦτο γὰρ θ. τοῦ θεοῦ Cat. Clausula τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ θεοῦ deest in B.D.E.F.H.I. Sequentia ἀλλὰ φρ. εἰς τὸ σωφρονεῖν om. I. [g] τοῦτο B.E.F. Cat. [h] καὶ om. H. [i] οὐ] οὐχὶ C. [k] τῆς ἀσελγείας H. Mox τὸ ἀπαλλαχθῆναι idem. [l] καὶ] καὶ γὰρ C.D. ἀλλὰ καὶ E. Mox παντὸς om. I. [m] τῶν om. A. [n] καὶ accessit ex omnibus. [o] ὑπορύττει E. [p] τις om. A. Mox λέγοι omnes. λέγει Edd. ante Ben. [q] τούτῳ A.B.E. Cat. [r] ὃ, quod aberat, est in A.B.D.F.H.I. Cat. καὶ pro ὃ C. Mox ἐστιν accessit ex A.B.D.E.F.H.I. ἐστιν αἴτιον inverso ord. Cat. [s] γίνονται C.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ αὐτὸς ἐποίησε, καὶ πάντων ὁμοίως κήδεται. Καὶ ὥσπερ τὸ δοῦναι ἀπὸ φιλανθρωπίας γέγονεν, οὕτω καὶ τὸ πόσον δοῦναι. Οὐ γὰρ δὴ περὶ τὸ κεφάλαιον ἐπιδειξάμενος τὴν (1
C ἀγαθότητα, ὅπερ ἐστὶ τὸ δοῦναι τὰ χαρίσματα, ἐν τῷ [t]μέτρῳ σε προδοῦναι ἔμελλεν. Εἰ μὲν γὰρ ἀτιμάσαι ἐβούλετο, οὐδ' ἂν ἔδωκε τὴν ἀρχήν· εἰ δὲ σῶσαι καὶ τιμῆσαι ἐσπούδακε· διὰ γὰρ τοῦτο καὶ παρεγένετο, καὶ τοσαῦτα διένειμεν ἀγαθά· [v]τί θορυβῇ καὶ ταράττῃ, καὶ εἰς μωρίαν ἀποκέχρησαι [w]τῇ φρονήσει, μειζόνως τοῦ φύσει τοιούτου καταισχύνων σαυτόν; Τὸ μὲν γὰρ ἀπὸ φύσεως γενέσθαι μωρὸν, οὐκ ἔγκλημα· τὸ δὲ διὰ φρονήσεως γενέσθαι μωρὸν, [x]καὶ συγγνώμης ἐστέρηται, καὶ μείζονα φέρει τὴν κόλασιν.

D [y]Τοιοῦτοι οἱ ἐπὶ σοφίᾳ μέγα φρονοῦντές εἰσι, καὶ εἰς ἀπόνοιαν [z]ἐκπίπτοντες τὴν ἐσχάτην. Οὐδὲν γὰρ οὕτω μωρὸν ὡς ἀπόνοια ποιεῖ. Διὸ καὶ ὁ προφήτης οὕτως ἐκάλει τὸν βάρβαρον [a]λέγων, [14] "Ὁ δὲ μωρὸς μωρὰ λαλήσει." Ἵνα δὲ καὶ ἀπὸ τῶν ῥημάτων [b]αὐτῶν μάθῃς [c]αὐτοῦ τὴν μωρίαν, ἄκουσον τί φησιν· [15] "Ἐπάνω τῶν ἄστρων [d]τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, [e]καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Καταλήψομαι τῇ χειρί μου τὴν οἰκουμένην ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ." Τούτων οὖν [f]τί μωρότερον γένοιτ' ἂν τῶν ῥημάτων; Καὶ ἑκάστη δὲ μεγαληγορία τοῦτο εὐθέως ἐπισπᾶται τὸ ὄνειδος.
E Κἂν ἕκαστον ῥῆμα τῶν ἀπονενοημένων εἰς μέσον ἀγάγω, οὐ δυνήσῃ διαγνῶναι πότερον ἀπονενοημένου ἢ μωροῦ τὰ ῥήματα· οὕτως ἓν ἐστι τοὐτὶ τὸ ἐλάττωμα. Καὶ γὰρ ἕτερός [g]τις βάρβαρος πάλιν φησὶ, [16] "Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος·" [h]καὶ ἄλλος πάλιν, "Μὴ δυνήσεται ὁ θεὸς σῶσαι ὑμᾶς, ἢ [i]ἐξελέσθαι ἐκ τῶν χειρῶν μου;" καὶ ὁ Αἰγύπτιος δὲ, "Οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ." Καὶ ὁ παρὰ τῷ προφήτῃ ἄφρων τοιοῦτός [k]τις ἐστὶ, λέγων ἐν τῇ [l]καρδίᾳ,

[14] Esai. xxxii. 6. [15] Ibid. xiv. 14. x. 14. [16] Ezech. xxviii. 2. Dan. iii. 15. Exod. v. 2.

[t] *μέσῳ* C. Statim *προδοῦναι* pro *προδιδόναι* A. B. D. E. F. H. I. [v] *τί* A.B.D.E.H.I. Cat. *τίνος ἕνεκεν* Edd. [w] *τῇ φρονήσει* om. A.H.I. [x] *καὶ* om. E. [y] ΗΘΙΚΟΝ. *Περὶ ἀπονοίας, καὶ τῶν ἐπὶ σοφίᾳ μέγα φρονούντων· καὶ περὶ μωρίας καὶ ὑπερηφανίας ἐκ τοῦ μὴ εἰδέναι τὸν κύριον· καὶ περὶ ταπεινοφροσύνης.* Veron. [z] *ἐκπίπτοντες* B.C.D.E.H. *ἐμπίπτοντες* Edd. [a] *λέγων* om. A.E. [b] *αὐτοῦ* A.C.D.E. [c] *αὐτοῦ τὴν μ.*] *τὴν μ. αὐτοῦ* D. *αὐτοῦ* om. E. *αὐτοῦ τὴν τιμωρίαν* I. [d] *τοῦ* om. Veron. Sav. Mor. Legitur in A.B.C.D.E.H.I. [e] *καὶ* om. A.E.H. [f] Sic omnes. *τῶν ῥημάτων τί μ. γένοιτ' ἂν* hoc ord. Edd. [g] *τις* accessit ex B.C.D.E.F.I. Mox *θεὸς ἐγώ εἰμι* pro *ἐγώ εἰμι θεὸς* omnes. [h] *καὶ ἄλλος πάλιν* om. H. *πάλιν* om. D.E. [i] *ἐξελέσθαι*]+*ὑμᾶς* C. [k] *τις* accessit ex B.D.E.F.H.I. [l] *καρδίᾳ αὐτοῦ* Edd. *αὐτοῦ* om. A.C.D.E.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 "Οὐκ ἔστι θεός·" καὶ ὁ Καΐν [m] δὲ, "Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου;" [o] Ἆρα μὴ [n] δύνασαι διαγνῶναι πότερον ἀπονενοημένων ἢ μωρῶν τὰ ῥήματα; Ἡ γὰρ ἀπόνοια τῆς συμμετρίας 662
ἐκπίπτουσα καὶ ἀπὸ τοῦ νοῦ γινομένη· διὸ καὶ ἀπόνοια λέγεται· καὶ μωροὺς καὶ ἀλαζόνας ἐργάζεται. Καὶ [o] γὰρ ἀρχὴ σοφίας φόβος κυρίου· οὐκοῦν ἀρχὴ μωρίας τὸ μὴ εἰδέναι τὸν κύριον. Εἰ τοίνυν τὸ εἰδέναι σοφία, τὸ μὴ εἰδέναι μωρία, [p] τοῦτο δὲ τὸ μὴ εἰδέναι ἐξ [q] ὑπερηφανίας γίνεται· ἀρχὴ γὰρ ὑπερηφανίας τὸ μὴ εἰδέναι τὸν κύριον· ἄρα ἡ ὑπερηφανία μωρία ἐσχάτη. Τοιοῦτος ἦν καὶ ὁ Ναβάλ, εἰ καὶ μὴ [r] πρὸς θεὸν, ἀλλὰ πρὸς ἄνθρωπον, [s] ἐξ ἀπονοίας ἀνόητος γεγονώς· ἀλλ' ὕστερον [t] ἀπέ- B
θανε τῷ δέει. [u] Ὅταν γάρ τις ἐκπέσῃ τοῦ μέτρου [v] τῆς φρονήσεως, καὶ δειλὸς ὁμοῦ καὶ θρασὺς γίνεται, τῆς ψυχῆς ἀσθενοῦς γινομένης. Καθάπερ γὰρ τὸ σῶμα, ὅταν τὴν σύμμετρον [w] ἀπολέσῃ κρᾶσιν, γενόμενον δύσκρατον, πᾶσιν ἁλίσκεται τοῖς πάθεσιν· οὕτω καὶ ἡ ψυχὴ, ἐπειδὰν τὸ μεγαλοφυὲς ἀπολέσῃ καὶ τὸ ταπεινοφρονεῖν, [x] ἕξιν δεξαμένη τινὰ ἀσθενῆ, καὶ δειλὴ καὶ θρασεῖα καὶ ἀνόητος [y] γίνεται, καὶ ἑαυτὴν [z] ἀγνοεῖ λοιπόν. Ὁ δὲ ἑαυτὸν ἀγνοῶν, πῶς τὰ ὑπὲρ [a] αὐτὸν εἴσεται; Καθάπερ γὰρ ὁ φρενίτιδι κατεχόμενος, ὅταν ἑαυτὸν ἀγνοήσῃ, οὐδὲ τὰ πρὸ τῶν ποδῶν οἶδε· καὶ ὀφθαλμὸς, ὅταν αὐτὸς [b] πηρωθῇ, C
πάντα σκοτοῖ τὰ λοιπὰ μέλη· οὕτω καὶ ἐπὶ τῆς ἀπονοίας συμβαίνει. Διὸ καὶ τῶν μαινομένων εἰσὶν ἀθλιώτεροι οὗτοι, καὶ τῶν φύσει μωρῶν. Καὶ γὰρ ὁμοίως τούτοις γέλωτα κινοῦσι, καὶ ὁμοίως ἐκείνοις εἰσὶν ἀηδεῖς· καὶ ἐξεστήκασι μὲν ὥσπερ ἐκεῖνοι, [c] ἀλλ' οὐκ ἐλεοῦνται ὥσπερ ἐκεῖνοι· παραφρονοῦσι δὲ ὥσπερ οὗτοι, ἀλλ' οὐ συγγινώσκονται ὥσπερ οὗτοι, ἀλλὰ μισοῦνται μόνον· καὶ τὰ ἐλαττώματα ἑκατέρων ἔχοντες, τῆς συγγνώμης ἑκατέρων [d] εἰσὶν ἐστερημένοι, οὐκ ἀπὸ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν σχημάτων ὄντες καταγέλαστοι. Τί γὰρ, εἰπέ μοι, τὸν αὐχένα ἀνατείνεις; τί δὲ βαδίζεις D
ἐπ' ἄκρων ὀνύχων; τί τὰς ὀφρῦς ἀνασπᾷς; τί τὸ στῆθος

17 Psal. xiii. 1. Gen. iv. 9.

[m] δὲ om. E. [n] δύνασθε I. [o] γὰρ pro εἰ omnes. [p] τοῦτο δὲ τὸ μὴ] Sic A.B.D.E.F.H. τοῦτο δὲ μὴ I. τὸ μὴ C. τὸ δὲ μὴ Edd. [q] ἀπονοίας C.D. [r] πρὸς τὸν θεὸν A.H.I. Mox πρὸς τὸν ἄνθρωπον A.H. [s] Haec ἐξ ἀπ. ἀν. γεγονὼς desunt in H. [t] ἐναπέθανε C.D. [v] τῆς φρ.] τῆς φύσεως τῆς φρ. C. [w] ἀπαβάλῃ C. Mox γενόμ. pro γινόμ. A.B.D.E.F.H. [x] ἕξιν] +δὲ B. Mox τινὰ ἀσθενῆ, καὶ δειλὴ A.B.C.D.F.H.I. Edebatur τινὰ, ἀσθενὴς καὶ δειλή. [y] γεγένηται C. [z] ἀγνοεῖ A.B.D.E.F. ἀγνοήσει Edd. [a] αὐτὸν A.B.C.E.F.H.I. αὐτὸν D. ἑαυτὸν Edd. [b] τυφλωθῇ C. [c] Verba ἀλλ' οὐκ ἐλεοῦνται ὥσπερ ἐκεῖνοι absunt a nostris A.B.D.E.F.H.I. [d] εἰσὶν ἐστερημένοι pro ἐστέρηνται B.C.D.E.F.H.I. εἰσὶν om. A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φυσᾷς; Τρίχα οὐ δύνασαι ποιῆσαι λευκὴν ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν, οὕτως ἀεροβατεῖς. Τάχα ἐβούλου σοι καὶ πτερὰ [e]φῦναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς· τάχα καὶ τέρας εἶναι ἐπιθυμεῖς. Νῦν γὰρ οὐχὶ τέρας σαυτὸν πεποίηκας, ἄνθρωπος [f]μὲν ὤν, πέτεσθαι δὲ ἐπιχειρῶν; μᾶλλον δὲ καὶ πετόμενος ἔνδοθεν, καὶ φλεγμαίνων πάντοθεν; Τί σε καλέσω, καὶ
E καθελῶ σου τὴν ἀπόνοιαν; [g]Εἶπω σε τέφραν καὶ κόνιν καὶ (178)
καπνὸν καὶ κονιορτόν; [h]Εἶπον μὲν τὴν εὐτέλειαν, οὐδέπω δὲ ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμην [i]ἧς ἐβουλόμην· καὶ γὰρ καὶ τὴν φλεγμονὴν καὶ τὸ [k]διάκενον αὐτῶν ἅπαν παραστῆσαι βούλομαι. Ποίαν οὖν [l]ἂν εὕροιμεν τούτοις εἰκόνα ἁρμόζουσαν; Ἐμοὶ δοκοῦσι [m]στυπείῳ καταφλεγέντι προσεοικέναι. Καὶ γὰρ ἐκεῖνο [n]δοκοῦν οἰδεῖν μετὰ τὸν ἐμπρησμὸν, καὶ [o]διανεστηκέναι, [p]μικρὰν χειρὸς ἁφὴν ἂν ὑπομείνῃ, κατηνέχθη [q]τε ἅπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη. Τοιαῦται καὶ τούτων αἱ ψυχαί· τὸ γὰρ φύσημα αὐτῶν τὸ διάκενον καὶ ἡ τυχοῦσα
663 προσβολὴ δυνήσεται ταπεινῶσαι καὶ καθελεῖν. Τὸν γὰρ ἀπονενοημένον ἀνάγκη [r]πάντως καὶ ἀσθενῆ τινα εἶναι. Οὐ γάρ ἐστι τὸ ὕψος [s]ὑγιὲς, ἀλλ' ὥσπερ αἱ πομφόλυγες εὐκόλως [t]ῥήγνυνται, οὕτω καὶ οὗτοι ῥᾳδίως ἀπόλλυνται. Εἰ δὲ ἀπιστεῖς, δός μοι θρασὺν καὶ ἀπονενοημένον, καὶ [v]πτωκὸς δειλότερον ὄψει γινόμενον καὶ ἀπὸ τῆς τυχούσης περιστάσεως. Ὥσπερ γὰρ ἡ [w]μὲν ἀπὸ φρυγάνων αἰρομένη φλὸξ ὁμοῦ τε ἀνήφθη, καὶ κόνις ἐγένετο, ἡ δὲ τῶν [x]στερρῶν ξύλων φύσις [y]οὔτε ἐξάπτεται ῥᾳδίως, καὶ ἐπὶ πολὺ διατηρεῖ καιομένην τὴν
B φλόγα· οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν στερραὶ καὶ βεβηκυῖαι, οὐκ εὐκόλως οὔτε ἐκκαίονται οὔτε σβέννυνται· οὗτοι δὲ ἀμφότερα ταῦτα ἐν μιᾷ καιροῦ ῥοπῇ πάσχουσι. Ταῦτ' οὖν εἰδότες, τὴν ταπεινοφροσύνην ἀσκῶμεν. Οὐδὲν γὰρ αὐτῆς δυνατώτερον, ἀλλὰ καὶ πέτρας ἰσχυροτέρα, καὶ ἀδάμαντος στερροτέρα, καὶ

[e] φυῆναι I. [f] μὲν om. I. Mox πέτεσθαι B.D.E.F.I. πέτασθαι Edd. [g] ἂν εἶπω Edd. ἂν om. A.F.H.I. Flor. p. 239. (Tom. xii. p. 542 E.) [h] εἶπον μὲν——ἀκριβῶς] ἀλλ' οὐδὲ οὕτω I. ἀλλ' οὐδέπω ἀκριβῶς Flor. [i] ἧς ἐβουλόμην om. D.E. Flor. [k] διακαιόμενον C. [l] ἂν om. E.H. Mox αὐτοῖς pro τούτοις C. [m] στυππίῳ D.E. στνπίῳ C.I. στιπτύῳ F. στυππείῳ Flor. Statim καταφλεγέντι A.B.C.D.E.F. Flor. καταφλέγοντι H. καταφλεχθέντι Edd. [n] δοκοῦν pro δοκεῖ et οἰδεῖν μετὰ τὸν ἐ. pro μετὰ τὸν ἐ. οἰδεῖν omnes. [o] διανεστ. (διενεστ. I.) pro ὑπερανεστ. omnes. [p] μικρὰν δὲ Edd. δὲ deest in omnibus. Mox ἂν ὑπομείνῃ (ὑπομένῃ Flor.) pro ὑπομείναν libri omnes et Flor. [q] τε om. C. [r] πάντως——εἶναι] τινὰ καὶ ἀσθενῆ εἶναι C. [s] ὑγείας C. [t] ῥήγνυνται] ῥηγνύμεναι εὐθέως λύονται C. Mox ἀπολοῦνται idem. [v] πτωκὸς B.D.F. πτωχοῦ A.E.H.I. πεπτωκότος Edd. Vocabulum deest in C. [w] μὲν om. C. [x] στερρῶν pro στερεῶν A.B.F.I. Mox φύσις om. C. [y] οὐδὲ C.D.E.H.I. Mox ἀλλ' pro καὶ I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πύργων καὶ πόλεων καὶ τείχους ἐν μείζονι καθίστησιν ἡμᾶς ἀσφαλείᾳ, πάντων ὑψηλοτέρα [z]γινομένη τῶν τοῦ διαβόλου μηχανημάτων· ὥσπερ οὖν ἡ ἀπόνοια καὶ τοῖς τυχοῦσιν εὐχειρώτους ποιεῖ, πομφόλυγος, ὥσπερ ἔφην, εὐκολώτερον ῥηγνυμένη, καὶ ἀράχνης [a]ταχύτερον σχιζομένη, καὶ καπνοῦ θᾶττον διαλυομένη. Ἵν' οὖν ἐπὶ τῆς [b]στερρᾶς πέτρας [c]ὦμεν βεβηκότες, ἐκείνην ἀφέντες, ταύτην ἐλώμεθα. Οὕτω γὰρ καὶ ἐν τῷ παρόντι βίῳ ἀνάπαυσιν εὑρήσομεν, καὶ κατὰ τὸν μέλλοντα αἰῶνα πάντων ἀπολαύσομεν τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΒ.

[1] Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει [a]πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη.

ΠΑΛΙΝ τῷ αὐτῷ ὑποδείγματι κέχρηται, ᾧ καὶ πρὸς Κορινθίους ἐχρήσατο, τὸ αὐτὸ τοῦτο καταστέλλων πάθος. Καὶ γὰρ μεγάλη τοῦ φαρμάκου ἡ δύναμις, καὶ τοῦ παραδείγματος [b]τούτου ἡ ἰσχὺς, εἰς τὸ διορθῶσαι τὸ τῆς ἀπονοίας νόσημα. Τίνος γὰρ ἕνεκεν [c]σὺ μέγα φρονεῖς, φησίν; ἢ διὰ τί πάλιν ἕτερος ἑαυτὸν ἐξεντελίζει; οὐχὶ σῶμά ἐσμεν ἅπαντες ἓν, καὶ μεγάλοι καὶ μικροί; Ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν, καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ σχίζεις σαυτόν; τί ἐπαισχύνῃ τὸν ἀδελφόν; Ὥσπερ [d]γὰρ ἐκεῖνός σου μέλος, οὕτω κἀκείνου σύ· καὶ πολλὴ [e]καὶ κατὰ τοῦτο ἡ ὁμοτιμία. Δύο γὰρ ἱκανὰ καθελεῖν αὐτῶν τὴν ἀπόνοιαν τέθεικε· καὶ ὅτι ἀλλήλων ἐσμὲν μέλη, οὐχ ὁ μικρὸς τοῦ μεγάλου μόνον, ἀλλὰ καὶ ὁ μέγας τοῦ ἐλάττονος, καὶ ὅτι ἓν ἐσμεν ἅπαντες σῶμα· μᾶλλον δὲ καὶ [f]τρία· καὶ γὰρ καὶ χάρισμα ἔδειξεν [g]ὂν τὸ δοθέν. Μὴ τοίνυν μέγα φρόνει· ἐδόθη γάρ σοι [h]παρὰ τοῦ θεοῦ, οὐ σὺ ἔλαβες, οὐδὲ εὗρες. Διὰ τοῦτο καὶ [i]τῶν χαρισμάτων ἀπτόμενος, οὐκ εἶπεν, ὅτι ὁ μὲν 664

[1] Cap. XII. v. 4, 5.

[z] γινομένη pro γενομένη A.B.D.E.H.I. [a] ταχύτερον] εὐκολώτερον C. [b] στερρᾶς (στερᾶς H.) omnes. στερεᾶς Edd. ante Ben. [c] ὦμεν]+ἀεὶ E. Hom. XXII. [a] τάξιν H. Cf. Tom. x. p. 258 D. Statim οὕτως καὶ οἱ π. C. [b] τούτου ἡ ἰσχὺς A.B.D.E.F.H.I. ἡ ἰσχὺς τούτου Edd. [c] σὺ om. A.B.E. F.H.I. Agnoscit Cat. Statim μέγα pro μεγάλα libri omnes et Cat. [d] γὰρ om. B.E. [e] καὶ om. C. [f] τρία] χάρισμα C. Haec μᾶλλον δὲ——χάρισμα om. A.H.I. [g] ὂν] Sic B.C.D.F.H.I. ὃν E. ἓν Veron. ἓν ὃν Sav. cet. ἔδειξε τὸ δοθὲν Cat. [h] παρὰ τ. θεοῦ ἔλαβες, οὐ σὺ εὗρες. διὰ τοῦτο C. [i] τῶν]+ἄλλων C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεῖζον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλὰ τί; [k]Διάφορον. "Ἔχοντες γὰρ, φησὶ, χαρίσματα," οὐ μεῖζονα καὶ ἐλάττονα, ἀλλὰ, "διάφορα." Τί γὰρ, εἰ [l]καὶ μὴ τὰ αὐτὰ ἐπετάγης; ἀλλὰ τὸ σῶμα τὸ αὐτό ἐστι. Καὶ ἀρξάμενος ἀπὸ χαρίσματος, εἰς [m]κατόρθωμα λήγει. Εἰπὼν γὰρ προφητείαν καὶ διακονίαν καὶ ὅσα τοιαῦτα, κατέληξεν εἰς ἐλεημοσύνην καὶ σπουδὴν καὶ ἀντίληψιν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν τινας ἐναρέτους μὲν εἶναι, μὴ ἔχειν δὲ προφητείαν, δείκνυσιν ὅτι καὶ [n]τοῦτο χάρισμα, καὶ
B πολλῷ μεῖζον ἐκείνου, ὥσπερ ἔδειξεν [o]ἐν τῇ πρὸς Κορινθίους· (179)
καὶ τοσούτῳ μεῖζον, ὅσῳ τὸ μὲν ἔχει μισθὸν, τὸ δὲ ἐστέρηται ἀμοιβῆς· ὅλον γὰρ δωρεὰ καὶ χάρις ἐστί. Διὰ τοῦτό φησιν·
2 "Ἔχοντες [p]δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσαν [q]ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως." Ἐπειδὴ γὰρ ἱκανῶς αὐτοὺς παρεμυθήσατο, βούλεται καὶ ἐναγωνίους ποιῆσαι, [r]καὶ σπουδαιοτέρους ἐργάσασθαι, δεικνὺς ὅτι αὐτοὶ τὰς ἀφορμὰς [s]παρέχουσι τοῦ μεῖζον ἢ ἔλαττον λαβεῖν. Λέγει μὲν γὰρ αὐτὸ καὶ παρὰ τοῦ θεοῦ δεδόσθαι· [t]ὡς ὅταν λέγῃ, "Ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον
C πίστεως·" καὶ πάλιν, "Κατὰ τὴν χάριν τὴν δοθεῖσαν [v]ἡμῖν" ἵνα καταστείλῃ τοὺς ὑπερηφάνους· λέγει δὲ καὶ παρ' αὐτῶν τὰς ἀρχὰς γεγενῆσθαι, ἵνα διεγείρῃ τοὺς ῥᾳθύμους· ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους [w]ποιεῖ, ἀμφότερα ταῦτα κινῶν. Ὅταν μὲν γὰρ λέγῃ, 3 "Ζηλοῦτε τὰ χαρίσματα," δείκνυσι καὶ αὐτοὺς ὄντας αἰτίους τῆς διαφορᾶς τῶν διδομένων· ὅταν δὲ λέγῃ, "Πάντα δὲ ταῦτα ἐνεργεῖ [x]ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται," ἐκεῖνο κατασκευάζει, τὸ μὴ δεῖν ἐπαίρεσθαι τοὺς εἰληφότας, πάντοθεν παραμυθούμενος αὐτῶν τὸ πάθος· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Καὶ πάλιν τοὺς ἀναπε-
D πτωκότας διεγείρων φησὶν, "Εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως." Εἰ γὰρ [y]καὶ χάρις ἐστὶν, ἀλλ' οὐχ ἁπλῶς ἐκχεῖται, ἀλλὰ τὰ μέτρα παρὰ τῶν δεχομένων λαμβάνουσα, τοσοῦτον ἐπιρρεῖ, ὅσον ἂν εὕρῃ σκεῦος πίστεως αὐτῇ

2 v. 6. 3 1 Cor. xii. 31, 11.

[k] διάφορα ex corr. B. διάφορα γὰρ ἔχοντες χαρίσματα, οὐ C. Verba ἀλλὰ τί——ἐλάττονα desunt in I. [l] καὶ μὴ pro μὴ καὶ omnes. [m] κατορθώματα A.D.E.F. [n] τοῦτο τὸ χάρισμα C.E. quod tacite recepit Montef. Statim καὶ om. C. [o] ἐν] καὶ ἐν C. [p] δὲ om. H. Mox verba τοῦ θεοῦ accesserunt ex A.D.E.F.H.I. et Mosqq. [q] ὑμῖν B.C.D.E. Mosq. 3. [r] Verba καὶ σπ. ἐργάσασθαι δεικνὺς et αὐτοὶ om. A.F.H.I. ἐργάσασθαι om. Cat. [s] ἔχωσι C. Statim μεῖζον ἢ ἔλαττον A.E.F.H.I. Cat. μείζονα ἢ ἐλάττονα (ἐλάττω B.C.) Edd. [t] ὡς om. A.F.H.I. [v] ὑμῖν B.C.D.I. [w] ἐποίει C. [x] τὸ ἓν C. Mox διαιροῦν ἰδίᾳ ἑκάστῳ idem. [y] καὶ om. H. Mox ἀλλ' om. A.B.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσενεχθέν. [4] "Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ." Καθολικὸν πρᾶγμα ἐνταῦθα τίθησι. Καὶ γὰρ ἡ ἀποστολὴ διακονία λέγεται· καὶ πᾶν [z]ἔργον πνευματικὸν διακονία. Ἔστι μὲν γὰρ καὶ ἰδικῆς οἰκονομίας [a]ὄνομα τοῦτο, ἐνταῦθα μέντοι καθολικῶς εἴρηται. "Εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ." Ὅρα πῶς ἀδιαφόρως [b]αὐτὰ τίθησι, τὸ μικρὸν πρῶτον, καὶ τὸ μέγα ὕστερον· [c]πάλιν τὸ αὐτὸ τοῦτο παιδεύων, [d]τὸ μὴ φυσᾶσθαι μηδὲ ἐπαίρεσθαι. [5] "Εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει." Καὶ τοῦτο διδασκαλίας εἶδος. [6] "Εἰ γάρ ἐστιν ἐν ὑμῖν λόγος παρακλήσεως, [e]φησὶ, πρὸς τὸν λαὸν, λέγετε." Εἶτα δεικνὺς, ὡς [f]οὐ μέγα ὄφελος ἀρετὴν μετιέναι, εἰ μὴ μετὰ τοῦ προσήκοντος [g]τοῦτο γίνοιτο νόμου, ἐπάγει· "Ὁ μεταδιδοὺς, ἐν ἁπλότητι." Οὐ γὰρ ἀρκεῖ τὸ δοῦναι, ἀλλὰ δεῖ [h]καὶ μετὰ δαψιλείας τοῦτο ποιεῖν. Ἁπλότητα γὰρ τοῦτο οἶδε πανταχοῦ· [i]ἐπεὶ καὶ αἱ παρθένοι ἔλαιον εἶχον, ἀλλ' ἐπειδὴ [k]ἀρκοῦν οὐκ εἶχον, τοῦ παντὸς ἐξέπεσον. "Ὁ προϊστάμενος, ἐν σπουδῇ." Οὐ γὰρ ἀρκεῖ τὸ [l]προστῆναι. "Ὁ ἐλεῶν, ἐν ἱλαρότητι." Οὐ γὰρ ἀρκεῖ τὸ ἐλεῆσαι, [m]ἀλλὰ μετὰ δαψιλείας καὶ γνώμης ἀλύπου τοῦτο δεῖ ποιεῖν· μᾶλλον δὲ [n]οὐ μετὰ ἀλύπου [o]μόνον, ἀλλὰ καὶ μετὰ φαιδρᾶς καὶ χαιρούσης. Οὐ γάρ ἐστιν ἴσον μὴ λυπεῖσθαι, καὶ χαίρειν. Τοῦτο δὲ αὐτὸ καὶ πρὸς Κορινθίους ἐπιστέλλων, μετὰ πολλῆς [p]κατεσκεύαζε σπουδῆς. Εἰς μὲν γὰρ δαψίλειαν διεγείρων, ἔλεγεν· [7] "Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει·" τὴν δὲ γνώμην [q]διορθούμενος, προσετίθει· "Μὴ ἐκ λύπης, [r]ἢ ἐξ ἀνάγκης." Ἀμφότερα γὰρ δεῖ παρεῖναι τῷ ἐλεοῦντι, καὶ ἀφθονίαν καὶ ἡδονήν. Τίνος γὰρ ἕνεκεν κλαίεις διδοὺς [s]ἐλεημοσύνην; τί δὲ ἀλγεῖς ἐλεῶν, καὶ τὸν καρπὸν [t]προδίδως τοῦ κατορθώματος; Εἰ γὰρ ἀλγεῖς, οὐκ ἐλεεῖς, ἀλλ' ὠμὸς εἶ καὶ ἀπάνθρωπος. Εἰ γὰρ σὺ ἀλγεῖς, πῶς ἐκεῖνον ἐν λύπῃ ὄντα διαναστῆσαι [v]δυνήσῃ; Ἀγαπητὸν γὰρ, B

[4] v. 7. [5] v. 8. [6] Act. xiii. 15. [7] 2 Cor. ix. 6, 7.

[z] ἔργον πνευματικὸν (πνευματικὸς F.)] Sic libri omnes et Cat. ἀγαθὸν πνευματικὸν ἔργον Edd. [a] ὄνομα] ἕνεκα C. [b] αὐτὰ τίθησι] ἀνατίθησι H. αὐτὸ τίθησι C. [c] πάλιν] καὶ πάλιν D.E. [d] τὸ om. C. [e] φησὶ om. A.D.E. H.I. φησὶν λόγος π. C. [f] οὐ μέγα] οὐδὲν C. [g] τοῦτο γίνοιτο νόμου] γένοιτ' ἂν εἱρμοῦ C. [h] καὶ om. E.F.H.I. [i] ἐπειδὴ C. [k] τὸ ἀρκοῦν C. Mox ἐξέπεσαν C.F.I. [l] προστῆναι]+ἂν μὴ μετὰ σπουδῆς καὶ προθυμίας τοῦτο ποιῇ D.E. Haec in textum recepit Montef. [m] ἀλλὰ καὶ μετὰ Edd. καὶ om. A.C.D.E.F.H.I. Cat. [n] οὐ] οὐδὲ I. [o] δεῖ μόνον Edd. δεῖ deest in omnibus. [p] κατεσκεύασε C. [q] διορθούμενος om. I. [r] ἢ] μηδὲ B. [s] ἐλεημοσύνην om. a pr. man. C. Mox ὁ ἐλεῶν idem. [t] προδίδως omnes. προδιδοὺς Edd. [v] δύνασαι C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηδὲν ὑποπτεῦσαι ἐκεῖνον πονηρὸν, καὶ ὅταν μετὰ τοῦ χαίρειν παρέχῃς. Ἐπειδὴ γὰρ οὐδὲν οὕτως αἰσχρὸν ἀνθρώποις εἶναι
C δοκεῖ, ὡς τὸ παρ' ἑτέρων λαμβάνειν, ἂν μὴ τῇ ὑπερβαλλούσῃ φαιδρότητι τὴν ὑποψίαν ἀνέλῃς, καὶ δείξῃς, ὅτι λαμβάνεις μᾶλλον ἢ δίδως, [w]κατέβαλες μᾶλλον ἢ ἀνέστησας τὸν λαμβάνοντα. Διὰ τοῦτό φησιν, "Ὁ ἐλεῶν, ἐν ἱλαρότητι." Τίς γὰρ βασιλείαν λαμβάνων, σκυθρωπός ἐστι; τίς ἁμαρτημάτων [x]συγχώρησιν δεχόμενος, ἐν κατηφείᾳ μένει; Μὴ τοίνυν τῇ δαπάνῃ [y]πρόσεχε τῶν χρημάτων, ἀλλὰ τῇ διὰ τῆς δαπάνης προσόδῳ. Εἰ γὰρ ὁ σπείρων χαίρει, καίτοιγε ἐπ' ἀδήλοις σπείρων, πολλῷ μᾶλλον ὁ τὸν οὐρανὸν γεωργῶν. [z]Οὕτω κἂν (180)
D ὀλίγα δῷς, πολλὰ δώσεις· ὥσπερ οὖν [a]ἂν μετὰ σκυθρωπότητος, κἂν πολλὰ δῷς, ὀλίγα [b]πεποίηκας τὰ πολλά. Οὕτω καὶ ἡ χήρα πολλὰ τάλαντα ὑπερηκόντισε διὰ δύο λεπτῶν· δαψιλὴς γὰρ [c]ἦν ἡ γνώμη. Καὶ πῶς ἔνι, φησὶ, πενίᾳ συζῶντα ἐσχάτῃ, καὶ πάντα [d]κενοῦντα, μετὰ προθυμίας τοῦτο ποιεῖν; Ἐρώτησον τὴν χήραν, [e]καὶ ἀκούσῃ τὸν τρόπον, καὶ εἴσῃ ὅτι οὐχ ἡ πενία ποιεῖ τὴν στενοχωρίαν, ἀλλ' ἡ προαίρεσις καὶ τοῦτο καὶ [f]τοὐναντίον ἐργάζεται. Ἔστι γὰρ καὶ ἐν πενίᾳ μεγαλόψυχον εἶναι, καὶ ἐν πλούτῳ μικρολόγον. Διὰ τοῦτο καὶ ἐν τῇ μεταδόσει τὴν ἁπλότητα ζητεῖ, καὶ ἐν τῷ ἐλέῳ τὴν ἱλαρότητα, καὶ
E ἐν τῇ προστασίᾳ τὴν σπουδήν. Οὐδὲ γὰρ χρήμασι μόνον βούλεται [g]τοῖς δεομένοις ἡμᾶς βοηθεῖν, ἀλλὰ καὶ ῥήμασι καὶ πράγμασι καὶ [h]σώματι, καὶ τοῖς ἄλλοις ἅπασι. Καὶ εἰπὼν τὴν προηγουμένην προστασίαν, τὴν διὰ τῆς διδασκαλίας, τὴν διὰ τῆς παρακλήσεως· αὕτη γὰρ ἀναγκαιοτέρα, ὅσῳ καὶ ψυχῆς [i]ἐστι τροφή· ἦλθεν ἐπὶ τὴν διὰ τῶν χρημάτων [k]καὶ τῶν ἄλλων ἁπάντων. Εἶτα δεικνὺς πῶς ἂν ταῦτα κατορθωθείη, τὴν μητέρα αὐτῶν εἰσάγει, τὴν ἀγάπην. [8]"Ἡ ἀγάπη γὰρ, φησὶν, ἀνυπόκριτος." [l]Ἂν ταύτην ἔχῃς, οὐ δαπάνης [l]αἰσθήσῃ χρημάτων, οὐ
674 πόνου σωμάτων, [m]οὐ μόχθου λόγων, οὐχ ἱδρῶτος [n]καὶ διακονίας, ἀλλὰ πάντα οἴσεις γενναίως, κἂν [o]σώματι, κἂν χρήμασι, κἂν

[8] v. 9.

[w] καὶ κατέβαλες Edd. καὶ om. A.C.D.E.F.H.I. et ex corr. B. [x] συγχ. δεχ. pro δεχ. συγχ. omnes. [y] πρόσεχε τῶν χρ. pro τῶν χρ. πρόσεχε A.B. D.E.F.H.I. μὴ τοίνυν δαπάνῃ προσεχέτω χρημάτων C. [z] οὕτω γὰρ Edd. γὰρ om. A.B.C.D.E.F.H. [a] ἂν accessit ex A.B.D.E.F.I. [b] ἐποίησας B.C. [c] ἦν accessit ex omnibus. [d] ποιοῦντα C. [e] καὶ ἀ. τὸν τρόπον om. C. [f] τοὐναντίον ἅπαν Edd. ἅπαν om. A.D.E.F.H.I. [g] τοῖς δ. ἡμᾶς βοηθεῖν] ἡμᾶς τοῖς δ. ἐπαρκεῖν C. [h] σώμασι A.C. [i] ἐστι τροφὴ] ἐπιστροφὴ B. ἐστὶν ἡ τροφὴ C. [k] καὶ τὴν διὰ τῶν ἄλλων (ἄλλων om. C.) πραγμάτων B.C. Cat. [l] δεηθήσῃ B.D.E. Statim οὐ χρημάτων A.C.D.I. [m] οὐ μόχθου] οὐκ ὄχλου C. [n] καὶ om. B. Mox οἴσει H. οἴσῃ B. οἴσοι E. [o] σώμασι I. κἂν χρήμασι κἂν σώμασι inverso ord. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγῳ, κἂν ἑτέρῳ ὁτῳοῦν βοηθῆσαι δέῃ τῷ πλησίον. Ὥσπερ οὖν οὐ μετάδοσιν ἀπαιτεῖ μόνον, [p]ἀλλὰ τὴν ἐν ἁπλότητι, οὐδὲ προστασίαν, ἀλλὰ τὴν μετὰ σπουδῆς, οὐδὲ [q]ἐλεημοσύνην, ἀλλὰ τὴν μετὰ ἱλαρότητος· οὕτω καὶ ἀγάπην οὐχ ἁπλῶς, ἀλλὰ τὴν ἀνυπόκριτον· ἐπεὶ καὶ τοῦτο [r]ἀγάπη· κἂν [s]τοῦτο γένηται, πάντα τὰ ἄλλα ἕπεται. Καὶ γὰρ ὁ ἐλεῶν, ἱλαρῶς ἐλεεῖ· ἑαυτῷ γὰρ δίδωσι· καὶ ὁ προϊστάμενος, σπουδαίως προΐσταται· ἑαυτοῦ γὰρ προΐσταται· καὶ ὁ μεταδιδοὺς, μετὰ δαψιλείας τοῦτο ποιεῖ· ἑαυτῷ γὰρ παρέχει. B

Εἶτα ἐπειδή ἐστι καὶ ἀγάπη ἐπὶ πονηροῖς πράγμασιν, οἷα ἡ τῶν ἀκολάστων ἐστὶν, ἡ τῶν ἐπὶ χρήμασι καὶ ἁρπαγαῖς ὁμονοούντων, [t]ἡ τῶν [v]ἐπὶ μέθαις καὶ συμποσίοις, ἐκκαθαίρων αὐτὴν ἀπὸ τούτων, φησίν· "Ἀποστυγοῦντες τὸ πονηρόν." [w]Καὶ οὐκ εἶπεν, ἀπεχόμενοι, [x]ἀλλὰ, μισοῦντες, καὶ οὐχ ἁπλῶς μισοῦντες, ἀλλὰ [y]καὶ σφόδρα μισοῦντες. Τὸ γὰρ, ἀπὸ, τοῦτο, [z]ῥῆμα πολλαχοῦ ἐπιτάσεώς ἐστι παρ' αὐτῷ· ὡς ὅταν λέγῃ ἀποκαραδοκίαν, καὶ ἀπεκδεχόμενοι, καὶ ἀπολύτρωσιν. Ἐπειδὴ γὰρ [a]πολλοὶ καὶ μὴ πράττοντες τὰ κακὰ, ὅμως τὴν ἐπιθυμίαν αὐ- C
τῶν ἔχουσι, διὰ τοῦτο εἶπεν, "ἀποστυγοῦντες." Αὐτὸς [b]γὰρ καὶ τὴν διάνοιαν καθαρεύειν βούλεται, καὶ πολλὴν ἡμᾶς ἔχθραν ἔχειν πρὸς τὴν κακίαν, καὶ μῖσος καὶ πόλεμον. Μὴ γὰρ, ἐπειδὴ εἶπον, φησὶν, "Ἀγαπήσατε ἀλλήλους," νομίσητε μέχρι τούτου λέγειν, ὡς καὶ ἐν τοῖς πονηροῖς συμπράττειν ἀλλήλοις· τοὐναντίον γὰρ ἅπαν νομοθετῶ· οὐ μόνον τῆς πράξεως, ἀλλὰ καὶ τῆς διαθέσεως τῆς περὶ τὴν κακίαν ἀλλότριον εἶναι· καὶ οὐ μόνον τῆς διαθέσεως αὐτῆς ἀλλότριον εἶναι, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς
[c]αὐτὴν ἀποστρέφεσθαι καὶ μισεῖν. Καὶ οὐκ ἀρκεῖται μόνῳ D
τούτῳ, ἀλλὰ καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν [d]εἰσάγει λέγων· "Κολλώμενοι τῷ ἀγαθῷ." Οὐκ εἶπε, ποιοῦντες μόνον, ἀλλὰ καὶ διακείμενοι· τοῦτο γὰρ [e]τῷ κελεῦσαι κολλᾶσθαι ἐδήλωσεν. Οὕτω καὶ ὁ θεὸς συνάπτων τὸν ἄνδρα τῇ γυναικὶ, ἔλεγε· [g]"[f]Προσ-

[g] Gen. ii. 24.

[p] ἀλλὰ]+καὶ B.C.D. [q] τὴν ἐλ. Edd. τὴν om. A.B.C.D.E.F.I. Post ἀνυπόκριτον deest folium in E. usque ad v. τουτέστιν p. 675 D. [r] ἡ ἀγάπη C. [s] ταῦτα I. [t] ἡ] ἢ D. [v] ἐπὶ μέθαις] ἐπιθυμίαις C. [w] καὶ om. C. [x] ἀλλὰ]+ἀποστυγοῦντες ὅ ἐστι D. [y] καὶ om. A.B.F.H. invita Cat. καὶ οὐχ ἁπλῶς—σφόδρα μισοῦντες] καὶ σφόδρα μισοῦντες C. ἀλλὰ σφ. μισοῦντες καὶ οὐχ ἁπλῶς I. [z] ῥῆμα, quod aberat, est in B.C.D. Cat. τὸ ῥῆμα est in A.F.H.I. [a] πολλοὶ καὶ] καὶ πολλοὶ C. [b] γὰρ accessit ex A.C.D.F.H.I. Mox βουλόμενος pro βούλεται B. Verba καὶ τὴν διάνοιαν—καὶ πολλὴν om. I. [c] αὐτὴν]+τέθεικεν C. Statim μισεῖν καὶ ἀποστρ. καὶ μισεῖν πάλιν. καὶ οὐκ ἀρκεῖται μόνον τούτῳ I. [d] εἰσάγει A.B.D.F.H.I. ἐπάγει Edd. [e] τῷ pro τὸ A.B.C.D.F.I. [f] προσκολληθήσεται]+φησὶ A.F.H.I. +γὰρ Edd. +γάρ φησι B. Nec γὰρ nec φησὶ agnoscunt C.D. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ." Εἶτα [g] καὶ αἰτίας λέγει, δι' ἃς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. [10] "Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι." Ἀδελφοί, φησὶν, ἐστὲ, καὶ [h] τὰς αὐτὰς ὠδῖνας ἐλύσατε· οὐκοῦν [i] καὶ διὰ τοῦτο δίκαιοι ἂν εἴητε φιλεῖν ἀλλήλους. Τοῦτο καὶ Μωϋσῆς [k] ἔλεγε τοῖς ἐν Αἰγύπτῳ μαχομένοις· [11] "Ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους;" Ὅταν μὲν οὖν περὶ τῶν ἔξω λέγῃ, "Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων [l] εἰρηνεύετε," φησίν· ὅταν δὲ περὶ τῶν οἰκείων διαλέγηται, "Τῇ φιλαδελφίᾳ, [m] φησὶν, εἰς ἀλλήλους φιλόστοργοι." [n] Ἐκεῖ μὲν γὰρ τὸ μὴ μάχεσθαι (181) ζητεῖ, μηδὲ μισεῖν καὶ ἀποστρέφεσθαι· ἐνταῦθα δὲ καὶ τὸ φιλεῖν, καὶ οὐχ ἁπλῶς φιλεῖν, ἀλλὰ καὶ στέργειν. Οὐ γὰρ [o] δὴ μόνον, φησὶν, ἀνυπόκριτον εἶναι χρὴ τὴν ἀγάπην, ἀλλὰ καὶ ἐπιτεταμένην καὶ θερμὴν καὶ διάπυρον. Τί γὰρ ὄφελος, ἂν ἀγαπᾷς μὲν ἀδόλως, μὴ θερμῶς δὲ ἀγαπᾷς; Διὸ καὶ εἶπεν, 675 "εἰς ἀλλήλους φιλόστοργοι·" τουτέστι, [p] καὶ φίλει, καὶ θερμῶς φίλει. [q] Μὴ μένε φιλεῖσθαι παρ' ἑτέρου, ἀλλ' αὐτὸς ἐπιπήδα [r] τούτῳ καὶ κατάρχου· οὕτω γὰρ καὶ τῆς ἐκείνου φιλίας τὸν μισθὸν καρπώσῃ. Εἰπὼν τοίνυν τὴν αἰτίαν, δι' ἣν ὀφείλομεν ἀλλήλους φιλεῖν, λέγει καὶ πῶς ἂν γένοιτο τὰ τῆς φιλίας ἀκίνητα· διὸ καὶ [s] ἐπάγει· "Τῇ τιμῇ ἀλλήλους προηγούμενοι." Οὕτω γὰρ φιλία [t] καὶ γίνεται, καὶ [v] γενομένη μένει. [w] Καὶ οὐδὲν οὕτω φίλους ποιεῖ, ὡς τὸ σπουδάζειν τῇ τιμῇ νικᾶν Β τὸν [x] πλησίον. Οὐ φιλία δὲ μόνον, ἀλλὰ καὶ τιμὴ μείζων [y] ἐντεῦθεν γίνεται. Τὰ μὲν γὰρ εἰρημένα πρότερον ἀπὸ τῆς ἀγάπης, ἡ δὲ ἀγάπη ἀπὸ τῆς τιμῆς, ὥσπερ οὖν καὶ τιμὴ ἀπὸ τῆς ἀγάπης. Εἶτα ἵνα μὴ τιμῶμεν μόνον, [z] καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ λέγων· [12] "Τῇ σπουδῇ μὴ ὀκνηροί." Καὶ γὰρ καὶ τοῦτο ἀγάπην τίκτει, ὅταν μετὰ τῆς [a] τιμῆς καὶ προστασίαν ἐπιδειξώμεθα. Οὐδὲν γὰρ οὕτως [b] ὡς τιμὴ καὶ πρόνοια τὸ φιλεῖσθαι ποιεῖ. Οὐ γὰρ ἀρκεῖ τὸ φιλεῖν, ἀλλὰ δεῖ καὶ [c] τούτου· μᾶλλον δὲ [d] ἐκ τοῦ φιλεῖν καὶ τοῦτο γίνεται, ὥσπερ οὖν

[10] v. 10. [11] Exod. ii. 13. [12] v. 11.

[g] καὶ] +δύο C. [h] τὰς αὐτὰς ὠ. ἐλύσατε] Sic omnes. τὰς ὠ. ἐλύσατε τὰς αὐτὰς Edd. [i] καὶ om. C. [k] ἔλεγε om. I. [l] εἰρηνεύσατε A.F.H.I. [m] φησὶν om. C.F.H.I. Cat. [n] Ab ἐκεῖ μὲν γὰρ usque ad κατάρχου omnia desunt in C. [o] δὴ] δεῖ F.H. [p] Verba καὶ φίλει, quae aberant, ex Catena assumsimus. [q] μὴ] καὶ μὴ B.D. [r] τούτῳ om. I. [s] ἐπάγει] +λέγων I. [t] καὶ om. A. [v] γενομένη A.D.F.H. Cat. γινομένη Edd. [w] καὶ om. A.F.H.I. [x] πλησίον] φίλον C. [y] ἐνταῦθα I. [z] καὶ] ἀλλὰ καὶ C. [a] τιμῆς] σπουδῆς A.D.F.H.I. Cat. Statim προστασίαν pro προστασίας A.B.C.D.I. Cat. [b] ὡς καὶ τιμὴ Edd. καὶ deest in omnibus. [c] τούτων C.D. [d] ἐκ τοῦ φ. καὶ (καὶ om. I.) τοῦτο pro καὶ τοῦτο ἐκ τοῦ φ. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸ φιλεῖν ἀπὸ [e]τούτου διαθερμαίνεται, καὶ ἀλλήλων ἐστὶ C
κατασκευαστικά. Καὶ γάρ εἰσι πολλοὶ κατὰ διάνοιαν μὲν
φιλοῦντες, [f]οὐκ ὀρέγοντες δὲ χεῖρα. Διὰ τοῦτο πάνταθεν
οἰκοδομεῖ τὴν ἀγάπην. Καὶ πῶς ἂν γενοίμεθα τῇ σπουδῇ μὴ
ὀκνηροί; "Τῷ πνεύματι ζέοντες." [g]Ὅρα πῶς πανταχοῦ τὰς
ἐπιτάσεις ζητεῖ. Οὐ γὰρ εἶπε, μεταδίδοτε, μόνον, ἀλλὰ μετὰ
δαψιλείας, οὐδὲ προΐστασθε, ἀλλὰ μετὰ σπουδῆς, οὐδὲ ἐλεεῖτε,
ἀλλ' ἱλαρῶς, οὐδὲ τιμᾶτε, ἀλλὰ προηγεῖσθε, οὐδὲ ἀγαπᾶτε,
ἀλλ' ἀνυποκρίτως, οὐδὲ ἀπέχεσθε τῶν κακῶν, ἀλλὰ μισεῖτε,
οὐδὲ ἔχεσθε τῶν ἀγαθῶν, ἀλλὰ κολλᾶσθε, οὐδὲ φιλεῖτε, ἀλλὰ D
φιλοστόργως, οὐδὲ σπουδάζετε, ἀλλὰ μὴ ὀκνηρῶς, οὐδὲ τὸ
πνεῦμα ἔχετε, ἀλλὰ [h]ζέον τὸ πνεῦμα, τουτέστιν, ἵνα ἦτε θερμοὶ
[i]καὶ διεγηγερμένοι. [j]Ἐὰν γὰρ ἐκεῖνα [k]ἔχῃς τὰ προειρημένα,
ἐπισπάσῃ τὸ πνεῦμα· ἐὰν [l]μένῃ τοῦτο παρὰ σοί, καὶ πρὸς
ἐκεῖνά σε σπουδαῖον [m]ἐργάσεται, καὶ πάντα εὔκολα ἀπὸ τοῦ
πνεύματος καὶ τῆς ἀγάπης ἔσται, ἐκατέρωθέν σου πεπυρωμένου.
Οὐχ ὁρᾷς [n]τοὺς ταύρους τοὺς φλόγα ἐπὶ τοῦ νώτου φέροντας,
πῶς πᾶσίν εἰσιν ἀφόρητοι; Οὕτω καὶ σὺ τῷ διαβόλῳ ἀφό-
ρητος [o]ἔσῃ, ἂν [p]ἑκατέραν λάβῃς τὴν φλόγα. "Τῷ κυρίῳ
δουλεύοντες." Διὰ γὰρ τούτων ἁπάντων ἔστι [q]δουλεῦσαι τῷ E
θεῷ. Ὅσα γὰρ ἂν ποιήσῃς [r]εἰς τὸν ἀδελφὸν, εἰς τὸν δεσπό-
την σου διαβαίνει· καὶ ὡς αὐτὸς εὖ πεπονθὼς, οὕτω σοι τὸν
μισθὸν λογιεῖται. Εἶδες ποῦ τὸ φρόνημα ἀνήνεγκε τοῦ ταῦτα
ἐργαζομένου; Εἶτα [s]δεικνὺς πῶς ἂν ἀναφθείη τοῦ πνεύματος
ἡ φλόξ, φησί· [13] "Τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομέ-
νοντες, τῇ προσευχῇ προσκαρτεροῦντες." Ταῦτα γὰρ [t]πάντα
ὑπεκκαύματά ἐστι τοῦ πυρὸς ἐκείνου. Ἐπειδὴ γὰρ [u]καὶ χρη-
μάτων δαπάνην ἀπήτησε, καὶ σωμάτων πόνον, καὶ [w]προστασίαν
καὶ σπουδὴν καὶ διδασκαλίαν, καὶ τὰ [x]ἄλλα τὰ ἐπίπονα, ἀλεί-
φει πάλιν τὸν ἀθλητὴν μετὰ τῆς ἀγάπης, μετὰ τοῦ πνεύματος,
[y]διὰ τῆς ἐλπίδος. Οὐδὲν γὰρ οὕτως [z]ἀνδρείαν καὶ παράβολον 676

[13] v. 12.

[e] τούτων C. Statim διαθερμαίνεται B.C.D.F.H.I. Cat. θερμαίνεται Edd. [f] οὐκ. ὀρ. δὲ pro καὶ οὐκ ὀρ. omnes. [g] ὁρᾷς C.H. Cat. [h] ζέον τὸ πν.] ζέοντες τῷ πνεύματι C.I. [i] καὶ om. I. [k] σχῇς C. [l] μένῃ] μὲν E. μὲν ᾖ Veron. [m] ἐργάσηται F.H. Mox ἔσται post εὔκολα transp. D.E. [n] τοὺς τοῦ σταυροῦ τὴν φλόγα ἐπὶ τοῦ μετώπου φέροντας C. [o] ἔσῃ om. C. [p] ἑκατέρωθεν C.D. [q] δουλεύειν A.C. Cat. [r] εἰς om. C. [s] δεικνὺς om. A.F.H.I. Statim ἂν om. C.I. [t] πάντα A.C.F.H.I. Cat. ἅπαντα Edd. Mox εἰσὶ pro ἐστὶ C. [u] καὶ om. B. [w] προστασίαν]+τῶν δομένων (δεομένων?) I. [x] ἄλλα]+πάντα I. Mox πάλιν om. C. [y] διὰ] μετὰ C. [z] ἀνδρεῖον H. ἀνδρίαν A.B.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[a]πρὸς ἅπαντα ποιεῖ τὴν ψυχὴν, ὡς ἐλπὶς χρηστή. Εἶτα καὶ πρὸ τῶν ἐλπιζομένων [b]ἀγαθῶν ἕτερον πάλιν δίδωσιν ἔπαθλον. Ἐπειδὴ γὰρ [c]ἡ ἐλπὶς τῶν μελλόντων ἦν, φησὶ, "Τῇ θλίψει ὑπομένοντες." Καὶ γὰρ πρὸ τῶν μελλόντων, ἐν τῷ παρόντι μέγα καρπώσῃ καλὸν ἀπὸ τῆς θλίψεως, τὸ καρτερικὸς καὶ δόκιμος [d]γίνεσθαι. Μετὰ δὲ τοῦτο καὶ [e]ἑτέραν παρέχει βοήθειαν, λέγων, "Τῇ προσευχῇ προσκαρτεροῦντες." Ὅταν οὖν καὶ ἀγάπη εὔκολον ποιῇ, καὶ [f]πνεῦμα βοηθῇ, καὶ ἐλπὶς κουφίζῃ,
B καὶ θλῖψις δόκιμον [g]ἐργάζηται καὶ ἐπιτήδειον πρὸς τὸ φέρειν πάντα γενναίως, καὶ ἔχῃς [h]μετὰ τούτων καὶ ἕτερον [i]ὅπλον (182)
μέγιστον, τὴν προσευχὴν καὶ τὴν ἀπὸ τῆς δεήσεως βοήθειαν, τί λοιπὸν [k]ἔσται ἐπίπονον τῶν ἐπιταττομένων; Οὐδέν. Εἶδες [l]πῶς πανταχόθεν ἔστησε τὸν ἀθλητὴν, καὶ πολὺ κοῦφα ἔδειξε τὰ ἐπιτάγματα; Σκόπει πάλιν [m]πῶς τῆς ἐλεημοσύνης ἐπιλαμβάνεται· μᾶλλον δὲ οὐχ ἁπλῶς ἐλεημοσύνης, ἀλλὰ τῆς εἰς τοὺς ἁγίους. Ἄνω μὲν γὰρ εἰπὼν, "Ὁ ἐλεῶν, ἐν ἱλαρότητι," πᾶσι τὴν χεῖρα ἀνέῳξεν· ἐνταῦθα μέντοι [n]ὑπὲρ τῶν πιστῶν φησι. Διὸ καὶ ἐπάγει λέγων, [14] "Ταῖς χρείαις τῶν ἁγίων
C κοινωνοῦντες." Οὐκ εἶπε, παρέχετε αὐτῶν ταῖς χρείαις, [o]ἀλλὰ, κοινωνεῖτε αὐτῶν ταῖς χρείαις, δεικνὺς ὅτι μείζονα λαμβάνουσιν ἢ [p]διδόασι, καὶ ὅτι ἐμπορία τὸ πρᾶγμά ἐστι· [q]κοινωνία γάρ ἐστιν. Εἰσφέρεις [r]σὺ χρήματα; Εἰσφέρουσί σοι παρρησίαν [s]τὴν πρὸς τὸν θεὸν ἐκεῖνοι. "Τὴν φιλοξενίαν διώκοντες." Οὐκ εἶπεν, ἐργαζόμενοι, ἀλλὰ, "διώκοντες," [t]παιδεύων ἡμᾶς μὴ ἀναμένειν [v]τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν.

[w]Οὕτως ὁ Λὼτ, οὕτως ὁ Ἀβραὰμ ἐποίησε. Καὶ γὰρ τὴν ἡμέραν εἰς τοῦτο ἀνάλωσεν ἀναμένων τὴν καλὴν ταύτην θήραν,

[14] v. 13.

[a] πρὸς ἅπαντα om. A. C. E. F. H. I. πρὸς πάντα Cat. Statim ποιεῖται C. [b] ἀγαθῶν pro χρηστῶν omnes. Mox δίδωσιν ἔπαθλον pro ἔπαθλον δίδωσιν omnes. [c] ἡ ἐλπὶς om. B. [d] γενέσθαι B.D. [e] ἑτέραν]+πάλιν C.D. [f] τὸ πνεῦμα C.D. [g] ἀπεργάζηται I. [h] μετὰ] καὶ μετὰ I. Statim τούτου C. [i] ὅπλον μέγ.] μέγ. ὅπλον B.C.D. [k] ἐστιν I. [l] πῶς]+καὶ Edd. καὶ om. B.C.D.E.F.H.I. [m] πῶς ἐλεημοσύνης μέμνηται, ἀλλὰ τῆς εἰς τοὺς ἁγίους C. [n] ὑπὲρ] περὶ I. [o] Haec ἀλλὰ——χρείαις desunt in B.I. [p] διδόασι pro διδοῦσιν omnes. Statim καὶ accessit ex A.B.C.D.E.H.I. Cat. [q] κ. γάρ ἐστιν om. C. [r] σὺ om. C. [s] τὴν πρὸς τ. θ. ἐκεῖνοι A.B.D.E.F.H.I. Cat. ἐκεῖνοι τὴν πρὸς τ. θ. Edd. εἰσφέρουσί σοι τὴν πρὸς θεὸν δόξαν ἐκεῖνα C. [t] παιδεύων ἡμᾶς μὴ] οὐ γὰρ βούλεται ἡμᾶς I. [v] τοῖς δεομένοις H. τοὺς ξένους I. Statim verba πότε πρὸς ἡμᾶς ἔλθωσιν om. I. [w] ΗΘΙΚΟΝ. Περὶ φιλοξενίας καὶ ἐλεημοσύνης· καὶ ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς προσιόντας, οὐδὲ ὑβρίζειν καὶ μιαίνειν τὴν γλῶτταν τὴν τῶν ἁγίων ἀπολαύουσαν μυστηρίων. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἰδὼν ἀνεπήδησε, καὶ εἰς ἀπάντησιν ἔδραμε, καὶ προσεκύνησεν D
ἐπὶ τὴν γῆν, καὶ εἶπε· 15 "Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ
παρέλθῃς τὸν [x]παιδά σου." Οὐ καθάπερ ἡμεῖς, ἐπειδὰν ἴδωμεν ξένον ἢ πένητα, τὰς ὀφρῦς ἀνασπῶμεν, καὶ οὐδὲ προσρήσεως ἀξίους αὐτοὺς [y]εἶναι νομίζομεν· κἂν μετὰ μυρίας ἱκετηρίας μαλαχθέντες κελεύσωμεν [z]δοῦναι τὸν οἰκέτην μικρὸν ἀργύριον, τὸ πᾶν κατωρθωκέναι νομίζομεν. Ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλ' [a]ἱκέτου σχῆμα ἀνέλαβε καὶ οἰκέτου, καίτοιγε οὐκ εἰδὼς τίνας ἔμελλεν ὑποδέχεσθαι. Ἡμεῖς δὲ σαφῶς εἰδότες ὅτι τὸν Χριστὸν ὑποδεχόμεθα, οὐδὲ ταύτῃ γινόμεθα ἥμεροι. Ἀλλ' ἐκεῖνος E
μὲν καὶ παρακαλεῖ καὶ ἱκετεύει καὶ προσκυνεῖ, ἡμεῖς δὲ ὑβρίζομεν τοὺς προσιόντας ἡμῖν· καὶ ὁ μὲν δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς πάντα ἀνύει, ἡμεῖς δὲ οὐδὲ διὰ τῶν οἰκετῶν. Εἰ δὲ καὶ τὴν τράπεζαν [b]βουληθείης ἰδεῖν, ἣν παρέθηκε, πολλὴν καὶ ἐνταῦθα ὄψει τὴν φιλοτιμίαν· [c]τὴν δὲ φιλοτιμίαν οὐχ ἡ περιουσία τῶν χρημάτων, ἀλλ' ὁ τῆς προαιρέσεως ἐποίει πλοῦτος. Πόσοι γοῦν τότε εὔποροι ἦσαν; [d]Ἀλλ' οὐδεὶς τοιοῦτον οὐδὲν ἐποίησε. Πόσαι χῆραι ἦσαν ἐν τῷ Ἰσραήλ; Ἀλλ' [e]αὐδεμία ἐξένισε τὸν [f]Ἠλίαν. [g]Πόσοι εὔποροι πάλιν ἦσαν ἐπὶ τοῦ Ἐλισσαίου; Ἀλλ' ἡ [h]Σουμανῖτις τὸν καρπὸν τῆς φιλοξενίας 677
ἐτρύγα μόνη· ὥσπερ οὖν καὶ ὁ Ἀβραὰμ τότε· [i]ὃν μετὰ τῆς δαψιλείας καὶ τῆς προθυμίας [k]καὶ διὰ τοῦτο μάλιστα ἄξιον θαυμάζειν, ὅτι [l]μηδὲ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ταῦτα ἐποίει. Μὴ τοίνυν μηδὲ σὺ πολυπραγμόνει· [m]διὰ γὰρ τὸν Χριστὸν δέχῃ· κἂν μέλλῃς ἀεὶ περιεργάζεσθαι, πολλάκις καὶ δόκιμον ἄνδρα [n]παραδραμῇ, καὶ τὸν ἐκ τούτου μισθὸν ἀπολεῖς. Καίτοι ὁ μὲν μὴ δόκιμον δεχόμενος οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ μισθὸν ἔχει· 16 "Ὁ δεχόμενος [o]γὰρ προφήτην εἰς ὄνομα προ- B
φήτου, μισθὸν προφήτου λήψεται·" ὁ δὲ ἐκ τῆς ἀκαίρου ταύτης

15 Gen. xviii. 3. 16 Matth. x. 41.

[x] παῖδα] δοῦλον C. [y] εἶναι νομίζομεν pro νομίζομεν εἶναι omnes. Statim κἂν δὲ μετὰ C. [z] δοῦναι τὸν οἰκέτην A.E.F.H.I. τὸν οἰκέτην δοῦναι B.C.D. τοῖς οἰκέταις δοῦναι Edd. [a] οἰκέτου C. Mox καὶ οἰκέτου om. idem. [b] βουληθείης ἰδεῖν] βούλει μαθεῖν C. [c] τὴν δὲ φ. οὐχ ἡ περιουσία τῶν χρημάτων] Sic A.D.E.F.H. ἦν οὐχ (οὐχὶ C.) ἡ π. τῶν χρ. B.C.I. οὐχ ἦν ὁ τῆς περιουσίας ἐποίει τρόπος Edd. Mox ἐποίει, quod aberat, est in libris omnibus. [d] Haec ἀλλ' οὐδεὶς——χῆραι ἦσαν om. B. [e] οὐδεμία] οὐδεὶς A.B.F.H. οὐδεμία αὐτῶν E. [f] Ἠλίαν]+εἰ μὴ ἡ Σαραφθία E. [g] πόσαι A.B.E.F.I. Mox ἦσαν πάλιν inverso ord. C.D. [h] Σουμανῖτις B.C.D.E. et corr. I. Σωμανῖτις A. et ante corr. I. Ita Veron. Σωμανῖτης H. Σωναμῖτις Sav. Mor. Ben. Post h. v. hiatus est in E. usque ad εὐλογητὸς p. 678 C. [i] Vid. Annot. [k] καὶ om. D. [l] μὴ C.I. [m] διὰ γὰρ]+τούτου C. [n] παραδραμῇ A.D.I. Flor. p. 364. (Tom. xii. p. 595 D.) παραδραμεῖ F.H. παραδράμεις B. παραδράμῃς Edd. [o] γὰρ]+φησὶ D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολυπραγμοσύνης τὸν θαυμαστὸν παρατρέχων, καὶ δίκην δίδωσι. Μὴ τοίνυν βίους καὶ πράξεις πολυπραγμόνει· καὶ γὰρ ἐσχάτης τοῦτο ἀπειροκαλίας ἐστὶν, ὑπὲρ ἑνὸς ἄρτου ζωὴν ὁλόκληρον περιεργάζεσθαι. Εἰ γὰρ ἀνδροφόνος οὗτος, εἰ γὰρ ληστὴς, εἰ γὰρ ὁτιοῦν, ἄρτου καὶ [p]ἀργυρίων ὀλίγων οὐ δοκεῖ σοι ἄξιος εἶναι; Ἀλλ' ὁ μὲν δεσπότης σου καὶ ἥλιον αὐτῷ ἀνατέλλει· σὺ δὲ καὶ τῆς ἐφημέρου τροφῆς ἀνάξιον αὐτὸν κρίνεις; Ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν τίθημι. Κἂν γὰρ ἐπιστάμενος ᾖς σαφῶς, ὅτι [q]μυρίων γέμει κακῶν, οὐδὲ οὕτως ἀπολογίαν ἕξεις τῆς [r]ἐφημέρου τροφῆς αὐτὸν ἀποστερῶν. Ἐκείνου γὰρ δοῦλος εἶ τοῦ [s]λέγοντος, [17] "Οὐκ οἴδατε ποίου πνεύματός ἐστε;" ἐκείνου [t]εἶ οἰκέτης τοῦ θεραπεύσαντος τοὺς λιθάσαντας αὐτόν· μᾶλλον δὲ τοῦ σταυρωθέντος ὑπὲρ αὐτῶν. Καὶ μή μοι λέγε, ὅτι ἕτερον ἀνεῖλε· [v]κἂν γὰρ σεαυτὸν ἀναιρεῖν μέλλῃ, μηδὲ οὕτω λιμώττοντα [w]περιΐδῃς. Καὶ γὰρ ἐκείνου μαθητὴς εἶ τοῦ τῶν σταυρωσάντων τὴν σωτηρίαν ποθοῦντος, τοῦ λέγοντος ἐν αὐτῷ τῷ σταυρῷ, [18] "Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν." (183
[x]Ἐκείνου δοῦλος εἶ τοῦ τὸν ῥαπίσαντα αὐτὸν θεραπεύσαντος, τοῦ τὸν ὑβρίσαντα ἐν αὐτῷ τῷ σταυρῷ στεφανώσαντος· τοῦ τί γένοιτ' ἂν ἴσον; Καὶ γὰρ ἀμφότεροι παρὰ τὴν ἀρχὴν [y]ὕβριζον αὐτὸν οἱ λησταί· ἀλλ' ὅμως θατέρῳ τούτων τὸν [z]παράδεισον ἀνέῳξε. Καὶ δακρύει τοὺς μέλλοντας αὐτὸν ἀναιρεῖν, καὶ ταράττεται καὶ συγχεῖται ὁρῶν τὸν προδότην, οὐχ ὅτι σταυροῦσθαι ἔμελλεν, ἀλλ' ὅτι ἐκεῖνος ἀπώλλυτο. Ἐταράττετο τοίνυν προειδὼς τὴν ἀγχόνην, [a]τὴν κόλασιν τὴν μετὰ τὴν ἀγχόνην. Καὶ εἰδὼς αὐτοῦ τὴν πονηρίαν, μέχρις ἐσχάτης ὥρας αὐτὸν [b]ἔφερε, καὶ οὐ διεκρούετο, ἀλλὰ καὶ ἐφίλησε τὸν προδότην. Ὁ δεσπότης σου φιλεῖ, καὶ δέχεται χείλεσι τὸν μέλλοντα αὐτοῦ τὸ αἷμα τὸ τίμιον εὐθέως ἐκχεῖν· σὺ δὲ τὸν πένητα οὐδὲ ἄρτου ἀξιοῖς; καὶ οὐκ αἰδῇ τὸν νόμον, ὃν ἔθηκεν ὁ Χριστός; Διὰ γὰρ τούτων ἔδειξεν, ὅτι οὐ μόνον τοὺς πένητας, ἀλλ' οὐδὲ τοὺς ἐπὶ θάνατον ἡμᾶς ἄγοντας ἀποστρέφεσθαι δεῖ. Μὴ τοίνυν

17 Luc. ix. 55. 18 Ibid. xxiii. 34.

[p] ἀργ. ὀλίγων pro ὀλίγων ἀργ. A.B.D.F.H.I. Flor. [q] μυρίων]+οὗτος Edd. οὗτος om. A.B.C.D.F.H.I. [r] ἐφημέρου pro ἐφημέρας A.B.C.D.F.H. [s] εἰπόντος C. [t] εἶ om. I. οἰκέτης εἶ inverso ord. C.D. [v] κἂν γὰρ σ. A.C.F.I. κἂν γὰρ καὶ σ. D. καὶ γὰρ ἂν καὶ σ. B. καὶ γὰρ σ. H. καὶ γὰρ εἰ καὶ σ. Edd. Mox μέλλῃ A.B.C.D.F.I. μέλλει Edd. [w] περιΐδῃς A.B.D.F.H.I. παρίδῃς Edd. [x] ἐκείνου]+γὰρ I. [y] ὕβριζον αὐτὸν οἱ λ. B.C.D.F.H.I. ὕβριζον οἱ λ. αὐτὸν A. οἱ λ. ὕβριζον αὐτὸν Edd. [z] παράδεισον]+πρὸ πάντων A.C.D.F.H.I. Statim ἀνέῳξε pro ἠνέῳξε A.B.D.I. [a] τὴν κ. τὴν μετὰ τὴν (τὴν om. B.) ἀγχ.] Sic A.B.D.F.I. τὴν μετὰ τὴν ἀγχ. κ. Edd. Clausula abest a C. [b] ἔφερε] ἐθεράπευε A.B.D.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[c]μοι τοῦτο εἴπῃς, ὅτι δεινά μοι εἰργάσατο ὁ δεῖνα, ἀλλ' ἐννόησον τί [d]ἐποίησεν ὁ Χριστὸς πρὸς αὐτῷ τῷ σταυρῷ, διὰ τοῦ φιλήματος, [e]οὗ προδίδοσθαι ἔμελλε, τὸν προδότην διορθούμενος. Καὶ ὅρα πῶς ἐντρεπτικῶς. [19] "Ἰούδα γὰρ, φησὶ, φιλήματι τὸν υἱὸν [f]τοῦ ἀνθρώπου προδίδως;" Τίνα οὐκ ἂν ἐμάλαξε, τίνα οὐκ ἂν [g]ἔκαμψεν σῦτη ἡ φωνή; ποῖον θηρίον, ποῖον 678
ἀδάμαντα; Ἀλλ' οὐ τὸν δείλαιον ἐκεῖνον. Μὴ τοίνυν λέγε, ὅτι τὸν δεῖνα ἐφόνευσεν ὁ δεῖνα, καὶ διὰ τοῦτο αὐτὸν ἀποστρέφομαι. Κἂν γὰρ κατὰ σοῦ μέλλῃ τὸ ξίφος ὠθεῖν, καὶ τὴν δεξιὰν βαπτίζειν εἰς αὐτὸν τὸν λαιμὸν, αὐτὴν φίλησον τὴν δεξιάν· ἐπεὶ καὶ ὁ Χριστὸς [h]τὸ στόμα ἐφίλησεν ἐκεῖνο τὸ τὴν σφαγὴν ἐργασάμενον. Καὶ σὺ τοίνυν μὴ μίσει, ἀλλὰ δάκρυε καὶ ἐλέει τὸν ἐπιβουλεύοντα· ἐλεεῖσθαι γὰρ [i]ὁ τοιοῦτος παρ' ἡμῶν ἄξιος καὶ δακρύεσθαι. Ἐκείνου γάρ ἐσμεν οἰκέται τοῦ [k]καὶ φιλήσαντος τὸν προδότην· οὐ γὰρ παύσομαι συνεχῶς B
αὐτὸ περιστρέφων· καὶ τοῦ φιλήματος ἀπαλώτερα φθεγξαμένου ῥήματα. [l]Οὐδὲ γὰρ εἶπεν, ὦ μιαρὲ, καὶ [m]παμπόνηρε, καὶ προδότα, [n]ταύτας ἡμῖν ἀποδίδως τὰς ἀμοιβὰς τῆς [o]τοσαύτης εὐεργεσίας; ἀλλὰ πῶς; "Ἰούδα," τὸ κύριον ὄνομα [p]θεὶς, ὃ μᾶλλον ταλανίζοντος ἦν καὶ ἀνακαλοῦντος, ἢ ὀργιζομένου. Καὶ οὐκ εἶπε, τὸν διδάσκαλόν σου, τὸν δεσπότην [q]σου καὶ εὐεργέτην, ἀλλὰ, "τὸν υἱὸν τοῦ ἀνθρώπου." Εἰ γὰρ μὴ διδάσκαλος ἦν μηδὲ [r]δεσπότης, τὸν οὕτως ἡμέρως, τὸν οὕτως ἁπλάστως πρὸς σὲ διακείμενον, ὡς [s]καὶ ἐν καιρῷ τῆς προδοσίας σε φιλεῖν, καὶ ταῦτα τοῦ φιλήματος συμβόλου τῆς προδοσίας ὄντος, τοῦτον παραδίδως; Εὐλογητὸς εἶ, κύριε· πόσης ταπεινοφροσύνης, C
πόσης ἀνεξικακίας [t]ὑποδείγματα ἡμῖν ἔδωκας; Ἀλλὰ πρὸς μὲν ἐκεῖνον οὕτω· πρὸς δὲ τοὺς [v]ἐπελθόντας μετὰ ξύλων καὶ λαμπάδων οὐχ οὕτω; [w]Καὶ τί γένοιτ' ἂν ἡμερώτερον τῶν ῥημά-

[19] Luc. xxii. 48.

[c] μοι τοῦτο] τοῦτό μοι (μου H.) A.F.H.I. μοι om. C. Mox ὅτι δεινά μοι (με C.) εἰργ. ὁ δεῖνα B.C.D. ὅτι ὁ δεῖνά μοι εἰργ. δεινὰ Edd. [d] πεποίηκεν C. [e] οὗ pro ᾧ B.D.F.H. [f] τοῦ ἀ. προδίδως (παραδίδως D.) pro προδίδως τοῦ ἀ. A.B.D.F.H.I. τὸν υἱὸν τ. ἀ. φιλήματι παραδίδως C. [g] ἔκαμψεν A.C.D.F. H.I. ἐπέκαμψεν Edd. [h] τὸ aberat ante Montef. repugnantibus libris. ἐφίλησε τὸ στ. inverso ord. C. [i] ὁ τ. παρ' ἡμῶν ἄξιος hoc ord. A.D.F.H.I. παρ' ἡμῶν ὁ τ. ἄξιος B.C. παρ' ἡμῶν ἄξιος ὁ τ. Edd. [k] καὶ om. A.F.H.I. Statim τὸν om. H. [l] οὐδὲ] οὐ D. [m] παμμίαρε C. [n] ταύτας pro τοιαύτας C.D.F.H.I. [o] τοιαύτης B. [p] τιθεὶς C. [q] σου accessit ex omnibus. Statim τὸν pro καὶ C. [r] δεσπότης]+μηδὲ εὐεργέτης C. [s] καὶ om. C. [t] ὑποδείγματα pro ὑπόδειγμα omnes. Mox δέδωκας C.D. [v] ἐπανελθόντας F.H. Statim μετὰ ξύλων καὶ λαμπάδων B.C.F.H.I. Veron. μετὰ μαχαιρῶν καὶ ξύλων A.D.E. μετὰ ξύλων καὶ μαχαιρῶν Sav. cet. [w] καὶ τί—ῥημάτων] καὶ τί δ' ἂν ἡμερώτερον τῶν ῥ. τούτων γένοιτ' ἂν C.

των τῶν [x]καὶ πρὸς ἐκείνους εἰρημένων; Δυνάμενος γὰρ αὐτοὺς [y]ἀθρόον ἀφανίσαι πάντας, τούτων μὲν ἐποίησεν οὐδέν, ἐντρεπτικῶς δὲ αὐτοῖς διαλέγεται λέγων· [20] "Τί ἐξήλθετε, ὡς ἐπὶ λῃστὴν, μετὰ μαχαιρῶν καὶ ξύλων;" Καὶ [z]ῥίψας ὑπτίους, D ἐπειδὴ ἔμενον ἀναισθητοῦντες, ἐκὼν πάλιν ἑαυτὸν ἐξεδίδου, καὶ ἠνείχετο δεσμὰ περιβάλλοντας [a]ὁρῶν ταῖς ἁγίαις χερσὶ, δυνάμενος ὁμοῦ [b]πάντα κλονῆσαι καὶ ῥῖψαι κάτω. Ἀλλὰ σὺ [c]καὶ μετὰ ταῦτα ἀγριαίνεις πρὸς τὸν πένητα. [d]Καίτοιγε εἰ καὶ μυρίων ἐστὶν ἔνοχος κακῶν, ἡ ἔνδεια καὶ ὁ λιμὸς ἱκανὰ τὴν [e]μὴ σφόδρα [f]πεπωρωμένην καταμαλάξαι ψυχήν. [g]Σὺ δὲ ἕστηκας ἐκτεθηριωμένος, καὶ λεόντων μιμούμενος θυμούς· καίτοιγε ἐκεῖνοι οὐκ ἄν ποτε νεκρῶν ἀπογεύσαιντο σωμάτων· σὺ δὲ τοσούτοις ὁρῶν τεταριχευμένον κακοῖς, ἐπεμβαίνεις κειμένῳ, καὶ [h]δαρδάπτεις τὸ σῶμα διὰ τῶν ὕβρεων, καὶ χειμῶνα ἐπὶ χειμῶνι [i]συνάγεις, καὶ τὸν εἰς λιμένα καταφυγόντα σκοπέλῳ [k]προσα- E ράξαι ποιεῖς, καὶ ναυάγιον ἐργάζῃ τῶν ἐν τῇ θαλάσσῃ χαλεπώτερον. Καὶ πῶς ἐρεῖς τῷ θεῷ, ἐλέησόν με; καὶ ἁμαρτημάτων [l]αἰτεῖς συγχώρησιν, τὸν οὐδὲν ἁμαρτόντα ὑβρίζων, καὶ δίκην ὑπὲρ λιμοῦ καὶ ἀνάγκης τοσαύτης ἀπαιτῶν, καὶ τὰ θηρία [m]ἅπαντα ἀποκρύπτων τῇ ὠμότητι; Ἐκεῖνα μὲν γὰρ, τῆς [n]γαστρὸς καταναγκαζούσης, ἅπτεται τῆς [o]αὐτοῖς νενομισμένης τροφῆς· σὺ δὲ, οὐδενὸς ὠθοῦντος οὐδὲ καταναγκάζοντος, κατεσθίεις τὸν ἀδελφὸν, δάκνων, σπαράττων, εἰ καὶ μὴ τοῖς (18
679 ὀδοῦσιν, ἀλλὰ [p]ῥήμασι δηγμάτων χαλεπωτέροις. Πῶς οὖν δέξῃ τὴν ἱερὰν προσφοράν, αἵμασιν ἀνθρωπίνοις φοινίξας τὴν γλῶτταν; πῶς [q]δίδως εἰρήνην, [r]πολέμου γέμοντι στόματι; πῶς δὲ [s]τῆς αἰσθητῆς ἀπολαύσεις [t]τροφῆς, ἰὸν τοσοῦτον συνάγων; Οὐ [v]διορθοῦσαι τὴν πενίαν· τί καὶ ἐπιτρίβεις; οὐκ ἀνιστᾷς κείμενον· τί καὶ καταβάλλεις; [w]οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν·

[20] Matth. xxvi. 55.

[x] καὶ accessit ex A.B.D.E.F.H.I. [y] ἀθρόως I. [z] ῥίψας]+αὐτοὺς Sav. Mor. Ben. αὐτοὺς om. B.F.H.I. Veron. αὐτοὺς post ὑπτίους habet C. [a] ὁρῶν om. C. Mox ὁμοῦ om. idem. [b] πάντα κλονῆσαι——πρὸς τὸν πένητα] τούτους καταστεῖλαι I. [c] καὶ om. C. [d] καίτοιγε]+σοι I. [e] μὴ om. B. [f] πεπωρωμένην] θηριώδη I. Statim μαλάξαι H. [g] σὺ δὲ] ἀλλ' I. Mox τεθηριωμένος C. [h] δαρδάπτεις (δαρδάπτει H.) omnes. σπαράττεις Edd. [i] συνάπτεις C. [k] προσαράξαι A.B.F.H.I. προσαρράξαι D. συρράξαι C. προσράξαι Edd. [l] αἰτεῖς] αἰτήσῃ I. ἐπιζητεῖς C. [m] ἅπαντα] μὲν πάντα I. Sequentia ἀποκρύπτων—ἐκεῖνα μὲν γὰρ om. idem. [n] γαστρὸς]+φύσεως I. σαρκὸς Veron. [o] αὐτοῖς om. C. [p] ῥημάτων δήγμασιν I. [q] δώσεις A.B.D.F.H. [r] πόλεμον I. Statim γέμων τῷ στ. A.C.F.H.I. [s] τῆς pro γοῦν A.D.E.F.H.I. πῶς δὴ γοῦν ἀπολ. τρ. αἰσθητῆς C. [t] τρυφῆς B.H. [v] διορθοῖς C. [w] οὐκ ἀναιρεῖς—ἐπιτείνεις om. C. Sequentia οὐ δίδως—ῥήμασιν non hic, sed supra post ἐπιτρίβεις habent C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τί καὶ ἐπιτείνεις; οὐ δίδως χρήματα· τί καὶ ὑβρίζεις ῥήμασιν; Οὐκ ἤκουσας ὅσην διδόασι δίκην οἱ μὴ τρέφοντες τοὺς πένητας; ποίαις τιμωρίαις καταδικάζονται; [21] "Πορεύεσθε γὰρ, [x] φησὶν, εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ." Εἰ [y] δὲ οἱ μὴ τρέφοντες οὕτω καταδικάζονται, τίνα [z] δώσουσι δίκην οἱ μετὰ τοῦ μὴ τρέφειν καὶ ὑβρίζοντες; πόσην ὑποστήσονται κόλασιν, πόσην γέενναν; Ἵν' οὖν μὴ [a] τοσαῦτα ἐξάψωμεν καθ' ἑαυτῶν κακὰ, ἕως ἐσμὲν κύριοι, καὶ τὸ πονηρὸν τοῦτο νόσημα διορθώσωμεν, καὶ τῇ γλώττῃ χαλινὸν ἐπιθῶμεν· καὶ μὴ μόνον [b] μὴ ὑβρίζωμεν, ἀλλὰ καὶ παρακαλῶμεν, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων, ἵνα πολὺν ἑαυτοῖς προαποθέμενοι τὸν ἔλεον, [c] τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [d] ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΚΓ.

[1] Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

ΔΙΔΑΞΑΣ αὐτοὺς πῶς πρὸς ἀλλήλους διακεῖσθαι χρὴ, καὶ συγκολλήσας τὰ μέλη μετὰ ἀκριβείας, οὕτως ἐξάγει λοιπὸν πρὸς τὴν ἔξω παράταξιν, εὐκολωτέραν αὐτὴν [a] ἐντεῦθεν ποιῶν. Ὥσπερ γὰρ ὁ τὰ πρὸς τοὺς οἰκείους [b] μὴ κατωρθωκὼς, δυσκολώτερον [c] τὰ πρὸς τοὺς ἀλλοτρίους οἰκονομήσει· οὕτως ὁ καλῶς ἀσκήσας ἑαυτὸν ἐν τούτοις, ῥᾷον καὶ [d] τῶν ἔξωθεν περιέσται. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος ὁδῷ προβαίνων, μετ' [e] ἐκεῖνα ταῦτα τίθησι, καί φησιν· "Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς." Οὐκ εἶπε, μὴ μνησικακεῖτε μηδὲ ἀμύνεσθε, ἀλλὰ τὸ πολλῷ πλέον τούτων ἐζήτησεν. Ἐκεῖνο μὲν γὰρ ἀνδρὸς φιλοσόφου, τοῦτο δὲ ἀγγέλου λοιπόν. [f] Καὶ εἰπὼν, "εὐλογεῖτε," ἐπήγαγε, "καὶ μὴ καταρᾶσθε," ἵνα μὴ καὶ τοῦτο κἀκεῖνο ποιῶμεν, ἀλλ' ἐκεῖνο μόνον. Καὶ γὰρ μισθῶν [g] ἡμῖν εἰσιν ἐκεῖνοι πρόξενοι οἱ διώκοντες. [h] Ἂν δὲ νήφῃς, καὶ ἕτερον [h] σὺ σαυτῷ μετ' ἐκεῖνον κατα-

[21] Matth. xxv. 41. [1] Cap. XII. v. 14.

[x] φησὶν om. A.F.H.I. [y] δὲ pro οὖν A.D.E.F.H.I. [z] δώσουσι A.B. D.E.F.H.I. διδοῦσι Veron. Sav. Mor. [a] ταῦτα C. Mox κακὰ om. idem. [b] μὴ om. B. [c] ἀξιωθῶμεν D.E. Mox ἡμῖν om. B.C.D.E.F.H. [d] μετασχεῖν F.I. Hom. XXIII. [a] ἐνταῦθα C. [b] μὴ pro οὐ omnes. [c] τὰ] αὐτὰ A.E. [d] τῶν] τοῖς C. [e] ἐκεῖνα B.D.E.H.I. Cat. ἐκεῖνο Edd. [f] καὶ om. E. [g] ἡμῖν εἰσιν pro εἰσιν ἡμῖν A.B.D.E.F.H.I. Statim ἐκεῖνοι accessit ex A.B.D.E.F.H. [h] σὺ σαυτῷ] ἑαυτῷ C. Statim μετ' ἐκείνων B.E.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκευάσεις μισθόν. Ἐκεῖνος μὲν γάρ σοι τὸν ἀπὸ τοῦ διωγμοῦ παρέξει, σὺ δὲ σαυτῷ τὸν ἀπὸ τῆς εὐλογίας τῆς εἰς ἐκεῖνον, σημεῖον μέγιστον [i]ἐκφέρων τῆς εἰς τὸν Χριστὸν ἀγάπης. Ὥσπερ γὰρ ὁ καταρώμενος τῷ διώκοντι, δείκνυσιν ὅτι οὐ σφόδρα χαίρει ὑπὲρ τοῦ Χριστοῦ ταῦτα πάσχων· οὕτως ὁ εὐλογῶν πολὺν ἐμφαίνει τὸν ἔρωτα. Μὴ τοίνυν αὐτὸν λοιδορήσῃς, ἵνα καὶ αὐτὸς μείζονα καρπώσῃ μισθὸν, κἀκεῖνον διδάξῃς, ὅτι
680 [k]προθυμίας ἐστὶ τὸ πρᾶγμα, οὐκ ἀνάγκης· πανηγύρεως καὶ ἑορτῆς, οὐ συμφορᾶς οὐδὲ ἀθυμίας. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· [2] "Χαίρετε, ὅταν εἴπωσι πᾶν πονηρὸν [l]ῥῆμα καθ' ὑμῶν ψευδόμενοι." Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑπέστρεφον χαίροντες, οὐχ ὅτι κακῶς ἤκουσαν μόνον, ἀλλ' ὅτι καὶ ἐμαστιγώθησαν. [m]Μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον οὐ μικρὸν κερδανεῖς, τὸ καταπλῆξαι καὶ ταύτῃ τοὺς ἀντιδίκους, καὶ παιδεῦσαι διὰ τῶν [n]ἔργων αὐτούς, ὅτι πρὸς ἑτέραν ζωὴν ὁδεύεις. [o]Ἂν γὰρ ἴδῃ σε χαίροντα καὶ πτερούμενον ἐπὶ [p]τῷ πάσχειν
B κακῶς, εἴσεται σαφῶς διὰ τῶν πραγμάτων, [q]ὅτι μείζους τῶν παρόντων ἑτέρας ἔχεις ἐλπίδας· ὡς, ἂν τοῦτο μὴ ποιῇς, ἀλλὰ [r]κλαίῃς καὶ ὀδύρῃ, πόθεν δυνήσεται μαθεῖν ἐκεῖνος, ὅτι ἑτέραν ζωὴν ἀναμένεις; Καὶ μετὰ [s]τούτου δὲ πάλιν καὶ ἕτερον κατορθώσεις· ἂν [t]γὰρ ἴδῃ σε οὐκ ἀλγοῦντα ταῖς ὕβρεσιν, ἀλλὰ καὶ εὐλογοῦντα, παύσεται ἐλαύνων. Ὅρα τοίνυν, ὅσα ἐντεῦθεν γίνεται [v]τὰ καλά· καὶ σοὶ μισθὸς μείζων καὶ ὁ πειρασμὸς ἐλάττων, κἀκεῖνος ἀποστήσεται διώκων, καὶ ὁ θεὸς δοξασθή- (18
σεται, καὶ διδασκαλία τῷ [w]πεπλανημένῳ γενήσεται πρὸς εὐσέβειαν ἡ σὴ φιλοσοφία. Διὰ τοῦτο οὐχὶ τοὺς ὑβρίζοντας
C μόνον, ἀλλὰ καὶ τοὺς διώκοντας καὶ διὰ τῶν πραγμάτων ἐπηρεάζοντας, τοῖς ἐναντίοις ἀμείβεσθαι ἐκέλευσε. Καὶ νῦν μὲν [x]αὐτοὺς εὐλογεῖν ἐπέταξε· προϊὼν δὲ καὶ ἔργοις εὐεργετεῖν παραινεῖ. [3] "Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων." Ἐπειδὴ γὰρ ἔστιν εὐλογῆσαι μὲν, καὶ μὴ [y]καταράσασθαι, μὴ μὴν ἐξ ἀγάπης τοῦτο ποιῆσαι, βούλεται [z]καὶ διαθερμαίνεσθαι ἡμᾶς τῇ φιλίᾳ. Διὸ καὶ [a]τοῦτο ἐπήγαγεν, ὥστε

[2] Matth. v. 11. [3] v. 15.

[i] ἐμφέρων C. [k] προθ. ἐστὶ τὸ πρ. pro τὸ πρ. προθ. ἐστὶν omnes. [l] ῥῆμα om. B.H.I. [m] μετὰ] χωρὶς C. [n] ἔργων in marg. a pr. manu et ἀντιδίκων in textu habet I. Mox ζωὴν ὁδεύεις pro ὁδεύεις ζωὴν omnes. [o] ἂν] κἂν D. [p] τὸ B.F.H. [q] ὅτι—ἐλπίδας] ὡς ἔχεις ἐλπίδας ζωῆς C. [r] κλαίεις E.F. [s] τοῦτο C. [t] γὰρ om. C. [v] τὰ om. H. [w] πεπλανημένῳ omnes. Edebatur πεπλημμελημένῳ. [x] αὐτοῖς H. [y] καταράσασθαι A.B.D.E.F.H. καταρᾶσθαι Edd. et Cat. Statim καὶ μὴ μὴν A. μὴ μὴν δὲ C. [z] καὶ om. C. [a] ταῦτα D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ μόνον εὐλογεῖν, ἀλλὰ καὶ συναλγεῖν καὶ συμπάσχειν, εἴ ποτε [b]ἴδοιμεν αὐτοὺς συμφορᾷ περιπεσόντας. Ναί, φησίν· ἀλλὰ τὸ μὲν συναλγεῖν τοῖς θρηνοῦσιν εἰκότως ἐπέταξε· τὸ δὲ ἕτερον τί δήποτε ἐκέλευσεν, οὐδὲν μέγα ὄν; Καίτοιγε ἐκεῖνο φιλοσο- D φωτέρας δεῖται ψυχῆς, τὸ χαίρειν μετὰ χαιρόντων, μᾶλλον ἢ τὸ κλαίειν μετὰ κλαιόντων. Τοῦτο μὲν γὰρ καὶ ἡ φύσις αὐτὴ κατορθοῖ, καὶ οὐδεὶς οὕτω λίθινος, ὃς οὐ κλαίει τὸν ἐν [c]συμφοραῖς ὄντα· ἐκεῖνο δὲ γενναίας σφόδρα δεῖται ψυχῆς, ὥστε τῷ εὐδοκιμοῦντι μὴ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ συνήδεσθαι. Διὰ τοῦτο καὶ πρότερον αὐτὸ τέθεικεν. Οὐδὲν γὰρ οὕτως ἀγάπην συνάγει, ὡς ὅταν καὶ χαρᾶς καὶ λύπης κοινωνῶμεν ἀλλήλοις. Μὴ τοίνυν, ἐπειδὴ πόρρω τῶν δεινῶν αὐτὸς ἕστηκας, [d]καὶ τῆς E συμπαθείας μένε ἐκτός· [e]τοῦ γὰρ πλησίον παθόντος κακῶς, κοινὴν ὀφείλεις ποιεῖσθαι τὴν συμφοράν. Κοινώνει τοίνυν τῶν δακρύων, ἵνα κουφίσῃς τὴν ἀθυμίαν· κοινώνει χαρᾶς, ἵνα ῥιζώσῃς τὴν εὐφροσύνην, καὶ [f]πήξῃς τὴν ἀγάπην, καὶ πρὸ ἐκείνου σαυτὸν ὠφελήσῃς, διὰ μὲν τοῦ δακρύειν ἐλεήμονα κατασκευάζων, διὰ δὲ τοῦ συνήδεσθαι φθόνου καὶ βασκανίας [g]ἑαυτὸν ἐκκαθαίρων. Σκόπει δέ μοι καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. Οὐ γὰρ εἶπε, λῦσον τὴν συμφοράν, ἵνα μὴ λέγῃς πολλάκις ὅτι ἀδύνατον· ἀλλὰ τὸ κουφότερον ἐπέταξε, καὶ οὗ κύριος εἶ. Κἂν γὰρ ἀνελεῖν μὴ δυνηθῇς τὸ δεινόν, [h]εἴσαγε δάκρυα, καὶ τὸ [i]πλεῖον 681
ἀνεῖλες· κἂν μὴ δυνηθῇς αὐξῆσαι τὴν εὐημερίαν, εἴσαγε τὴν
5) χαράν, καὶ πολλὴν [k]τὴν προσθήκην ἐποίησας. Διὰ τοῦτο οὐ μόνον μὴ φθονεῖν, ἀλλὰ καὶ ὁ πολλῷ πλέον ἐστὶ παραινεῖ, τὸ καὶ συνήδεσθαι· τοῦ γὰρ μὴ φθονεῖν τοῦτο [l]πολὺ πλέον.

4 "Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι." Πολλὴν πάλιν περὶ τῆς ταπεινοφροσύνης ποιεῖται τὴν σπουδήν, ὅθεν καὶ ἤρξατο τοῦ λόγου. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς φρονήματος μεστοὺς εἶναι, καὶ ἀπὸ τῆς πόλεως καὶ ἑτέρωθεν πολλαχόθεν· B διὸ [m]καὶ συνεχῶς [n]ὑποσύρει τὸ νόσημα, καὶ καταστέλλει τὴν φλεγμονήν. Οὐδὲν γὰρ οὕτως ἀποσχίζει σῶμα ἐκκλησίας, ὡς ἀλαζονεία. Τί δέ ἐστι, "τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες;" Παρεγένετό σοι [o]πένης εἰς τὴν οἰκίαν; Γενοῦ κατ' ἐκεῖνον

4 v. 16.

[b] ἴδοιμεν pro ἴδωμεν A.B.E.F.H.I. Cat. [c] συμφορᾷ D. [d] καὶ accessit ex A.B.C.D.E.F.H. [e] τοῦ γὰρ pro καὶ γὰρ καὶ τοῦ omnes. [f] πλήξῃς H. [g] σεαυτὸν D.E. σαυτὸν καθαίρων C. [h] εἰσάγαγε bis C. [i] πλέον B.D.H. Cat. [k] τὴν om. C. [l] πολὺ om. I. [m] καὶ om. A.B.H.I. [n] ὑποῥύττει D.E. [o] ὁ πένης Edd. ὁ om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ φρονήματι· μὴ μείζονα [p]λάβῃς ὄγκον διὰ τὸν πλοῦτον. Οὐκ ἔστι πλούσιος [q]καὶ πένης ἐν Χριστῷ. Μὴ τοίνυν ἐπαισχυνθῇς διὰ τὴν ἔξωθεν περιβολήν, ἀλλ' ἀπόδεξαι διὰ τὴν ἔνδον πίστιν· μηδὲ, ἂν ἴδῃς πενθοῦντα, ἀνάξιον [r]ἑαυτοῦ νομίσῃς παρακαλέσαι· μηδὲ, ἂν ἴδῃς εὐημεροῦντα, ἐρυθριάσῃς κοινωνῆσαι
C τῆς ἡδονῆς καὶ συνησθῆναι, [s]ἀλλ' ὃ περὶ σεαυτοῦ φρονεῖς, καὶ περὶ ἐκείνου· "τὸ γὰρ αὐτὸ φρονοῦντες, φησὶν, εἰς ἀλλήλους." Οἷον, μέγαν σαυτὸν εἶναι νομίζεις; Οὐκοῦν καὶ ἐκεῖνον νόμιζε. Ταπεινὸν καὶ μικρὸν [t]ἐκεῖνον εἶναι ὑποπτεύεις; Οὐκοῦν καὶ περὶ [v]σαυτοῦ τοῦτο ψηφίζου, καὶ πᾶσαν ἀνωμαλίαν [w]ἔκβαλε. Πῶς δ' ἂν γένοιτο τοῦτο; [x]Εἰ τὴν ἀπόνοιαν ἐκβάλοις. Διὸ καὶ ἐπήγαγε· "Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι" τουτέστιν, εἰς τὴν ἐκείνων εὐτέλειαν κατάβηθι, συμπεριφέρου, συμπεριέρχου. Μὴ ἁπλῶς τῷ φρονήματι [y]ταπεινοῦ, ἀλλὰ καὶ βοήθει [z]καὶ χεῖρα ὄρεγε, μὴ δι' [a]ἑτέρων, ἀλλὰ
D διὰ σαυτοῦ, ὡς πατὴρ παιδὸς προνοῶν, ὡς κεφαλὴ σώματος· ὅπερ καὶ ἀλλαχοῦ φησι, [5] "Τοῖς δεσμίοις [b]ὡς συνδεδεμένοι." Ταπεινοὺς δὲ ἐνταῦθα οὐχ ἁπλῶς τοὺς ταπεινόφρονάς φησιν, ἀλλὰ τοὺς ταπεινοὺς καὶ εὐκαταφρονήτους. "Μὴ γίνεσθε (1
φρόνιμοι παρ' ἑαυτοῖς" τουτέστι, μὴ νομίζετε ἀρκεῖν ἑαυτοῖς. Καὶ γὰρ ἀλλαχοῦ φησιν ἡ γραφή· [6] "Οὐαὶ οἱ συνετοὶ [c]παρ' ἑαυτοῖς, καὶ ἐνώπιον [d]ἑαυτῶν ἐπιστήμονες." Καὶ διὰ τούτων δὲ πάλιν τὴν ἀπόνοιαν ὑπορύττει, καὶ τὸ φύσημα καὶ τὴν φλεγμονὴν καταστέλλει. Οὐδὲν γὰρ οὕτως [e]ἐπαίρει καὶ ἀπο-
E σχίζει τῶν λοιπῶν, ὡς τὸ νομίζειν τινὰ ἀρκεῖν ἑαυτῷ. Διὸ καὶ ἐν χρείᾳ ἀλλήλων κατέστησεν ἡμᾶς ὁ θεός. Κἂν γὰρ φρόνιμος ᾖς, ἑτέρου δεήσῃ· ἂν δὲ [f]νομίσῃς μὴ δεῖσθαι, ἀνοητότερος πάντων ἐγένου καὶ ἀσθενέστερος. Ὁ γὰρ τοιοῦτος καὶ ἔρημον ἑαυτὸν καταστήσει βοηθείας, καὶ ἐν οἷς ἂν ἁμαρτάνῃ, οὐδεμιᾶς ἀπολαύσεται οὔτε διορθώσεως οὔτε συγγνώμης, καὶ τὸν θεὸν παροξυνεῖ διὰ τῆς ἀπονοίας, καὶ πολλὰ ἁμαρτήσεται. Ἔστι γὰρ, ἔστι πολλάκις καὶ τὸν φρόνιμον μὴ συνιδεῖν τὸ δέον, καὶ

[5] Hebr. xiii. 3. [6] Esai. v. 21.

[p] λάβῃς] καταβάλῃς C. [q] Deest folium in E. [r] ἑαυτοῦ C. σαυτοῦ Cat. σαυτὸν Veron. αὐτὸν Sav. cet. αὐτὸν om. H. [s] ἀλλ' ὃ] ἀλλὰ ἃ C. [t] ἐκείνου εἶναι ὑπ. pro εἶναι ὑπ. ἐκείνου A.B.D.F.H.I. εἶναι om. C. [v] σαὐτὸν H. τοῦτο om. C. [w] ἔκβαλλε A.B.F.H.I. ἐκβάλλεις C. Vulgatum habet Cat. [x] εἰ pro ἂν libri omnes et Cat. Statim ἐκβάλλοις C. [y] ταπεινοῦ A.B.D.F.H.I. Cat. συνταπεινοῦ Edd. [z] καὶ om. H. Mox ὄρεγε pro ὀρέγου omnes. [a] ἑτέρων pro ἑτέρου omnes. [b] ὡς, quod tacite assumsit Montef. est in A.B.D.F.H.I. [c] παρ'] ἐν C. [d] αὐτῶν A.I. [e] ἐπαίρει A.B. C.D.F.H. Cat. ἀπαίρει Edd. [f] νομίσῃς μὴ δ. omnes. μὴ νομίσῃς δ. Veron. Sav. Mor.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν ἀνοητότερον εὑρεῖν [g]τι τῶν προσηκόντων· [h]ὅπερ ἐπὶ [i]τοῦ Μωϋσέως καὶ τοῦ πενθεροῦ γέγονεν, [k]ὅπερ ἐπὶ [l]τοῦ Σαοὺλ καὶ 682
τοῦ παιδὸς, ὅπερ ἐπὶ τοῦ Ἰσαὰκ καὶ τῆς Ῥεβέκκας. Μὴ [m]τοίνυν νομίσῃς καθαιρεῖσθαι δεόμενος ἑτέρου. Τοῦτο γάρ σε μᾶλλον ὑψοῖ, τοῦτό σε ἰσχυρότερον ποιεῖ. [n]τοῦτο λαμπρότερόν τε καὶ ἀσφαλέστερον. [7]"Μηδενὶ κακὸν ἀντὶ κακοῦ [o]ἀποδιδόντες." Εἰ γὰρ ἕτερον ψέγεις ἐπιβουλεύοντα, τί σαυτὸν ὑπεύθυνον ποιεῖς τῇ κατηγορίᾳ; Εἰ κακῶς ἐκεῖνος ἐποίησε, τί [p]μὴ φεύγεις τὸν ζῆλον; Καὶ ὅρα πῶς [q]ἐνταῦθα οὐ διέστειλεν, ἀλλὰ κοινὸν τὸν νόμον ἔθηκεν. Οὐ γὰρ εἶπε, τῷ πιστῷ μὴ ἀποδῷς κακὸν, ἀλλὰ, "μηδενὶ," κἂν [r]Ἕλλην [r]ᾖ, κἂν B
μιαρὸς, κἂν ὁστισοῦν. "Προνοούμενοι καλὰ ἐνώπιον [s]πάντων ἀνθρώπων. [8]Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες." [t]Τοῦτό ἐστι, [9]"Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων·" οὐχ ἵνα πρὸς κενοδοξίαν ζῶμεν, ἀλλ' ἵνα μὴ παρέχωμεν λαβὴν καθ' ἑαυτῶν τοῖς βουλομένοις. Διὸ καὶ ἀλλαχοῦ [v]ἔλεγεν· [10]"Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ." Καλῶς δὲ τὸ ἐξῆς [w]ἐκόλασεν εἰπὼν, "Εἰ [x]δυνατόν." Ἔστι γὰρ ὅπου οὐ δυνατόν· οἷον ὅταν περὶ εὐσεβείας ὁ λόγος ᾖ, ὅταν περὶ ἀδικουμένων C
ὁ ἀγών. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνθρώπων τῶν [y]ἄλλων, ὅπου γε καὶ ἐπὶ ἀνδρὸς καὶ γυναικὸς ταύτην ἔλυσε τὴν [z]ἀνάγκην, εἰπών· [11]"Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω;" [a]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὰ παρὰ [a]σαυτοῦ πάρεχε, καὶ μηδενὶ δίδου πολέμου καὶ μάχης ἀφορμὴν, μὴ Ἰουδαίῳ, μὴ Ἕλληνι· εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην ἴδοις, μὴ προτίμα τὴν ὁμόνοιαν τῆς ἀληθείας, ἀλλ' ἵστασο γενναίως ἕως θανάτου· [b]καὶ μηδὲ οὕτω ψυχῇ πολέμει, μηδὲ ἀποστρέφου [c]γνώμῃ, ἀλλὰ τοῖς πράγμασι μάχου μόνον· τοῦτο γάρ ἐστι, "Τὸ ἐξ ὑμῶν, μετὰ πάντων D
ἀνθρώπων εἰρηνεύοντες." Κἂν [d]ἐκεῖνος μὴ εἰρηνεύῃ, σὺ μὴ

[7] v. 17. [8] v. 18. [9] Matth. v. 16. [10] 1 Cor. x. 32. [11] Ibid. vii. 15.

[g] τι] τινα C. [h] ὅπερ] +καὶ C. [i] τοῦ om. A.B.D. Post πενθεροῦ add. αὐτοῦ C.D. [k] ὅπερ] +καὶ B.C.D. [l] τοῦ om. A.D. [m] τοίνυν] +μὴ B. [n] τοῦτό σε λαμπ. Edd. σε om. A.B.C.D.F.I. Mox τε om. C. [o] ἀποδιδῶμεν, καὶ γὰρ ἕτερον C. [p] μὴ] οὐ C. [q] ἐντεῦθεν C. [r] ᾖ om. C. [s] πάντων ἀνθ. pro ἀνθ. πάντων omnes. [t] τοῦτό ἐστι] τοιοῦτόν ἐστιν οἷον C. [v] ἔλεγεν pro φησὶν C.D. Cat. In ceteris haec διὸ καὶ ἀλλαχοῦ ἔλεγεν omnino desunt. [w] ἐκόλασεν A. B. D. F. H. Cat. ἐκέλευσεν C. ἐδήλωσεν Edd. [x] δυνατὸν] +ἐστιν C. +τὸ ἐξ ὑμῶν Edd. τὸ ἐξ ὑμῶν om. A.B.C.D. [y] ἄλλων] +τοῦτο οὐ πανταχοῦ δυνατὸν Edd. et Cat. Haec cum uno Cod. C. delenda censuimus. [z] ἀγάπην C. [a] σαυτοῦ pro σεαυτοῦ A.B.D.H.I. Cat. [b] καὶ om. H. [c] γνώμην D. [d] ἐκεῖνοι μὴ εἰρηνεύωσι I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πληρώσῃς χειμῶνος τὴν ψυχήν, ἀλλ' ἕσο [e]φίλος κατὰ γνώμην, ὅπερ ἔφθην εἰπών, [f]τὴν ἀλήθειαν μηδαμοῦ προδιδούς.

12 "[g]Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος." Ποίᾳ ὀργῇ; Τῇ τοῦ θεοῦ. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἐπιθυμεῖ ἰδεῖν ὁ ἀδικηθείς, ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο [h]αὐτῷ μετὰ πολλῆς δίδωσι τῆς περιουσίας· ἂν γὰρ αὐτὸς μὴ ἀμύνῃ, [i]φησὶν, ὁ θεὸς ἔσται τιμωρός. Συγχώ-
Ε ρησον [k]οὖν αὐτῷ ἐπεξελθεῖν· τοῦτο γάρ ἐστι, "Δότε τόπον τῇ ὀργῇ." Εἶτα παραμυθούμενος ἐπιπλέον, καὶ τὴν μαρτυρίαν ἐπήγαγε, καὶ [l]ταύτῃ μειζόνως αὐτὸν ἀνακτησάμενος, πλείονα [m]αὐτὸν ἀπαιτεῖ τὴν φιλοσοφίαν, λέγων· 13 "[n]Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς [o]σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν." Τί [p]γὰρ λέγω, φησὶν, ὅτι εἰρηνεύειν δεῖ; Καὶ [q]γὰρ καὶ εὐεργε- (187)
τεῖν ἐπιτάττω. Ψώμιζε γὰρ αὐτὸν καὶ πότιζε, φησίν. Εἶτα
683 ἐπειδὴ σφόδρα ἐπίπονον ἐπέταξε καὶ μέγα, ἐπήγαγε· "Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ." Ταῦτα δὲ ἔλεγε, κἀκεῖνον καταστέλλων τῷ [r]φόβῳ, καὶ τοῦτον προθυμότερον ποιῶν τῇ ἐλπίδι τῆς [s]ἀντιδόσεως. Ὁ γὰρ ἠδικημένος ὅταν [t]ἀσθενὴς ᾖ, οὐχ οὕτω κατέχεται τοῖς οἰκείοις ἀγαθοῖς, ὡς τῇ τιμωρίᾳ τοῦ λελυπηκότος αὐτόν. Οὐδὲν γὰρ οὕτως ἡδύ, ὡς ἐχθρὸν κολαζόμενον ἰδεῖν. Ὅπερ οὖν ἐπιθυμεῖ, τοῦτο δίδωσιν αὐτῷ πρῶτον· καὶ ὅταν ἀφῇ τὸν ἰὸν, τότε λοιπὸν παραινεῖ τὰ ὑψηλότερα, λέγων· "Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ." Ἤδει γάρ, [v]ὅτι κἂν θηρίον ᾖ ὁ ἐχθρὸς, [w]οὐ μένει
Β ψωμιζόμενος ἐχθρός· κἂν μυριάκις μικρόψυχος ᾖ ὁ ἠδικημένος, ψωμίζων αὐτὸν καὶ ποτίζων, οὐδὲ αὐτὸς λοιπὸν [x]τῆς τιμωρίας ἐπιθυμήσει τῆς ἐκείνου. Διὸ τῷ τέλει θαρρῶν τοῦ πράγματος, οὐδὲ ἁπλῶς ἠπείλησεν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ τιμωρίᾳ.

12 v. 19. 13 v. 20, 21.

[e] φιλόσοφος A.C.D.F.H.I. Cat. [f] τὴν] καὶ τὴν C. [g] μὴ A.B.C.D.I. Mosqq. μηδὲ Edd. [h] αὐτῷ B.D.F. Cat. αὐτὸ Edd. [i] φησὶν accessit ex A.B.D.E.F.H.I. Mox φησὶν ante ἐπεξελθεῖν, quod vulgo legebatur, deest in iisdem. [k] οὖν om. C. [l] ταύτῃ omnes. ταύτην Veron. Sav. Mor. ἴσ. ταύτῃ Sav. marg. [m] αὐτὸν om. A.B.E.F.H. non Cat. Statim ἀπαιτεῖ τὴν φ. pro τὴν φ. ἀπαιτεῖ omnes. [n] ἐὰν]+οὖν Edd. οὖν om. A.B.E.F.H.I. Mox ἐὰν δὲ διψᾷ C. [o] σωρεύεις F. [p] γὰρ om. C.E. [q] γὰρ om. D.E. Statim καὶ accessit ex A.B.I. [r] φόβῳ] λόγῳ H. [s] ἀνταποδόσεως A.B.E.F.H.I. [t] ἀσθενὴς ᾖ pro ἀσθενήσῃ omnes. [v] ὅτι om C.H. [w] Haec οὐ μένει ψ. ἐχθρὸς desunt in A.B.D.E.F.H.I. invita Cat. [x] τῆς τ. ἐπιθυμήσει pro ἐπιθυμήσει τῆς τ. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ γὰρ [y]εἶπε, τιμωρήσῃ, ἀλλ', "ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ." Εἶτα καὶ ἀνεκήρυξεν αὐτὸν εἰπών· "Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν" καὶ ἠρέμα πως [z]καὶ ἠνίξατο τὸ μὴ δεῖν τοιαύτῃ προαιρέσει ποιεῖν· τὸ γὰρ ἔτι μνησικακεῖν, ἡττᾶσθαί ἐστιν ὑπὸ τοῦ κακοῦ. Ἀλλὰ πρῶτον μὲν αὐτὸ οὐκ εἶπεν· οὐδὲ γὰρ εἶχε καιρόν· ὅτε C δὲ ἐκένωσεν αὐτοῦ τὸν θυμόν, [a]τότε ἐπήγαγε λέγων, "νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν" ἐπεὶ καὶ τοῦτο νίκη. Καὶ γὰρ ὁ πυκτεύων τότε μᾶλλον νικᾷ, οὐχ ὅταν [b]ὑποτιθῇ ἑαυτὸν ὥστε δέξασθαι τὰς πληγάς, ἀλλ' ὅταν ἐξαίρων ἑαυτὸν παρασκευάζῃ τὸν ἀνταγωνιστὴν εἰς τὸν ἀέρα [c]κενοῦν τὴν δύναμιν. Οὕτω γὰρ οὔτε αὐτὸς πληγήσεται, κἀκείνου [d]καταλύσει τὴν ἰσχὺν ἅπασαν. [A]Ὃ δὴ καὶ ἐπὶ τῶν ὕβρεων γίνεται. [e]Ὅταν μὲν γὰρ [f]ἀνθυβρίσῃς, ἡττήθης, οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ', ὅπερ ἐστὶν αἰσχρότερον, ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ [g]νικηθείς· ἂν D δὲ σιγήσῃς, καὶ ἐνίκησας, καὶ [h]ἀπονητὶ τὸ τρόπαιον ἔστησας, καὶ μυρίους ἕξεις τοὺς στεφανοῦντας, καὶ τῆς λοιδορίας [i]ψεῦδος καταγινώσκοντας. Ὁ μὲν γὰρ ἀντιλέγων, ὡς δακνόμενος ἀντερεῖν δοκεῖ· ὁ δὲ δακνόμενος, ὑπόνοιαν παρέχει τοῦ συνειδέναι τοῖς λεγομένοις· ἂν δὲ καταγελάσῃς, τῷ γέλωτι τὴν κατὰ σαυτοῦ ψῆφον [k]ἐξέλυσας. Καὶ εἰ βούλει σαφῆ τῶν εἰρημένων ἀπόδειξιν λαβεῖν, αὐτὸν ἐρώτησον τὸν ἐχθρὸν, πότε [l]μᾶλλον ἀλγεῖ, ὅταν [m]διαθερμανθεὶς ἀνθυβρίσῃς, ἢ ὅταν ὑβρί- E ζοντος καταγελάσῃς· καὶ τοῦτο ἀκούσῃ μᾶλλον. Οὐδὲ γὰρ οὕτως ἥδεται τῷ μὴ ὑβρίζεσθαι, ὡς δάκνεται τῷ μὴ δύνασθαί σου καθάπτεσθαι. Οὐχ ὁρᾷς τοὺς θυμουμένους, [n]ὅτι τῶν ἰδίων πληγῶν οὐ πολὺν ποιούμενοι λόγον, ἐπέρχονται ῥύμῃ πολλῇ, καὶ συῶν ἀγρίων χεῖρον τὰ τοῦ πλησίον ζητοῦντες τραύματα, 684 καὶ πρὸς ἓν τοῦτο ὁρῶντες, καὶ τούτου μᾶλλον ὄντες, ἢ τοῦ φυλάξασθαί τι παθεῖν; [e]Ὅταν οὖν, οὗ μάλιστα [o]ἐπιθυμεῖ, τούτου [p]μάλιστα ἀποστερήσῃς αὐτὸν, [q]τοῦ παντὸς ἀπεστέρησας, ἐξευτελίσας, καὶ δείξας εὐκαταφρόνητον, καὶ παιδίον

[y] εἶπε aberat ante Ben. repugnantibus libris et Cat. Statim τιμωρῆσαι C. [z] καὶ accessit ex A.B.D.E.F.H.I. [a] τότε om. H. [b] ὑποτιθεῖ B. ὑποτέμῃ A.H.I. [c] κενοῦντα I. [d] καταλύσει A.B.D.E.F.H.I. καταλύσεται C. λύσει Edd. [e] μὲν om. I. [f] ἀνθυβρίσῃς] ἂν θορυβήσῃς A. ἂν θορυβηθῇς H. ὑβρισθῇς I. Vulgatum firmat Flor. p. 279. (Tom. xii. p. 559 E.) [g] νικηθεὶς E. κινηθεὶς Edd. [h] ἀπονητὶ] Sic libri omnes et Flor. ἀπὸ νίκης Veron. Sav. Mor. Statim τὸ om. C.D.I. [i] τὸ ψεῦδος Edd. τὸ deest in omnibus. καὶ τοῦ τῆς λ. ψεύδους κ. Flor. [k] ἔλυσας I. [l] μᾶλλον] μὲν C. [m] διαθερμανθεὶς B.C.D.F.H.I. θερμανθεὶς vulgo. [n] ὅτι om. C. Statim τῶν οἰκείων πόνων idem. τῶν οἰκείων πληγῶν Veron. [o] ἐπιθυμεῖ pro ἐπιθυμῇ I. [p] μάλιστα om. E. [q] τοῦ παντὸς om. I. De sequentibus vid. Annot.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μᾶλλον ἢ ἄνδρα, καὶ σὺ μὲν φιλοσόφου ψῆφον λαβὼν, ἐκεῖνον δὲ θηρίου [r]πονηροῦ δόξῃ περιβαλών. Τοῦτο καὶ ἐν τῷ τύπτεσθαι ποιῶμεν, καὶ ὅταν βουλώμεθα τύπτειν, μὴ [s]ἀντιτύπτωμεν· B ἀλλ' εἰ βούλει καιρίαν δοῦναι πληγὴν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα, καὶ μυρίοις [t]αὐτὸν πλήξεις τραύμασιν. Οἱ γὰρ κροτοῦντές [v]σε καὶ θαυμάζοντες τῶν καταλευόντων εἰσὶν αὐτῷ χαλεπώτεροι· καὶ πρὸ ἐκείνων τὸ συνειδὸς [w]αὐτοῦ καταγνώσεται, καὶ μεγίστας αὐτὸν ἀπαιτήσει δίκας, καὶ ὡς τὰ [x]αἴσχιστα παθὼν, οὕτως ἐρυθριάσας ἀναχωρήσει. Εἰ δὲ καὶ τὴν παρὰ τῶν πολλῶν ζητεῖς δόξαν, καὶ ταύτης ἀπολαύσῃ μειζόνως. Καὶ ἄλλως μὲν γὰρ πρὸς τοὺς κακῶς πάσχοντας ἔχομέν [y]τινα συμπάθειαν· ὅταν δὲ [z]μηδὲ ἀντιτύπτοντας ἴδωμεν, ἀλλὰ [a]καὶ ἑαυτοὺς ἐκδιδόντας, οὐκ ἐλεοῦμεν μόνον, ἀλλὰ καὶ θαυμάζομεν.

C [b]Διὰ ταῦτά μοι νῦν ἀνοιμῶξαι ἔπεισιν, ὅτι [c]οἱ δυνάμενοι καὶ τὰ [d]ἐνταῦθα ἔχειν, εἰ τῶν τοῦ Χριστοῦ νόμων ἠκούομεν ὡς ἐχρῆν, καὶ τῶν μελλόντων ἐπιτυγχάνειν, ἀμφοτέρων ἐκπίπτομεν, παρακούοντες τῶν εἰρημένων, καὶ περιττὰ φιλοσοφοῦντες. Καὶ (188)
γὰρ ἐκεῖνος συμφερόντως πάντα ἐνομοθέτησε, καὶ [e]ἐδίδαξε τί μὲν ποιεῖ ἐνδόξους, τί δὲ αἰσχρούς. Καὶ οὐκ ἂν, εἰ ἔμελλεν ἀποφαίνειν καταγελάστους τοὺς [f]αὐτοῦ μαθητὰς, τοῦτο ἂν ἐπέταξεν· ἀλλ' ἐπειδὴ τοῦτο ποιεῖ λαμπροτέρους ἁπάντων, τὸ [g]κακῶς μὴ λέγειν ἀκούοντας κακῶς, τὸ μὴ κακῶς ποιεῖν πά- D σχοντας κακῶς, [h]διὰ τοῦτο ταῦτα ἐπέταξεν. Εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον τὸ λέγειν καλῶς ἀκούοντας κακῶς, τὸ ἐγκωμιάζειν ὑβριζομένους, τὸ εὐεργετεῖν [i]ἐπιβουλευομένους. Διὰ τοῦτο καὶ ταῦτα ἐνομοθέτησε. Καὶ γὰρ φείδεται τῶν [k]αὐτοῦ μαθητῶν, καὶ οἶδε σαφῶς τί [l]ποτέ ἐστι τὸ ποιοῦν μικρὸν καὶ μέγαν. Εἰ τοίνυν [m]καὶ φείδεται καὶ οἶδε, τί αὐτῷ φιλονεικεῖς ἑτέραν [n]θέλων ἐλθεῖν ὁδόν; Καὶ γὰρ τὸ νικᾶν ἀπὸ τοῦ κακῶς ποιεῖν,

[r] πονηρᾷ E. Mox περιβαλὼν pro περιβάλλων A.B.C.D.E.F.I. [s] τύπτωμεν C. Statim ἀλλ' εἰ pro ἀλλὰ omnes. Mox δοῦναι καιρίαν inverso ord. A.B.E.F.H.I. [t] αὐτὸν om. I. [v] σε assumtum ex B.E. [w] αὐτῶν H. αὐτὸ I. [x] Sic C. ἔσχατα Edd. [y] τινα om. A.H.I. [z] μηδὲ om. a pr. man. B. μὴ pro μηδὲ Veron. Statim ἀντιπίπτοντας A.B.C.D.E.F. [a] καὶ om. C. Statim ἐκδόντας idem. Post h. v. desunt duo folia in E. usque ad ἐκείνῳ γὰρ p. 687 D. [b] ΗΘΙΚΟΝ. Ὅτι οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι. Veron. [c] οἱ om. C.D. et ex corr. F. οὐ pro οἱ H. [d] ἐνταῦθα omnes. παρόντα Edd. [e] ἐδίδαξε pro ἔδειξε omnes. [f] αὐτοῦ A.B.D.F.H.I. ἑαυτοῦ Edd. [g] κακῶς (καλῶς F.) μὴ] Sic A.B.D.F.H.I. μὴ κακῶς Edd. [h] διὰ τοῦτο—τοῦτο πολλῷ] καὶ πολλῷ I. [i] λοιδορουμένους C. Statim διά τοι τοῦτο Edd. τοι deest in A.B.D.F.H.I. [k] αὐτοῦ B.D.H. αὐτοῦ Edd. [l] ποτε] ποτ' οὖν C. Mox μικρὸν pro σμικρὸν omnes. [m] καὶ om. I. [n] θ. ἐλθεῖν ὁδὸν A.B.D.F.H.I. θ. ὁδὸν ἐλθεῖν C. ὁδὸν θ. ἐλθεῖν Edd.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

διαβολικῶν ἐστι νόμων. Διά [o]τοι τοῦτο ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι τοῖς ἐκείνῳ τελουμένοις, οὕτω κρατοῦσιν οἱ ἀγωνιζόμενοι πάντες. Ἀλλ' οὐκ ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ οὗτος τῶν Ε στεφάνων ὁ νόμος, ἀλλὰ τοὐναντίον ἅπαν, τὸν πληττόμενον, οὐ τὸν πλήττοντα [p]στεφανοῦσθαι νενομοθέτηται. Τοιοῦτον [q]γὰρ αὐτοῦ τὸ στάδιον· ἀπεναντίας ἅπαντα ἔχει διατεταγμένα· ὥστε μὴ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ [r]τῷ τρόπῳ τῆς νίκης τὸ θαῦμα γίνεσθαι μεῖζον. Ὅταν γὰρ τὰ ἑτέρωθι ὄντα [s]ἥττης, ταῦτα νίκης ποιητικὰ [t]ἀποφήνῃ· τοῦτο θεοῦ δύναμις, τοῦτο οὐρανοῦ τὸ στάδιον, τοῦτο ἀγγέλων [v]τὸ θέατρον. Οἶδα ὅτι [w]διεθερμάνθητε νῦν, καὶ κηροῦ γεγόνατε παντὸς ἁπαλώτεροι· ἀλλ' ἀναχωρήσαντες ἅπαντα ἀποβλύζετε. Διὰ τοῦτο ἀλγῶ, ὅτι τὰ λεγόμενα ἐπὶ τῶν ἔργων οὐ [x]δείκνυμεν, καὶ ταῦτα 685
μέλλοντες τὰ μέγιστα ἐντεῦθεν [y]κερδαίνειν. [z]Ἂν γὰρ ἐπιείκειαν ἐπιδειξώμεθα, ἀχείρωτοι πᾶσιν ἐσόμεθα, καὶ οὐδεὶς ἀνθρώπων, οὐ μικρὸς, οὐ μέγας ἡμᾶς [a]τι βλάψαι δυνήσεται. [b]Ἂν τε γὰρ κακῶς τις εἴπῃ, σὲ μὲν οὐδὲν, ἑαυτὸν δὲ τὰ μέγιστα [c]ἔβλαψεν· ἄν τε ἀδικήσῃ, πάλιν ἡ βλάβη περὶ τὸν ἠδικηκότα [d]ἵσταται. Οὐχ ὁρᾷς καὶ ἐν τοῖς δικαστηρίοις, ὅτι οἱ μὲν ἠδικημένοι λαμπροὶ, καὶ μετὰ πολλῆς ἑστήκασι τῆς παρρησίας ἐλευθεροστομοῦντες, οἱ δὲ ἠδικηκότες κάτω κύπτοντες [e]μετ' αἰσχύνης καὶ φόβου; Καὶ τί λέγω [f]κακηγορίαν καὶ ἀδικίαν; Κἂν [g]γὰρ ξίφος ἀκονήσῃ κατὰ σοῦ, [h]κἂν εἰς τὸν λαιμὸν αὐτὸν τὴν δεξιὰν βαπτίσῃ, σὲ μὲν οὐδὲν [i]παρέβλαψεν, ἑαυτὸν δὲ Β
κατέσφαξε. Καὶ μαρτυρήσειεν ἂν τῷ λόγῳ ὁ πρῶτος οὗτος [k]ἀναιρεθεὶς ὑπὸ δεξιᾶς ἀδελφικῆς. Ὁ μὲν γὰρ ἀπῆει πρὸς τὸν ἀκύμαντον λιμένα, ἀθάνατον δόξαν κτησάμενος· ὁ δὲ παντὸς θανάτου βίον ἀθλιώτερον ἔζη, στένων καὶ τρέμων, καὶ ἐν τῷ σώματι τὴν κατηγορίαν τοῦ γενομένου περιφέρων. Μὴ δὴ τοῦτο διώκωμεν, [i]ἀλλ' ἐκεῖνο. Ὁ μὲν γὰρ κακῶς πάσχων οὐκ ἔχει [k]οἴκοι μένον τὸ κακόν· οὐ γὰρ αὐτὸς αὐτὸ ἔτεκεν, ἀλλ'

[o] τοι om. I. Post τοῦτο add. καὶ H. Mox Ὀλυμπικοῖς H.I. [p] στεφανοῦν C. [q] γὰρ om. A.B.F.H.I. [r] τῷ τρόπῳ] τῷ (τῶ eras. A.) πρὸ A.H. [s] τῆς ἥττης C. νίκης pro ἥττης et ἥττης pro νίκης A.B.D.F.H.I. [t] ἀποφήνῃ A.B.C.D.F.H. ἀποφαίνει (sic) I. ἀποφανῇ Edd. [v] τὸ om. A.B.D.F.H.I. [w] ἐθερμάνθητε I. [x] δείκνυμεν pro δεικνύομεν A.B.D.F.H.I. [y] κερδανεῖν I. [z] τι βλάψαι] ἀντιβλάψαι Veron. ἄν τι βλάψαι Sav. cet. ἂν deest in omnibus. [a] ἔβλαψεν] παραβλάψει I. Statim ἄν τε δὲ ἀδ. B. ἄν τε γὰρ ἀδ. C. [b] ἔστηκεν in textu I. [c] μετ'] καὶ μετ' I. μετὰ B.D.H. [d] κατηγορίαν Edd. Ἰσ. κακηγορίαν Sav. marg. κακηγορίαν B.D.F.H.I. [e] γὰρ om. C. Statim τὸ ξίφος Edd. τὸ deest in A.B.D.F.H.I. [f] κἂν] καὶ A.H.I. Mox αὐτοῦ pro αὐτὸν C. [g] ἔβλαψεν C. [h] ἀναιρεθεὶς]+Ἀβὲλ C. [i] ἀλλ' ἐκεῖνος μὲν γὰρ κακῶς A.H. [k] οἴκοι μένον] Sic A.B.F.H.I. μένον οἴκοι C. μόνιμον οἶκοι Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑτέρωθεν αὐτὸ δεξάμενος, ἐποίησεν ἀγαθὸν διὰ τῆς ὑπομονῆς· ὁ
C δὲ ποιήσας κακῶς, οἴκοι τὴν πηγὴν ἔχει τῆς κακίας. Οὐχ ὁ
Ἰωσὴφ ἐν δεσμωτηρίῳ ἦν, ἡ δὲ ἐπιβουλεύσασα αὐτῷ πόρνη ἐν
οἰκίᾳ [l]λαμπρᾷ καὶ περιφανεῖ; Τίς [m]ἂν οὖν ἠθέλησας γενέσθαι;
Καὶ [n]μήπω μοι τὴν ἀντίδοσιν εἴπῃς, ἀλλ' αὐτὰ καθ' ἑαυτὰ
ἐξέτασον τὰ γεγενημένα· καὶ γὰρ οὕτω μυριάκις προτιμήσεις
τὸ δεσμωτήριον μετὰ τοῦ Ἰωσὴφ τῆς οἰκίας τῆς τὴν πόρνην
ἐχούσης. Καὶ γὰρ εἰ τὴν ἀμφοτέρων ψυχὴν ἴδοις, τὴν [o]μὲν ἐν
εὐρυχωρίᾳ καὶ παρρησίᾳ ὄψει πολλῇ, τὴν δὲ τῆς Αἰγυπτίας ἐν
στενοχωρίᾳ καὶ αἰσχύνῃ καὶ κατηφείᾳ καὶ θορύβῳ καὶ ἀθυμίᾳ
πολλῇ· καίτοιγε [p]αὐτὴ ἐδόκει νικᾶν, ἀλλ' οὐκ ἦν αὕτη νίκη.
D Ταῦτ' οὖν εἰδότες, πρὸς τὸ κακῶς παθεῖν ἑαυτοὺς [q]παρασκευά-
σωμεν, ἵνα καὶ τοῦ [r]κακῶς παθεῖν ἀπαλλαγῶμεν, καὶ τῶν
μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [s]με-
τασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ
πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΔ.

[1] Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω.

E ΠΟΛΥΝ τοῦ πράγματος τούτου ποιεῖται λόγον καὶ ἐν ἑτέ- (189)
ραις ἐπιστολαῖς, καθάπερ τοὺς οἰκέτας τοῖς δεσπόταις, οὕτω καὶ
τοὺς ἀρχομένους τοῖς ἄρχουσιν ὑποτάσσων. Ποιεῖ δὲ τοῦτο,
δεικνὺς ὡς οὐκ ἐπ' ἀνατροπῇ τῆς κοινῆς πολιτείας ὁ Χριστὸς
τοὺς παρ' αὐτοῦ νόμους εἰσήγαγεν, ἀλλ' ἐπὶ διορθώσει βελτίονι,
καὶ παιδεύων μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους καὶ [a]ἀνονή-
τους. Ἀρκοῦσι γὰρ αἱ διὰ τὴν ἀλήθειαν ἡμῖν ἐπαγόμεναι
ἐπιβουλαί, καὶ περιττοὺς οὐ δεῖ προστιθέναι πειρασμοὺς καὶ
ἀνονήτους. Σκόπει δὲ [b]πῶς καὶ εὐκαίρως εἰς τὸν περὶ τούτων
686 ἐνέβαλε λόγον. Ἐπειδὴ γὰρ τὴν πολλὴν ἐκείνην ἀπήτησε
φιλοσοφίαν, καὶ τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς κατεσκεύασεν
ἐπιτηδείους, καὶ τοῖς ἐν εὐημερίᾳ καὶ τοῖς δυσπραγοῦσι καὶ τοῖς
δεομένοις καὶ πᾶσιν ἁπλῶς χρησίμους εἰργάσατο, καὶ τὴν
ἀγγέλοις πρέπουσαν κατεφύτευσε πολιτείαν, καὶ θυμὸν ἐκένωσε,
καὶ ἀπόνοιαν κατέστειλε, καὶ διὰ πάντων κατελέανεν αὐτῶν τὴν

[1] Cap. XIII. v. 1.

[l] καὶ λαμπρᾷ Edd. καὶ deest in omnibus. [m] ἂν οὖν] οὖν ἂν C. ἂν om. I.
[n] μήπω] μὴ C. [o] μὲν]+τοῦ Ἰωσὴφ B.D.F. et marg. C. [p] αὐτὴ B.D.F.I.
αὕτη Veron. Sav. Mor. [q] παρασκευάζωμεν C. [r] κακῶς παθεῖν A.B.D.F.
H.I. παθεῖν κακῶς Edd. [s] μετασχεῖν A.D.F.H.I. ἐπιτυχεῖν Edd.
Hom. XXIV. [a] ἀνοήτους bis I. [b] πῶς καὶ εὐκ.] εὐκαίρως πως C.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

διάνοιαν, τότε καὶ τὴν περὶ τούτων εἰσάγει [c]παραίνεσιν. Εἰ γὰρ τοὺς ἀδικοῦντας τοῖς ἐναντίοις ἀμείβεσθαι χρὴ, πολλῷ μᾶλλον τοῖς εὐεργετοῦσι πείθεσθαι προσήκει. Ἀλλὰ τοῦτο μὲν πρὸς τῷ τέλει τῆς παραινέσεως τίθησι· τέως δὲ [d]οὐ τούτους κινεῖ τοὺς λογισμούς, οὓς εἶπον, ἀλλὰ τοὺς κατὰ ὀφειλὴν B κελεύοντας τοῦτο ποιεῖν. Καὶ δεικνὺς ὅτι πᾶσι [e]ταῦτα διατάττεται, καὶ ἱερεῦσι καὶ μοναχοῖς, οὐχὶ τοῖς βιωτικοῖς μόνον, ἐκ προοιμίων αὐτὸ δῆλον ἐποίησεν, οὕτω λέγων· "Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω·" κἂν ἀπόστολος ᾖς, κἂν εὐαγγελιστὴς, κἂν προφήτης, κἂν [f]ὁτιοῦν· οὐδὲ γὰρ ἀνατρέπει τὴν εὐσέβειαν αὕτη ἡ ὑποταγή. Καὶ οὐχ ἁπλῶς εἶπε, πειθέσθω, ἀλλ', "ὑποτασσέσθω." Καὶ πρῶτον δικαίωμα τῆς τοιαύτης νομοθεσίας, καὶ [g]λογισμὸς πρέπων πιστοῖς, τὸ παρὰ τοῦ θεοῦ ταῦτα διατεταχθαι. "Οὐ γάρ ἐστιν ἐξουσία, φησὶν, εἰ μὴ C [h]ὑπὸ θεοῦ." Τί λέγεις; πᾶς οὖν ἄρχων [i]ἀπὸ θεοῦ χειροτονεῖται; Οὐ τοῦτο λέγω, φησίν· οὐδὲ περὶ τῶν καθ' ἕκαστον ἀρχόντων ὁ λόγος [k]μοι νῦν, ἀλλὰ περὶ αὐτοῦ τοῦ πράγματος. Τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, [l]μηδὲ ἁπλῶς [m]καὶ ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇδε κἀκεῖσε τῶν δήμων περιαγομένων, τῆς τοῦ θεοῦ σοφίας ἔργον εἶναί φημι. Διὰ τοῦτο οὐκ εἶπεν, οὐ γάρ ἐστιν ἄρχων, εἰ μὴ [n]ὑπὸ θεοῦ, ἀλλὰ περὶ τοῦ πράγματος διαλέγεται λέγων· "Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ [o]ὑπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι D ὑπὸ θεοῦ τεταγμέναι εἰσίν." Οὕτω καὶ ὅταν λέγῃ τις σοφὸς, ὅτι [2]"Παρὰ κυρίου ἁρμόζεται [p]γυνὴ ἀνδρὶ," τοῦτο λέγει, ὅτι τὸν γάμον ὁ θεὸς ἐποίησεν, οὐχ ὅτι ἕκαστον [q]συνιόντα γυναικὶ αὐτὸς συνάπτει. Καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπὶ κακῷ [r]καὶ νόμῳ γάμου συνιόντας ἀλλήλοις, καὶ οὐκ ἂν τῷ θεῷ τοῦτο λογισαίμεθα. Ἀλλ' ὅπερ αὐτὸς ἔλεγεν· [3]"Ὁ ποιήσας ἐξ

[2] Prov. xix. 14. [3] Matth. xix. 4, 5.

[c] *παρρησίαν* I. Statim *εἰ γὰρ καὶ τοὺς* C. [d] *οὐ τούτους* A.B.D.F.H.I. *τούτους οὐ* Edd. [e] *ταῦτα*]+*πάντα* C. [f] *ὁτιοῦν* B.C.D.F.H.I. et a pr. man. A. *ὁστισοῦν* Edd. et Cat. [g] *λογισμοῖς πρέπον πιστοῖς* Edd. sine monito. *λογισμὸς* est in A.C.D.F.I. Cat. *πρέπων* C.F.I. Cat. *λογισμὸς προτρέπων* corr. ex *λογισμοῖς τρέπων* B. [h] *ὑπὸ τοῦ θ.* Edd. *τοῦ* om. A.C. F.H.I. Mosqq. Cat. [i] *ἀπὸ τοῦ θ.* Edd. *τοῦ* om. A.B.C.D.H.I. Cat. *ὑπὸ θ.* D. Cat. Statim *χειροτονεῖται* A. B. F. H. I. *κεχειροτόνηται* Edd. et Cat. [k] *μοι* om. I. [l] *μηδὲ*] Sic C.F.H I. *καὶ μὴ* B.D. Cat. Flor. p. 286. (Tom. xii. p. 562 E.) *καὶ μηδὲ* Edd. Verba *μηδὲ ἁπλῶς——φέρεσθαι* desunt in A. [m] *καὶ*] *μηδὲ* C.D. *καὶ* om. H. Flor. Statim *ἀναίδην* H. et ante corr. B. [n] *ὑπὸ τοῦ θ.* B.D. Cat. [o] *ὑπὸ τοῦ θ.* B. [p] *γυνὴ ἀνδρὶ* pro *ἀνδρὶ γυνὴ* B.C.D.F.H.I. [q] *συνιέντα* et mox *συνιέντας* C. [r] *καὶ νόμῳ γάμου*] Sic A.B.C.D.F. Cat. *καὶ νόμῳ γάμῳ* H. *καὶ παρανόμῳ γάμῳ συναφθέντας καὶ* I. Edebatur *καὶ οὐ νόμῳ γάμου.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν, Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα [s]αὐτοῦ καὶ τὴν μητέρα, [t]καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ" τοῦτο καὶ ὁ Ε σοφὸς ἐκεῖνος ἑρμηνεύων ἔλεγεν. Ἐπειδὴ γὰρ τὸ ὁμότιμον μάχην [v]πολλάκις εἰσάγει, πολλὰς ἐποίησε τὰς ἀρχὰς καὶ τὰς ὑποταγάς, οἷον [w]ὡς ἀνδρὸς καὶ γυναικός, ὡς παιδὸς καὶ πατρός, ὡς πρεσβύτου καὶ νέου, [x]ὡς δούλου καὶ ἐλευθέρου, ὡς ἄρχοντος καὶ ἀρχομένου, ὡς διδασκάλου καὶ μαθητοῦ. Καὶ τί θαυμάζεις ἐπὶ τῶν ἀνθρώπων, ὅπου γε καὶ ἐπὶ τοῦ σώματος [y]τὸ αὐτὸ τοῦτο πεποίηκεν. Οὐδὲ γὰρ ἐνταῦθα ὁμότιμα πάντα εἰργάσατο, ἀλλὰ τὸ μὲν ἔλαττον, τὸ δὲ κρεῖττον κατεσκεύασε, καὶ τὰ μὲν ἄρχειν τῶν μελῶν, τὰ δὲ ἄρχεσθαι ἐποίησε. Καὶ ἐν τοῖς ἀλόγοις δὲ [z]τὸ αὐτὸ τοῦτο ἴδοι τις ἂν, ὡς ἐν ταῖς με-
687 λίσσαις, [a]ὡς ἐν ταῖς γεράνοις, ὡς ἐν ταῖς ἀγέλαις τῶν ἀγρίων προβάτων. Καὶ οὐδὲ ἡ θάλαττα ταύτης ἐστέρηται τῆς εὐταξίας, ἀλλὰ καὶ ἐκεῖ πολλὰ τῶν γενῶν ὑφ' ἑνὶ τάττεται τῶν ἰχθύων, καὶ στρατηγεῖται [b]οὕτω, καὶ μακρὰς ἀποδημίας ἀπο- (190)
δημεῖ. Καὶ γὰρ ἡ ἀναρχία πανταχοῦ κακὸν, καὶ συγχύσεως αἴτιον.

Εἰπὼν τοίνυν πόθεν εἰσὶν αἱ ἀρχαὶ, ἐπήγαγεν· [4] "Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν." [c]Εἶδες ποῦ τὸ πρᾶγμα ἀνήγαγε, καὶ πόθεν ἐφόβησε, καὶ πῶς ἔδειξε τοῦτο κατὰ ὀφειλὴν γινόμενον; Ἵνα γὰρ μὴ λέγωσιν οἱ Β πιστοὶ, ὅτι ἐξευτελίζεις ἡμᾶς καὶ εὐκαταφρονήτους ποιεῖς, τοὺς τῆς τῶν οὐρανῶν βασιλείας ἀπολαύειν μέλλοντας ἄρχουσιν ὑποτάττων, δείκνυσιν ὅτι οὐκ ἄρχουσιν, ἀλλὰ τῷ θεῷ πάλιν [d]ὑποτάττει τοῦτο ποιῶν· ἐκείνῳ γὰρ ὁ ταῖς ἀρχαῖς ὑποτασσόμενος πείθεται. [e]Ἀλλ' οὐ λέγει οὕτως, οἷον ὅτι τῷ θεῷ πείθεται ὁ τοῖς ἄρχουσιν ὑπακούων, ἀλλ' ἀπὸ τοῦ ἐναντίου φοβεῖ, καὶ ἀκριβέστερον αὐτὸ κατασκευάζει λέγων, ὅτι ὁ μὴ ὑπακούων ἐκείνῳ, τῷ θεῷ πολεμεῖ τῷ ταῦτα νομοθετήσαντι. Καὶ τοῦτο σπουδάζει δεῖξαι πανταχοῦ, ὅτι οὐ χαριζόμεθα αὐτοῖς τὴν ὑπακοὴν, ἀλλ' ὀφείλομεν. Οὕτω [f]γὰρ ἂν καὶ τοὺς

[4] v. 2.

[s] αὐτοῦ pro αἰτοῦ B.C.D. Post μητέρα add. αὐτοῦ C.D. [t] καὶ——τὴν γ. αὐτοῦ] καὶ τὰ ἑξῆς I. αὐτοῦ pro αὐτοῦ A.B.H. [v] πολλάκις] πολλὴν A. H.I. [w] ὡς om. H. [x] ὡς pro καὶ A.B.C.D.F.H. [y] τὸ αὐτὸ τοῦτο A.B.D.F.H. τοῦτο αὐτὸ Edd. [z] τὸ αὐτὸ τ.] τοῦτο αὐτὸ I. [a] ὡς om. I. [b] οὕτω καὶ pro καὶ οὕτω A. D. H. I. [c] εἶδες pro ἴδε A. B. C. D. F. I. Cat. τεται [d] ὑποτάττει τοῦτο] ὑποτάττεται ὁ τοῦτο A. B. D. F. H. I. Cat. ὑποτάττει (sic) C. [e] ἀλλ' οὐ λέγει——πείθεται] καὶ οὐκ εἶπεν οὕτως ὅτι θεῷ ὑπακούει I. οἷον om. C. [f] γὰρ ἂν] Sic C.F. Cat. γὰρ ὢν Veron. γὰρ [ὢν] Sav. Mor. ὢν (vel ἂν) abest a nostris A.B.D.E.H.I. Delevit etiam Montef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄρχοντας [g]τοὺς ἀπίστους μᾶλλον ἐπεσπάσατο πρὸς εὐσέβειαν, καὶ τοὺς πιστοὺς πρὸς ὑπακοήν. Καὶ γὰρ πολὺς περιεφέρετο C [h]λόγος τότε, ἐπὶ στάσει καὶ καινοτομίᾳ διαβάλλων τοὺς ἀποστόλους, καὶ [i]ὡς ἐπ' ἀνατροπῇ τῶν κοινῶν νόμων ἅπαντα καὶ [k]ποιοῦντας καὶ λέγοντας. Ὅταν οὖν [l]δείξῃς τὸν κοινὸν ἡμῶν δεσπότην τοῦτο παρεγγυῶντα τοῖς αὐτοῦ [m]πᾶσι, καὶ τῶν διαβαλλόντων ὡς [n]νεωτεροποιοὺς [o]ἀπορράψεις τὰ στόματα, [p]καὶ μετὰ πολλῆς παρρησίας [q]ὑπὲρ τῶν τῆς ἀληθείας διαλέξῃ δογμάτων. Μὴ τοίνυν αἰσχύνου, φησὶ, τῇ τοιαύτῃ ὑποταγῇ. Καὶ γὰρ ὁ θεὸς τοῦτο ἐνομοθέτησε, καὶ [r]σφοδρός ἐστι τιμωρὸς D καταφρονουμένων τούτων. Οὐ γὰρ τὴν τυχοῦσάν σε [s]ἀπαιτήσει δίκην παρακούοντα, ἀλλὰ καὶ σφόδρα μεγίστην, καὶ οὐδέν σε ἐξαιρήσεται ἀντιλέγοντα, ἀλλὰ καὶ [t]παρὰ ἀνθρώπων ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην, καὶ οὐδείς σου προστήσεται, καὶ τὸν θεὸν παροξυνεῖς μειζόνως. Ἅπερ ἅπαντα αἰνιττόμενος ἔλεγεν· "Οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται." Εἶτα δεικνὺς [v]καὶ τὸ κέρδος τοῦ πράγματος μετὰ τὸν φόβον, καὶ [w]ἀπὸ λογισμῶν πείθει λέγων οὕτως· [5] "Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν." Ἐπειδὴ [x]γὰρ βαθεῖαν ἔδωκε τὴν πληγὴν, καὶ κατέπληξεν αὐτοὺς, πάλιν ἀνίησιν, ὥσπερ σοφὸς ἰατρὸς φάρμακα προσηνῆ τιθεὶς, [y]καὶ E παραμυθούμενος καὶ λέγων, τί δέδοικας; [z]τί φρίττεις; μὴ γὰρ ἐπιτιμᾷ καλῶς πράττοντι; μὴ γάρ [a]ἐστι φοβερὸς ἀρετῆς ἐπιμελουμένῳ; Διὸ [b]καὶ ἐπάγει· "Θέλεις [c]δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; Τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς." Εἶδες πῶς [d]αὐτὸν ᾠκείωσε τῷ ἄρχοντι, δείξας αὐτὸν καὶ ἐπαινέτην αὐτοῦ καθήμενον; Εἶδες πῶς ἐκένωσε τὸν θυμόν; [6] "Θεοῦ γάρ ἐστι διάκονός σοι εἰς τὸ ἀγαθόν." Τοσοῦτον ἀπέχει τοῦ [e]φοβῆσαι, φησὶν, ὅτι καὶ ἐπαινεῖ· τοσοῦτον ἀπέχει

[5] v. 3. [6] v. 4.

[g] τοὺς] καὶ τοὺς C. [h] ὁ λόγος H. [i] ὡς om. B. [k] ποιοῦντας καὶ λέγοντας] πράττοντας C. [l] δείξῃ C. Veron. [m] παισὶ C. [n] νεωτεροποιῶν Edd. ἴσ.—ποιοὺς Sav. marg. νεωτεροποιοὺς E.H. et marg. F. [o] ἀποφράξεις I. ἀπορράψας C. [p] καὶ om. F. Statim μετὰ πλείονος τῆς π. Edd. πολλῆς pro πλείονος A.B.D.E.F.H.I. Articulum damnant omnes. [q] ὑπὲρ τῶν τῆς] Sic omnes. μετὰ τῆς Veron. Sav. Mor. [r] σφόδρα C. [s] ἀπαιτεῖ C.H. Statim παρακούοντα omnes. παρακούσαντα Edd. [t] παρὰ sine elisione B.D.E.H. Cat. [v] καὶ om. C. [w] ἀπὸ τῶν λ. Edd. τῶν deest in omnibus. [x] γὰρ om. D.E. Mox δέδωκε πληγὴν C. [y] καὶ accessit ex B.C.D.E.F.H.I. Cat. [z] τί] καὶ C.D. [a] φοβερός ἐστιν inverso ord. C.D. Mox ἐπιμελουμένῳ B.D.E.F. Cat. ἐπιμελομένῳ Veron. Sav. Mor. [b] καὶ om. H. [c] δὲ om. I. Mox τῇ ἐξουσίᾳ E. [d] αὐτὸν ᾠκ. pro ᾠκ. αὐτὸν A.B.C.D.E.F.H. αὐτὸν οἰκεῖον ἐποίησεν I. [e] φοβῆσαι, φησὶν] Sic A.B.D. E.F.H.I. Cat. φοβεῖν σε, φησὶν C. φοβῆσαί σε (om. φησὶν) Edd. Mox ἐπαινεῖ σε C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ [f]κωλῦσαι, ὅτι καὶ συμπράττει. Ὅταν οὖν καὶ ἐπαινέτην
688 ἔχῃς καὶ βοηθὸν, διὰ τί οὐχ ὑποτάσσῃ; Καὶ γὰρ [g]καὶ ἄλλως
εὐκολωτέραν σοι ποιεῖ τὴν ἀρετὴν, τοὺς μὲν πονηροὺς κολάζων,
τοὺς δὲ ἀγαθοὺς εὐεργετῶν [h]καὶ τιμῶν, καὶ τῷ βουλήματι τοῦ
θεοῦ συμπράττων· διὸ καὶ διάκονον αὐτὸν ἐκάλεσε. Σκόπει δέ.
Συμβουλεύω περὶ σωφροσύνης ἐγὼ, καὶ ἐκεῖνος τὰ αὐτὰ λέγει
διὰ τῶν νόμων· παραινῶ [i]περὶ τοῦ μὴ δεῖν πλεονεκτεῖν μηδὲ
ἁρπάζειν, [k]ἐκεῖνος ὑπὲρ τούτων κάθηται δικάζων. Ὥστε
συνεργὸς [l]ἡμῖν ἐστι καὶ βοηθὸς, καὶ παρὰ τοῦ θεοῦ [m]εἰς τοῦτο
ἀπέσταλται. Ἀμφοτέρωθεν τοίνυν [n]ἐστὶν αἰδέσιμος, καὶ ὅτι
παρὰ τοῦ θεοῦ ἀπεστάλη, καὶ ὅτι ἐπὶ τοιούτῳ πράγματι.
B "Ἐὰν [o]δὲ τὸ κακὸν ποιῇς, φοβοῦ." Οὐκ ἄρα ὁ ἄρχων [p]τὸν
φόβον ποιεῖ, ἀλλ' ἡ ἡμετέρα πονηρία. "Οὐ γὰρ εἰκῇ τὴν
μάχαιραν φορεῖ." Εἶδες πῶς αὐτὸν [q]ἐπέστησε καθοπλίσας
καθάπερ τινὰ [r]φοβερὸν στρατιώτην τοῖς ἁμαρτάνουσιν;
"Θεοῦ γὰρ διάκονός ἐστιν [s]εἰς ὀργὴν, ἔκδικος τῷ τὸ κακὸν
πράσσοντι." Ἵνα γὰρ μὴ πάλιν ἀκούσας κόλασιν καὶ τιμωρίαν
καὶ μάχαιραν, ἀποπηδήσῃς, πάλιν φησὶν, ὅτι θεοῦ νόμον πλη-
ροῖ. Τί γὰρ, εἰ καὶ [t]αὐτὸς ἀγνοεῖ; Ἀλλ' ὁ θεὸς οὕτως ἐτύ-
πωσεν. Εἰ τοίνυν καὶ κολάζων καὶ [v]τιμῶν διάκονός ἐστιν, (191)
C ἐκδικῶν [w]ἀρετὴν, ἀπελαύνων κακίαν, ὅπερ ὁ θεὸς βούλεται, τίνος
ἕνεκεν αὐτῷ φιλονεικεῖς τοσαῦτα εἰσάγοντι ἀγαθὰ, καὶ προοδο-
ποιοῦντι τοῖς σοῖς; Καὶ γὰρ πολλοὶ πρότερον διὰ τοὺς
ἄρχοντας ἀρετὴν ἀσκήσαντες, ὕστερον καὶ διὰ τὸν φόβον τοῦ
θεοῦ ταύτης ἐπελάβοντο. Τῶν γὰρ παχυτέρων οὐχ οὕτω τὰ
μέλλοντα, ὡς τὰ παρόντα καθάπτεται. Ὁ τοίνυν τὴν ψυχὴν
τῶν πολλῶν προευτρεπίζων τῷ φόβῳ καὶ ταῖς τιμαῖς, ὥστε
γενέσθαι [x]ἐπιτηδειοτέραν τῷ τῆς διδασκαλίας λόγῳ, εἰκότως
οὗτος διάκονος κέκληται [y]τοῦ θεοῦ.

7 "Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ

7 v. 5.

[f] *κωλῦσαι* prō *κωλύειν* A.B.D.E.F.H.I. Vulgatum habet Cat. [g] *καὶ* om. C. Mox *εὐκολώτερον* idem. [h] Sic Edd. et Cat. Haec *καὶ τιμῶν* desunt in nostris praeter C. omnibus. [i] *περὶ* om. I. *περὶ τοῦ* om. C. [k] *ἐκεῖνος* A.B.D.E.F.H. *καὶ ἐκεῖνος* I. *κἀκεῖνος* Edd. [l] *ἡμῖν ἐστι* pro *ἐστιν ἡμῖν* B.D.F.H.I. *ὑμῖν ἐστι* E. [m] *εἰς*] *πρὸς* C. Veron. [n] *ἐστιν* om. H. [o] *δὲ*]+*καὶ* Edd. reclamantibus libris. [p] *τὸν φ. ποιεῖ* pro *ποιεῖ τὸν φ.* A.B.D.E.F.H.I. [q] *ἐπέστησε* vel *ἐπέστησεν* A.B.D.F.H.I. Cat. *ἀπέστησεν* E. *παρέστησεν* Edd. Statim *καθοπλίσας* pro *ὁπλίσας* omnes. [r] *φοβερὸν στρ.* pro *στρ. φοβερὸν* A.B.D.E.F.H.I. *φοβερὸν* om. C. Mox edebatur *τοῖς ἁμαρτάνουσιν ἐπιστήσας.* *ἐπιστήσας* om. B.D.E.F.I. Cat. [s] *εἰς ὀργὴν* om. C. [t] *αὐτὸς ἀγνοεῖ* A.B.D.E.F.H.I. Cat. *ἀγνοεῖ αὐτὸς* Edd. [v] *τιμωρῶν* A.B.D.E.F.H.I. Post *διάκονος* vulgo addunt *θεοῦ*, repugnantibus libris. [w] *τὴν ἀρετὴν* C. [x] *ἐπιτηδειότερον* C. [y] *τοῦ* om. C. superscript. in E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ διὰ τὴν συνείδησιν." [z] Τί ἐστιν, "οὐ μόνον διὰ τὴν ὀργήν;" Οὐ μόνον, φησὶν, [a]ὅτι ἀνθίστασαι θεῷ μὴ ὑποD
τασσόμενος, οὐδ' ὅτι κακὰ σεαυτῷ προξενεῖς μεγάλα καὶ παρὰ τοῦ θεοῦ καὶ παρὰ τῶν [b]ἀρχόντων, ἀλλ' ὅτι καὶ ἐν τοῖς μεγίστοις εὐεργέτης σου γίνεται, εἰρήνης ὢν πρόξενος καὶ οἰκονομίας πολιτικῆς. Καὶ γὰρ μυρία ἀγαθὰ [c]διὰ τῶν ἀρχῶν τούτων ταῖς πόλεσι γίνεται· κἂν ἀνέλῃς [d]αὐτὰς, πάντα [e]οἰχήσεται, καὶ οὐ πόλις, οὐ χώρα, οὐκ οἰκία, οὐκ ἀγορὰ, οὐκ ἄλλο οὐδὲν στήσεται, ἀλλὰ πάντα [f]ἀνατραπήσεται, τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων. [g]Ὥστε καὶ εἰ μὴ ὀργή τις εἵπετο παρακούοντι, καὶ οὕτως ὑποτάσσεσθαί σε ἐχρῆν, ἵνα μὴ δόξῃς ἀσυνείδητος εἶναι, καὶ ἀγνώμων περὶ τὸνE
εὐεργέτην. [8] "Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε, φησί. Θεοῦ γάρ εἰσι λειτουργοὶ, εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες." Ἀφεὶς εἰπεῖν κατὰ μέρος τὰς εὐεργεσίας τὰς ἀπὸ τῶν ἀρχόντων ταῖς πόλεσι γινομένας, οἷον τὴν εὐταξίαν, τὴν εἰρήνην, τὰς ἄλλας διακονίας, τὰς ἐπὶ [h]τῶν στρατιωτῶν, τὰς ἐπὶ τῶν τὰ κοινὰ πραττόντων, ἐξ ἑνὸς [i]τούτου τὸ πᾶν ἐνδείκνυται. Ὅτι γὰρ εὐεργετῇ παρ' αὐτοῦ, φησὶ, σὺ μαρτυρεῖς, μισθὸν αὐτῷ τελῶν. Ὅρα σοφίαν καὶ σύνεσιν τοῦ μακαρίου Παύλου. [a]Ὁ γὰρ ἐδόκει φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸ τῶν ἀπαιτήσεων, τοῦτο δεῖγμα ποιεῖται τῆς αὐτῶν προνοίας. Διὰ τί γάρ, [k]φησὶ, φόρους δίδομεν βασιλεῖ; Οὐχ ὡς προνοοῦντι, οὐχ ὡς 689
προϊσταμένῳ μισθὸν τελοῦντες κηδεμονίας; Καίτοιγε οὐκ ἂν ἐτελέσαμεν, εἰ μὴ ἐξ ἀρχῆς ἔγνωμεν, ὅτι [l]κερδαίνομεν ἐκ τῆς τοιαύτης ἐπιστασίας. Ἀλλὰ διὰ τοῦτο ἄνωθεν κοινῇ γνώμῃ πάντων [m]ἔδοξε τοὺς ἄρχοντας τρέφεσθαι παρ' ἡμῶν, ὅτι τῶν οἰκείων ἀμελοῦντες, τῶν κοινῶν κήδονται πραγμάτων, καὶ εἰς ταῦτα τὴν σχολὴν ἀναλίσκουσιν ἅπασαν, δι' ὧν καὶ τὰ ἡμέτερα [n]σώζεται. Εἰπὼν τοίνυν τὰ ἀπὸ τῶν ἔξωθεν, πάλινB
ἐπὶ τὰ [o]πρότερα τὸν λόγον ἐπανάγει· τὸν γὰρ πιστὸν [p]οὕτω

[8] v. 6.

[z] Verba *τί ἐστιν——τὴν ὀργὴν* desunt in A.B.F.H.I., sed leguntur in Edd. et Cat. Pro iis *τουτέστιν* habent D.E. [a] *ὅτι* om. C. Mox *τῷ θεῷ* D.E.I. [b] *ἀρχόντων* libri omnes et Cat. *ἀνθρώπων* Edd. [c] *διὰ*] *καὶ διὰ* C. Statim *τῶν ἀρχῶν* Edd. *τῶν ἀρχόντων* Codd. [d] *αὐτοὺς* F. *αὐτὰ* corr. ex *αὐτὰς* C. *αὐτὰ* etiam Veron. [e] *οἴχεται* C. Mox *οὐ πόλις, οὐ χώρα* omnes. *οὐ πόλεις, οὐ χωρία* Edd. [f] *ἀνατραπήσεται*] *οἰχήσεται* C. [g] *καὶ εἰ*] *εἰ καὶ* C. Mox *τῷ παρακούοντι* Edd. *τῷ* om. A.D.E.I. Cat. et ante corr. B. [h] *τῶν* accessit ex B.C.D.E.F. Ita tacite correxit Montef. [i] *τοῦτο* H. Statim *ἐνδείκνυται* A.B.C.D.E.F.I. *δείκνυται* H. *δείκνυσιν* Edd. [k] *φησὶ* om. I. Statim *διδόαμεν* C.E. [l] *ἐκερδαίνομεν* C. [m] *ἔδειξε* A. [n] *σώζεται* omnes. *σώζονται* Veron. Sav. Mor. [o] *πρότερον* H. Statim *ἐπανάγει* pro *ἐπάγει* omnes. [p] *οὗτος* A.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μᾶλλον ἱκανὸς ἦν ἐπισπάσασθαι· καὶ δείκνυσι πάλιν, ὅτι θεῷ τοῦτο δοκεῖ, καὶ εἰς αὐτὸ [q]κατακλείει τὴν συμβουλὴν, οὕτω λέγων· "θεοῦ γάρ εἰσι λειτουργοί." Εἶτα καὶ τὸν πόνον [r]αὐτῶν δεικνὺς καὶ τὴν ταλαιπωρίαν, ἐπήγαγεν· "εἰς τοῦτο αὐτὸ προσκαρτεροῦντες." Οὗτος γὰρ αὐτοῖς ὁ βίος, αὕτη ἡ σπουδὴ, ὅπως [s]ἀπολαύοις εἰρήνης. Διὰ τοῦτο καὶ [t]ἐν ἑτέρᾳ ἐπιστολῇ οὐ μόνον ὑποτάσσεσθαι, ἀλλὰ καὶ εὔχεσθαι ὑπὲρ αὐ-
C τῶν κελεύει· καὶ δεικνὺς κἀκεῖ τὸ κέρδος [v]κοινὸν, ἐπάγει· [9] "Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν [w]ἐν πᾶσιν." Οὐδὲ γὰρ μικρόν τι συντελοῦσιν ἡμῖν εἰς τὴν τοῦ παρόντος βίου κατάστασιν, ὅπλα τιθέμενοι, [x]τοὺς πολεμίους ἀποκρουόμενοι, τοὺς ἐν ταῖς πόλεσι στασιάζοντας κωλύοντες, τὰς ἐν πᾶσι διαφορὰς [y]διαλύοντες. Μὴ γάρ μοι τοῦτο [z]εἴπῃς, εἴ τις κακῶς τῷ πράγματι κέχρηται, ἀλλ' αὐτῆς βλέπε τῆς διατάξεως τὴν εὐκοσμίαν, καὶ [a]τὴν πολλὴν ὄψει τοῦ ταῦτα ἐξ ἀρχῆς νομοθετήσαντος σοφίαν. [10] "Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλὰς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον·
D τῷ τὴν τιμὴν, τὴν τιμήν. [b]Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ [c]ἀγαπᾶν ἀλλήλους." Ἔτι τῶν αὐτῶν ἔχεται, οὐ χρήματα μόνον [d]κελεύων αὐτοῖς τελεῖν, ἀλλὰ [e]καὶ τιμὴν καὶ φόβον. Καὶ πῶς ἀνωτέρω λέγων, "Θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; (19
τὸ ἀγαθὸν ποίει" [f]ἐνταῦθα λέγει, "Ἀπόδοτε τὸν φόβον;" Τὴν ἐπιτεταμένην [g]λέγων τιμὴν, οὐ τὸν ἐκ τοῦ πονηροῦ συνειδότος φόβον, [h]ὃν ἀνωτέρω ᾐνίξατο. Καὶ [i]οὐδὲ εἶπε, δότε, ἀλλ', "ἀπόδοτε," καὶ τὰς ὀφειλὰς προσέθηκεν· οὐδὲ γὰρ χαρίζῃ τοῦτο ποιῶν· ὀφειλὴ γάρ ἐστι τὸ πρᾶγμα, κἂν μὴ πράττῃς [k]αὐτὸ, ἀγνώμονος ὑποστήσῃ δίκην. [l]Μὴ δὴ νομίσῃς ἐξευτελί-
E ζεσθαι [m]καὶ παραβλάπτεσθαι πρὸς τὸ τῆς οἰκείας φιλοσοφίας ἀξίωμα, [n]ἐὰν ἄρχοντος παριόντος ὑπαναστῇς, [o]ἐὰν τὴν κεφαλὴν

[9] 1 Tim. ii. 2. [10] v. 7, 8.

[q] *κατακλείει*] *καταλήγει εἰς* H. [r] *αὐτῶν* om. E. Mox *τὴν ταλαιπωρίαν αὐτῶν* Edd. *αὐτῶν* om. C.D.I. et ex corr. B. Deest etiam in Cat. [s] *ἀπολαύοις* pro *ἀπολαύῃς* A.B.D.E.F.H.I. *ἀπολαύσῃς* C. *ἀπολαύσεις* Cat. [t] *ἐν τῇ ἑτέρᾳ* Edd. *τῇ* deest in omnibus. [v] *κοινὸν* om. H. Statim *ἐπάγει* pro *ἐπήγαγεν* A. B. D. E. F. H. I. [w] Verba *ἐν πᾶσιν* accesserunt ex iisdem. [x] *τοὺς π. ἀποκρουόμενοι* om. H. [y] *λύοντες* I. [z] *εἴπῃς* pro *εἴποις* omnes. [a] *τὴν* om. D.E. [b] *καὶ μηδενὶ* C. [c] *ἀγαπᾶν* ἀλλ. pro ἀλλ. *ἀγαπᾶν* (hic et infra p. 690 A.) A.B.D.E.F.H.I. [d] *κ. αὐτοὺς* A.B.D.F.H. *αὐτοὺς κ.* E.I. *κ. αὐτοῖς* Edd. et Cat. [e] *καὶ* accessit ex A.B.D.E.F.I. Cat. [f] *ἐνταῦθα* (+*δὲ* E.) *ἀπόδοτε τὸν φόβον φησί*; D.E. [g] *λέγει* D.E. Verba *τὴν ἐπιτεταμένην*——*φόβον* om. A.H. Haec *τὴν ἐπιτεταμένην*——*ᾐνίξατο* desunt in I. [h] *ὃν*] *ὃ* A. *ὃ καὶ* H. [i] *οὐκ* I. [k] *αὐτὰ* C. [l] *μὴ δὴ*] *μηδὲ* B.C.D.E.F. non Cat. Statim *νομίζῃς* C.D.E. [m] *καὶ*] *ἢ* C. [n] *ἐὰν* pro *ἂν* B.E.H.I. Cat. Statim *παριόντος* pro *παρόντος* omnes. Proxime *ὑποστῇς* B. [o] *ἐὰν* pro *ἂν* A.B.D.E.H.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποκαλύψης. Εἰ γὰρ Ἑλλήνων ὄντων [p]τότε τῶν ἀρχόντων ταῦτα ἐνομοθέτησε, πολλῷ μᾶλλον [q]νῦν ἐπὶ τῶν πιστῶν τοῦτο γίνεσθαι χρή. Εἰ δὲ [r]λέγεις, ὅτι σὺ μείζονα ἐμπεπίστευσαι, μάθε ὅτι οὐκ ἔστι [s]σου νῦν ὁ καιρός· ξένος γὰρ εἶ καὶ παρεπίδημος. [t]Ἔσται καιρὸς, ὅτε λαμπρότερος πάντων φανήσῃ· νῦν [11] "Ἡ ζωή [v]σου κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ." Μὴ ζήτει τοίνυν ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ τὴν ἀμοιβὴν, ἀλλὰ κἂν μετὰ φόβου παρεστάναι δέῃ τῷ ἄρχοντι, μὴ νομίσῃς ἀνάξιον εἶναι τοῦτο τῆς [w]σῆς εὐγενείας. Ὁ θεὸς γὰρ οὕτω βούλεται, ἵνα ὁ ἄρχων ὁ παρ' αὐτοῦ τυπωθεὶς τὴν οἰκείαν ἰσχὺν ἔχῃ. Καὶ γὰρ ὅταν ὁ μηδὲν ἑαυτῷ συνειδὼς 690
πονηρὸν, μετὰ φόβου [x]παρεστήκῃ τῷ δικάζοντι, πολλῷ μᾶλλον ὁ τὰ πονηρὰ πράττων φοβηθήσεται. Καὶ σὺ δὲ ταύτῃ λαμπρότερος ἔσῃ· οὐδὲ γὰρ ἐκ τοῦ τιμᾶν τὸ ἐξευτελίζεσθαι γίνεται, ἀλλ' ἐκ τοῦ ἀτιμάζειν· καὶ ὁ ἄρχων δέ σε θαυμάσεται μειζόνως, καὶ δοξάσει σου τὸν δεσπότην [y]ἐντεῦθεν, κἂν ἄπιστος ᾖ. "Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους." Πάλιν ἐπὶ τὴν μητέρα τῶν ἀγαθῶν καταφεύγει, καὶ τὴν διδάσκαλον τῶν εἰρημένων καὶ ποιητικὴν ἀρετῆς ἁπάσης, καί φησι [z]καὶ αὐτὴν ὄφλημα εἶναι, οὐ μὴν τοιοῦτον, οἷον τὸν φόρον, οἷον τὸ τέλος, B
ἀλλὰ διηνεκές. Οὐδέποτε γὰρ αὐτὴν [a]βούλεται ἀποδίδοσθαι· μᾶλλον δὲ ἀποδίδοσθαι μὲν ἀεὶ βούλεται, οὐ μὴν πληροῦσθαι, ἀλλ' ἀεὶ ὀφείλεσθαι. Τοιοῦτον γάρ ἐστι τὸ χρέος, ὡς καὶ διδόναι καὶ ὀφείλειν ἀεί. Εἰπὼν τοίνυν πῶς ἀγαπᾶν δεῖ, καὶ τὸ κέρδος αὐτοῦ δηλοῖ λέγων· "Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε." Μὴ γάρ [b]τοι μηδὲ τοῦτο χάριν εἶναι νόμιζε· καὶ γὰρ καὶ [c]τοῦτο ὀφειλή. Ὀφείλεις γὰρ τῷ ἀδελφῷ [d]τὴν ἀγάπην διὰ τὴν συγγένειαν τὴν πνευματικήν· οὐ [e]ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι καὶ μέλη ἐσμὲν ἀλλήλων· κἂν [f]αὐτὴ ἡμᾶς ἐπιλίπῃ, τὸ πᾶν διεσπάσθη. Φίλει τοίνυν τὸν ἀδελφόν. Εἰ C
γὰρ ἐκ τῆς φιλίας αὐτοῦ τοσαῦτα [g]κερδαίνεις, ὡς τὸν νόμον

11 Coloss. iii. 3, 4.

[p] ποτὲ H. [q] νῦν om. C. [r] λέγοις A.F. [s] σοι C.D.H. [t] ἔσται] +γὰρ C. [v] σου] ἡ σου H. [w] σῆς εὐγ.] συγγενείας C. [x] παρεστήκῃ B.D.E. παραστήκῃ Edd. [y] ἐνταῦθα E. [z] καὶ om. C. Statim ὄφλημα A.C.E.H. Cat. ὀφείλημα Edd. [a] β. ἀποδίδοσθαι pro ἀποδίδοσθαι β. A.B. D.E.F.H.I. Cat. ἀποδεδόσθαι β. οὐδὲ πληροῦσθαι per hiatum C. [b] τοι pro μοι A.B.C.F.H.I. Cat. Mox εἶναι accessit ex omnibus. [c] τοῦτο] αὐτὸ B.D.F. αὐτὸ ὃ ὀφείλεις pro τοῦτο ὀφειλὴ C. [d] τὴν assumtum ex omnibus. [e] ταύτην E.H. [f] αὐτὴ A.B.C.D.E.F.I. αὕτη Edd. et Cat. Statim ἐπιλείπῃ F.H. διαλίπῃ C. [g] κερδαίνεις omnes. κερδανεῖς Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλ

[h]ἅπαντα πληροῦν, ὀφείλεις αὐτῷ τὴν ἀγάπην, εὐεργετούμενος παρ' αὐτοῦ. [12] "Τὸ γάρ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, καὶ εἴ τις [i]ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς [k]ἑαυτόν." Οὐκ εἶπε, πληροῦται ἁπλῶς, ἀλλ', "ἀνακεφαλαιοῦται" τουτέστι, συντόμως καὶ ἐν βραχεῖ τὸ πᾶν ἀπαρτίζεται τῶν ἐντολῶν [l]ἔργον. Καὶ γὰρ [m]ἀρχὴ καὶ τέλος τῆς
D ἀρετῆς ἡ ἀγάπη· ταύτην ἔχει ῥίζαν, ταύτην ὑπόθεσιν, ταύτην [n]κορυφήν. Εἰ τοίνυν καὶ ἀρχὴ καὶ πλήρωμα, τί ταύτης ἴσον; Ἀλλ' οὐχ ἁπλῶς ἀγάπην ζητεῖ, ἀλλὰ τὴν ἐπιτεταμένην. Οὐ γὰρ ἁπλῶς εἶπεν, ἀγάπησον τὸν [o]πλησίον, ἀλλ', "ὡς ἑαυτόν." [p]Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν νόμον καὶ τοὺς προφήτας ἐν αὐτῇ [q]κρέμασθαι ἔλεγε. Καὶ δύο τιθεὶς ἀγάπης εἴδη, ὅρα πῶς [r]ταύτην ἀνήγαγεν. Εἰπὼν γάρ, ὅτι [13] "Ἡ πρώτη ἐστὶν ἐντολή, ἀγαπήσεις κύριον τὸν θεόν σου" [s]ἐπήγαγε δευτέραν, καὶ
E [t]οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, "[v]Ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον [w]σου ὡς ἑαυτόν." Τί ταύτης ἴσον [x]γένοιτ' ἂν τῆς φιλανθρωπίας; τί τῆς ἡμερότητος; ὅταν ἀπείρως ἡμῶν αὐτοῦ διεστηκότων, τὴν εἰς ἡμᾶς ἀγάπην ἐγγὺς [y]ἄγῃ τῆς εἰς αὐτὸν, καὶ ὁμοίαν ταύτης ἐκείνην εἶναι λέγῃ. Διὰ δὴ τοῦτο, καὶ μέτρα σχεδὸν ἴσα τιθεὶς [z]ἑκάτερα, περὶ μὲν ἐκείνης ἔλεγεν, "ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς [a]ψυχῆς σου" περὶ δὲ ταύτης [b]τῆς τοῦ πλησίον, "ὡς ἑαυτόν." Ὁ δὲ Παῦλος, ταύτης οὐκ οὔσης, [c]οὐδὲ ὠφελεῖσθαι σφόδρα παρ' ἐκείνης ἔλε- (193)
γεν. [d]Ὥσπερ οὖν ἡμεῖς [d]ἐπειδάν τινα φιλῶμεν, λέγομεν, ὅτι
691 ἂν ἐκεῖνον ἀγαπήσῃς, ἐμὲ ἠγάπησας· οὕτω καὶ αὐτὸς τοῦτο δηλῶν ἔλεγεν, "ὁμοία [e]αὕτη ἐστί·" καὶ Πέτρῳ, [14] "Εἰ φιλεῖς

[12] v. 9. [13] Matth. xxii. 39. [14] Joan. xxi. 16.

[h] πάντα A.B.E.F.H.I. [i] ἑτέρα]+ἐστὶν C. [k] σεαυτὸν D. [l] τὸ ἔργον Edd. τὸ deest in omnibus. [m] καὶ ἀρχὴ C.D. [n] κορυφὴν]+τῶν ἀγαθῶν I. [o] πλησίον σου Edd. σου om. A.B.D.E.F.H.I. Cat. Pro πλησίον, ἀδελφὸν habet C. Statim σεαυτὸν C.D.E.I. [p] διὰ γὰρ τοῦτο Edd. γὰρ deest in omnibus. [q] κρέμασθαι (κρεμᾶσθαι C.H.I.) pro κρεμασθῆναι omnes. ὁ Χριστὸς ἐν ταύτῃ ἔλεγε κρεμᾶσθαι τὸν ν. καὶ τοὺς π. C. Statim ἐκέλευεν in textu, ἔλεγεν in marg. I. [r] καὶ ταύτην C. [s] ἐπήγαγε δευτέραν] Sic A.B.C.D.E.F.I. ἐπήγαγεν δευτέραν δὲ H. ἐπήγαγε, δευτέρα γὰρ Veron. ἐπήγαγε, δευτέρα δὲ Sav. Mor. Ben. [t] οὐκ] οὐκέτι C. [v] ὁμοίαν B.D.E.F. Ita etiam Veron. Post αὐτῆς edebatur καὶ τὸν πλησίον. Pro καὶ libri omnes dant ἀγαπήσεις. [w] σου]+λέγων D.E. Statim σεαυτὸν C.D.I. [x] γένοιτ' ἂν]+τῆς ἀγάπης; τί I. [y] ἄγῃ pro ἄγει A.D. ἀγάγῃ C. Mox λέγῃ pro λέγει A.C.D.I. [z] ἀμφότερα D. [a] ψυχῆς] ἰσχύος A.E. ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψ. σου C. Verba καὶ ἐξ ὅλης τῆς ψ. σου om. I. [b] τῆς τοῦ πλησίον om. C. Statim ὡς σεαυτὸν C.D.E.I. [c] οὐδὲν B.F. [d] ἐπειδὰν] ἐὰν C. [e] αὕτη pro αὐτῆς A.B.D.E.F.H. αὐτὴ C. αὕτη αὐτῷ I. Statim ἐστιν τῷ Πέτρε, εἰ φ. ex corr. F.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

με, ποίμαινε τὰ πρόβατά μου." 15 "Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη." Εἶδες πῶς ἑκατέρας [f]ἔχει τὰς ἀρετάς, τήν τε τῶν κακῶν ἀποχήν· "κακὸν γάρ, φησὶν, οὐκ ἐργάζεται·" καὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν· "πλήρωμα [g]γὰρ νόμου, φησὶν, ἐστίν·" οὐ τὴν διδασκαλίαν ἡμῖν τῶν πρακτέων [h]συντόμως εἰσάγουσα μόνον, ἀλλὰ καὶ τὴν κατόρθωσιν αὐτῶν [i]εὔκολον ποιοῦσα. Οὐ γὰρ ὅπως ἂν [k]μάθοιμεν τὰ ὠφελοῦντα μόνον ἐσπούδακεν, ὅπερ ἐστὶ τοῦ νόμου, ἀλλὰ καὶ εἰς τὴν ἐργασίαν αὐτῶν πολλὴν εἰσάγει B
συμμαχίαν ἡμῖν, οὐ μέρος τι τῶν ἐντολῶν, ἀλλ' ὁλόκληρον [l]ἐν ἡμῖν κατορθοῦσα τὴν ἀρετήν.

[m]Φιλῶμεν οὖν ἀλλήλους, ὡς καὶ ταύτη τὸν φιλοῦντα ἡμᾶς [n]ἀγαπήσοντες θεόν. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, ἂν τὸν [o]ἐρώμενον φιλῇς, μάχεται ὁ φιλῶν· ἐνταῦθα δὲ [p]καὶ ἀξιοῖ σε κοινωνῆσαι τοῦ ἔρωτος, καὶ μὴ κοινωνοῦντα μισεῖ. Ὁ μὲν γὰρ ἀνθρώπινος φθόνου καὶ βασκανίας γέμει, ὁ δὲ [q]θεῖος παντὸς ἀπήλλακται πάθους· διὸ καὶ κοινωνοὺς ἐπιζητεῖ τῆς φιλίας. Φίλει γὰρ, φησὶ, μετ' ἐμοῦ, [r]καὶ τότε σε καὶ ἐγὼ φιλήσω μειζόνως. Ὁρᾷς ἐραστοῦ [s]σφοδροῦ ῥήματα; [t]Ἐὰν φιλῇς τοὺς [v]ἐμοὺς ἐρωμένους, τότε ἡγοῦμαι καὶ αὐτὸς [w]σπουδαίως φιλεῖσθαι παρὰ σοῦ. Καὶ γὰρ σφόδρα ἐφίεται τῆς σωτηρίας C
τῆς ἡμετέρας, καὶ τοῦτο ἔδειξεν ἄνωθεν. Ὅτε γοῦν τὸν ἄνθρωπον ἔπλαττεν, ἄκουσον τί φησι. 16 "Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν·" [x]καὶ πάλιν, "Ποιήσωμεν αὐτῷ βοηθόν· [y]οὐ καλὸν αὐτὸν εἶναι μόνον." Καὶ [z]ὅτε παρανομήσαντι πάλιν ἐπετίμησεν, ὅρα πῶς ἡμέρως. Οὐ γὰρ εἶπεν αὐτῷ, μιαρὲ καὶ παμμίαρε, τοσαῦτα εὐεργετηθεὶς, τῷ διαβόλῳ μετὰ ταῦτα [a]πάντα ἐπίστευσας, καὶ τὸν εὐεργέτην [b]ἀφεὶς τῷ πονηρῷ προσέσχες δαίμονι; ἀλλὰ τί φησι; 17 "Τίς σοι εἶπεν, ὅτι γυμνὸς D
εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου [c]μόνου μὴ

15 v. 10. 16 Gen i. 26. ii. 18. 17 Ibid. iii. 11.

[f] ἔχεις C. [g] γὰρ] οὖν C. γὰρ om. E. [h] συντόμως om. I. [i] εὐκολωτέραν C. [k] μάθωμεν C. [l] ἐν om. C. ἐν ἡμῖν κατορθοῦν A.D.F. κατορθοῦσα ἐν ἡμῖν E. [m] ΗΘΙΚΟΝ. Περὶ ἀρίστης καὶ τελείας φιλίας. Veron. [n] ἀγαπήσαντες C. Statim θεὸν om. H.I. [o] ἐρώμενον]+τινος E. τὸν ἐρ. ἂν φ. hoc ord. I. Statim φιλῇς pro φιλεῖς A.B.C.D.E.I. [p] καὶ accessit ex A.B.C.D.E.F.I. σε καὶ ἀξιοῖ hoc ord. C. [q] θεῖος om. C. [r] καὶ τότε] τότε γὰρ C. [s] σφόδρα C. [t] ἂν φιλήσῃς C. [v] ἐμοὶ E. [w] σπουδαίως om. I. σπ. καὶ αὐτὸς hoc ord. C. [x] καὶ πάλιν——μόνον] καὶ τὰ ἑξῆς I. [y] οὐ] καὶ οὐ C. Mox αὐτὸν εἶναι pro εἶναι αὐτὸν A.B.D.E.F.H.I. εἶναι τὸν ἄνθρωπον C. [z] ὅτε aberat ante Montef. reclamantibus libris. [a] πάντα pro ἅπαντα A. B. C. D. E. H. I. [b] ἀφεὶς I. ἀφιεῖς H. Mox προσεῖχες B.F.H.I. [c] μόνου om. A.B.E.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;" ὡς ἂν εἰ [d]πατὴρ πρὸς παιδίον κελευσθὲν μὴ καθάπτεσθαι μαχαίρας, εἶτα παρακοῦσαν καὶ πληγὲν, [e]λέγοι· πόθεν ἐπλήγης; [f]Ἐκεῖθεν ἐπλήγης, ὅτι οὐκ ἤκουσάς μου. Ὁρᾷς φίλου [g]τὰ ῥήματα μᾶλλον ἢ δεσπότου; φίλου καταφρονουμένου, καὶ οὐδὲ οὕτως ἀφισταμένου; Μιμησώμεθα τοίνυν αὐτὸν, καὶ ὅταν ἐπιτιμῶμεν, ταύτην τηρῶμεν τὴν ἐπιείκειαν. Καὶ γὰρ καὶ τῇ γυναικὶ μετὰ [h]τῆς αὐτῆς
E πάλιν [i]ἡμερότητος ἐπιπλήττει· μᾶλλον δὲ οὐδὲ [k]ἐπίπληξις, ἀλλὰ νουθεσία καὶ διόρθωσις τὰ [l]γινόμενα ἦν, καὶ πρὸς τὸ μέλλον ἀσφάλεια. Διὰ δὴ τοῦτο πρὸς τὸν ὄφιν οὐδέν φησιν· αὐτὸς γὰρ ἦν ὁ τῶν κακῶν ἀρχιτέκτων, [m]καὶ οὐκ εἶχεν ἐφ' ἕτερον μεταθεῖναι τὴν αἰτίαν· διὸ καὶ σφοδρῶς αὐτὸν ἐκόλαζε. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὴν γῆν [n]ποιεῖ κοινωνῆσαι τῆς ἀρᾶς. Εἰ [o]δὲ ἐξέβαλε παραδείσου, καὶ κατεδίκασε πόνῳ, καὶ διὰ τοῦτο μάλιστα [p]αὐτὸν προσκυνεῖν χρὴ καὶ θαυμάζειν. Ἐπειδὴ γὰρ εἰς ῥᾳθυμίαν ἐξήγαγεν ἡ τρυφὴ, περικόπτει τὴν
692 εὐφροσύνην, λύπην ἐπιτειχίζων τῇ ῥᾳθυμίᾳ, ἵνα πρὸς τὴν ἀγάπην ἐπανέλθωμεν τὴν αὐτοῦ. [q]Τί δὲ ἐπὶ τοῦ Κάϊν; οὐ τῷ αὐτῷ κέχρηται τῆς ἡμερότητος τρόπῳ; Καὶ [r]γὰρ παρ' ἐκείνου πάλιν ὑβρισθεὶς, οὐκ ἀνθυβρίζει, ἀλλὰ παρακαλεῖ, καί φησιν· [18] "Ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;" Καίτοιγε τὸ γενόμενον συγγνώμης [s]ἐστέρητο πάσης· καὶ δείκνυσιν ὁ νεώτερος ἀδελφός. Ἀλλ' οὐδὲ οὕτως ἐπιπλήττει, ἀλλὰ [t]τί φησιν; "Ἥμαρτες, ἡσύχασον, μὴ προσθῇς ἔτι· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ [v]ἄρξεις αὐτοῦ·" τοῦ ἀδελφοῦ λέγων. Εἰ γὰρ δέδοικας, φησὶ, μήποτε διὰ τὴν θυσίαν ταύτην τὴν τοῦ πρωτο-
B τόκου [w]σε προεδρίαν ἀφέλωμαι, θάρρει· καὶ γὰρ τὴν ἀρχὴν αὐτοῦ πᾶσαν εἰς τὰς σὰς τίθημι χεῖρας· μόνον [x]γενοῦ βελτίων, καὶ φίλει τὸν οὐδὲν ἠδικηκότα. Καὶ γὰρ ἀμφοτέρων κήδομαι· καὶ τοῦτό [y]με μάλιστα εὐφραίνει, τὸ μὴ στασιάζειν ὑμᾶς πρὸς

18 Gen. iv. 6.

[d] πατὴρ πρὸς π.] παιδίον πρὸς πατρὸς I. [e] λέγοι] λέγει Veron. λέγει αὐτῷ A.B.D.E.F.H.I. Vid. Annot. [f] ἐκεῖθεν ἐπλήγης om. C.F.H. [g] τὰ om. C. [h] τῆς αὐτῆς] τοσαύτης C. [i] ἡμερότητος] +ἐπιτάττει καὶ I. [k] ἐπιπλήττει C. [l] γινόμενα pro λεγόμενα A.B.D.E.F.H.I. [m] καὶ] +γὰρ D. [n] ποιεῖ κ. pro κ. ποιεῖ B.D.E.F.H.I. ποιεῖ om. A. [o] δὲ] +καὶ Veron. Sav. καὶ tacite omisit Mor. quem secutus est Montef. καὶ om. A.B. C.D.E.I. [p] αὐτὸν πρ. χρὴ καὶ θ.] Sic A.C.D.F. αὐτὸν πρ. καὶ θ. χρὴ E. αὐτὸν πρ. καὶ θ. (om. χρὴ) B.H. πρ. χρὴ καὶ δοξάζειν (om. αὐτὸν?) I. πρ. αὐτὸν καὶ θ. χρὴ Edd. [q] τί δὲ ἐπὶ] ἐπὶ δὲ C. τί δαὶ ἐπὶ A. [r] γὰρ om. C. [s] ἐστέρητο A.B.C.D.E.F.I. ἐστερήτω H. ἐστέρηται Edd. [t] τί om. C. Mox μὴ προσθῇς ἔτι om. C. [v] ἄρξεις αὐτοῦ pro αὐτοῦ ἄρξεις omnes. [w] σε om. C. [x] γενοῦ pro γίνου A.B.E.I. [y] με aberat ante Montef. invitis libris. καὶ τοῦτο δὲ μάλ. με C. Statim εὐφραίνει omnes. εὐφρανεῖ Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλήλους. [z]Καὶ καθάπερ μήτηρ φιλόστοργος, [a]οὕτω καὶ ὁ θεὸς πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε μηδένα [b]ἀπορραγῆναι θατέρου. [c]Ἵνα δὲ καὶ σαφέστερον [c]αὐτὸ ἐπὶ παραδείγματος ὃ
(194) λέγω μάθῃς, ἐννόησόν μοι τὴν Ῥεβέκκαν θορυβουμένην, καὶ πανταχοῦ περιτρέχουσαν, ὅτε ὁ πρεσβύτερος ἐπολέμει τῷ C
νεωτέρῳ παιδί. Εἰ γὰρ καὶ ἐφίλει τὸν Ἰακὼβ, ἀλλ' οὐδὲ τὸν Ἡσαῦ ἀπεστρέφετο· διὸ καὶ ἔλεγε, [19] "Μή πως ἀτεκνωθῶ ἐκ τῶν δύο [d]ὑμῶν ἐν ἡμέρᾳ μιᾷ." Διὰ [e]δὴ τοῦτο καὶ ὁ θεὸς τότε ἔλεγεν· [20] "Ἥμαρτες, [f]ἡσύχασον, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ·" τὴν σφαγὴν προαναστέλλων, καὶ τὴν εἰρήνην ἀμφοτέρων [g]αὐτῶν ἐπιζητῶν. [h]Ἐπειδὴ δὲ αὐτὸν κατέσφαξεν, οὐδὲ οὕτω κατέλυσε τὴν περὶ [i]αὐτοῦ πρόνοιαν, ἀλλὰ πάλιν ἡμέρως ἀποκρίνεται τῷ ἀδελφοκτόνῳ, λέγων· "Ποῦ ἔστιν Ἄβελ ὁ ἀδελφός σου;" ἵνα κἂν οὕτως ἐξομολογήσηται. Ὁ δὲ [k]ἐπαγωνίζεται τοῖς προτέροις, μείζονα καὶ χαλεπώτερα ἀναισχυντῶν. Ἀλλ' D
οὐδὲ οὕτως ὁ θεὸς ἀφίσταται, ἀλλὰ [l]καὶ πάλιν ἐραστοῦ φθέγγεται ῥήματα ὑβρισμένου καὶ καταφρονουμένου, καί φησι· "Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με." Καὶ πάλιν τῆς γῆς καθάπτεται μετὰ τοῦ πεφονευκότος, εἰς αὐτὴν τὸν θυμὸν ἀφιείς, καὶ λέγων· "Ἐπικατάρατος ἡ γῆ, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου," καὶ τοὺς ἀνακαλοῦντας μιμούμενος. [m]Ὃ καὶ [m]ὁ Δαυὶδ ἐποίει, τοῦ Σαοὺλ πεσόντος. Καὶ γὰρ [n]καὶ ἐκεῖνος τοῖς δεξαμένοις τὴν σφαγὴν ὄρεσιν ἐπηρᾶτο λέγων· [21] "Ὄρη [o]τὰ Γελβουέ, μὴ πέσοι ἐφ' E
ὑμᾶς δρόσος [p]μηδὲ ὑετὸς, ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυνατῶν." Οὕτω καὶ ὁ θεὸς ὥσπερ τινὰ μονῳδίαν [q]ᾄδων φησί· "Φωνὴ [r]αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με· καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ [s]τῆς χειρός σου." Ταῦτα δὲ ἔλεγε καταστέλλων αὐτοῦ τὸν θυμὸν ζέοντα, καὶ πείθων [t]κἂν ἀπελθόντα φιλῆσαι. "Εσβεσας αὐτοῦ τὴν ζωὴν, φησί· τί τὴν ἔχθραν λοιπὸν

19 Gen. xxvii. 45. 20 Ibid. iv. 7. sqq. 21 2 Reg. i. 21.

[z] *καὶ καθάπερ*] Sic B.F. Veron. *καθάπερ γὰρ* Sav. Mor. Ben. *γὰρ* om. C.D.E.H.I. et a pr. man. A. [a] *οὕτω* (vel *οὕτως*) *καὶ*] Sic omnes. *οὕτως* (om. *καὶ*) Veron. Sav. Mor. [b] *ἀπαλλαγῆναι* C. [c] *αὐτὸ* accessit ex A.B.D.E.F.H.I. [d] *ὑμῶν*] *μου υἱῶν* H. [e] *δὴ* assumtum ex omnibus. [f] *ἡσύχ.*] *καὶ ἡσύχ.* A. [g] *αὐτῶν* om. I. [h] *ἐπειδὴ*] *ἐπεὶ* H. [i] *αὐτὸν* F. *αὐτῶν* B. *αὐτὸν* (corr. ex *αὐτῶν*) C. [k] *ἐπηγωνίζετο* A. *ἐπαγωνίζετο* H. [l] *καὶ* om. C. [m] *ὁ* om. B.C.H.I. [n] *καὶ* accessit ex A.B.D.E.I. [o] *τὰ* om. H.I. *τὰ ἐν* Γ. C. [p] *μήτε* B.D.E.F. [q] *ᾄδων* omnes. *ἄγων* Edd. ante Ben. [r] *τοῦ αἵματος* Edd. *τοῦ* om. B.C.D.E. [s] *τῆς* om. E. [t] *κἂν*] *καὶ* A.H.I. Statim *ἀπελθόντα λοιπὸν, οὐ κατασβεννύει* (sic) omissis intermediis I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ κατασβεννύεις; Ἀλλὰ τί ποιεῖ; Κἀκεῖνον φιλεῖ καὶ τοῦτον· ἀμφοτέρους γὰρ [v]αὐτὸς ἔπλασε. Τί οὖν; ἀτιμώρητον [w]ἀφῇ
693 τὸν πεφονευκότα; Ἀλλὰ χείρων [x]ἐγίνετο. Ἀλλὰ κολάσει; Ἀλλὰ πατρός ἐστι φιλοστοργότερος. Ὅρα [y]τοίνυν πῶς καὶ κολάζει, καὶ τὴν ἀγάπην [z]ἐνδείκνυται καὶ ἐν αὐτῷ τούτῳ· μᾶλλον δὲ οὐδὲ κολάζει, ἀλλὰ διορθοῦται μόνον. Οὐδὲ [a]γὰρ ἀπέκτεινεν αὐτὸν, ἀλλ' ἐπέδησε τῷ τρόμῳ, ἵνα ἀποδύσηται τὸ ἔγκλημα, ἵνα κἂν οὕτως [b]ἐπανέλθῃ πρὸς τὴν ἐκείνου φιλοστοργίαν, ἵνα κἂν πρὸς ἀπελθόντα σπείσηται· οὐδὲ γὰρ ἐβούλετο ἐχθρὸν αὐτὸν ἀπελθεῖν ἐντεῦθεν τῷ τετελευτηκότι. [c]Τοιοῦτον οἱ φιλοῦντες· ὅταν εὐεργετοῦντες μὴ φιλῶνται, [d]προάγονται σφο-
B δροὶ γίνεσθαι καὶ ἀπειλεῖν, οὐκ ἐθέλοντες μὲν, ἀπὸ δὲ τοῦ φιλεῖν εἰς τοῦτο ἀγόμενοι, ἵνα κἂν οὕτως [e]ἐφελκύσωνται τοὺς καταφρονοῦντας αὐτῶν. Καίτοιγε ἀνάγκης ἡ τοιαύτη φιλία, ἀλλ' ὅμως αὐτοὺς [f]καὶ τοῦτο παραμυθεῖται διὰ τὸ σφόδρα φιλεῖν· ὥστε καὶ ἡ κόλασις ἀπὸ φιλίας. Οἱ γὰρ μὴ ἀλγοῦντες ἐπὶ τῷ μισεῖσθαι, οὐδὲ [g]κολάσαι αἱροῦνται. Ὅρα τοίνυν καὶ Παῦλον ταῦτα λέγοντα Κορινθίοις. [22] "Τίς γάρ ἐστι, φησὶν, ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;" Ὥστε ὅταν σφόδρα ἐπιτείνῃ τὴν κόλασιν, τότε δείκνυσι τὸν ἔρωτα. [h]Οὕτω
C καὶ ἡ Αἰγυπτία ἐκ τοῦ σφόδρα φιλεῖν [i]σφόδρα ἐκόλασε τὸν Ἰωσήφ. Ἀλλ' ἐκείνη μὲν ἐπὶ κακῷ· καὶ γὰρ ἀκόλαστος ἦν ὁ ἔρως· [k]ὁ θεὸς δὲ ἐπ' ἀγαθῷ· καὶ γὰρ ἀξία [l]τοῦ φιλοῦντος ἦν ἡ ἀγάπη. Διὰ τοῦτο οὐδὲ παραιτεῖται εἰς πανύτερα [m]κατιέναι ῥήματα, καὶ φθέγγεσθαι παθῶν ὀνόματα ἀνθρωπίνων, καὶ ζηλωτὴν ἑαυτὸν καλεῖν· [23] "Θεὸς γάρ εἰμι ζηλωτὴς," φησίν· ἵνα μάθῃς τῆς ἀγάπης τὴν ἐπίτασιν. Φιλήσωμεν τοίνυν αὐτὸν, [n]ὡς αὐτὸς βούλεται· μέγα γὰρ τὸ πρᾶγμα ἡγεῖται. Κἂν [o]ἀποστραφῶμεν, μένει παρακαλῶν, κἂν μὴ θέλωμεν ἐπιστραφῆναι, κολάζει διὰ τὸ φιλεῖν, οὐχ ἵνα τιμωρίαν ἀπαιτήσῃ.
D Ὅρα γοῦν τί φησιν ἐν τῷ Ἰεζεκιὴλ πρὸς τὴν φιληθεῖσαν καὶ

[22] 2 Cor. ii. 2. [23] Exod. xx. 5.

[v] αὐτὸς om. I. [w] ἀφήσει B.D.F.I. [x] ἂν ἐγένετο Edd. ἂν om. B.C. D.E.F.I. ἐγίνετο A.B.C.F.H.I. γίνεται D.E. [y] τοίνυν] γὰρ I. [z] ἐνδείκνυσι A.H.I. [a] γὰρ om. C. Statim ἀποκτέννει idem. [b] ἐπανέλθῃ A.C.D.E.F.H.I. ἐπανέλθοι Edd. Haec ἵνα κἂν οὕτως—φιλοστοργίαν desunt in B. Mox κἂν προαπελθόντα C. [c] τοιοῦτον A.B.C.E.H. τοιοῦτοι Edd. Mox ὅταν οἱ εὐεργ. C.H.I. [d] προσάγονται C. [e] ἐφελκύσωσι C. [f] καὶ τούτῳ Edd. ἴσ. καὶ τοῦτο Sav. marg. καὶ τοῦτο B.E.F.H. κἂν τούτῳ C. κἂν τοῦτο D. [g] κολάζειν C. [h] οὕτω]+δὴ C. [i] σφάδρα pro σφοδρῶς omnes. Statim ἐκόλαζεν C. [k] ὁ δὲ θεὸς C.D.I. Statim ἐπ' ἀγαθῷ pro ἐπὶ ἀγαθῷ A.B.D.E.H.I. [l] τοῦ φ. ἦν pro ἦν τοῦ φ. A.B.C.D.E.F.H. ἦν om. I. [m] ἰέναι C. [n] ὡς] ὥσπερ A. Verba μέγα γὰρ τὸ πρᾶγμα ἡγεῖται om. A.H.I. [o] ἐπιστρέφωμεν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταφρονήσασαν αὐτοῦ πόλιν. [24] "Ἄξω ἐπὶ σὲ τοὺς ἐραστάς σου, καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν, καὶ λιθοβολήσουσί σε καὶ κατασφάξουσι, καὶ [p]ἐξαιρεθήσεται ὁ ζῆλός μου ἐκ σοῦ, καὶ ἀναπαύσομαι, καὶ οὐ μὴ μεριμνήσω ἔτι." Τί τούτου πλέον [q]ἂν εἶπε σφοδρὸς ἐραστὴς ὑπὸ τῆς ἐρωμένης καταφρονούμενος, καὶ μετὰ ταῦτα πάλιν περικαιόμενος αὐτῆς; Πάντα γὰρ ὁ θεὸς πράττει, ἵνα φιληθῇ παρ' ἡμῶν· διὰ τοῦτο οὐδὲ τοῦ υἱοῦ ἐφείσατο. Ἀλλ' ἡμεῖς ἀπηνεῖς καὶ ὠμοί. Ἀλλὰ γενώμεθά ποτε
(195) ἥμεροι, καὶ φιλήσωμεν τὸν θεὸν, ὡς φιλεῖν δεῖ, ἵνα [r]μεθ' ἡδονῆς τῆς ἀρετῆς ἀπολαύσωμεν. Εἰ γὰρ γυναῖκά [s]τις ἐρωμένην ἔχων, Ε
οὐδενὸς αἰσθάνεται τῶν καθ' ἑκάστην ἡμέραν λυπηρῶν· ὁ τὸν θεῖον τοῦτον καὶ καθαρὸν ἐρῶν ἔρωτα, ἐννόησον ὅσης ἀπολαύσεται [t]ἡδονῆς. Τοῦτο γὰρ, τοῦτό καὶ οὐρανῶν βασιλεία, τοῦτο ἀπόλαυσις ἀγαθῶν, τοῦτο ἡδονὴ, τοῦτο εὐφροσύνη, τοῦτο χαρὰ, τοῦτο μακαριότης· μᾶλλον δὲ ὅσα ἂν εἴπω, οὐδὲν οὐδέπω [v]παραστῆσαι δυνήσομαι πρὸς ἀξίαν, ἀλλ' ἡ πεῖρα μόνη [w]τοῦτο διδάσκειν οἶδε τὸ καλόν. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, [25] "Κατατρύφησον τοῦ κυρίου" καὶ, "Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος." Πειθώμεθα τοίνυν, καὶ ἐντρυφῶμεν αὐτοῦ [x]τῇ ἀγάπῃ. Οὕτω γὰρ ἐντεῦθεν ἤδη τὴν βασιλείαν ὀψόμεθα, 694
καὶ ἀγγελικὸν ζησόμεθα βίον, καὶ ἐν γῇ διατρίβοντες τῶν τὸν οὐρανὸν οἰκούντων οὐδὲν ἔλαττον ἕξομεν, καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, [y]πάντων λαμπρότεροι τῷ βήματι παραστησόμεθα τοῦ Χριστοῦ, καὶ τῆς [z]ἀπορρήτου δόξης ἀπολαύσομεν· ἧς γένοιτο πάντας ἡμᾶς [a]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΚΕ. Β

[1]Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα [a]ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι.

ΕΠΕΙΔΗ [b]πάντα ἅπερ ἐχρῆν ἐπέταξεν, ὡθεῖ πάλιν αὐτοὺς [c]εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἀπὸ τοῦ κατεπείγοντος. Ἐπὶ

24 Ezech. xxiii. 22. sqq. 25 Psal. xxxvi. 4. xxxiii. 9. 1 Cap. XIII. v. 11.

[p] ἐξαρθήσεται I. [q] ἂν om. C. [r] μεθ' ἡδ. pro μετὰ ἡδ. A.B.D.E.F.H.I. Mox ἀπολαύσωμεν A.B.C.D.E.F.H. ἀπολαύωμεν Edd. [s] τις]+καθ' ἑκάστην ἡμέραν D. [t] τῆς ἡδονῆς Veron. Sav. Mor. τῆς om. A.B.E.F.H.I. [v] παραστῆσαι δ. pro δ. παραστῆσαι A.B.C.D.E.F.H. [w] τοῦτο om. C. [x] τῆς ἀγάπης B. [y] πάντων λ. τῷ β.] ἀκαταίσχυντοι τῷ φρικτῷ β. E. πάντων om. D. Statim παραστ. τοῦ X. pro τοῦ X. παραστ. omnes. [z] ἀρρήτου I. [a] ἐπιτυχεῖν pro μετασχεῖν omnes. Hom. XXV. [a] ἡμᾶς] ἡμέρας H. ὑμᾶς hic et infra C. Statim ἤδη om. E. Mosq. 8. [b] πάντας et ὑπέταξεν H. [c] εἰς] ἐπὶ C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θύραις γὰρ, φησὶν, ὁ τῆς κρίσεως ἕστηκε καιρός· καθάπερ καὶ Κορινθίοις ἔγραφεν, ὅτι [2] "Ὁ καιρὸς συνεσταλμένος [d]τὸ λοιπόν ἐστι" καὶ Ἑβραίοις [e]πάλιν, "Ἔτι μικρὸν ὅσον ὅσον, [f]ὁ C ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ." Ἀλλ' ἐκεῖ μὲν τοὺς [g]πονουμένους ἀνιστὰς, καὶ τοὺς ἱδρῶτας τῶν ἐπαλλήλων πειρασμῶν παραμυθούμενος [h]ταῦτ' ἔλεγεν, ἐνταῦθα δὲ τοὺς καθεύδοντας διεγείρων· καὶ [i]γὰρ πρὸς ἀμφότερα χρήσιμος ἡμῖν οὗτος ὁ λόγος. Τί δέ ἐστιν ὃ φησιν, "Ὥρα [k]ἡμᾶς ἐξ ὕπνου ἐγερθῆναι;" Τουτέστιν, ἐγγὺς ἡ ἀνάστασις, ἐγγὺς ἡ κρίσις ἡ φοβερὰ, ἐγγὺς ἡ ἡμέρα ἡ ὡς κλίβανος καιομένη· καὶ δεῖ λοιπὸν ἡμᾶς ἀπαλλαγῆναι τῆς ῥᾳθυμίας. "Νῦν [l]γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν." Ὁρᾷς πῶς ἐφίστησιν αὐτοῖς D ἤδη τὴν ἀνάστασιν; Τοῦ χρόνου γὰρ προϊόντος, φησὶν, ὁ μὲν τοῦ παρόντος βίου δαπανᾶται καιρὸς, ὁ δὲ τοῦ μέλλοντος αἰῶνος ἐγγύτερος γίνεται. [m]Ἂν μὲν οὖν ᾖς παρεσκευασμένος, καὶ πάντα πεποιηκὼς ὅσα ἐπέταξε, [n]σωτηρία σοι γίνεται ἡ ἡμέρα· ἂν δὲ τοὐναντίον, οὐκέτι. Ἀλλ' οὐκ ἀπὸ τῶν λυπηρῶν, ἀλλ' ἀπὸ τῶν χρηστῶν προτρέπει [o]τέως, καὶ ταύτῃ τῆς τῶν παρόντων αὐτοὺς ἀπολύων συμπαθείας. Εἶτα, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἐν μὲν ἀρχῇ καὶ προοιμίοις σπουδαιοτέρους εἶναι, ἅτε ἀκμάζοντος αὐτοῖς τοῦ πόθου, τοῦ χρόνου δὲ προελθόντος κατα- E μαρανθῆναι τὴν πᾶσαν σπουδὴν, φησὶν ὅτι τοὐναντίον μὲν [p]οὖν δεῖ ποιεῖν, οὐχὶ ἐκλύεσθαι προϊόντος τοῦ χρόνου, ἀλλὰ μᾶλλον ἀκμάζειν. "Ὅσῳ γὰρ ἂν ὁ βασιλεὺς ἐγγίζῃ, [p]τοσούτῳ μᾶλλον δεῖ παρασκευάσασθαι· ὅσῳ μᾶλλον ἐγγὺς τὸ βραβεῖον, τοσούτῳ μᾶλλον [q]διεγείρεσθαι πρὸς τοὺς ἀγῶνας. Ἐπεὶ καὶ οἱ δρομεῖς τοῦτο ποιοῦσιν· ὅταν πρὸς τῷ τέλει τοῦ δρόμου γίνωνται καὶ τῇ τοῦ βραβείου λήψει, τότε διανίστανται μειζόνως. Διὰ τοῦτο ἔλεγε, "[r]Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν."

[3] "Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν." Οὐκοῦν [s]εἰ

2 1 Cor. vii. 29. Hebr. x. 37. 3 v. 12.

[d] τὸ λοιπὸν om. E. [e] πάλιν] δὲ πάλιν Edd. δὲ om. A. B. E. F. H. I. [f] ὁ] καὶ ὁ E. ὁ om. H. [g] πεπονημένους C. [h] ταῦτ' pro ταῦτα A.B.D.E. Post ἔλεγεν add. νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν A. Sav. marg. [i] γὰρ]+καὶ C. Mox τί δέ ἐστι, φησὶν idem. [k] ἡμᾶς]+ἤδη Edd. ἤδη om. A.B.E.H.I. [l] γὰρ om. A. [m] σωτηρία pro σωτηρίας B.E.F. Cat. Statim σοι accessit ex B.C.D.E.F.H. Cat. [n] τέως] λέγων C. Statim ταύτῃ om. I. τῆς om. C. [o] οὖν om. C. [p] τοσοῦτον F. et bis H. Mox παρασκευάζεσθαι B.D.E.F. τοσούτῳ μᾶλλον παρεσκευᾶσθαι καὶ διεγείρεσθαι χρὴ πρὸς τοὺς ἀγῶνας (omissis quibusdam) C. [q] διεγείρεσθαι] Sic B.D.E.F.H.I. δεῖ ἐγείρεσθαι A. διεγείρεσθαι χρὴ Edd. et Cat. [r] νῦν]+γὰρ C. Mox haec ἢ ὅτε ἐπιστεύσαμεν om. I. [s] εἰ aberat ante Montef. invitis libris. Statim αὐτὴ C.H. Mox δὲ om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη μὲν τελευτᾷ, ἐκείνη δὲ [t]πλησιάζει· τὰ ἐκείνης πράττωμεν λοιπόν, μὴ [r]τὰ ταύτης. Καὶ γὰρ [w]καὶ ἐν τοῖς βιωτικοῖς τοῦτο 695
γίνεται· καὶ ὅταν ἴδωμεν πρὸς ὄρθρον τὴν νύκτα ἐπειγομένην, καὶ χελιδόνος [x]ἀκούσωμεν ᾀδούσης, τὸν πλησίον ἕκαστος διεγείρομεν, [y]καίτοιγε ἔτι τῆς νυκτὸς οὔσης· ἀλλ' ἐπειδὴ λοιπὸν ἄπεισιν, [z]ἐπειγόμεθα ἐπιλέγοντες ἀλλήλοις, ὅτι ἡμέρα γέγονε, καὶ τὰ τῆς ἡμέρας ἅπαντα πράττομεν, ἐνδυόμενοι καὶ [a]ὀνείρων
(196) ἀπαλλαττόμενοι καὶ ὕπνον διακρουόμενοι, ἵνα [b]παρεσκευασμένους ἡ ἡμέρα εὕρῃ, καὶ μὴ ἀνισχούσης ἀκτῖνος τότε ἀρξώμεθα ἀνίστασθαι καὶ διατείνεσθαι. [c]Ἅπερ οὖν ἐκεῖ ποιοῦμεν, ταῦτα καὶ ἐνταῦθα πράξωμεν· ἀποδυσώμεθα τὰς φαντασίας, ἀπαλλαγῶμεν τῶν ὀνειράτων τοῦ παρόντος βίου, [d]ἀποθώμεθα τὸν B
βαθὺν ὕπνον, καὶ ἐνδυσώμεθα ἀντὶ ἱματίων τὴν ἀρετήν. Ταῦτα γὰρ ἅπαντα δηλῶν ἔλεγεν, "Ἀποθώμεθα [e]οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός." Καὶ γὰρ πρὸς παράταξιν καὶ μάχην [f]ἡ ἡμέρα ἡμᾶς καλεῖ. Ἀλλὰ μὴ δείσῃς παράταξιν καὶ ὅπλα ἀκούσας. Ἐπὶ μὲν γὰρ τῆς [g]αἰσθητῆς παντευχίας βαρὺ καὶ [h]ἀπευκτὸν τὸ ὁπλίζεσθαι, ἐνταῦθα δὲ ποθεινὸν καὶ εὐχῆς ἄξιον· φωτὸς γάρ ἐστι τὰ ὅπλα. Διὸ καὶ τῆς ἀκτῖνος λαμπρότερόν σε ἀποφαίνει πολλὴν ἀφιέντα τὴν ἀστραπήν, καὶ ἐν ἀσφαλείᾳ σε καθίστησιν· ὅπλα γάρ ἐστι· καὶ καταλάμπεσθαι ποιεῖ· φωτὸς γάρ ἐστιν ὅπλα. Τί οὖν; C
οὐκ [i]ἀνάγκη πολεμεῖν; Ἀνάγκη μὲν πολεμεῖν, οὐ μὴν ταλαιπωρεῖσθαι καὶ πονεῖν· οὐδὲ γὰρ πόλεμος τοῦτό ἐστιν, ἀλλὰ χαρεία καὶ πανήγυρις. Τοιαύτη τῶν [k]ὅπλων ἡ φύσις, τοιαύτη ἡ τοῦ στρατηγοῦ δύναμις. Καὶ καθάπερ νυμφίος καλλωπιζόμενος ἀπὸ τῆς παστάδος πρόεισιν, οὕτω καὶ ὁ τούτοις φραττόμενος τοῖς ὅπλοις· καὶ γὰρ [l]καὶ στρατιώτης ὁμοῦ καὶ νυμφίος ἐστίν. Εἰπὼν δὲ, ὅτι [m]ἡ ἡμέρα ἤγγικεν, οὐδὲ ἐγγὺς εἶναι αὐτὴν ἀφίησιν, ἀλλ' ἤδη αὐτὴν ἐφίστησι· φησὶ γάρ, [4]"Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν." Ἤδη γὰρ πάρεστιν ἡ ἡμέρα.

[4] v. 13.

[t] πλησιάζει] παραγίνεται C. Veron. [r] τὰ om. H.I. Cat. [w] καὶ om. Veron. Sav. Mor. repugnantibus libris. [x] ἀκούσ. ᾀδούσης pro ᾀδούσης ἀκούσ. A.B.D.E.F.H.I. ᾀδούσης ἀκούομεν C. [y] Omnia a καίτοιγε ad γέγονε om. I. [z] ἐπειγόμεθα λοιπὸν λέγοντες Edd. λοιπὸν om. A.C.D.F.H. Statim ἐπιλέγοντες omnes. [a] ὀνειράτων C. Mox καὶ τὸν ὕπνον I. [b] παρεσκ.]+ ἡμᾶς D.F. et marg. C. [c] ἅπερ . . . ταῦτα A.B.D.E.F.H.I. ὅπερ . . . τοῦτο Edd. [d] ἀποθ.]+τοίνυν C. Mox βαθὺν om. A.H.I. [e] οὖν pro γοῦν omnes. [f] ἡ ἡμέρα om. C. [g] αἰσθητικῆς Edd. ante Ben. αἰσθητῆς libri omnes et Cat. [h] ἄφυκτον C. [i] ἀνάγκη]+μὲν Sav. Mor. repugnantibus libris. In Veron. verba ἀνάγκη πολεμεῖν casu exciderunt. [k] ὅπλων]+τούτων E. receptum a Montef. [l] καὶ accessit ex A. B. C. D. E. F. H. [m] ἡ aberat ante Montef. invitis libris.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D Καὶ ἀφ' ὧν μάλιστα οἱ πολλοὶ προτρέπονται, ἀπὸ τούτων [n]καὶ αὐτοὺς ἐφέλκεται, τῆς εὐσχημοσύνης· πολὺς [o]γὰρ αὐτοῖς τῆς παρὰ τῶν πολλῶν δόξης ὁ λόγος. Καὶ οὐκ εἶπε, περιπατεῖτε, ἀλλὰ, "περιπατήσωμεν," ὥστε ἀνεπαχθῆ ποιῆσαι τὴν παραίνεσιν, καὶ κούφην τὴν ἐπίπληξιν. "Μὴ κώμοις καὶ μέθαις·" οὐ τὸ [p]πίνειν κωλύων, ἀλλὰ τὸ ἀμέτρως· οὐ τὸ ἀπολαύειν οἴνου, ἀλλὰ τὸ μετὰ παροινίας· ὥσπερ [q]οὖν καὶ τὸ ἐξῆς μετὰ τοῦ αὐτοῦ μέτρου τίθησι λέγων· "Μὴ κοίταις καὶ ἀσελ-
E γείαις." Οὐδὲ γὰρ ἐνταῦθα τὸ μίγνυσθαι γυναιξὶν ἀναιρεῖ, ἀλλὰ τὸ πορνεύειν. "Μὴ [r]ἔρισι καὶ ζήλοις." Τὰ γὰρ καίρια τῶν παθῶν σβέννυσι, τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν. Διόπερ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τὰς πηγὰς αὐτῶν ἀναιρεῖ. Οὐδὲν γὰρ οὕτω καὶ ἐπιθυμίαν ἀνάπτει, καὶ ὀργὴν ἐκκαίει, ὡς μέθη καὶ παροινία. Διὰ τοῦτο πρότερον εἰπὼν, "μὴ κώμοις καὶ μέθαις," τότε ἐπήγαγε, "μὴ κοίταις καὶ ἀσελγείαις, [s]μὴ ἔρισι καὶ ζήλοις." Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἀποδύσας [t]ἡμᾶς τῶν
696 πονηρῶν ἱματίων, ἄκουσον πῶς καλλωπίζει λοιπὸν λέγων· [5] "Ἀλλ' ἐνδύσασθε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν." Οὐκέτι εἶπεν ἔργα, [v]ἀλλὰ μειζόνως αὐτοὺς ἀνέστησεν. [w]Ὅτε μὲν γὰρ περὶ τῆς κακίας [x]ἔλεγεν, ἔργα ἔφησεν· [x]ὅτε δὲ περὶ τῆς ἀρετῆς, οὐκέτι ἔργα, ἀλλ' ὅπλα, δεικνὺς ὅτι ἐν πάσῃ ἀσφαλείᾳ καθίστησιν [y]ἡ ἀρετὴ τὸν ἔχοντα αὐτὴν, καὶ ἐν πάσῃ λαμπρότητι. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλ' ἐπὶ τὸ μεῖζον ἄγων τὸν λόγον, ὃ πολλῷ φρικωδέστερον ἦν, αὐτὸν τὸν δεσπότην δίδωσιν ἡμῖν ἱμάτιον, αὐτὸν τὸν βασιλέα. Ὁ γὰρ τοῦτον περιβεβλημένος, ἅπασαν ἔχει καθόλου τὴν ἀρετήν.
B [w]Ὅταν δὲ εἴπῃ, "ἐνδύσασθε," πάντοθεν [z]ἡμᾶς αὐτὸν περιβάλλεσθαι κελεύει· [a]ὥσπερ ἀλλαχοῦ φησιν, [6] "Εἰ δὲ Χριστὸς ἐν [b]ὑμῖν·" καὶ πάλιν, "Εἰς τὸν ἔσω [c]ἡμῶν ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν." Καὶ γὰρ οἰκίαν [d]αὐτῷ βούλεται εἶναι τὴν ψυχὴν τὴν ἡμετέραν, καὶ ὡς ἱμάτιον [e]ἡμῖν αὐτὸν περικεῖσθαι,

[5] v. 14. [6] Rom. viii. 10. Ephes. iii. 16, 17.

[n] καὶ αὐτοὺς] αὐτῶν C. καὶ αὐτὸς ex corr. A. [o] γὰρ om. C. [p] πιεῖν A.H. [q] οὖν om. I. [r] ἔρισι καὶ ζήλοις bis A.B.D.E.F.H.I. Mosqq. ἔριδι καὶ ζήλῳ Edd. [s] μὴ ἔ. καὶ ζ.] καὶ τὰ ἑξῆς I. [t] ἡμᾶς om. I. [v] ἀλλὰ μ.] ἀλλ' ὅπλα, δεικνὺς ὅτι μ. C.D. [w] ἔλεγεν, ἔργα ἔφησεν] Sic nostri omnes. ἔφησεν, ἔργα ἔλεγεν Edd. et Cat. Post ἔλεγεν deest folium in E. usque ad ἐπειδὴ δὲ p. 697 C. [x] ὅτε] ὅταν A.B.F.H.I. [y] ἡ om. A.H. ἡ ἀρετὴ τὸν ἔχοντα καθίστησιν (om. αὐτὴν) I. [z] ἡμῖν C.I. Statim περιβάλλεσθαι omnes. περιβαλέσθαι Edd. [a] ὥσπερ καὶ ἀλ. D. ὥσπερ οὖν καὶ ἀλ. C. [b] ὑμῖν pro ἡμῖν omnes. [c] ὑμῶν D.I. ἄνθρωπον ὑμῶν hoc ord. C. Mox κατοικίσαι H. [d] αὐτοῦ C. [e] ἡμῖν αὐτὸν περίκεισθαι om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα πάντα αὐτὸς ἡμῖν ᾖ ἔσωθεν [f]καὶ ἔξωθεν. Καὶ γὰρ πλήρωμα ἡμῶν αὐτός· [7] "[g]Τὸ γὰρ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου·" καὶ ὁδός, καὶ ἀνὴρ, καὶ νυμφίος· [8] "[h]Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν·" καὶ ῥίζα, καὶ ποτὸν, καὶ τροφὴ, καὶ ζωή· [9] "Ζῶ γὰρ, φησὶν, [h]οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" [i]καὶ ἀπόστολος, καὶ ἀρχιερεὺς, καὶ C διδάσκαλος, καὶ πατὴρ, [k]καὶ ἀδελφὸς, καὶ συγκληρονόμος, καὶ τάφου κοινωνὸς καὶ σταυροῦ· [10] "Συνετάφημεν γὰρ αὐτῷ, φησὶ, καὶ [l]σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι [m]τοῦ θανάτου αὐτοῦ·"
(197) καὶ ἱκέτης· [11] "Ὑπὲρ [n]Χριστοῦ γὰρ πρεσβεύομεν·" καὶ πρὸς τὸν πατέρα [o]συνήγορος· [12] "Καὶ γὰρ ἐντυγχάνει, φησὶν, ὑπὲρ ἡμῶν·" καὶ οἶκος, καὶ ἔνοικος· [13] "Ὁ γὰρ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ·" καὶ φίλος· "Ὑμεῖς γὰρ φίλοι μού ἐστε" καὶ θεμέλιος, καὶ λίθος ἀκρογωνιαῖος· καὶ ἡμεῖς αὐτοῦ [p]καὶ μέλη, καὶ γεώργιον, καὶ οἰκοδομὴ, καὶ κλήματα, καὶ συνεργοί. [q]Τί γὰρ D οὐ βούλεται ἡμῶν εἶναι, παντὶ τρόπῳ συγκολλῶν καὶ συνάπτων ἡμᾶς; ὅπερ τοῦ σφόδρα φιλοῦντός ἐστι. Πείθου τοίνυν, καὶ ἀναστὰς ἐξ [r]ὕπνων ἔνδυσαι αὐτὸν, καὶ ἐνδυσάμενος εὐήνιον αὐτῷ πάρεχε τὴν σάρκα· τοῦτο γὰρ ἠνίξατο εἰπὼν, "Τῆς σαρκὸς πρόνοιαν μὴ [s]ποιεῖσθε εἰς ἐπιθυμίας." Ὥσπερ γὰρ οὐ τὸ πίνειν ἐκώλυσεν, ἀλλὰ τὸ μεθύειν, [t]οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγαίνειν· οὕτως οὐδὲ [v]τὸ προνοεῖν τῆς σαρκὸς, ἀλλὰ τὸ εἰς ἐπιθυμίας, οἷον τὸ τὴν χρείαν ὑπερβαίνειν. [w]Ἐπεὶ, ὅτι γε προνοεῖν αὐτῆς κελεύει, ἄκουσον τί φησι Τιμοθέῳ· [14] "Ὀλίγῳ E ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας." Οὕτω [x]δὴ καὶ ἐνταῦθα προνόει μὲν, ἀλλὰ πρὸς ὑγείαν, [y]μὴ πρὸς ἀσέλγειαν. Οὐδὲ γὰρ ἂν εἴη τοῦτο πρόνοια λοιπὸν, ὅταν τὴν φλόγα ἀνάπτῃς, ὅταν χαλεπὴν τὴν κάμινον ποιῇς. Ἵνα δὲ καὶ σαφέστερον [z]μάθητε, τί ποτέ ἐστι τὸ [a]προνοεῖν αὐτῆς

7 Ephes. i. 23. 8 2 Cor. xi. 2. 9 Gal. ii. 20. 10 Rom. vi. 4, 5. 11 2 Cor. v. 2. 12 Rom. viii. 34. 13 Joan. vi. 57. xv. 14. 14 1 Tim. v. 13.

[f] καὶ om. C. [g] τὸ γὰρ πλ.] Sic A.B.F.I. πλ. γὰρ C. καὶ γὰρ πλ. Edd. [h] οὐκέτι om. A.F.H. in marg. habet B. οὐκ pro οὐκέτι D. [i] καὶ om. B.D. Haec καὶ ἀπ. καὶ ἀρχ. καὶ διδ. desunt in A.H.I. [k] καὶ om. B. [l] σύμφυτοι]+αὐτῷ C. [m] τοῦ θανάτου αὐτοῦ· καὶ ἱκέτης] αὐτοῦ· ἀλλὰ μὴν καὶ τοῦ θανάτου· καὶ εἰκότως I. [n] Χρ. γὰρ pro γὰρ Χρ. C.D. γὰρ om. A.B.F.H.I. [o] συνήγορος——φησὶν] συνήγοροι ἐσμέν· ἀλλὰ καὶ αὐτὸς, φησὶν, ἐντυγχάνει I. [p] καὶ] μέρη καὶ D. καὶ om. B.C. [q] τί] καὶ τί I. [r] ὕπνου A.B.D.F.H.I. Cat. Statim ἔνδυσον B. [s] ποιεῖτε C. Statim εἰς ἐπιθυμίαν H. [t] οὐδὲ] οὐ C. Statim τὸ om. H. Mox ἀσελγαίνειν libri omnes et Cat. ἀσελγεῖν Edd. [v] τὸ om. B. [w] ἐπεὶ]+καὶ H. [x] δὴ pro δὲ omnes. [y] μὴ] οὐ C. [z] μάθῃς et mox φύγῃς C. [a] προνοεῖσθαι C. Mox ἐπιθυμίας A.B.C.D.F.H. ἐπιθυμίαν Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς ἐπιθυμίας, καὶ φύγητε τὴν τοιαύτην πρόνοιαν, τοὺς μεθύοντας, τοὺς γαστριζομένους, [b]τοὺς ἐν ἱματίοις καλλωπιζομένους, τοὺς θρυπτομένους, τοὺς τὸν ὑγρὸν καὶ διαρρέοντα [c]ζῶντας βίον ἐννοήσατε, καὶ εἴσεσθε τὸ εἰρημένον. Ἐκεῖνοι γὰρ πάντα ποιοῦσιν, οὐχ ἵνα ὑγιαίνωσιν, ἀλλ' ἵνα [d]σκιρτῶσιν, ἵνα τὴν
697 ἐπιθυμίαν ἀνάπτωσιν. Ἀλλ' ὁ τὸν Χριστὸν [e]ἐνδεδυμένος σὺ, πάντα ἐκεῖνα περικόψας, ἓν ζήτει μόνον, ὅπως ὑγιαίνουσαν ἔχῃς τὴν σάρκα· καὶ μέχρι τοσούτου προνόει ταύτης, περαιτέρω δὲ μηκέτι, ἀλλὰ πᾶσαν [f]τὴν σπουδὴν εἰς τὴν τῶν πνευματικῶν ἀνάλισκε ἐπιμέλειαν. Οὕτω γὰρ καὶ ἀναστῆναι ἐκ τοῦ ὕπνου τούτου δυνήσῃ, μὴ [g]βαρυνόμενος ταῖς ποικίλαις ταύταις ἐπιθυμίαις. Καὶ γὰρ ὕπνος ὁ παρὼν βίος, καὶ ὀνειράτων οὐδὲν τὰ [h]ἐν αὐτῷ διενήνοχε. Καὶ καθάπερ οἱ καθεύδοντες καὶ παραφθέγγονται, καὶ ὁρῶσι πολλάκις οὐδὲν ὑγιὲς, οὕτω καὶ ἡμεῖς·
B μᾶλλον δὲ καὶ πολλῷ χεῖρον. Ὁ μὲν γὰρ αἰσχρά τινα πράξας ἢ εἰπὼν ὄναρ, ἀπαλλαγεὶς [i]τοῦ ὕπνου, καὶ τῆς [k]αἰσχύνης ἀπήλλακται, καὶ δίκην οὐ δίδωσιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἡ αἰσχύνη καὶ ἡ τιμωρία ἀθάνατος. Πάλιν, οἱ πλουτοῦντες ὄναρ, ἡμέρας γενομένης ἐλέγχονται εἰκῆ πλουτήσαντες· ἐνταῦθα δὲ καὶ πρὸ τῆς ἡμέρας ὁ ἔλεγχος ἔπεισι πολλάκις, καὶ πρὶν ἀπελθεῖν ἐκεῖ, τὰ ὀνείρατα ταῦτα [l]ἀπέπτη.

[m]Ἀποτιναξώμεθα τοίνυν τὸν πονηρὸν τοῦτον ὕπνον. [n]Ἂν γὰρ καθεύδοντας ἡμᾶς ἡ ἡμέρα καταλάβῃ, θάνατος διαδέξεται ἀθάνατος. Καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης πᾶσιν εὐεπιχείρητοι
C τοῖς ἐχθροῖς [o]τοῖς ἐντεῦθεν ἐσόμεθα, καὶ ἀνθρώποις καὶ δαίμοσι· κἂν ἀνελεῖν βουληθῶσιν, ὁ [p]κωλύσων οὐδείς. Εἰ μὲν γὰρ πολλοὶ οἱ ἐγρηγορότες ἦσαν, οὐκ ἦν [q]τοσοῦτος ὁ κίνδυνος· ἐπειδὴ δὲ εἷς που καὶ δεύτερος λύχνον [r]ἅψας, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ τῶν ἄλλων καθευδόντων ἐγρήγορε, διὰ τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, πολλῆς τῆς ἀσφαλείας, ὥστε μὴ τὰ ἀνήκεστα παθεῖν. Οὐχὶ [s]δοκεῖ λαμπρὰ [t]ἡ ἡμέρα εἶναι νῦν; οὐχὶ πάντες ἐγρηγορέναι νομίζομεν καὶ νήφειν; Ἀλλ' ὅμως·

[b] τοὺς ἐν ἱματίοις——θρυπτομένους om. H. τοὺς ἐν ἱμ. καλλ. om. Veron. τοὺς θρ. τοὺς ἐν ἱμ. καλλ. hoc ord. C. [c] ζῶντας] μετιόντας I. Statim βίον ἀλλ' ἐνν. H. [d] σκιρτήσωσιν C. ἵνα σκιρτῶσιν om. B. [e] ἐνδυσάμενος C.D. Veron. Mox περιέκοψας A. [f] τὴν om. C. [g] βαρυνόμενος A.B.D. F.I. βαρούμενος Edd. [h] ἐν αὐτῷ] αὐτοῦ I. [i] τοῦ] ἐκ τοῦ C. [k] ἀσχημοσύνης C.D. Veron. [l] ἀπέστη A.I. [m] ΗΘΙΚΟΝ. Κατὰ πορνευόντων καὶ γαστριμάργων, καὶ ὅτι πάντα ἐντεῦθεν τίκτεται τὰ κακά. Veron. [n] τοῖς om. C.D.I. [o] κωλύων A.I. [p] τοσοῦτος] οὗτος C. [q] ἀνάψας D. [r] δοκεῖ om. H. [s] ἡ, quod aberat ante Montef. habent A. B. C. D. E. F. ἡμέρα λ. νῦν εἶναι hoc ord. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[t]καὶ τάχα γελάσεσθε τὸ εἰρημένον, ἐγὼ μέντοι αὐτὸ ἐρῶ· τοῖς ἐν βαθείᾳ νυκτὶ καθεύδουσί [v]τε καὶ ῥέγχουσιν ἐοίκαμεν ἅπαντες. D Καὶ εἴγε οὐσίαν ἀσώματον [w]ἦν ἰδεῖν, ἔδειξα ἂν ὑμῖν πῶς οἱ μὲν πλείους ῥέγχουσιν, ὁ δὲ διάβολος διορύττει [x]τοίχους, καὶ κατασφάττει κειμένους, καὶ ὑφαιρεῖται τὰ ἔνδον, καθάπερ ἐν σκότῳ βαθεῖ μετὰ ἀδείας [y]πάντα πράττων. Μᾶλλον δὲ, εἰ καὶ ὀφθαλμοῖς τοῦτο ἰδεῖν ἀδύνατον, ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ἐννοήσωμεν πόσοι ὑπὸ ἐπιθυμιῶν εἰσι [z]πονηρῶν βεβαρημένοι, πόσοι τῷ χαλεπῷ τῆς ἀσελγείας [a]κάρῳ κατεχόμενοι, καὶ τὸ φῶς τοῦ πνεύματος κατασβεννύντες. Διά τοι τοῦτο ἕτερα E ἀνθ' ἑτέρων [b]βλέπουσιν, ἕτερα ἀνθ' ἑτέρων ἀκούουσι, καὶ οὐδενὶ τῶν ἐνταῦθα [c]λεγομένων προσέχουσιν. Εἰ δὲ ἐγὼ ψεύδομαι ταῦτα λέγων, καὶ ἐγρηγορὼς ἔστηκας, εἰπέ μοι, τί γέγονεν (198) ἐνταῦθα σήμερον, εἰ μὴ ὡς ὀνειράτων ἤκουσας; Καὶ οἶδα [d]μὲν, ὅτι ἐροῦσί τινες· οὐδὲ γὰρ κατὰ πάντων ταῦτα λέγω· ἀλλὰ σὺ ὁ τοῖς εἰρημένοις ἔνοχος ὤν, ὁ μάτην ἐνταῦθα εἰσελθὼν, εἰπὲ, τίς προφήτης, [e]ποῖος ἀπόστολος [f]ἡμῖν σήμερον διελέχθη, καὶ περὶ τίνων. Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· καὶ γὰρ πολλὰ [g]ὡς ἐν ὀνείρῳ διελέχθης ἐνταῦθα, τῶν [h]ἀληθῶν οὐκ ἀκούσας πραγμάτων. Ταῦτα δέ μοι καὶ πρὸς γυναῖκας εἰρήσθω· καὶ γὰρ [i]καὶ 698 ἐν ἐκείναις πολὺς ὁ ὕπνος· καὶ εἴθε ὕπνος. Ὁ μὲν γὰρ καθεύδων οὔτε πονηρόν τι φθέγγεται, [k]οὔτε χρηστόν· ὁ δὲ οὕτως ἐγρηγορὼς ὡς ὑμεῖς, πολλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς ἐκβάλλει ῥήματα, τόκους ἀριθμῶν, λογισμοὺς [l]δανεισμάτων συντιθεὶς, καπηλείας [m]ἀναισχύντου μεμνημένος, τὰς ἀκάνθας πυκνὰς [n]ἐν τῇ αὐτοῦ καταφυτεύων ψυχῇ, καὶ τὸν σπόρον οὐκ [o]ἀφεὶς οὐδὲ μικρὸν προκύψαι ποτέ. Ἀλλὰ διανάστηθι, καὶ τὰς ἀκάνθας ταύτας προρρίζους ἀνάσπασον, καὶ τὴν μέθην [p]ἀποτίναξαι· καὶ γὰρ ἐντεῦθεν ὁ ὕπνος. Μέθην δὲ οὐκ οἴνου B λέγω [q]μόνον, ἀλλὰ καὶ τῶν βιωτικῶν φροντίδων, καὶ μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ οἴνου. Ταῦτα δὲ οὐχὶ πλουσίοις

[t] καὶ τάχα γελάσεσθε] εἰ καὶ τάχα γελάσεσθε D.E. receptum a Montef. καὶ καταγελάσεσθε A. καὶ καταγελάσασθε H. καὶ εἰ καταγελάσεσθε I. [v] τε om. A.D.E. [w] ἦν ἰδεῖν] ὁρᾶν ἦν I. [x] τοὺς τοίχους C. [y] πάντα A.B. D.E.F.I. ἅπαντα Edd. [z] πονηρῶν om. B. ὑπὸ ἐπιθ. εἰσι β. πονηρῶν hoc ord. C. ὑπὸ ἐπιθ. πονηρῶν εἰσι β. H. ὑπὸ πονηρῶν ἐπιθ. εἰσι β. I. [a] καιρῷ H. [b] βλέπουσιν ἕτ. ἀνθ' ἑτ. om. E. [c] διαλεγομένων B. [d] μὲν om. I. [e] ποῖος pro τίς omnes. [f] ἡμῖν σ. δ. pro σ. δ. ἡμῖν A.C.D.E.F.H.I. [g] ὡς om. I. [h] ἀληθῶν pro ἀληθινῶν A.B.D.E.F.H.I. [i] καὶ ἐν ἐκείναις] Sic C.D.E.H. καὶ ἐκείναις A.F.I. ἐκείναις B. ἐν ἐκείναις Edd. [k] οὐδὲ ἄχρηστον C. [l] δανειστῶν C. [m] ἀναισχύντους I. [n] ἐν τῇ αὐτοῦ (ἑαυτοῦ C.) κ. ψυχῇ omnes. κ. ἐν τῇ ἑαυτοῦ ψ. Edd. [o] ἀφιεὶς D.E.I. [p] ἀποτίναξον I. [q] μόνον pro μόνου A.B.D.E.F. λέγωμεν pro λέγω μόνον I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[r]μόνον, ἀλλὰ καὶ πένησι παραινῶ, καὶ μάλιστα τοῖς τὰ φιλικὰ συγκροτοῦσι συμπόσια. Οὐ γάρ ἐστι τοῦτο τρυφὴ οὐδὲ ἄνεσις, ἀλλὰ κόλασις καὶ τιμωρία. Τρυφὴ γὰρ οὐκ αἰσχρὰ εἰπεῖν, ἀλλὰ σεμνὰ [s]φθέγξασθαι, ἐμπλησθῆναι, οὐ διαρραγῆναι. Εἰ δὲ ἡδονὴν αὐτὸ νομίζεις, δεῖξόν μοι ἐν ἑσπέρᾳ τὴν ἡδονήν· ἀλλ' οὐκ ἂν ἔχοις. Καὶ οὕπω λέγω τὰς ἐντεῦθεν βλάβας, C ἀλλὰ τέως περὶ τῆς ἡδονῆς [t]σοι διαλέγομαι τῆς εὐθέως μαραινομένης. Ὁμοῦ [v]τε γὰρ διελύθη τὸ συμπόσιον, καὶ ἀπέπτη τὰ τῆς εὐφροσύνης. Ὅταν δὲ καὶ τὸν ἔμετον εἴπω, καὶ τὰς καρηβαρίας, καὶ τὰ μυρία νοσήματα, καὶ τὴν τῆς ψυχῆς αἰχμαλωσίαν, τί πρὸς ταῦτα ἐρεῖς; Μὴ γὰρ, ἐπειδὴ πένητές ἐσμεν, καὶ ἀσχημονεῖν [w]ὀφείλομεν; Ταῦτα [x]δὲ λέγω, οὐ κωλύων συνιέναι οὐδὲ κοινῇ συνδειπνεῖν, ἀλλὰ κωλύων ἀσχημονεῖν, καὶ [y]βουλόμενος τὴν τρυφὴν εἶναι τρυφὴν, ἀλλὰ μὴ κόλασιν, μηδὲ τιμωρίαν καὶ μέθην καὶ κῶμον. Μαθέτωσαν Ἕλληνες, ὅτι μάλιστα Χριστιανοὶ τρυφᾶν ἴσασι, καὶ τρυφᾶν μετὰ κόσμου. [15] "Ἀγαλλιᾶσθε γὰρ, φησὶ, τῷ κυρίῳ ἐν τρόμῳ." D Πῶς δέ ἐστιν ἀγαλλιᾶσθαι; Ὕμνους λέγοντας, εὐχὰς ποιουμένους, ψαλμοὺς ἐπεισάγοντας ἀντὶ τῶν ἀνελευθέρων [z]ᾀσμάτων ἐκείνων. Οὕτω καὶ ὁ Χριστὸς τῇ τραπέζῃ παρέσται, καὶ εὐλογίας ἐμπλήσει τὴν εὐωχίαν ἅπασαν, ὅταν εὔχῃ, ὅταν ᾄδῃς πνευματικὰ, ὅταν πένητας [a]ἐπὶ τὴν κοινωνίαν τῶν προκειμένων καλῇς, ὅταν εὐταξίαν πολλὴν καὶ σωφροσύνην ἐπιστήσῃς τῷ συμποσίῳ. Οὕτω καὶ ἐκκλησίαν ἐργάσῃ τὸν [b]πότον, ἀντὶ τῶν ἀκαίρων κραυγῶν καὶ εὐφημιῶν [c]τὸν ἁπάντων δεσπότην ὑμνῶν. Καὶ μή μοι λέγε, ὅτι ἕτερος ἐκράτησε νόμος, ἀλλὰ διορθοῦ τὰ E κακῶς ἔχοντα. [16] "Εἴτε γὰρ ἐσθίετε, φησὶν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε." Καὶ γὰρ ἀπὸ τῶν τοιούτων τραπεζῶν ὑμῖν αἱ πονηραὶ ἐπιθυμίαι, [d]ἐντεῦθεν αἱ ἀσέλγειαι, ἐντεῦθεν αἱ γυναῖκες μὲν ἐν καταφρονήσει, [e]αἱ πόρναι δὲ ἐν τιμῇ παρ' ὑμῖν· ἐντεῦθεν αἱ τῶν οἰκιῶν ἀνατροπαὶ, καὶ τὰ μυρία κακὰ, καὶ ἄνω [f]καὶ κάτω πάντα γέγονε, καὶ τὴν πηγὴν [g]ἀφέντες τὴν καθαρὰν, ἐπὶ τὸν ὀχετὸν τρέχετε τοῦ βορβόρου.

[15] Psal. ii. 11. [16] 1 Cor. x. 31.

[r] μόνοις I. [s] φθέγγεσθαι C. [t] σου H. Statim διαλέγωμαι B. [v] τε om. C. Statim ἐλύθη idem. [w] ἐθέλομεν C. [x] δὲ om. C. Statim λέγω μὲν Edd. ante Ben. μὲν om. A.B.C.D.E.F.I. [y] βούλομαι τὴν τρ. (sic) C. [z] ᾄσμ. ἐκείνων pro ἐκείνων ᾄσμ. omnes. [a] ἐπὶ τὴν κ. τῶν πρ. omnes. ἐπὶ τῶν πρ. τὴν κ. Edd. [b] πότον C. Edebatur τόπον. [c] τὸν τῶν ἁ. Edd. τῶν om. A.B.D.E.F.I. [d] καὶ ἐντεῦθεν I. [e] αἱ π. δὲ pro αἱ δὲ π. A.B.D. E.F.H.I. [f] καὶ om. D.F.I. [g] ἀφιέντες A.B.E.F.I. Mox ἐπὶ τὸν ὀ. τρέχετε τοῦ β. omnes. ἐπὶ τοῦ β. τὸν ὀ. τρέχετε Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅτι γὰρ βόρβορος τὸ τῆς πόρνης σῶμα, οὐδένα [h]ἕτερον, ἀλλ' αὐτόν σε ἐρωτῶ τὸν ἐγκαλινδούμενον τῷ βορβόρῳ, εἰ μὴ σαυτὸν 699
ἐρυθριᾷς, εἰ μὴ ἀκάθαρτον εἶναι νομίζεις μετὰ τὴν ἁμαρτίαν.

Διό, παρακαλῶ, φεύγετε τὴν πορνείαν καὶ τὴν ταύτης μητέρα τὴν μέθην. Τί σπείρεις ὅπου θερίσαι οὐκ ἔνι, μᾶλλον δὲ, κἂν θερίσῃς, πολλήν σοι φέρει τὴν αἰσχύνην ὁ καρπός; Κἂν γὰρ τεχθῇ παιδίον, καὶ σὲ ᾐσχυνε, καὶ [i]αὐτὸ ἠδίκηται διὰ σὲ νόθον καὶ δυσγενὲς γινόμενον. Κἂν μυρία [k]καταλίπῃς αὐτῷ χρήματα, ἄτιμος ἐν οἰκίᾳ, ἄτιμος ἐν πόλει, ἄτιμος ἐν δικαστηρίῳ καὶ ὁ ἐκ πόρνης καὶ ὁ ἐκ δούλης· ἄτιμος [l]δὲ καὶ σὺ πάλιν, καὶ ζῶν καὶ τετελευτηκώς· κἂν γὰρ ἀπέλθῃς, μένει τὰ ὑπομνήματα [m]τῆς B
ἀσχημοσύνης. Τί τοίνυν ἅπαντα καταισχύνεις; Τί σπείρεις ἔνθα ἡ ἄρουρα σπουδάζει [n]διαφθεῖραι τὸν [o]καρπόν; ἔνθα πολλὰ τὰ [p]ἀτόκια; ἔνθα πρὸ τῆς γενέσεως φόνος; Καὶ γὰρ
(199) καὶ τὴν πόρνην οὐκ [q]ἀφίης μεῖναι πόρνην [r]μόνον, ἀλλὰ καὶ ἀνδροφόνον ποιεῖς. Εἶδες ἀπὸ μέθης πορνείαν, ἀπὸ πορνείας μοιχείαν, ἀπὸ μοιχείας φόνον; μᾶλλον δὲ καὶ φόνου [s]τι χεῖρον· οὐδὲ γὰρ ἔχω πῶς αὐτὸ καλέσω. Οὐ γὰρ [t]τεχθὲν ἀναιρεῖ, ἀλλὰ καὶ τεχθῆναι κωλύει. Τί τοίνυν καὶ [v]τοῦ θεοῦ τὴν δω- C
ρεὰν ὑβρίζεις, καὶ τοῖς αὐτοῦ μάχῃ νόμοις, καὶ ὅπερ ἐστὶ κατάρα, τοῦτο [w]σὺ ὡς εὐλογίαν μεταδιώκεις, καὶ τὸ ταμιεῖον τῆς γενέσεως ταμιεῖον ποιεῖς σφαγῆς, καὶ τὴν πρὸς παιδοποιΐαν δοθεῖσαν γυναῖκα πρὸς φόνον παρασκευάζεις; Ἵνα γὰρ ἀεὶ τοῖς ἐρασταῖς [x]εὐχάριστος ᾖ καὶ ποθεινὴ, καὶ πλέον ἀργύριον ἔλκῃ, οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, μέγα ἐπὶ [y]τὴν σὴν κεφαλὴν ἐντεῦθεν σωρεύουσα τὸ πῦρ. Εἰ γὰρ καὶ ἐκείνης τὸ τόλμημα, ἀλλὰ σὴ ἡ αἰτία γίνεται. Ἐντεῦθεν καὶ [z]εἰδωλολατρεῖαι. [a]Πολλαὶ γὰρ [b]ὥστε ἐπίχαρις γενέσθαι, [c]καὶ ἐπῳδὰς καὶ σπονδὰς καὶ φίλτρα καὶ μυρία ἕτερα μηχανῶνται. D

[h] ἕτερον, ἀλλ' αὐτόν σε ἐρωτῶ omnes. ἕτερον ἐρωτῶ, ἀλλ' αὐτόν σε Edd. [i] αὐτὴ H. Mox γινόμενον pro γενόμενον A.B.D.E.F.I. [k] κατ. αὐτῷ pro αὐτῷ κατ. A.B.D.E.F.H.I. [l] δὲ superscript. in B. [m] τῆς σῆς ἀσχ. C. [n] διαφθαρῆναι I. [o] κάματον C. [p] ἐκτόκια A.C.H.I. [q] ἀφίεις B. ἀφεὶς C.F. ἀφῇς in textu A. [r] μόνον A.B.D.E.H. μόνην Veron. Sav. Mor. [s] τι om. C. [t] τεχθὲν omnes. τεχθέντα Edd. [v] τοῦ θ. τὴν δ.] τὸν θεὸν H. τοῦτο σοι [w] σὺ accessit ex A.B.D.E.F.I. κατάρα, ὡς εὐλ. (sic) C. [x] εὐχάριστος A.H.I. εὐχάρηστος F. εὔχαρις D.E. εὔχρηστος Edd. Statim οὖσα pro ᾖ corr. A. omisso καὶ post ποθεινή. καὶ ποθεινὴ om. C. [y] τῇ σῇ κεφαλῇ ante corr. E. Statim ἐντεῦθεν (ἐντεῦθεν om. C.) σωρεύουσα τὸ (τὸ om. I.) πῦρ omnes. τὸ πῦρ ἐντεῦθεν σωρεύουσα Edd. [z] εἰδωλολατρείαι H.I. εἰδωλολάτραι E. εἰδωλολατρίαι Veron. Sav. Mor. [a] πολλαὶ γὰρ] πολλαί. καὶ γὰρ I. [b] ὥστε]+καὶ A.B.D.E.F.H. Statim ἐπιχαρεῖς A.B.C.D.E. Tum γενέσθαι pro γίνεσθαι omnes. [c] καὶ om. E. Statim καὶ σπονδὰς om. A.

Δημόσια Κεντρική Βιβλιοθήκη Ηέρυιας

Ἀλλ' ὅμως μετὰ [d]τοσαύτην ἀσχημοσύνην, μετὰ φόνους, μετὰ [e]εἰδωλολατρείας, πολλοῖς ἀδιάφορον τὸ πρᾶγμα εἶναι δοκεῖ, πολλοῖς καὶ γυναῖκας ἔχουσιν· ἔνθα καὶ πλείων ὁ φορυτὸς τῶν κακῶν. Καὶ [f]γὰρ φαρμακεῖαι λοιπὸν κινοῦνται, οὐκ ἐπὶ τὴν νηδὺν τὴν [g]πορνευομένην, ἀλλ' ἐπὶ τὴν ἠδικημένην γυναῖκα, καὶ ἐπιβουλαὶ μυρίαι, καὶ δαιμόνων κλήσεις, καὶ [h]νεκυομαντεῖαι, καὶ πόλεμοι καθημερινοί, καὶ ἄσπονδοι μάχαι, Ε καὶ σύντροφοι φιλονεικίαι. Διὸ καὶ ὁ Παῦλος [i]εἰπών, "Μὴ κοίταις καὶ ἀσελγείαις," ἐπήγαγε, "Μὴ [k]ἔρισι καὶ ζήλοις·" εἰδὼς τοὺς ἐντεῦθεν πολέμους, τῶν οἰκιῶν τὰς ἀνατροπάς, τῶν εὐγενῶν παίδων τὰς ἀδικίας, [l]τὰ μυρία κακά. Ἵν' οὖν ταῦτα [m]φύγωμεν ἅπαντα, τὸν Χριστὸν ἐνδυσώμεθα, καὶ μετ' αὐτοῦ [n]διηνεκῶς ὦμεν· ἐπεὶ καὶ τοῦτό ἐστιν ἐνδύσασθαι, τὸ μηδέποτε αὐτοῦ ἀπολειφθῆναι, τὸ πάντοθεν αὐτὸν φαίνεσθαι ἐν ἡμῖν διὰ τῆς ἀγιωσύνης ἡμῶν, διὰ τῆς ἐπιεικείας. Οὕτω καὶ ἐπὶ φίλων λέγομεν, ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο, τὴν πολλὴν ἀγάπην λέγοντες καὶ τὴν ἀδιάλειπτον συνουσίαν· ὁ γὰρ ἐνδυσάμενος, 700 ἐκεῖνο φαίνεται, ὅπερ ἐνδέδυται. [o]Φαινέσθω τοίνυν πάντοθεν ἐν ἡμῖν ὁ Χριστός. Καὶ πῶς [p]φανεῖται; [q]Ἂν τὰ ἐκείνου ποιῇς. Τί [q]δὲ ἐκεῖνος ἐποίησεν; [17] "Ὁ υἱὸς τοῦ ἀνθρώπου, φησὶν, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν [r]κλίνῃ." Τοῦτο καὶ σὺ ζήλωσον. Τροφῆς [s]ἀπολαῦσαι ἔδει, καὶ κριθίνοις ἄρτοις ἐκέχρητο. Ἀποδημῆσαι ἐχρῆν, καὶ οὐδαμοῦ ἵπποι καὶ ὑποζύγια, ἀλλὰ [t]τοσαῦτα ἐβάδιζεν, ὥστε καὶ κοπιᾶσαι. Καθευδῆσαι ἔδει, [v]καὶ ἐπὶ προσκεφαλαίου ἔκειτο ἐπὶ τῆς πρώρας. Κατακλιθῆναι ἐχρῆν, καὶ ἐπὶ χόρτου [w]καταπεσεῖν ἐκέλευε. Καὶ τὰ ἱμάτια δὲ εὐτελῆ· καὶ πολλαχοῦ μόνος διέτριβεν, Β [x]οὐδένα ἐπισυρόμενος. Καὶ τὰ ἐν τῷ σταυρῷ δὲ, καὶ τὰ ἐν ταῖς ὕβρεσι, καὶ πάντα ἁπλῶς καταμαθὼν, ζήλωσον· καὶ οὕτως ἐνεδύσω τὸν Χριστὸν, ἂν [y]τῆς σαρκὸς πρόνοιαν μὴ ποιῇς εἰς ἐπιθυμίας. Οὐδὲ γὰρ ἡδονὴν τὸ πρᾶγμα ἔχει. Καὶ γὰρ αἱ ἐπιθυμίαι αὗται τίκτουσι [z]πάλιν ἑτέρας δριμυτέρας, καὶ οὐδέ-

17 Luc. ix. 58.

[d] τὴν τοσαύτην C. [e] εἰδωλολατρίας B.D. [f] γὰρ]+καὶ H. Mox λοιπὸν ἐκεῖ κινοῦνται C.D. [g] πόρνην C. [h] νεκυομαντεῖαι (—τεῖαι H.) A.B.D.E.H. —τίαι Veron. Sav. Mor. —τεῖαι Ben. [i] εἰπὼν] λέγων C. [k] Sic A.B. D.E.F.H.I. ἔριδι καὶ ζήλῳ Edd. [l] τὰ μ. κακὰ om. C. [m] φύγωμεν A.B. D.E.I. φεύγωμεν F. διαφύγωμεν Edd. Ἵν' οὖν φύγωμεν ἅπ. ταῦτα C. Post ἅπαντα add. τὰ τῆς σαρκὸς πάθη E. [n] διαπαντὸς C. [o] φαίνεται C. [p] φαίνεται C. [q] δὲ] δαὶ A.E. [r] κλίνῃ A.I. κλίνει B.C.H. κλίναι Edd. Statim τοῦτον C. [s] ἀπολαύειν I. [t] τοσαῦτα]+ἐκεῖνος I. Statim ὡς καὶ κ. C. [v] καὶ] ἀλλ' I. [w] ἀναπεσεῖν C.D. Statim ἐκέλευε pro ἐκέλευσε A.D.E.H. [x] μηδένα A. [y] τῆς σαρκὸς——ἐπιθυμίας] τῆς κατὰ τὴν σάρκα μὴ προνοήσῃς ἐπιθυμίας A.B.D.E.F.H.I. [z] πάλιν om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποτε λήψῃ κόρον, ἀλλὰ βάσανον ἐργάσῃ σαυτῷ μεγάλην. Ὥσπερ [a]γὰρ ὁ διηνεκῶς ὢν ἐν τῷ διψῇν, κἂν μυρίας ἔχῃ παρακειμένας πηγὰς, οὐδὲν ἐντεῦθεν κερδαίνει, μὴ δυνάμενος τὸ νόσημα σβέσαι· οὕτω καὶ ὁ διηνεκῶς [b]ἐν ἐπιθυμίαις ζῶν. [*]Αν C δὲ τῆς χρείας [c]ᾖς, οὐδέποτε τοῦτον δέξῃ τὸν πυρετὸν, ἀλλὰ πάντα ἐκεῖνα οἰχήσεται, καὶ [d]μέθη καὶ ἀσέλγειαι. Τοσοῦτον τοίνυν ἔσθιε ὅσον λῦσαι λιμὸν, [e]τοσαῦτα ἐνδύου ὅσον σκέπεσθαι μόνον, [f]μηδὲ καλλώπιζε ἱματίοις τὴν σάρκα, ἵνα μὴ αὐτὴν ἀπολέσῃς. Καὶ γὰρ [g]καὶ μαλακωτέραν αὐτὴν ποιεῖς, καὶ τὴν εὐεξίαν αὐτῆς [h]λυμαίνῃ, τῇ πολλῇ βλακείᾳ διαλύων αὐτήν. Ἵν' οὖν ἔχῃς αὐτὴν ὄχημα καλὸν τῆς ψυχῆς, ἵνα ὁ κυβερνήτης [i]ἀσφαλῶς ἐπὶ τῶν οἰάκων κάθηται, καὶ ὁ στρατιώτης εὐκόλως μεταχειρίζῃ τὰ ὅπλα, [k]εὐάρμοστα πάντα ποίει. Οὐ γὰρ τὸ D πολλὰ ἔχειν, ἀλλὰ τὸ ὀλίγων δεῖσθαι, ἀναλώτους ποιεῖ. Ἐκεῖνος μὲν γὰρ, κἂν μὴ ἀδικηθῇ, δέδοικεν· οὗτος δὲ, κἂν ἀδικηθῇ, τῶν οὐκ ἠδικημένων ἄμεινον διακείσεται, καὶ ἐν πλείονι [l]καὶ διὰ τοῦτο ἔσται εὐθυμίᾳ. Μὴ τοίνυν τοῦτο ζητῶμεν, ὅπως μηδεὶς ἐπηρεάσῃ, ἀλλ' ὅπως, κἂν ἐπηρεάζειν βούληται, μὴ δύνηται. Τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν ἔσται, [m]ἀλλ' ἢ ἐκ τοῦ τῆς χρείας (200) ἔχεσθαι, καὶ μὴ πλείονων ἐπιθυμεῖν. Οὕτω γὰρ καὶ ἐνταῦθα τρυφῆσαι δυνησόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγα- E θῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΣ. 701

[1]Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις [a]διαλογισμῶν. [d]Ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει.

ΟΙΔΑ ὅτι πολλοῖς ἄπορον τὸ εἰρημένον. Διὸ πρότερον ἀναγκαῖον εἰπεῖν τοῦ χωρίου [b]τούτου παντὸς τὴν ὑπόθεσιν, καὶ τί βουλόμενος [c]διορθῶσαι, ταῦτα γράφει. Τί τοίνυν βούλεται

1 Cap. XIV. v. 1, 2.

[a] γὰρ accessit ex A. B. C. D. E. F. I. receptum a Montef. καὶ pro γὰρ H. [b] ἐν om. I. [c] ᾖς]+ἐντὸς Edd. et A. in marg. repugnantibus libris. Mox δέχῃ C. [d] μέθη pro μέθαι A.B.C.D.F.H.I. μέθοι E. Statim ἀσέλγεια C.I. [e] τοσαῦτα pro τοιαῦτα A.B.D.E.F.H.I. Tum ὅσον pro οἷον iidem. ὅσα C. [f] μηδὲ] μὴ C. [g] καὶ assumtum ex D.E.F.H.I. [h] λυμαίνεις C. [i] ἀσφαλῶς om. C. [k] καὶ εὐάρ. π. ποιῇ C. [l] καὶ om. I. Mox ἀθυμίᾳ idem. [m] ἀλλ' ἢ] εἰ μὴ C. Hom. XXVI. [a] λογισμῶν B.D.F.I. [b] τούτου π.] π. τούτου A.B.F.H.I. τούτου om. Cat. [c] διορθώσασθαι C.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B διορθοῦν; Ἦσαν πολλοὶ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, οἱ τῇ τοῦ νόμου κατεχόμενοι συνειδήσει καὶ μετὰ τὴν πίστιν τῶν βρωμάτων ἐφύλαττον ἔτι τὴν παρατήρησιν, οὔπω θαρροῦντες τέλεον ἀποστῆναι τοῦ νόμου. Εἶτα, ὥστε μὴ [d]γενέσθαι εὐφώρατοι, τῶν χοιρείων ἀπεχόμενοι [e]μόνων, πάντων [f]ἐξῆς ἀπείχοντο τῶν κρεῶν, καὶ λάχανα ἤσθιον μόνον, ἵνα νηστεία μᾶλλον εἶναι δοκῇ τὸ γινόμενον, ἀλλὰ μὴ νόμου παρατήρησις. Ἕτεροι πάλιν ἦσαν [g]τελειότεροι, οὐδὲν τοιοῦτον παρατηροῦντες, [h]οἱ τούτοις τοῖς παρατηροῦσι φορτικοὶ καὶ ἐπαχθεῖς ἐγίνοντο, ὀνειδίζοντες, ἐγκαλοῦντες, εἰς ἀθυμίαν ἐμβάλλοντες. Δεδοικὼς
C τοίνυν ὁ μακάριος Παῦλος μὴ μικρὸν κατορθῶσαι βουλόμενοι, τὸ πᾶν ἀνατρέψωσι, καὶ θέλοντες εἰς τὴν τῶν βρωμάτων αὐτοὺς ἀδιαφορίαν ἀγαγεῖν, καὶ τῆς πίστεως αὐτοὺς ἐκπεσεῖν παρασκευάσωσι, καὶ πρὸ τοῦ καιροῦ τοῦ προσήκοντος τὸ πᾶν ἐπανορθῶσαι σπεύδοντες, περὶ τὰ καίρια [i]τὴν ζημίαν ἐργάσωνται, ἀπὸ τῆς εἰς [k]τὸν Χριστὸν ὁμολογίας αὐτοὺς παρασαλεύοντες τῷ συνεχῶς ἐπιτιμᾶν, καὶ ἐν ἑκατέροις [l]μείνωσιν ἀδιόρθωτοι· ὅρα πόσῃ κέχρηται συνέσει, καὶ πῶς ἑκατέρων ἐπιμελεῖται τῶν μερῶν μετὰ τῆς συνήθους [m]αὐτῷ σοφίας.
D [n]Οὔτε γὰρ ὅτι κακῶς ποιεῖτε, τολμᾷ τοῖς ἐπιτιμῶσιν εἰπεῖν, ἵνα μὴ ἐκείνους βεβαιώσῃ ἐν τῇ παρατηρήσει, οὔτε πάλιν ὅτι καλῶς, ἵνα μὴ [o]σφοδροτέρους κατηγόρους ἐργάσηται, ἀλλὰ συμμεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν. Καὶ δοκεῖ μὲν τοῖς ἰσχυροτέροις ἐπιτιμᾶν, τὸ δὲ πᾶν εἰς ἐκείνους κενοῖ ἐν τῷ πρὸς τούτους λόγῳ. Αὕτη γὰρ μάλιστα ἡ διόρθωσις ἀνεπαχθεστέρα, ὅταν πρὸς ἄλλον τις τρέψας [p]τὸν λόγον, ἕτερον πλήττῃ. Οὔτε γὰρ εἰς θυμὸν ἀφίησιν ἐξενεχθῆναι τὸν ἐπιτιμώμενον, καὶ λανθανόντως τὸ τῆς διορθώσεως ἐνίησι φάρμακον. Ὅρα τοίνυν πῶς αὐτὸ ποιεῖ συνετῶς, καὶ πῶς εὐκαίρως. Εἰπὼν
E γὰρ, "Τῆς σαρκὸς πρόνοιαν μὴ [q]ποιεῖσθε εἰς ἐπιθυμίας," τότε εἰς τὸν περὶ τούτων [r]ἐκβαίνει λόγον, ἵνα μὴ δόξῃ ὑπὲρ ἐκείνων λέγειν τῶν ἐπιτιμώντων καὶ κελευόντων ἐσθίειν ἅπαντα. Τὸ γὰρ ἠσθενηκὸς μέρος ἀεὶ [s]πλείονος δεῖται τῆς προνοίας. Διὸ καὶ πρὸς τὸν ἰσχυρὸν εὐθέως ἀποτείνεται, λέγων οὕτω· "Τὸν

[d] *γίνεσθαι* C. [e] *μόνων* D.F.H. et ante corr. A. Ita tacite Montef. Haec *τῶν χ. ἀ. μόνων* om. C. [f] *ἐξίσης* C. *τῶν* ante *κρέων* om. B. Cat. [g] *τελεώτεροι* ex corr. B. Statim *οὐδέν* pro *οὐδὲ ἓν* A.C.E.F.H.I. Cat. *οὐδὲν δὲ* D. [h] *οἱ τούτοις*] *οἱ τοιοῦτοι* C. Mox *ἀπεχθεῖς* A.I. [i] *τὴν* assumtum ex A.E.F.H.I. [k] *τὸν* accessit ex A.B.D.E.F.H. Mox *αὐτῷ* pro *αὐτοὺς* A. [l] *μένωσι* A. [m] *αὐτοῦ* C.D.F.H.I. Veron. [n] *οὐδὲ* C. Mox *ἐτόλμα* idem. [o] *σφοδρότερον* C. [p] *τὸν* om. A.F.H. [q] *ποιεῖσθαι* F.H. [r] *ἐμβαίνει* A. [s] *τοῦ πλείονος* F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἀσθενοῦντα τῇ πίστει." Εἶδες πληγὴν εὐθέως μίαν ἐκείνῳ δοθεῖσαν; Εἰπὼν γάρ, "[t]τὸν ἀσθενοῦντα," ἔδειξεν αὐτὸν ἄρρωστον. Εἶτα δευτέραν προστίθησι λέγων, "προσλαμβάνεσθε." Δείκνυσι γὰρ πάλιν πολλῆς δεόμενον ἐπιμελείας, ὅπερ σημεῖον [v]ἐσχάτης ἀρρωστίας ἐστί. "Μὴ εἰς διακρίσεις [w]διαλογισμῶν." 702
Ἰδοὺ καὶ τρίτην ἐπέθηκε πληγήν. Ἐντεῦθεν γὰρ δηλοῖ τοιοῦτον αὐτοῦ τὸ ἁμάρτημα ὄν, ὡς καὶ τοὺς τὰ [x]αὐτὰ αὐτῷ μὴ πλημμελοῦντας, κοινωνοῦντας δὲ [y]ὅμως αὐτῷ τῆς φιλίας, καὶ ἀντεχομένους αὐτοῦ τῆς θεραπείας, διακρίνεσθαι. Εἶδες πῶς δοκεῖ μὲν τούτοις διαλέγεσθαι, ἐκείνοις δὲ ἐπιτιμᾷ λανθανόντως καὶ ἀνεπαχθῶς; Εἶτα τιθεὶς ἀμφοτέρους παράλληλα, τὸν μὲν μετ' ἐγκωμίων, τὸν δὲ μετ' ἐγκλημάτων τίθησιν. Ἐπάγει γὰρ λέγων· "Ὃς μὲν πιστεύει φαγεῖν πάντα," ἀνακηρύττων αὐτὸν ἀπὸ τῆς πίστεως· "ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει," καὶ τοῦτον B
πάλιν κακίζων ἀπὸ τῆς ἀσθενείας.

Εἶτα, ἐπειδὴ καιρίαν ἔδωκε τὴν πληγήν, παραμυθεῖται πάλιν
(201) αὐτὸν, οὕτω λέγων· [2]"Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω." Οὐκ εἶπεν, ἐάτω, οὐκ εἶπε, μὴ ἐγκαλείτω, οὐκ εἶπε, μὴ διορθούσθω, ἀλλὰ, μὴ ὀνειδιζέτω, μὴ διαπτυέτω, δεικνὺς ὅτι πρᾶγμα πολλοῦ γέλωτος ἄξιον ἐποίουν. Ἐπὶ δὲ τούτου οὐχ οὕτως, ἀλλὰ πῶς; "Ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω." Ὥσπερ γὰρ οἱ τελειότεροι τούτους ἐξεντέλιζον ὡς ὀλιγοπίστους καὶ ὑπούλους καὶ νόθους καὶ Ἰουδαΐζοντας ἔτι, οὕτως C
ἐκεῖνοι τούτους ἔκρινον ὡς παρανομοῦντας, ἢ [z]ὡς λαιμαργίᾳ προσέχοντας· ὧν πολλοὺς καὶ ἐξ ἐθνῶν εἰκὸς εἶναι. Διὸ καὶ ἐπήγαγεν· "Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο." Ἐπ' [a]ἐκείνου δὲ οὐκ εἶπε τοῦτο. Καίτοι τὸ μὲν ἐξουθενεῖσθαι τοῦ ἐσθίοντος ἦν ὡς λαιμάργου, τὸ δὲ κρίνεσθαι τοῦ μὴ ἐσθίοντος ὡς ὀλιγοπίστου. Ἀλλ' ἀντήλλαξεν αὐτὰ, δεικνὺς ὅτι οὐ μόνον τοῦ ἐξουθενεῖσθαι οὐκ ἔστιν ἄξιος, ἀλλὰ καὶ ἐξουθενεῖν δύναται. Ἀλλὰ καὶ ἐγὼ κατακρίνω, φησίν; Οὐδαμῶς· διὰ γὰρ τοῦτο ἐπήγαγεν, ὅτι "ὁ θεὸς αὐτὸν προσελάβετο." Τί τοίνυν [b]αὐτῷ D
περὶ νόμου διαλέγῃ ὡς παραβαίνοντι; "Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο·" τουτέστι, τὴν ἄφατον αὐτοῦ περὶ αὐτὸν ἐπεδείξατο

[2] v. 3.

[t] τὸν] + δὲ A.C.F.H.I. Mox προσλαμβάνεσθαι C.F. [v] ἐσχάτης] μεγάλης C. [w] διαλογισμῶν A.C.D.E. λογισμῶν Edd. [x] αὐτὰ] τοιαῦτα A.H. Mox μὴ πλ. pro οὐ πλ. A.H. Cat. τοὺς μὴ τὰ αὐτὰ αὐτῷ πλ. C. Negativam om. I. [y] ὅμως om. E. Statim αὐτοῦ A.H.I. [z] ὡς pro ὅλως libri omnes et Cat. [a] ἐκείνου A.B.D.E.I. Cat. ἐκείνους D. ἐκείνῳ Edd. [b] αὐτῷ π. ν. pro π. ν. αὐτῷ A.B.C.D.E.F.H. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[c]χάριν, καὶ πάντων ἀπήλλαξεν [d]ἐγκλημάτων. Εἶτα πάλιν πρὸς τὸν ἰσχυρὸν, [3] "Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;" Ὅθεν δῆλον, ὅτι καὶ [e]ἐκεῖνοι ἔκρινον, οὐ μόνον ἐξουθένουν. "Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει." Ἰδοὺ πάλιν ἄλλη πληγή. Καὶ δοκεῖ μὲν ἡ ἀγανάκτησις εἶναι πρὸς τὸν [f]ἰσχυρὸν, καθάπτεται δὲ ἐκείνου. Ὅταν [g]γὰρ εἴπῃ, "Σταθήσεται δὲ," δείκνυσιν ἔτι σαλευόμενον, καὶ [h]πολλῆς δεόμενον τῆς προσοχῆς, καὶ τοσαύτης τῆς ἐπιμελείας, ὡς [i]καὶ τὸν θεὸν καλεῖν εἰς ταῦτα ἰατρόν· "Δυνατὸς γὰρ, φησὶν, ὁ θεὸς στῆσαι αὐτόν." Ὅπερ ἐπὶ τῶν σφόδρα ἀπεγνωσμένων λέγομεν. Εἶτα, ἵνα μὴ ἀπογνῷ, καὶ ἀσθενοῦντα αὐτὸν οἰκέτην καλεῖ, λέγων· "Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;" Καὶ ἐνταῦθα [k]δὲ πάλιν λανθανόντως αὐτοῦ καθάπτεται. [l]Οὐ γὰρ ἐπειδὴ ἄξια τοῦ [m]μὴ κρίνεσθαι ποιεῖ, διὰ τοῦτο κελεύω μὴ [n]κρίνειν, [o]ἀλλ' ἐπειδὴ ἀλλότριός ἐστιν οἰκέτης, [p]τουτέστιν, οὐ σὸς, ἀλλὰ τοῦ θεοῦ. Εἶτα παραμυθούμενος αὐτὸν πάλιν, οὐκ εἶπεν, ὅτι πίπτει, [q]ἀλλὰ τί; "Στήκει ἢ πίπτει." [r]Ἂν τε δὲ τοῦτο, ἄν τε ἐκεῖνο [r]ᾖ, τῷ δεσπότῃ διαφέρει ταῦτα ἀμφότερα· καὶ γὰρ ἡ ζημία
703 [s]ἐκεῖ τείνει, πεσόντος, ὥσπερ οὖν καὶ ὁ πλοῦτος, ἑστῶτος. Ταῦτα δὲ, εἰ μὴ τὸν σκοπὸν πάλιν [t]κατίδοιμεν τοῦ [v]Παύλου, βουλομένου μὴ πρὸ καιροῦ [w]τοῦ προσήκοντος ἐπιτιμᾶσθαι αὐτοὺς, σφόδρα ἀνάξια τῆς Χριστιανοῖς πρεπούσης κηδεμονίας ἐστίν. Ἀλλ', ὅπερ ἀεὶ λέγω, τὴν γνώμην ἐξετάζειν δεῖ μεθ' ἧς [x]λέγεται, καὶ τὴν ὑπόθεσιν περὶ ἧς λέγεται, καὶ τί σπουδάζων κατορθῶσαι λέγει. Οὐχ ὡς ἔτυχε δὲ [y]ἐνέτρεψε, τοῦτο εἰπών. Εἰ γὰρ ὁ θεὸς, φησὶν, ὁ τὴν ζημίαν ὑπομένων, οὐδὲν ποιεῖ τέως, πῶς οὐκ ἂν εἴης ἄκαιρος σὺ καὶ πέρα τοῦ μέτρου
B [z]περίεργος, ἄγχων αὐτὸν καὶ ἐνοχλῶν.

4 "Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ [a]κρίνει πᾶσαν ἡμέραν." [b]Ἐνταῦθά μοι δοκεῖ ἠρέμα καὶ περὶ νηστείας αἰνίττεσθαι. Καὶ γὰρ εἰκὸς τῶν νηστευόντων τινὰς τοὺς μὴ νηστεύ-

3 v. 4. 4 v. 5.

[c] χάριν]+πρὸς τὸν ἰσχυρὸν I. [d] τῶν ἐγκλ. C.D.E. [e] ἐκεῖνον B. Veron. [f] ἰσχυρότερον B. [g] γὰρ accessit ex omnibus. [h] πολλῆς om. C. [i] καὶ om. C. [k] δὲ om. C. [l] οὐ] οὐδὲ C.D. [m] μὴ om. C. [n] κρίνειν pro κρῖναι omnes. [o] ἀλλ'] οὐκ F. Mox ἐστιν ὁ οἰκέτης C.H. [p] τουτέστιν om. A.F.H.I. [q] ἀλλὰ τί;] ἀλλ' ὅτι A.C.F.I. [r] ᾖ om. C. Statim τῷ αὐτῷ δεσπ. δ. τὰ ἀμφ. E. [s] ἐκεῖ τείνει] οὐκ ἔστιν ἡ C. Statim πεσόντος om. I. [t] κατίδωμεν pro κατίδωμεν A.F. κατίδομεν B. καθίδοιμεν H. καταλάβοιμεν I. κατίδωμεν habet Cat. [v] Παύλου] ἀποστόλου C. [w] τοῦ om. I. [x] λέλεκται (bis?) C. [y] ἐνέτρεψε τοῦτο] τοῦτον ἐνέτρεψεν I. [z] περιέργως A.F.I. [a] κρίνει om. C.D.E. [b] ἐνταῦθα δὲ Edd. δὲ om. B.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οντας [c]διηνεκῶς κρίνειν· ἢ καὶ ἐν ταῖς παρατηρήσεσιν [d]εἰκὸς εἶναί τινας τοὺς ῥητὰς ἡμέρας ἀπεχομένους, [e]καὶ ῥητὰς ἐχομένους. Διὸ καὶ ἔλεγεν, "Ἕκαστος τῷ ἰδίῳ νοῒ πληροφορείσθω." Οὕτω γὰρ καὶ τῶν παρατηρούντων τὸν φόβον [f]ἐξέλυσεν, ἀδιάφορον τὸ πρᾶγμα εἶναι λέγων, καὶ [g]τῶν ἐπιτιθεμένων αὐτοῖς σφοδρῶς τὴν φιλονεικίαν ἀνῄρει, δεικνὺς [h]ὅτι οὐ σφόδρα περισπούδαστον [i]τὸ περὶ τούτων ἐνοχλεῖν συνεχῶς· οὐ σφόδρα [k]δὲ C περισπούδαστον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὸν καιρὸν, καὶ διὰ τὸ νεήλυδας εἶναι ἐν τῇ πίστει. [l]Ἐπεὶ Κολασσαεῦσι γράφων, μετὰ πολλῆς [m]ἀπαγορεύει τοῦτο τῆς σπουδῆς, λέγων· [5] "Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν·" καὶ πάλιν, "Μὴ οὖν τις ὑμᾶς [n]κρινέτω ἐν βρώσει, ἢ ἐν (202) πόσει·" καὶ, "[o]Μηδεὶς ὑμᾶς καταβραβευέτω." Καὶ Γαλάταις δὲ ἐπιστέλλων, μετὰ πολλῆς ἀκριβείας ἀπαιτεῖ παρ' αὐτῶν τὴν ἐν [p]τοῖς τοιούτοις φιλοσοφίαν καὶ τελειότητα. Ἐνταῦθα δὲ οὐ κέχρηται τούτῳ τῷ [q]τόνῳ, διὰ τὸ νεόφυτον εἶναι παρ' αὐ- D τοῖς τὴν πίστιν. Μὴ τοίνυν εἰς πάντα ἕλκωμεν [r]τὸ, "Ἕκαστος [s]τῷ ἰδίῳ νοῒ πληροφορείσθω." Ὅταν [t]γὰρ περὶ δογμάτων ὁ λόγος ᾖ, ἄκουσον τί φησιν· [6] "Εἴ τις [v]ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, κἂν ἄγγελος ᾖ, ἀνάθεμα ἔστω·" καὶ πάλιν, [7] "[w]Φοβοῦμαι μή πως, ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν." Καὶ [x]Φιλιππησίοις ἐπιστέλλων ἔλεγε· [8] "Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν." Παρὰ δὲ Ῥωμαίοις [y]ἐπειδὴ τέως οὐκ ἦν E καιρὸς τὰ τοιαῦτα διορθοῦν, "Ἕκαστος, [z]φησὶ, τῷ ἰδίῳ νοῒ πληροφορείσθω." Καὶ γὰρ καὶ περὶ νηστείας ὁ λόγος ἦν,

5 Col. ii. 8, 16, 18. 6 Gal. i. 9. 7 2 Cor. xi. 3. 8 Philipp. iii. 2.

[c] δ. κρίνειν pro κρίνειν δ. omnes. [d] εἰκὸς om. I. [e] καὶ ῥ. ἐχομένους om. C.H.I. [f] ἐξέλυσεν pro ἐξέλυεν A.B.C.F.H.I. ἐξέβαλεν Cat. [g] τῶν om. C. Mox σφοδρῶς καὶ τὴν φιλοσοφίαν ἀναιρεῖ idem. [h] ὅτι]+καὶ Edd. καὶ deest in omnibus. [i] τὸ accessit ex C.D.E. Cat. Verba τὸ περὶ τούτων ——περισπούδαστον om. A.F.H.I. Haec οὐ σφ. δὲ περισπούδαστον desunt in D. Cat. [k] δὲ om. E. [l] ἐπεὶ]+καὶ H. καὶ pro ἐπεὶ C. Statim Κολοσσ. D. [m] ὑπαγορεύει C. Mox τῆς om. A.F.H.I. Cat. [n] κρινέτω]+ ἢ A.D.E.H. Haec κρινέτω—ὑμᾶς om. I. [o] μήτις A.E.F.H. [p] τοῖς τοιούτοις] τούτοις C. [q] τόνῳ] νῷ I. [r] τὸ om. C. [s] τῷ] ἐν τῷ C.F.H.I. δὲ ἐν τῷ A. [t] γὰρ] δὲ A.F.H.I. [v] ὑμᾶς A.B.C.D.E.H.I. Cat. ὑμῖν Edd. [w] φοβοῦμαι δὲ Edd. δὲ om. A.C.D.E.H.I. Mox ὁ ὄφις A.C.D.F. H.I. et ex corr. B. Articulus aberat. Tum ἐξηπάτησεν D. [x] Φιλ. δὲ Edd. δὲ om. B.C.D.E. Cat. [y] ἐπεὶ C.D. Statim τέως οὐκ ἦν κ. B.C.H.I. Cat. οὐκ ἦν κ. τέως E. οὐκ ἦν τέως κ. Edd. [z] φησὶν ἐν τῷ Edd. ἐν om. A.C.D.E.F.H.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[a]καὶ τὴν ἐκείνων τοίνυν ἀλαζονείαν καθαιρῶν, καὶ τούτων ἐκλύων τὸν φόβον, ταῦτα ἔλεγεν. [9] "Ὁ φρονῶν τὴν ἡμέραν, κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ. [b]Καὶ ὁ ἐσθίων, κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ θεῷ· καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ θεῷ." Ἔτι τῶν αὐτῶν ἔχεται. [a]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ περὶ τὰ καίρια τὸ πρᾶγμά ἐστι. Τὸ γὰρ ζητούμενον, [c]εἰ διὰ τὸν θεὸν καὶ οὗτος κἀκεῖνος ἐργάζεται· [d]τὸ ζητούμενον, εἰ ἀμφότεροι εἰς
704 εὐχαριστίαν τελευτῶσι. Καὶ γὰρ καὶ ἐκεῖνος καὶ οὗτος [e]εὐχαριστοῦσι τῷ θεῷ. Εἰ τοίνυν ἀμφότεροι εὐχαριστοῦσιν, οὐ πολὺ τὸ μέσον. Σὺ δέ μοι σκόπει πῶς καὶ ἐνταῦθα πλήττει [f]λανθανόντως τὸν Ἰουδαΐζοντα. Εἰ γὰρ τὸ ζητούμενον τοῦτό ἐστι, τὸ εὐχαριστεῖν, εὔδηλον ὅτι ὁ ἐσθίων οὗτός ἐστιν ὁ εὐχαριστῶν, οὐχ ὁ μὴ ἐσθίων· πῶς γὰρ, ἔτι τοῦ νόμου ἐχόμενος; Ὅπερ οὖν καὶ [g]πρὸς Γαλάτας ἔλεγεν· [10] "Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε." Ἀλλ' ἐνταῦθα αἰνίττεται μὲν αὐτὸ, οὐκ ἀνακαλύπτει δὲ αὐτὸ οὕτως· οὔπω γὰρ ἦν καιρός·
B ἀλλὰ τέως [h]διαβαστάζει, καὶ διὰ τῶν ἑξῆς αὐτὸ παρανοίγει μᾶλλον. Εἰπὼν γάρ· [11] "Οὐδεὶς [i]γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ [k]ἀποθνήσκομεν" σαφέστερον [l]αὐτὸ καὶ διὰ τούτων παρεδήλωσεν. Ὁ γὰρ τῷ νόμῳ ζῶν, πῶς δύναται τῷ Χριστῷ ζῆν; Οὐ τοῦτο δὲ μόνον διὰ τούτων [m]κατασκευάζει, ἀλλὰ καὶ τὸν ἐπειγόμενον εἰς τὴν ἐκείνων διόρθωσιν κατέχει, καὶ πείθει μακροθυμεῖν, δεικνὺς ὅτι ἀμήχανον τὸν θεὸν καταφρονῆσαι αὐτῶν, ἀλλὰ τῷ προσήκοντι καιρῷ [n]διορθώσεται.
C Τί οὖν ἐστιν, "Οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ;" Οὐκ ἐσμὲν ἐλεύθεροι, δεσπότην ἔχομεν τὸν καὶ ζῆν ἡμᾶς βουλόμενον, καὶ ἀποθανεῖν οὐ θέλοντα, καὶ ᾧ ταῦτα ἀμφότερα μᾶλλον ἡμῶν διαφέρει. Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι πλέον ἡμῶν αὐτὸς [o]ἡμῶν κή-

[9] v. 6. [10] Gal. v. 4. [11] v. 7, 8.

[a] *καὶ τοίνυν τὴν ἐκείνων* hoc ord. E. Cat. Mox *ἔλεγεν ταῦτα* pro *ταῦτα ἔλεγεν* C.D. [b] *καὶ* om. I. [c] Haec *εἰ διὰ—ζητούμενον* desunt in A.F.H.I. [d] Verba *τὸ ζητούμενον*, quae in Editis non leguntur, habent B.D.E. Pro iis particulam *καὶ* dat Cat. [e] Haec *εὐχαριστοῦσι——ἀμφότεροι* om. I. Idem mox add. *καὶ* post *εὐχαριστοῦσιν*. [f] *λανθανόντως* E.I. Cat. *συνεχῶς* C. *λανθάνων* Edd. *λανθ. πλήττει* hoc ord. E. *πλ. τὸν Ἰουδ. λανθανόντως* Cat. [g] *πρὸς Γ.*] *Γαλάταις* C. Mox *ἐξεπέσατε* C.F.H.I. [h] *διαβαστάζει καὶ* om. C. [i] *γὰρ* om. C.D.E. [k] *ἀποθνήσκομεν* B.E. Mosqq. Verba *τῷ κυρίῳ ἀποθνήσκομεν* om. I. [l] *αὐτὸ* (*αὐτῷ* E.) *καὶ δ. τούτων* pro *καὶ διὰ τούτων αὐτὸ* A. D. E. F. H. I. *καὶ διὰ τούτου* (om. *αὐτὸ*) C. [m] *παρασκευάζει* A.F.H. [n] *διορθώσονται* C. [o] *ἡμῶν* om. I. Cat. Mox *καὶ μᾶλλον ἡμῶν* om. I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεται, καὶ μᾶλλον ἡμῶν καὶ πλοῦτον τὴν ἡμετέραν [p]ζωὴν ἡγεῖται, καὶ ζημίαν τὸν θάνατον. Οὐ γὰρ ἑαυτοῖς ἀποθνήσκομεν μόνον, ἀλλὰ καὶ τῷ δεσπότῃ, ἂν ἄρα [q]ἀποθάνωμεν. Θάνατον δὲ ἐνταῦθα τὸν ἐκ [r]τῆς πίστεως λέγει. Ἱκανὸν μὲν οὖν καὶ τοῦτο πεῖσαι, ὅτι φροντίζει ἡμῶν, ὅτι [s]αὐτῷ ζῶμεν, [t]καὶ αὐτῷ ἀποθνήσκομεν. Πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ [v]καὶ ἕτερον ἐπάγει. Εἰπὼν γάρ, "Ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν·" καὶ ἀπ' ἐκείνου τοῦ θανάτου ἐπὶ τὸν φυσικὸν μεταβὰς, ἵνα μὴ δόξῃ τραχύνειν τὸν λόγον, ἕτερον [w]σημεῖον ποιεῖται [x]τῆς αὐτοῦ προνοίας μέγιστον. Ποῖον δὴ τοῦτο; [12] "Εἰς τοῦτο γὰρ [y]Χριστὸς, φησὶ, [z]καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ." Ὥστε καὶ τοῦτό [a]σε πειθέτω, [b]ὅτι φροντίζει τῆς σωτηρίας [c]ἡμῶν καὶ διορθώσεως. Εἰ γὰρ μὴ [d]τοσαύτην ἐποιεῖτο πρόνοιαν, τίς χρεία τῆς οἰκονομίας ἦν; Ὁ τοίνυν τοσαύτην σπουδὴν θέμενος ὑπὲρ τοῦ αὐτοῦ γενέσθαι ἡμᾶς, ὡς καὶ δούλου μορφὴν λαβεῖν καὶ ἀποθανεῖν, οὗτος μετὰ τὸ γενέσθαι καταφρονήσει; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐδ' ἂν ἔλοιτο τοσαύτην προέσθαι πραγματείαν. "Εἰς τοῦτο γὰρ, φησὶ, καὶ ἀπέθανεν·" ὡς ἂν εἴποι τις, ὁ δεῖνα [e]οὐκ ἂν ἀνάσχοιτο καταφρονῆσαι τοῦ δούλου· τοῦ γὰρ οἰκείου κήδεται βαλαντίου. Καὶ [f]γὰρ οὐχ οὕτως ἡμεῖς χρημάτων ἐρῶμεν, ὡς αὐτὸς τῆς σωτηρίας τῆς ἡμετέρας. (203) Οὐκοῦν [g]οὐδὲ χρήματα, ἀλλὰ τὸ [h]αἷμα ὑπὲρ ἡμῶν κατέβαλε· καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιτο προέσθαι τούτους, ὑπὲρ ὧν τοσαύτην τιμὴν [i]κατέθηκεν. Ὅρα δὲ καὶ τὴν δύναμιν αὐτοῦ, πῶς δείκνυσιν ἄφατον οὖσαν. "Εἰς τοῦτο γὰρ, φησὶν, [k]ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ·" καὶ ἀνωτέρω, "Ἐάν τε γὰρ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, αὐτοῦ ἐσμεν." Εἶδες δεσποτείαν ἐπιτεταμένην; εἶδες ἰσχὺν ἄμαχον; εἶδες πρόνοιαν ἠκριβωμένην; Μὴ γάρ μοι τοὺς ζῶντας εἴπῃς, φησί· καὶ τῶν ἀπελθόντων [l]προνοεῖ. Εἰ δὲ τῶν [m]ἀπελθόντων, εὖ-

[12] v. 9.

[p] ζωὴν] σωτηρίαν A. [q] ἀποθνήσκωμεν I. [r] τῆς om. B.H. Cat. [s] αὐτῷ] ἐν αὐτῷ bis C. [t] καὶ] ὅτι A.F.H.I. Verba ζῶμεν καὶ αὐτῷ om. E. [v] καὶ om. C. [w] σημεῖον] ἡμῖν vel ἡμῶν ante corr. C. Idem post μέγιστον add. τεκμήριον. [x] τῆς αὐτοῦ] αὐτοῦ τῆς αὐτῆς D. [y] Χριστὸς, φησὶ] Sic B.F.H.I. φησὶ, Χριστὸς Edd. φησὶ om. a pr. man. A. [z] καὶ om. C.E. [a] σε om. C. [b] ὅτι]+ἀεὶ Edd. repugnantibus libris et Cat. [c] ἡμῶν] τῆς ἡμῶν C. [d] τοσαύτην ἡμῶν ἐπ. Edd. ἡμῶν om. A. C. D. E. F. H. Cat. [e] οὐκ] καὶ οὐκ H. Statim ἂν accessit ex A.B.D.E.H. Cat. [f] γὰρ om. C. [g] οὐδὲ pro οὐ A.B.C.D.E.F.I. [h] αἷμα]+τὸ ἑαυτοῦ Edd. reclamantibus libris. [i] κατέθετο I. [k] καὶ ἀπέθανε H. [l] προνοεῖ B.C.D.E.I. Cat. et ex corr. A. προνοεῖται Edd. Haec προνοεῖ. εἰ δὲ τῶν ἀπελθόντων om. H. [m] ἀπελθόντων] ἀποθανόντων προνοεῖ C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δηλον ὅτι καὶ τῶν ζώντων. Οὐδὲν [n]γοῦν ὑπὲρ τῆς δεσποτείας ταύτης παρέλιπε, [o]πλείονα ἀνθρώπων [p]καὶ δικαιώματα ἑαυτῷ κατασκευάζων, καὶ χωρὶς τῶν ἄλλων ἁπάντων εἰς τὸ προνοεῖν
B ἡμῶν. Ἄνθρωπος μὲν γὰρ ἀργύριον καταβάλλει, καὶ διὰ [q]τοῦτο σφόδρα ἀντέχεται [r]τοῦ δούλου· αὐτὸς δὲ θάνατον κατέβαλε, καὶ οὐκ ἂν τὸν [s]τῆς τοσαύτης τιμῆς ἀγορασθέντα, καὶ οὗ τὴν δεσποτείαν μετὰ τοσαύτης ἐκτήσατο σπουδῆς καὶ πραγματείας, τούτου τὴν σωτηρίαν [t]ἐν οὐδενὶ λογιεῖται. Ταῦτα δὲ [v]λέγει, ἐντρέπων τὸν Ἰουδαΐζοντα, καὶ πείθων [w]ἀναμνησθῆναι τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ ὅτι νεκρὸς ὢν ἔζησε, καὶ ὅτι οὐδὲν [x]ἐκέρδανε παρὰ τοῦ νόμου, καὶ ὅτι ἐσχάτης ἀγνωμοσύνης
C ἂν εἴη, [y]τὸν τοσαῦτα ἐπιδειξάμενον ὑπὲρ αὐτοῦ καταλιπόντα, ἐπὶ τὸν νόμον παλινδρομεῖν.

Ἱκανῶς τοίνυν αὐτοῦ καθαψάμενος, πάλιν ἀνίησι λέγων· 13 "Σὺ δὲ τί κρίνεις [z]τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;" Καὶ δοκεῖ μὲν [a]ὡς ἰσάζοντα αὐτὰ τιθέναι, πολλὴν δὲ ἐκ τῶν εἰρημένων δείκνυσι τὴν διαφορὰν οὖσαν. Καὶ πρῶτον μὲν τῇ προσηγορίᾳ [b]τοῦ ἀδελφοῦ καταλύει τὴν φιλονεικίαν, ἔπειτα δὲ καὶ τῷ τῆς ἡμέρας [c]ἐκείνης ἀναμνῆσαι τῆς φοβερᾶς. Εἰπὼν γὰρ, "Τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;" ἐπήγαγε, "Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ." Καὶ δοκεῖ μὲν πάλιν [d]ἐπιτιμῶν τῷ
D τελειοτέρῳ ταῦτα λέγειν, κατασείει δὲ [e]τοῦ Ἰουδαΐζοντος τὴν διάνοιαν, οὐκ ἀπὸ τῆς εὐεργεσίας τῆς [f]γεγενημένης ἐντρέπων [g]αὐτὸν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς μελλούσης κολάσεως φοβῶν. "Πάντες γὰρ, [h]φησὶ, παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. 14 Γέγραπται γάρ· Ζῶ ἐγὼ, λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ θεῷ. Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον [i]δώσει τῷ θεῷ."

13 v. 10. 14 v. 11, 12.

[n] γοῦν pro γὰρ A.B.C.E.F.H.I. Mox κατέλιπε A.F.H.I. [o] πλείονα] + δοὺς in marg. A. [p] καὶ om. B. Statim δικαίωμα A.F.I. Tum ἑαυτῷ om. H. [q] τούτου I. Statim οὐ σφόδρα A.C.D.E. [r] τοῦ ἰδίου δ. Edd. ἰδίου deest in omnibus. [s] τῆς assumtum ex A.B.E.I. [t] ἐν om. A.E.H. [v] ἔλεγεν C. [w] ἀναμνησθῆναι] + τῆς δικαιοσύνης καὶ I. [x] ἐκέρδαναν A.F. H.I. ἐκέρδανεν ἀπὸ τοῦ ν. Cat. [y] τὸν] τὸ D. τοῦτο τὸν I. [z] τὸν ἀδελφὸν——τὸν ἀδελφόν σου] ἀλλότριον οἰκέτην; ἀλλὰ μὴν καὶ τὸν ἀδελφόν σου, καὶ ἐξουθενεῖς αὐτὸν I. [a] ὡς] ὅτι ὡς I. Statim ἰσάζων τὰ αὐτὰ A. ἰσάζοντα τὰ αὐτὰ D.E. ἰδιάζοντα αὐτῷ C. Tum τίθεται I. [b] τἀδελφοῦ F.H. [c] ἐκείνης om. C. [d] ἐπιτιμᾶν τῷ τ. ταῦτα λέγων B.D.E. receptum a Montef. Vulgatum habet Cat. [e] τοὺς Ἰουδαΐζοντας C. [f] γεγενημένης A.D.E.F.H.I. Cat. γενομένης Edd. [g] αὐτοὺς I. [h] φησὶ om. C. [i] δώσει A.B.D.E. ἀποδώσει Edd. Haec ἄρα οὖν——τῷ θεῷ desunt in C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶδες πῶς πάλιν [k]αὐτοῦ κατασείει τὴν διάνοιαν δοκῶν ἐπιπλήττειν θατέρῳ; Τοιοῦτον γάρ [l]τι αἰνίττεται, οἷον [m]ἂν εἰ ἔλεγε, τί σοὶ μέλει; μὴ γὰρ σὺ μέλλεις ὑπὲρ αὐτοῦ κολάζεσθαι; Ἀλλ' οὕτω μὲν οὐκ εἶπε, τοῦτο δὲ ἠνίξατο, [n]πραότερον αὐτὸ θεὶς, καὶ εἰπών, "Πάντες [o]γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ" [p]καὶ, "Ἄρα οὖν ἕκαστος [q]ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον [r]δώσει τῷ θεῷ." Καὶ τὸν προφήτην εἰσήγαγε [s]τὴν ἁπάντων αὐτῷ μαρτυροῦντα ὑποταγὴν, [t]καὶ ὑποταγὴν ἐπιτεταμένην, καὶ τῶν ἐν τῇ παλαιᾷ ἀνθρώπων, καὶ πάντων ἁπλῶς. Οὐ γὰρ ἁπλῶς εἶπε, προσκυνήσει ἕκαστος, [v]ἀλλὰ καὶ, "ἐξομολογήσεται," τουτέστιν, εὐθύνας δώσει τῶν πεπραγμένων. [w]Ἐσο τοίνυν ἐναγώνιος, τὸν κοινὸν δεσπότην ὁρῶν ἐπὶ τοῦ βήματος καθήμενον, καὶ μὴ σχίζε καὶ μέριζε τὴν ἐκκλησίαν, τῆς χάριτος 706
ἀπορρηγνύμενος, καὶ τῷ νόμῳ προστρέχων· καὶ γὰρ καὶ ὁ νόμος αὐτοῦ. Καὶ τί λέγω, [x]ὁ νόμος; Καὶ οἱ ἐν τῷ νόμῳ, καὶ [x]οἱ πρὸ τοῦ νόμου. Καὶ οὐχ ὁ νόμος [y]σε ἀπαιτήσει εὐθύνας, ἀλλ' ὁ Χριστὸς καὶ σὲ καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν. Εἶδες πῶς ἐξέλυσε τοῦ νόμου τὸν φόβον; Εἶτα, ἵνα μὴ δόξῃ [z]ὡς ἐπίτηδες φοβῶν αὐτὸν λέγειν ταῦτα, ἀλλ' ὡς [a]ἐκ τῆς προκειμένης ἀκολουθίας ἐπὶ τοῦτο ἐληλυθέναι, πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως, λέγων· [15] "Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο [b]κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον." [c]Ταῦτα δὲ οὐκ ἐκείνου μᾶλλόν ἐστιν ἢ τούτου· B
διὸ ἀμφοτέροις ἁρμόζειν δύναται, [d]καὶ τοῦ τελείου σκανδα-
(204) λιζομένου ἐπὶ τῇ τῶν βρωμάτων παρατηρήσει, καὶ τοῦ ἀτελοῦς προσκόπτοντος ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει.

[e]Σὺ δέ μοι σκόπει πόσην [f]δώσομεν τιμωρίαν οἱ σκανδαλίζοντες ἁπλῶς. [g]Εἰ γὰρ, ἔνθα παράνομον ἦν τὸ γινόμενον, διὰ τὸ ἀκαίρως ἐπιτιμᾶν, [h]ἐκώλυσε τοῦτο γίνεσθαι, ὥστε μὴ σκαν-

[15] v. 13.

[k] αὐτοῦ κ. pro κ. αὐτοῦ omnes. Mox ἐκπλήττειν Edd. ἴσ. ἐπιπλήττειν Sav. marg. ἐπιπλήττειν A.B.C.D.F.H.I. [l] τι om. C. [m] ἂν εἰ] ὡσανεὶ B.D.E. ἂν om. Cat. Haec οἷον——μέλει om. C. [n] πρότερον A.F.H. πρώτερον I. [o] γὰρ om. C. [p] καὶ accessit ex A.C.D.E.F.I. εἰ pro καὶ H. [q] ἡμῶν om. C. Statim περὶ ἑαυτοῦ idem. [r] δώσει pro ἀποδώσει omnes. [s] τὴν ἁπάντων] μετὰ πάντων B.D.E. Veron. Statim αὐτῷ om. I. [t] καὶ ὑποταγὴν] οὐ τὴν ὑποταγὴν δὲ ἁπλῶς, ἀλλὰ τὴν C. καὶ ὑποταγὴν om. B. [v] ἀλλὰ καὶ ἐξ.] Sic A.B.D.E.F.I. Ante Montef. edebatur ἀλλ' ἐξ. [w] ὅ] εἰ ὁ H.I. [x] οἱ om. C. [y] σε om. C. [z] ὡς] οὐχ ὡς B. Mox λέγει ταῦτα, ἀλλ' ἐκ τῆς E. [a] ἐκ τῆς om. C. [b] κρίνετε A. [c] τοῦτο C. [d] Sic libri omnes et Cat. καὶ τῷ τελείῳ σκανδαλιζομένῳ . . . καὶ τῷ ἀτελεῖ προσκόπτοντι Edd. [e] ΗΘΙΚΟΝ. Περὶ τῶν διαπιστούντων τῇ γεέννῃ, καὶ λεγόντων μὴ εἶναι γέενναν, σαφὴς ἀπόδειξις. Veron. [f] δώσωμεν E.H. [g] εἰ γὰρ] εἶτα εἰ C. Statim ἐνταῦθα π. ὂν τὸ γ. I. Veron. [h] ἐκώλυσε pro ἐκώλυε omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δαλισθῆναι καὶ προσκόψαι τὸν ἀδελφόν· [i]ὅταν μηδὲ διορθοῦντές τι σκανδαλίζωμεν, τίνος ἐσόμεθα ἄξιοι; Εἰ γὰρ τὸ μὴ
C σῶσαι, ἔγκλημα, καὶ δείκνυσιν ὁ τὸ τάλαντον κατορύξας· τὸ [k]καὶ σκανδαλίσαι, τί οὐκ ἂν ἐργάσηται; Τί οὖν, εἰ οἴκοθεν σκανδαλίζεται, φησὶν, ἀσθενὴς ὤν; [l]Δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν [m]εἷης δίκαιος ὑπομένειν. Εἰ γὰρ ἰσχυρὸς ἦν, οὐδὲ [n]ἔδει τοσαύτης ἐπιμελείας αὐτῷ· [o]νυνὶ δὲ ἐπειδὴ [p]ἀτελέστερός ἐστι, διὰ τοῦτο καὶ πολλῆς χρῄζει τῆς σπουδῆς. Παρέχωμεν [q]τοίνυν αὐτῷ ταύτην, καὶ πανταχόθεν αὐτὸν διαβαστάζωμεν. Οὐδὲ γὰρ τῶν οἰκείων κακῶν ὑφέξομεν λόγον μόνον, ἀλλὰ καὶ ὑπὲρ
D ὧν ἑτέρους σκανδαλίζομεν. Εἰ δὲ ἐκεῖναι [r]καὶ καθ' ἑαυτὰς χαλεπαὶ αἱ εὐθῦναι, ὅταν καὶ αὗται προστεθῶσι, πότε σωθησόμεθα; Μὴ γὰρ δὴ νομίσωμεν, εἰ κοινωνοὺς εὕροιμεν τῶν ἁμαρτημάτων, ἀπολογίαν ἕξειν· τοῦτο γὰρ ἡμῖν καὶ προσθήκη γίνεται τιμωρίας. Ἐπεὶ καὶ ὁ ὄφις μᾶλλον ἐκολάσθη τῆς γυναικὸς, ὥσπερ οὖν καὶ ἡ γυνὴ τοῦ ἀνδρὸς, καὶ τοῦ Ἀχαὰβ δὲ τὸν ἀμπελῶνα [s]ἁρπάσαντος ἡ Ἰεζάβελ χαλεπωτέραν ἔδωκε δίκην· αὕτη [t]γὰρ ἡ τὸ πρᾶγμα ὑφάνασα ἅπαν ἦν, καὶ σκανδαλίσασα τὸν βασιλέα. Καὶ σὺ τοίνυν [v]ὅταν ἑτέροις ἀπωλείας αἴτιος γένῃ, [w]χαλεπώτερα πείσῃ τῶν ὑποσκελισθέντων διὰ
E σοῦ. Οὐδὲ γὰρ οὕτω τὸ ἁμαρτεῖν, ὡς τὸ [x]καὶ ἑτέρους εἰς τοῦτο ἐναγαγεῖν ἀπόλλυσι· διό φησιν, [16]"Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν." Ὥστε ὅταν [y]ἴδωμεν ἁμαρτάνοντας, μὴ μόνον μὴ ὠθῶμεν, ἀλλὰ καὶ ἀνέλκωμεν ἐκ τοῦ [z]βαράθρου τῆς πονηρίας, ἵνα μὴ τῆς ἑτέρων ἀπωλείας αὐτοὶ τὴν δίκην ὑπόσχωμεν. Καὶ μνημονεύωμεν διηνεκῶς τοῦ βήματος τοῦ φοβεροῦ, [a]τοῦ ποταμοῦ τοῦ πυρὸς, τῶν δεσμῶν τῶν ἀλύτων, τοῦ σκότους τοῦ ἀφεγγοῦς, [b]τῶν βρυχόντων ὀδόντων, τοῦ σκώληκος τοῦ ἰοβόλου. [c]Ἀλλὰ

[16] Rom. i. 32.

[i] ὅταν δὲ μηδὲ διορθοῦν ἐστὶ σκανδ. C. [k] καὶ om. C. Mox τί οὐκ ἐργάσεται B.C. [l] δι' αὐτὸ] διὰ τοῦτο F. [m] εἴη F.H. εἴη[s] (sic) A. Statim δίκαιος πάντα ὑπομένειν Edd. πάντα om. B.C.D.E. δίκαιος, δι' αὐτὸν πάντα ὑπομένει I. δίκαιος δεῖσθαι τοῦ (τὸ F.) πάντα ὑπομένειν A.F. [n] ἔδει A.C.E. F.H.I. ἐδεῖτο Edd. Mox αὐτῷ pro αὐτὸς iidem. [o] νῦν E.H.I. [p] ἀτελέστερος A.B.C.D.H.I. ἀσθενέστερος Edd. [q] τοίνυν] οὖν C. [r] καὶ om. A.F. [s] ἁρπάζοντος C. [t] γὰρ om. A.F.H. Mox ἅπαν, ἡ καὶ σκ. A.F.H.I. [v] ὅτε E.F.I. [w] χαλεπώτερον οἴσεις I. Statim τῶν ὑπὸ σοῦ σκανδαλισθέντων δίκην ἀπαιτούμενος. οὐδὲ γὰρ C. [x] καὶ om. A.F.H.I. Mox ἐνάγειν B.D.E. ὡς καὶ εἰς τοῦτο ἑτέρους ἐνάγειν C. [y] ἴδωμεν]+τινας Edd. reclamantibus libris. [z] βορβόρου H. βύθου Sav. marg. Statim ἀπωλείας pro πονηρίας C. [a] τῶν ποταμῶν A.F.H. [b] τῶν βρυχόντων ὀδ.] Sic A.B.D.E.F.H.I. τοῦ βρυγμοῦ τῶν ὀδ. Edd. [c] ἀλλὰ]+καὶ A.F.I. Post θεὸς add. φησὶν C.D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιλάνθρωπός ἐστιν ὁ θεός. Οὐκοῦν ῥήματα ταῦτά ἐστι, καὶ οὔτε ὁ πλούσιος ἐκεῖνος κολάζεται ὁ τὸν Λάζαρον ὑπεριδών· οὐχ αἱ μωραὶ παρθένοι τοῦ νυμφῶνος ἐκβάλλονται· οὐχ οἱ μὴ θρέψαντες αὐτὸν εἰς τὸ πῦρ ἀπέρχονται τὸ ἡτοιμασμένον τῷ 707
[d]διαβόλῳ· οὐχ ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, χεῖρας καὶ πόδας δεθεὶς ἀπολεῖται· οὐχ ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσας [e]παραδοθήσεται τοῖς βασανισταῖς· οὐ τὸ περὶ τῶν μοιχῶν εἰρημένον ἀληθὲς, ὅτι [17] "Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ [f]αὐτῶν οὐ σβεσθήσεται;" ἀλλ' ἀπειλαὶ ταῦτα μόνον. Ναὶ, φησί. Καὶ πόθεν, εἰπέ μοι, πρᾶγμα τοσοῦτον τολμᾷς ἀποφήνασθαι, καὶ ταῦτα οἴκοθεν φέρων τὴν ψῆφον; Ἐγὼ γὰρ καὶ ἀφ' ὧν [g]εἴρηκε, καὶ ἀφ' ὧν πεποίηκε, τοὐναντίον ἀποδεῖξαι δυνήσομαι. Εἰ γὰρ ἀπὸ τῶν [h]μελλόντων οὐ πιστεύεις, κἂν B
ἀπὸ τῶν ἤδη γεγενημένων πίστευε· οὐ γὰρ δὴ τὰ γεγενημένα καὶ εἰς ἔργον ἐξελθόντα ἀπειλαὶ καὶ ῥήματα. Τίς οὖν τὴν οἰκουμένην ἐπέκλυσεν [i]ἅπασαν, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν τοῦ γένους ἡμῶν πανωλεθρίαν παντός; τίς μετὰ ταῦτα τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας [k]ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν [l]Αἴγυπτον ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατανάλωσε; τίς τὴν συναγωγὴν [m]Ἀβειρὼν κατέφλεξε; τίς [n]τοῖς C
περὶ Κορὲ καὶ Δαθὰν ἀνοῖξαι τῇ γῇ τὸ στόμα, καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ Δαυΐδ; Εἶπω καὶ τοὺς κατ' ἰδίαν κολασθέντας; τὸν διηνεκεῖ παραδοθέντα τιμωρίᾳ Κάϊν; τὸν καταλευσθέντα μετὰ τοῦ γένους παντὸς [o]Χαρμί; [p]τὸν ὑπὲρ συλλογῆς ξύλων τὸ αὐτὸ τοῦτο παθόντα ἐν σαββάτῳ; τοὺς τεσσαράκοντα [q]παῖδας [r]τοὺς ὑπὸ τῶν θηρίων ἐκείνων δαπανηθέντας, καὶ μηδὲ ἀπὸ τῆς ἡλικίας τυχόντας συγγνώμης; Εἰ δὲ καὶ μετὰ τὴν χάριν [s]τὰ αὐτὰ ἰδεῖν [t]ἐθέλεις, ἐννόησον [v]πόσα D

[17] Marc. ix. 44.

[d] διαβόλῳ]+καὶ τοῖς ἀγγέλοις αὐτοῦ Edd. Haec om. A.B.D.E.F.I. [e] παραδοθήσεται pro παραδίδοται omnes. [f] αὐτῶν om. A.E.F.H.I. [g] εἴρηκεν]+ὁ Χριστὸς Edd. repugnantibus libris. [h] μελλόντων]+κολάσεων Edd. sine monito. κολάσεων deest in omnibus. [i] ἅπασαν]+ἐπὶ τοῦ Νῶε Sav. Mor. Ben. reclamantibus libris. Etiam ἅπασαν om. C. [k] ἐπαφῆκεν A. [l] Αἰγυπτίαν A.F.H. [m] Ἀβιρὼ F.H. [n] τοῖς] τοὺς C.H. Mox τὴν γῆν I. [o] Χαρμὶ A.F. Χαρμὶν D.E. et in marg. H. Ἀχὰρ H. Ἀχὰρ τὸν τοῦ Χαρμὶ I. Editi omnes Χαρμήν. [p] τὸν] καὶ τὸν I. Mox τὸ om. C. [q] παῖδας]+καὶ δύο ἐπὶ Ἐλισσαίου Sav. Mor. Ben. reclamantibus libris. [r] τοὺς om. C. Statim ἀπὸ pro ὑπὸ A.F.H. [s] τὰ om. I. τὰ αὐτὰ ταῦτα Edd. ταῦτα om. A.B.E.F.H.I. αὐτὰ om. C. [t] ἐθέλοις A.B.C. [v] ὅσα B.C.D. οἱ ante Ἰουδαῖοι om. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔπαθον οἱ Ἰουδαῖοι, πῶς [w]τὰ τέκνα κατέφαγον αἱ γυναῖκες, αἱ (205)
μὲν ὀπτῶσαι, αἱ δὲ ἄλλως δαπανῶσαι· πῶς λιμῷ παραδοθέντες
ἀνηκέστῳ καὶ πολέμοις ποικίλοις καὶ χαλεποῖς, πάσας τὰς
ἔμπροσθεν τραγῳδίας ἀπέκρυψαν τῇ τῶν οἰκείων ὑπερβολῇ
συμφορῶν. Ὅτι γὰρ ὁ Χριστὸς [x]αὐτοῖς ταῦτα εἰργάσατο,
ἄκουσον αὐτοῦ [y]τοῦτο προλέγοντος καὶ διὰ παραβολῶν, καὶ
σαφῶς καὶ διαρρήδην· διὰ παραβολῶν, ὡς ὅταν λέγῃ· [18] "Τοὺς
δὲ μὴ βουληθέντας με βασιλεῦσαι ἀγάγετε ὧδε, καὶ κατασφάξατε·" καὶ διὰ τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ γάμου· [z]σαφῶς δὲ,
Ε ὡς ὅταν ἀπειλῇ, ὅτι [19] "Πεσοῦνται ἐν στόματι [a]μαχαίρας, καὶ
αἰχμαλωτισθήσονται εἰς τὰ ἔθνη, καὶ ἔσται συνοχὴ ἐπὶ γῆς
ἐθνῶν, ἐν ἀπορίᾳ [b]ἤχου θαλάσσης καὶ σάλου, [c]ἀποψυχόντων
ἀνθρώπων ἀπὸ φόβου" καὶ, [20] "Ἔσται θλῖψις τοιαύτη, οἵα
[d]οὐδέποτε γέγονεν, οὐδὲ [e]μὴ ἔσται." Καὶ ὁ Ἀνανίας δὲ καὶ ἡ
Σάπφειρα ὑπὲρ κλοπῆς ὀλίγων ἀργυρίων ὅσην [f]ἔδωκαν δίκην,
ἅπαντες ἴστε. Τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾷς; ἢ
οὐδὲ ταῦτα γεγένηται; Οὐχ ὁρᾷς καὶ νῦν τοὺς λιμῷ τηκομένους;
τοὺς [g]ἐλέφαντι καὶ λώβῃ σώματος κατεχομένους; τοὺς πενίᾳ
708 διηνεκεῖ συζῶντας; τοὺς μυρία ἀνήκεστα πάσχοντας; Πῶς οὖν
ἂν ἔχοι λόγον τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι;
Εἰ γὰρ μὴ ἄδικος ὁ θεὸς, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ
δώσεις δίκην ἁμαρτάνων· εἰ δὲ, ἐπειδὴ φιλάνθρωπός ἐστιν, οὐ
κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι. Νυνὶ δὲ διὰ ταῦτα
[h]ὑμῶν τὰ ῥήματα πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ θεὸς, ἵνα ὅταν
τοῖς ῥήμασι μὴ [i]πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι
πιστεύσητε τῆς τιμωρίας· καὶ ἐπειδὴ τὰ παλαιὰ οὐχ οὕτως
[k]ὑμᾶς φοβεῖ, τοῖς ἐφ' ἑκάστης γενεᾶς συμβαίνουσι τοὺς κατὰ
Β καιρὸν διορθοῦται ῥᾳθυμοῦντας. Καὶ [l]τίνος ἕνεκεν οὐ πάντας
ἐνταῦθα κολάζει, φησί; [m]Διδοὺς τοῖς ἄλλοις προθεσμίαν
μετανοίας. Τίνος [n]οὖν ἕνεκεν οὐ πάντας ἐκεῖ τιμωρεῖται; Ἵνα
μὴ πολλοὶ [o]διαπιστῶσιν αὐτοῦ τῇ προνοίᾳ. Πόσοι λῃσταὶ
οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀπῆλθον μὴ δόντες δίκην; ποῦ τοίνυν ἡ

18 Luc. xix. 27. 19 Ibid. xxi. 24, 25, 26. 20 Matth. xxiv. 21.

[w] τὰ ἴδια τέκνα Edd. ἴδια om. A.B.C.D.E.H.I. [x] αὐτοῖς pro αὐτοὺς A.D.E.F.H.I. αὐτοῖς om. C. [y] ταῦτα E. τοῦτο om. C. [z] σαφῶς δὲ] +καὶ διαρρήδην Sav. Mor. Ben. invitis libris. [a] ῥομφαίας C. [b] ἦχον pro ἠχούσης A.C.D.E.H.I. [c] καὶ ἀποψ. F.H.I. Mox καὶ ἀπὸ φόβου A. [d] οὐ pro οὐδέποτε A. Statim γέγονεν ἀπ' ἀρχῆς Sav. cet. ἀπ' ἀρχῆς om. B. C.D.E.H.I. [e] μὴ] οὐ μὴ I. [f] δίκην ἔδωκαν inverso ord. C.D. [g] ἐλεφαντίᾳ C. [h] ὑμῶν pro ἡμῶν omnes. [i] πιστεύητε A.D.E. [k] ὑμᾶς pro ἡμᾶς A.E.F.H.I. [l] τίνος]+οὖν E. [m] διδοὺς] Sic A.B.C.D.E.F.H. et Veron. ἵνα δῷ Sav. Mor. Ben. [n] οὖν om. B. [o] διαπιστῶσιν A.C.D.E.I. διαπιστοῦσιν F.H. διαπιστήσωσιν Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιλανθρωπία τοῦ [p] θεοῦ; Ἐμὸν γάρ [q] ἐστι λοιπὸν ἐρέσθαι σέ. Εἰ μὲν γὰρ μηδεὶς ὅλως ἐτιμωρεῖτο, εἶχες ἐπὶ τούτῳ καταφυγεῖν· ὅταν δὲ οἱ μὲν [r] δῶσι δίκην, οἱ δὲ μὴ [s] δῶσι χεῖρον ἁμαρτόντες, πῶς ἂν ἔχοι λόγον τῶν αὐτῶν πλημμελημάτων μὴ C τὰς αὐτὰς εἶναι δίκας; πῶς δὲ οὐκ ἂν [t] δόξειαν ἀδικεῖσθαι [v] οἱ κολασθέντες; Τίνος οὖν ἕνεκεν οὐ πάντες ἐνταῦθα κολάζονται; Ἄκουσον αὐτοῦ [w] σοι περὶ τούτων ἀπολογουμένου. Ἐπειδὴ γάρ τινες πύργου κατενεχθέντος ἀπέθανον, [x] τοῖς ὑπὲρ τούτων διαποροῦσι λέγει· 21 "Δοκεῖτε, ὅτι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας [y] ἦσαν; Οὐχὶ, λέγω ὑμῖν· ἀλλ', ἐὰν μὴ μετανοήσητε, [z] καὶ ὑμεῖς πάντες ὡσαύτως ἀπολεῖσθε." παραινῶν ἡμῖν μὴ θαρρεῖν, ὅταν, ἑτέρων δόντων δίκην, ἡμεῖς πολλὰ πλημμελήσαντες μὴ δῶμεν. Ἂν γὰρ μὴ [a] μεταβαλώμεθα, δώσομεν D πάντως. Καὶ πῶς, φησὶν, ἀθάνατα κολαζόμεθα, ἐνταῦθα [b] ἐν βραχεῖ χρόνῳ ἁμαρτόντες; [c] Πῶς ἄνθρωπος ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἕνα φόνον [d] ποιῶν, [e] διηνεκῶς τῇ τῶν μετάλλων [f] καταδικάζεται ταλαιπωρίᾳ; Ἀλλ' ὁ θεὸς οὐ ποιεῖ ταῦτα, φησί. Πῶς οὖν τριάκοντα καὶ ὀκτὼ [g] ἔτη ἐν τοσαύτῃ κολάσει τὸν παράλυτον κατεῖχεν; Ὅτι γὰρ [h] δι' ἁμαρτήματα αὐτὸν ἐκόλαζεν, ἄκουσον τί φησιν· 22 "Ἴδε, ὑγιὴς γέγονας· μηκέτι [i] ἁμάρτανε." Ἀλλ' ὅμως ἔλαβε λύσιν, φησίν. Ἀλλ' οὐ τὰ ἐκεῖ τοιαῦτα· ὅτι γὰρ ἐκεῖνα [k] λύσιν οὐχ ἕξει ποτὲ, ἄκουσον αὐτοῦ λέγοντος· E 23 "Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ [l] πῦρ οὐ σβεσθήσεται·" καὶ, "Πορεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον." Εἰ τοίνυν [m] ἡ ζωὴ αἰώνιος, καὶ ἡ κόλασις [n] αἰώνιος.

21 Luc. xiii. 4, 5. 22 Joan. v. 14. 23 Marc. ix. 44. Matth. xxv. 46.

[p] θεοῦ]+καὶ ἡ δικαιοκρισία Sav. Mor. Ben. Haec om. A.B.C.D.E.H.I. Veron. [q] ἐστι λοιπὸν pro λοιπόν ἐστι D.E.H.I. [r] διδῶσι bis A.F.H.I. [s] δῶσι]+καὶ ταῦτα Sav. Mor. Ben. invitis libris. Statim χείρονα ἁμαρτάνοντες C. [t] δόξαιεν D.H.I. δόξειεν A.B.E. Veron. δόξειαν Sav. cet. [v] οἱ] μὴ C. [w] σοι] σοι τοῦ Χριστοῦ D.E. τοῦ Χριστοῦ σοι Sav. Mor. Ben. τοῦ Χριστοῦ om. A.B.C.F.H.I. Veron. [x] τοῖς——διαποροῦσι λέγει] Sic A.D.E. F.H.I. ἔλεγε——τοῖς διαποροῦσι (ἀποροῦσι C.) Edd. [y] εἰσιν B.C.F.H.I. Veron. [z] καὶ ὑμεῖς om. A.C.F.H.I. Statim πάντως C. [a] μεταβαλλώμεθα H. [b] ἐν β. χ.] βραχὺν χρόνον Sav. Mor. Ben. repugnantibus libris. Statim ἁμαρτάνοντες C. ἁμαρτῶντες E. [c] πῶς]+ἐνταῦθα Sav. Mor. Ben. invitis libris. [d] ποιῶν B.C.D.E.F.H.I. Veron. πεποιηκὼς ediderunt Sav. cet. [e] διηνεκῶς——ταλαιπωρίᾳ] διηνεκεῖ τιμωρίᾳ κολάζεται I. μελλόντων pro μετάλλων C. [f] κολάζεται A.F.H. Statim ταλαιπωρίᾳ A.B.D.E.F.H. τιμωρίᾳ Edd. [g] ἔτη om. I. Statim τοιαύτῃ id. [h] δι' ἁμαρτίαν C. Mox ἄκουε idem. [i] ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται Sav. Mor. Ben. Haec ἵνα μὴ——γένηται desunt in A.B.C.D.E.H.I. Veron. [k] λύσιν] λῆξιν Sav. Mor. repugnantibus libris. λύσιν revocavit Montef. οὐχ ἕξει λύσιν ποτὲ C. [l] πῦρ]+αὐτῶν C. Statim οὐ σβέννυται A.F.H.I. [m] ἡ om. F.H. [n] αἰώνιος]+τί φαίης ἂν ἕτερον, ὁ ἀντιλέγων μοι; I.

Δημόσια Κεντρική Βιβλιοθήκη Κέρκυρας

Οὐχ ὁρᾷς πόσα ἠπείλησεν Ἰουδαίοις; [o]ἆρα οὖν ἐξέβη τὰ ἀπειληθέντα, ἢ λόγος ἦν τὰ εἰρημένα; [24] "Οὐ μὴ μείνῃ λίθος ἐπὶ [p]λίθον" ἆρα οὖν ἔμεινε; Τί δὲ, [q]ὅτε εἶπεν, "Ἔσται θλῖψις οἵα οὐ γέγονεν;" ἆρα [r]οὐκ ἐγένετο; Ἀνάγνωθι τὴν ἱστορίαν [s]τὴν Ἰωσήπου, καὶ οὐδὲ ἀναπνεῦσαι δυνήσῃ, μόνον
709 ἀκούων [t]ἅπερ ἔπαθον ἐπὶ τῶν πραγμάτων ἐκεῖνοι.

Ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα ἀσφαλίσωμαι, καὶ μὴ ψυχαγωγήσας ὑμᾶς περιττὰ, παρασκευάσω χαλεπώτερα ὑπομεῖναι. Διὰ τί γὰρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; Οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ (206)
[v]ἐβοήθησεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ [w]τῆς σωτηρίας τῆς σῆς; οὐχὶ λουτρὸν παλιγγενεσίας ἐδωρήσατο, καὶ τὰ πρότερα [x]πάντα ἀφῆκεν; οὐχὶ μετὰ τὴν ἄφεσιν ταύτην καὶ τὸ λουτρὸν, καὶ τὴν ἐκ τῆς μετανοίας [y]πάλιν βοήθειαν ἁμαρτάνοντί σοι
B δέδωκεν; οὐχὶ εὔκολον ἐποίησέ [z]σοι τὴν ὁδὸν καὶ μετὰ ταῦτα τῆς τῶν ἁμαρτημάτων ἀφέσεως; [a]Ἄκουε γοῦν οἷα ἐπέταξεν· [25] "[b]Ἂν ἀφῇς τῷ πλησίον, ἀφίημί σοι κἀγὼ," φησί. Ποίαν τοῦτο δυσκολίαν ἔχει; "[b]Ἐὰν κρίνητε ὀρφανῷ, καὶ δικαιώσητε χήραν, δεῦτε, [c]καὶ διαλεχθῶμεν, φησὶ, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ." Ποῖον τοῦτο ἔχει μόχθον; "Λέγε σὺ τὰς [d]ἁμαρτίας σου, ἵνα δικαιωθῇς." Τίνα τοῦτο δυσκολίαν ἔχει; "[e]Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι." Ποῖος τοῦτο ἴδρως; Εἶπεν ὁ τελώνης, "Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ," καὶ κατῆλθε δεδικαιωμένος. Ποῖος πόνος
C μιμήσασθαι τὸν τελώνην; Ἀλλ' οὐ βούλει πεισθῆναι [f]οὐδὲ μετὰ τοσαῦτα, ὅτι κόλασίς [g]ἐστι καὶ τιμωρία; Οὐκοῦν οὐδὲ τὸν διάβολον εἴποις [h]ἂν κολάζεσθαι. [26] "Πορεύεσθε γὰρ, φησὶν, εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ [i]διαβόλῳ." Εἰ γὰρ [k]μὴ γέεννά ἐστιν, [l]οὐδὲ ἐκεῖνος κολάζεται· εἰ δὲ ἐκεῖνος κολά-

[24] Matth. xxiv. 2, 21. [25] Matth. vi. 14. Esai. i. 17, 18. xliii. 26. Dan. iv. 24. Luc. xviii. 13. [26] Matth. xxv. 41.

[o] ἆρα] ὅρα A.F. Mox ἠπειλημένα F.I. [p] λίθον pro λίθῳ omnes. [q] ὅτε pro ὅταν A.B.D.F.H. ὅτι C. ὅτε om. E. [r] οὐ γέγονεν C.I. [s] τὴν pro τοῦ B.H. et ex corr. F. Statim Ἰωσίππου F.H. τὴν ἱστ. Ἰωσήπου C. τὴν Ἰωσήπου ἱστ. D.E. [t] ἅπερ] οἷα C. [v] ἐβοήθησεν A.D.E.F.I. ἐβόησεν B.C. ἐφοβήθησεν H. ἐφόβησεν Edd. γρ. ἐβοήθησεν, ἄλλ. ἐπτόησεν Sav. marg. [w] τῆς om. C. [x] πάντα ἀφ. pro ἀφῆκε πάντα omnes. [y] βοήθ. πάλιν inverso ord. A.F.H.I. Statim ἁμαρτόντι σοι ἔδωκεν C. [z] σου A.F. H.I. [a] οὖν E. [b] ἐὰν (ἂν A.C.F.H.I.) κρίνητε ὀ. καὶ δικαιώσητε χ. δεῦτε] Sic nostri omnes. Edebatur κρίνατε ὀ. καὶ δικαιώσατε χ. καὶ δεῦτε. [c] καὶ om. I. Statim διελεχθῶμεν H.I. διελεγχθῶμεν F. [d] ἀνομίας C. [e] τὰς] ὅτε τὰς I. Mox λυτροῦσαι I. [f] οὐδὲ pro καὶ omnes. [g] ἔσται C. [h] ἂν om. C. [i] διαβόλῳ]+καὶ τοῖς ἀγγέλοις αὐτοῦ Sav. Mor. Ben. repugnantibus libris. [k] μὴ γ. ἐστιν] γ. μὴ ἔστιν A.F.H.I. [l] οὔτε A.F.H.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεται, [m]δῆλον ὅτι καὶ [n]ἡμεῖς· καὶ γὰρ καὶ ἡμεῖς παρηκούσαμεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς. Πῶς [o]δὲ οὐ δέδοικας καὶ τολμηρὰ φθεγγόμενος; Ὅταν γὰρ [p]λέγῃς, φιλάνθρωπός [q]ἐστι, καὶ οὐ κολάζει· [r]ἐὰν κολάσῃ, εὑρεθήσεται [s]καθ' ὑμᾶς οὐκέτι φιλάνθρωπος ὤν. Ὁρᾷς εἰς οἷα ῥήματα ὑμᾶς ὁ διάβολος ἄγει; Τί δέ; Οἱ τὰ ὄρη κατειληφότες μοναχοὶ, καὶ μυρίαν ἄσκησιν D ἐπιδειξάμενοι, ἀστεφάνωτοι ἀπελεύσονται; Εἰ γὰρ οἱ πονηροὶ [t]μὴ κολάζονται, μηδὲ ἔστι μηδενὸς ἀντίδοσις, ἐρεῖ τις ἕτερος ἴσως, ὅτι οὐδὲ οἱ ἀγαθοὶ στεφανοῦνται. [v]Ναὶ, φησί· τοῦτο γὰρ θεῷ πρέπον, βασιλείαν εἶναι μόνον, [w]καὶ μὴ γέενναν. Οὐκοῦν ὁ πόρνος καὶ ὁ μοιχὸς, καὶ ὁ μυρία κακὰ ἐργασάμενος, τῶν αὐτῶν ἀπολαύσεται τῷ σωφροσύνην καὶ [x]ἁγιωσύνην ἐπιδειξαμένῳ, καὶ Παῦλος μετὰ Νέρωνος στήσεται, μᾶλλον δὲ [y]καὶ ὁ διάβολος μετὰ Παύλου. Εἰ γὰρ μὴ ἔστι γέεννα, ἀνάστασις E δὲ [z]πάντων ἐστὶ, καὶ οἱ πονηροὶ [a]τῶν αὐτῶν τεύξονται. Καὶ τίς αν τοῦτο εἴποι καὶ τῶν σφόδρα ἐξεστηκότων ἀνθρώπων; μᾶλλον δὲ τίς [b]τοῦτο ἂν εἴποι [c]δαιμόνων; Καὶ γὰρ καὶ ἐκεῖνοι γέενναν ὁμολογοῦσιν εἶναι· διὸ καὶ ἐβόων λέγοντες, [27] "[2]Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;" Πῶς οὖν οὐ δέδοικας καὶ φρίττεις, [d]καὶ τῶν δαιμόνων ὁμολογούντων, αὐτὸς ἀρνούμενος; πῶς δὲ οὐ συνοράς τὸν διδάσκαλον τῶν πονηρῶν τούτων δογμάτων; Ὁ γὰρ τὸν ἐξ ἀρχῆς ἀπατήσας ἄνθρωπον, καὶ [e]προτάσει μειζόνων ἐλπίδων καὶ τῶν ἐν χερσὶν ἐκβαλὼν ἀγαθῶν, οὗτός ἐστιν ὁ καὶ νῦν ταῦτα ὑποβάλλων λέγειν [f]τε καὶ νοεῖν· καὶ διὰ τοῦτο [g]πείθει τινὰς ὑποπτεύειν μὴ εἶναι γέενναν, ἵνα [h]ἐμβάλῃ εἰς 710 γέενναν· ὥσπερ οὖν ὁ θεὸς ἀπεναντίας ἀπειλεῖ γέενναν, [i]καὶ ἡτοίμασε γέενναν, ἵνα μαθὼν οὕτω βιώσῃς ὡς μὴ ἐμπεσεῖν εἰς

27 Matth. viii. 29.

[m] *εὔδηλον* D.E. [n] *ἡμεῖς*]+[*οἱ τὰ τούτου ἔργα ἐπιτελοῦντες κολασθησόμεθα*] Sav. Mor. et remotis uncis Ben. Libri non accedunt. Sequentia *καὶ γὰρ καὶ ἡμεῖς* desunt in C. [o] *δὲ* et p. p. *καὶ* om. C. [p] *λέγῃς*]+*ὅτι* Sav. Mor. Ben. *ὅτι* om. B.C.D.E.F.I. [q] *ἐστι*]+*θεὸς* Sav. cet. *θεὸς* om. A.B.C.D. E.H.I. [r] *ἐὰν*]+*δὲ* C. [s] *καθ' ὑμᾶς* (*ἡμᾶς* I.) omnes. *κατὰ σὲ* Sav. cet. Mox *ὢν* om. C. [t] *μὴ* pro *οὐ* A.B.D.E.F.H.I. Mox *μηδὲ* (*οὐδὲ* D.) *ἐστι μηδενὸς* pro *οὐδέ ἐστιν οὐδενὸς* omnes. [v] *ναὶ*] *οὐχὶ* Sav. cet. repugnantibus libris. [w] *καὶ* om. C. [x] *ἐλεημοσύνην* C. *καὶ ἁγιωσύνην* om. A. [y] *καὶ* om. C. [z] *πάντων* D.E.F.I. *πάντως* solus edidit Sav. Statim *ἔσται* C. [a] *τῶν αὐτῶν ἀγαθῶν τεύξονται τοῖς δικαίοις* Sav. Mor. Ben. *ἀγαθῶν* om. A.B. C.D.E.H.I. *τοῖς δικαίοις* deest in omnibus. [b] *τοῦτο* (*τοῦτ'* I.) *ἂν* pro *ἂν τοῦτο* omnes. [c] *δαιμόνων* A. [d] *καὶ* om. C.D.E. Veron. *τῶν* om. A.F. H.I. [e] *προφάσει* C. [f] *τε* om. I. [g] *ποιεῖ* B.D.E. Veron. [h] *βάλῃ* I. *ἐμβάλλῃ* C. Haec *ἵνα ἐμβ. εἰς γ.* om. H. [i] Verba *καὶ ἡτοίμασε*——*εἰς γέενναν* om. I. Haec *ἵνα μαθὼν*——*εἰς γέενναν* desunt in A.H.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γέενναν. [k]Καίτοι εἰ γεέννης οὔσης ὁ διάβολος [l]σε ταῦτα ἀναπείθει, πῶς ἂν μὴ οὖσαν ὡμολόγησαν οἱ δαίμονες, οἷς περισπούδαστόν ἐστι μηδὲν τοιοῦτον [m]ὑποπτεύειν ἡμᾶς, ἵνα τῇ ἀδείᾳ γενόμενοι ῥαθυμότεροι, μετ' αὐτῶν εἰς τὸ πῦρ ἐκεῖνο [n]ἐμπέσωμεν; Πῶς οὖν [o]τότε, φησὶν, ὡμολόγουν; Τὴν ἀνάγκην οὐ φέροντες τὴν ἐπικειμένην αὐτοῖς. Ἅπερ οὖν ἐννοοῦντες
B ἅπαντα, πανέσθωσαν καὶ ἑαυτοὺς καὶ ἑτέρους ἀπατῶντες οἱ [p]ταῦτα λέγοντες· ἐπεὶ καὶ τῶν ῥημάτων τούτων δώσουσι δίκην, τὰ φοβερὰ διασύροντες ἐκεῖνα, καὶ [q]πολλῶν τὸν τόνον τῶν σπουδάζειν βουλομένων ἐκλύοντες, καὶ οὐδὲ τοὺς [r]βαρβάρους μιμούμενοι. Ἐκεῖνοι μὲν γὰρ καίτοι πάντων [s]ὄντες ἄπειροι, ἀκούσαντες ὅτι ἡ πόλις καταστραφήσεται, οὐ μόνον οὐκ [t]ἠπίστησαν, ἀλλὰ καὶ ἐστέναξαν, καὶ σάκκον περιεβάλοντο, καὶ συνεχύθησαν, καὶ οὐ πρότερον ἀπέστησαν [v]πάντα ποιοῦντες, ἕως [w]ἂν ἔλυσαν τὴν ὀργήν· σὺ δὲ ὁ τοσαύτην λαβὼν πεῖραν
C πραγμάτων, [x]ῥημάτων, ἐξουθενεῖς τὰ εἰρημένα; Οὐκοῦν ἔσται τὰ ἐναντία. Ὥσπερ γὰρ ἐκεῖνοι φοβηθέντες τὰ ῥήματα, οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων τιμωρίαν· οὕτω καὶ σὺ τῆς ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς, τὴν ἀπὸ [y]τῶν πραγμάτων ὑποστήσῃ κόλασιν. Καὶ εἰ νῦν μῦθός σοι δοκεῖ [z]εἶναι τὰ ῥήματα, ἀλλ' οὐχ ὅταν σε τὰ πράγματα πείθῃ τότε. Οὐχ ὁρᾷς καὶ ἐνταῦθα τί πεποίηκε; πῶς δύο λῃστὰς λαβὼν οὐ τῶν (207)
αὐτῶν ἠξίωσεν, ἀλλὰ τὸν μὲν εἰς βασιλείαν εἰσήγαγε, τὸν δὲ εἰς
D γέενναν [a]ἀπέπεμψε; Καὶ τί λέγω λῃστὴν καὶ ἀνδροφόνον; Οὐδὲ γὰρ τοῦ ἀποστόλου ἐφείσατο, ἐπειδὴ προδότης ἐγένετο, ἀλλὰ καὶ ἐπὶ βρόχον ὁρῶν [b]ὁρμῶντα, καὶ ἀγχόμενον καὶ μέσον ῥηγνύμενον· καὶ γὰρ [c]ἐλάκησε μέσος, καὶ τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθη πάντα· [d]ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς, εἴασε [e]πάντα αὐτὸν ταῦτα παθεῖν, ἀπὸ τῶν παρόντων [f]σε καὶ περὶ τῶν ἐκεῖ πιστούμενος πάντων. Μὴ τοίνυν φενακίζετε ἑαυτοὺς

[k] *καίτοιγε* C.D. [l] *σε* om. H. [m] *μνημονεύειν* C. [n] *ἐκπέσωμεν* H. [o] *τότε φησὶν* pro *φησὶ τότε* A.B.D.E.F.I. *φησὶ τοῦτο* C. [p] *τὰ τοιαῦτα* C. [q] *πολλῶν τὸν τόνον* (*φόβου* pro *τόνου* A.F.H.I.) *τῶν σπ. β.*] Sic A.B.D.E.F.H.I. *πολλῶν τούτων ὄντων σπ. β.* corrupte pro *πολλῶν τὸν τόνον τῶν σπ. β.* Veron. Haec sic mutavit Sav. *πολλοὺς τῶν ὄντως σπ. β.* consentiente, ut videtur, C. Hunc secutus est Montef. [r] *βαρβάρους*]+[*Νινευίτας*] Sav. Mor. +*Νινευίτας* Ben. *Νινευίτας* om. A.B.C.D.E.H.I. [s] *ὄντες* om. C. [t] *ἠπείθησαν* A.F.H.I. [v] *ἅπαντα* A.H.I. [w] *ἂν* om. A.F.H.I. [x] *ῥημάτων*] *διὰ ῥημάτων* (junct. cum *ἐξουθενεῖς*) Sav. Mor. Ben. *διὰ* om. A. B. D. E. F. H. I. *πεῖραν πράγματων λαβὼν, διὰ ῥ.* C. [y] *τῶν* accessit ex A.B.C.D.E.F.H. [z] *τὰ ῥήματα εἶναι* (om. *ἀλλ'*) inverso ord. A.F.H.I. [a] *ἔπεμψε* A.C.F.H.I. [b] *ὁρμῶντα*]+*αὐτὸν* Sav. cet. invitis libris. Etiam *ὁρῶν* om. C. [c] *ἐλάκισεν* B.C.D. [d] *ἀλλ'*] *καὶ* D.E. [e] *αὐτὸν πάντα* inverso ord. C.D. [f] *σε* om. B. et corr. C. Statim *καὶ τὰ ἐκεῖσε πιστ.* C. *πάντων* om. C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ διαβόλῳ πειθόμενοι· ἐκείνου γὰρ ταῦτα τὰ νοήματα. Εἰ γὰρ καὶ δικασταὶ καὶ δεσπόται καὶ διδάσκαλοι καὶ βάρβαροι τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι· πῶς ἂν ἔχοι λόγον παρὰ [g]τῷ θεῷ τἀναντία γίνεσθαι, καὶ τῶν αὐτῶν Ε ἀξιοῦσθαι τόν τε ἀγαθὸν [h]καὶ τὸν οὐ τοιοῦτον; Πότε δὲ καὶ [i]ἀπαλλαγήσονται τῆς κακίας; [k]Ὁπότε γὰρ νῦν προσδοκῶντες κόλασιν, καὶ μεταξὺ τοσούτων ὄντες φόβων [l]τῶν ἀπὸ τῶν δικαστῶν [m]καὶ τῶν νόμων, [n]οὐδὲ οὕτως ἀφίστανται τῆς πονηρίας· ὅταν ἀπελθόντες ἐκεῖ καὶ τὸν φόβον τοῦτον ἀπόθωνται, καὶ μὴ μόνον εἰς γέενναν [o]μὴ ἐμπέσωσιν, [p]ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; Τοῦτο οὖν φιλανθρωπίας, εἰπέ μοι, τὸ τὴν πονηρίαν [q]ἐπιτρίβειν, τὸ [r]τῇ κακίᾳ ἆθλον τιθέναι, τὸ τῶν αὐτῶν ἀξιοῦν τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὸν πιστὸν καὶ τὸν ἀσεβῆ, τὸν Παῦλον καὶ τὸν 711
διάβολον; Ἀλλὰ [s]γὰρ μέχρι τίνος καὶ ἡμεῖς ληροῦμεν; Διὸ παρακαλῶ, τῆς μανίας ἀπαλλαγέντες ταύτης, καὶ ὑμῶν αὐτῶν γενόμενοι, πείσατε τὴν ψυχὴν δεδοικέναι καὶ τρέμειν, ἵνα καὶ [t]τῆς μελλούσης ἀπαλλαγῇ γεέννης, καὶ σωφρόνως τὸν [v]ἐνταῦθα ζήσασα βίον, [w]καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃ, [x]ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΖ. Β

[1] Οἶδα καὶ πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' [a]ἑαυτοῦ· εἰ μὴ τῷ λογιζομένῳ [b]τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν.

ΠΡΟΤΕΡΟΝ ἐπιτιμήσας τῷ κρίνοντι τὸν ἀδελφὸν, καὶ [c]ταύτῃ τῆς ἐπιπλήξεως αὐτὸν ἀποστήσας, τότε λοιπὸν καὶ περὶ

[1] Cap. XIV. v. 14.

[g] τῷ om. A.E.F.I. Statim τὰ ἐναντία A.D.E.H.I. [h] καὶ τὸν] τόν τε C. [i] ἀπαλλαγήσονται] Sic libri omnes. ἀπαλλαγὴ ἔσται Edd. [k] οἵ τε γὰρ Edd. οἵ τε γὰρ om. F.H.I. et a pr. man. A. εἰ γὰρ superscript. in A. οὔτε γὰρ C. ὅτε γὰρ ex corr. idem. ὁπότε γὰρ B.D.E. [l] τῶν om. B. Statim ἀπὸ τῶν δικαστηρίων C. [m] καὶ τῶν νόμων A.B.D.E.H.I. Veron. τῶν τῶν νόμων F. τῶν ἀπὸ τῶν νόμων ediderunt Sav. cet. [n] οὐδὲ οὕτως ἀφίστανται B.D.E. οὐκ ἀφίστανται A. καὶ οὐκ ἀφιστάμενοι Edd. [o] μὴ ἐμπ.] Sic A.D.E.F.H. μὴ om. B.C.I. Veron. οὐκ ἐμπ. Sav. cet. Statim πέσωσιν B. Veron. [p] ἀλλὰ om. C. Statim καὶ τῆς β. idem. [q] μὴ ἐπιτρίβειν B. [r] τὴν κακίαν H. [s] γὰρ accessit ex omnibus. [t] τῆς μ. ἀ. γεέννης] τῆς γ. ἀπαλλάγητε ἐκείνης I. ἀπαλλαγῆτε habet C. [v] ἐντεῦθεν H. Statim ζήσαντες C. ζήσητε et ἐπιτύχητε I. [w] καὶ om. B.C.E. [x] Haec ὧν——ἐπιτυχεῖν assumta ex A.B.C.D.E.F. Hom. XXVII. [a] αὐτοῦ D.E. Veron. [b] τι om. C. Mox ἐκεῖνο D. [c] ταύτης I. Veron. Mox ἀποστερήσας C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ δόγματος ἀποφαίνεται, καὶ μετὰ ἡσυχίας παιδεύει τον
C ἀσθενέστερον, πολλὴν καὶ ἐνταῦθα τὴν πραότητα ἐπιδεικνύμενος. Οὐ γὰρ λέγει, ὅτι δίκην δώσει, οὐδὲ ἄλλο τι [d]τῶν τοιούτων οὐδέν, ἀλλὰ τὸν φόβον μόνον ἐκλύει τοῦ πράγματος, ὥστε αὐτὸν εὐκολώτερον πεισθῆναι τοῖς παρ' αὐτοῦ λεγομένοις, καί φησιν· "Οἶδα καὶ πέπεισμαι." [e]Εἶτα, ἵνα μὴ λέγῃ τις τῶν οὐ πιστῶν, καὶ τί πρὸς ἡμᾶς, εἰ σὺ πέπεισαι; οὐδὲ γὰρ ἀξιόπιστος εἶ [f]ἀντικαταστῆναι νόμῳ τοσούτῳ καὶ χρησμοῖς ἄνωθεν κατενεχθεῖσιν· [g]ἐπάγει, "ἐν κυρίῳ" τουτέστιν, ἐκεῖθεν μαθών, [h]καὶ παρ' αὐτοῦ πληροφορηθείς. Οὐκ ἄρα ἀνθρωπίνης διανοίας ἡ ψῆφος. [i]Τί τοίνυν πέπεισαι καὶ οἶδας; εἰπέ.
D "[j]Ὅτι οὐδὲν κοινὸν δι' [k]αὐτοῦ." Τῇ φύσει, φησὶν, οὐδὲν ἀκάθαρτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως [l]γίνεται τοῦ μετιόντος· ἐκείνῳ γοῦν [m]μόνῳ γίνεται, καὶ οὐχὶ πᾶσι. "Τῷ γὰρ λογιζομένῳ, [n]φησὶ, κοινὸν, ἐκείνῳ κοινόν." Τί οὖν οὐ διορθοῦσαι τὸν ἀδελφὸν, ἵνα μὴ νομίζῃ ἀκάθαρτον; τί δὲ οὐκ ἀπάγεις τῆς τοιαύτης συνηθείας καὶ ὑπολήψεως μετ' ἐξουσίας ἁπάσης, ἵνα μὴ ποιῇ αὐτὸ κοινόν; Φοβοῦμαι, φησὶ, μὴ λυπήσω αὐτόν. Διὸ ἐπήγαγεν· 2 "Εἰ [o]δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται,
E οὐκέτι κατὰ ἀγάπην περιπατεῖς." Εἶδες [p]πῶς τέως αὐτὸν ᾠκειώσατο, δείξας ὅτι τοσοῦτον αὐτοῦ ποιεῖται [q]λόγον, ὡς ὑπὲρ τοῦ μὴ λυπῆσαι αὐτὸν, μηδὲ [r]ἐπιτάξαι τέως τολμᾶν τὰ σφόδρα ἀναγκαῖα, ἀλλὰ τῇ συγχωρήσει μᾶλλον αὐτὸν ἐφέλκεσθαι, καὶ τῇ ἀγάπῃ; Οὐδὲ γὰρ μετὰ [s]τὸ λῦσαι τὸν φόβον [t]ἕλκει καὶ βιάζεται, ἀλλ' ἀφίησιν αὐτὸν ἑαυτοῦ κύριον. Οὐ γάρ ἐστιν ἴσον βρώματος ἀπαγαγεῖν, καὶ λύπῃ περιβαλεῖν. Ὁρᾷς [u]πόσην σπουδὴν ποιεῖται τῆς ἀγάπης; Οἶδε γὰρ ὅτι πάντα αὕτη κατορθῶσαι δύναται. Διὸ καὶ μεῖζον ἐνταῦθά τι παρ' αὐτῶν ἀπαιτεῖ. Οὐ γὰρ μόνον, φησὶν, αὐτοὺς [w]οὐ χρὴ
712 πρὸς [x]ἀνάγκην ἀπαγαγεῖν, [y]ἀλλ' εἰ δεῖ καὶ συγκαταβαίνειν, μηδὲ τοῦτο ὀκνεῖν. Διὸ καὶ ἐπάγει λέγων· "Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν." [z][a]Ἡ οὐδὲ

2 v. 15.

[d] τῶν τοιούτων] τοιοῦτον H. [e] εἶτα om. B. [f] ἀντικαταστῆναι A.C.D.E.F.H. Cat. ἀντιστῆναι I. Edebatur ἀντικαταστῆσαι. [g] ἐπήγαγεν A. [h] καὶ om. Veron. Sav. Mor. invitis libris. [i] τί] εἰ B. [k] αὐτοῦ A. B. C. D. E. H. Veron. Ben. αὐτοῦ Sav. Mor. [l] γίνεται om. B. [m] μόνῳ γ. pro γ. μόνῳ A.B.D.E.F.H. Cat. μόνον γ. I. μόνον (om. γίνεται) C. [n] φησὶν]+εἶναι I. [o] δὲ] γὰρ C. [p] ὡς B. [q] τὸν λόγον Edd. τὸν deest in omnibus. [r] ἐπιτάξαι]+τι I. Statim τολμῶν H. [s] τὸ] τοῦ C. Ita tacite Montef. [t] ἕλκει] +πάλιν C. [u] ὅσην B.D.E. [w] οὐ om. C. [x] ἀνάγκην]+ὑμᾶς Edd. ὑμᾶς om. A.B.D.E.F.H.I. Cat. Statim ἀπαγαγεῖν A.H.I. Cat. ἀπάγειν F. ἐπάγειν B.D. ἀγαγεῖν Edd. [y] ἀλλ' εἴ τι δεῖ I. [z] ἢ οὐδὲ——τὸν ἀδελφὸν] σὺ δὲ λυπεῖς σου τὸν ἀδ. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(208) [a]τοσούτου ἄξιον εἶναι ἡγῇ τὸν ἀδελφὸν, ὡς μηδὲ ἀποχῇ βρωμάτων ὠνήσασθαι αὐτοῦ τὴν σωτηρίαν; Καὶ ὁ μὲν Χριστὸς οὐδὲ δοῦλος γενέσθαι, οὐδὲ ἀποθανεῖν παρητήσατο δι' αὐτόν· σὺ δὲ οὐδὲ βρωμάτων καταφρονεῖς, ἵνα [b]αὐτὸν διασώσῃς; Καίτοιγε οὐ [c]πάντως ἅπαντας κερδαίνειν ἔμελλεν ὁ Χριστὸς, ἀλλ' ὅμως ὑπὲρ ἁπάντων ἀπέθανε, τὸ [d]αὐτοῦ πληρῶν. Σὺ δὲ οἶδας ὅτι διὰ [e]βρῶμα ἀνατρέπεις αὐτὸν ἐν τοῖς μείζοσι, καὶ ἔτι φιλονεικεῖς; καὶ τὸν οὕτω περισπούδαστον τῷ Χριστῷ, οὕτως B εὐκαταφρόνητον εἶναι νομίζεις, καὶ ὃν ἐκεῖνος ἐφίλησεν, ἀτιμάζεις; Κἀκεῖνος οὐχ ὑπὲρ ἀσθενοῦντος μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐχθροῦ ἀπέθανε· σὺ δὲ [f]οὐδὲ ὑπὲρ ἀσθενοῦντος ἀπέχῃ βρωμάτων; Καὶ ὁ μὲν Χριστὸς καὶ τὸ μέγιστον ἐπεδείξατο, σὺ δὲ οὐδὲ τὸ ἔλαττον; [g]καίτοι ὁ μὲν δεσπότης, σὺ δὲ ἀδελφός. Ταῦτα δὲ [h]καὶ ἐκεῖνον ἱκανὰ ἐπιστύψαι τὰ ῥήματα· δείκνυσι γὰρ αὐτὸν μικρόψυχον ὄντα, [i]καὶ μεγάλων ἀπολελαυκότα παρὰ τοῦ θεοῦ, καὶ οὐδὲ μικρὰ ἀντιδιδόντα.

3 "Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν· οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις." Τὸ ἀγαθὸν ἐνταῦθα C ἢ [k]τὴν πίστιν φησὶν, ἢ τὴν μέλλουσαν ἐλπίδα τῶν ἐπάθλων, ἢ τὴν ἀπηρτισμένην εὐσέβειαν. Οὐ γὰρ μόνον, φησὶ, τὸν ἀδελφὸν οὐκ ὠφελεῖς, ἀλλὰ καὶ αὐτὸ τὸ δόγμα, καὶ τὴν χάριν τοῦ θεοῦ, καὶ τὴν δωρεὰν βλασφημεῖσθαι ποιεῖς. Ὅταν γὰρ μάχῃ, ὅταν φιλονεικῇς, ὅταν λυπῇς, ὅταν σχίζῃς τὴν ἐκκλησίαν, καὶ λοιδορῇς τὸν [l]ἀδελφὸν, καὶ ἀπεχθῶς ἔχῃς πρὸς αὐτὸν, βλασφημοῦσιν οἱ ἔξωθεν· ὥστε οὐ μόνον [m]οὐδὲν ἐντεῦθεν [n]κατορθοῦται, ἀλλὰ τοὐναντίον ἅπαν. Τὸ γὰρ ἀγαθὸν ὑμῶν ἡ ἀγάπη, ἡ φιλαδελφία, τὸ ἡνῶσθαι, τὸ συνδεδέσθαι, τὸ μετ' εἰρήνης, [o]τὸ μετ' ἐπιεικείας ζῆν. Εἶτα πάλιν ἐκλύων [p]αὐτοῦ D τὸν φόβον καὶ τὴν ἐκείνου φιλονεικίαν, φησίν· "Οὐ γάρ [q]ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις." Μὴ γὰρ ἀπὸ τούτων εὐδοκιμῆσαι ἔχομεν; Ὅπερ [r]καὶ ἀλλαχοῦ φησιν· [4] "Οὔτε, ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε, ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν." Καὶ οὐδὲ κατασκευῆς δεῖται, ἀλλ' ἀρκεῖται τῇ ἀποφάσει. [s]Ὁ

[3] v. 16, 17. [4] 1 Cor. viii. 8.

[a] τοσούτου Edd. et Cat. τούτου A.B.D.E.F. τοῦτο H. τοῦτον I. Mox εἶναι om. I. [b] αὐτὸν] εὖ C. [c] πάντως ἅπαντας] Sic omnes. πάντας Edd. Statim κερδαίνειν (κερδανεῖν I.) ἔμελλεν pro ἔμελλε κερδανεῖν omnes. [d] αὐτοῦ pro αὐτοῦ A.B.D.E.H.I. [e] βρωμάτων C. [f] οὐδὲ pro οὐδ' A.B.C.D.E. [g] καίτοι pro καὶ A.B.D.E.F.H.I. [h] καὶ om. C. [i] καὶ μεγάλων] μεγάλα C. [k] τὴν om. C. [l] ἀδελφὸν]+σου C. [m] οὐδὲν ἐντεῦθεν om. H. [n] κατορθοῦται] ὄφελος C. Statim ἀλλὰ καὶ τοὺν. Edd. et Cat. καὶ om. A.B. D.E.F.H.I. [o] τὸ] καὶ C. [p] αὐτοῦ om. C. [q] ἐστιν om. F.H.I. et ante corr. A. [r] καὶ om. C.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

δὲ λέγει, [s] τοῦτό ἐστι· μὴ γὰρ, ἐὰν φάγῃς, τοῦτό σε [t] εἰς βασιλείαν εἰσάγει; Διὸ καὶ διασύρων αὐτοὺς, ὡς μέγα ἐπὶ τούτῳ [v] φρονοῦντας, οὐχὶ βρῶσιν εἶπε μόνον, ἀλλὰ καὶ πόσιν. Τίνα
E οὖν ἐστι τὰ εἰσάγοντα; Δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ, ὁ ἐνάρετος βίος, ἡ πρὸς τὸν ἀδελφὸν εἰρήνη, [w] ᾗ ἐναντιοῦται αὕτη ἡ φιλονεικία· ἡ ἐκ τῆς ὁμονοίας χαρὰ, [x] ἣν ἀναιρεῖ αὕτη ἡ ἐπίπληξις. Ταῦτα δὲ οὐχὶ θατέρῳ μόνον, [y] ἀλλ' ἑκατέροις ἔλεγε· καὶ γὰρ πρὸς ἑκατέρους εἰρῆσθαι καιρὸν [z] εἶχεν. Εἶτα, ἐπειδὴ εἶπεν εἰρήνην καὶ χαρὰν, ἔστι δὲ εἰρήνη καὶ χαρὰ καὶ ἐπὶ πονηρῶν πραγμάτων, ἐπήγαγεν, "Ἐν πνεύματι ἁγίῳ." [a] Ὡς ὅ γε
ἀπολλὺς τὸν ἀδελφὸν καὶ εἰρήνην ἀνέτρεψε, [b] καὶ τὴν χαρὰν
713 ἠδίκησε, καὶ πλέον ἢ ὁ τὰ χρήματα ἁρπάζων· καὶ τὸ δὴ χεῖρον, ὅτι [c] ἄλλος ἔσωσε, καὶ σὺ ἀδικεῖς καὶ ἀπολλύεις. Ὅταν οὖν ταῦτα μὲν μὴ [d] εἰσάγῃ ἡ βρῶσις καὶ ἡ δοκοῦσα τελειότης, τὰ δὲ ἀνατρέποντα αὐτὰ εἰσάγῃ, πῶς [e] οὐ χρὴ καταφρονεῖν τῶν μικρῶν, ὥστε τὰ μεγάλα [f] πῆξαι; Εἶτα, ἐπειδὴ καὶ ἀπὸ κενοδοξίας ἠρέμα τοῦτο ἐγίνετο τὸ ἐπιτιμᾶν, ἐπάγει λέγων· [5] "Ὁ
γὰρ ἐν [g] τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ θεῷ καὶ
B δόκιμος τοῖς ἀνθρώποις." Οὐ γὰρ οὕτω σε θαυμάσονται τῆς τελειότητος, ὡς τῆς εἰρήνης καὶ τῆς ὁμονοίας [h] πάντες. Τούτου μὲν γὰρ τοῦ καλοῦ πάντες ἀπολαύσονται, ἐκείνου δὲ οὐδὲ εἷς.

[6] "Ἆρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους." Τοῦτο πρὸς ἐκεῖνον, ἵνα εἰρηνεύῃ· [i] τοῦτο πρὸς τοῦτον, ἵνα μὴ [k] καταλύῃ τὸν ἀδελφόν. Ἀλλ' ὅμως κοινὰ πάλιν [l] ταῦτα ἀμφότερα πεποίηκεν εἰπὼν, "τῆς εἰς ἀλλήλους," καὶ δείξας ὅτι χωρὶς εἰρήνης οὐκ εὔκολον οἰκοδομεῖν. [7] "Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ" τὴν σωτηρίαν τοῦ ἀδελφοῦ οὕτω καλῶν, καὶ [m] πολὺν ἐπιτείνων τὸν φόβον, καὶ δεικνὺς ὅτι τοὐναντίον οὗ σπουδάζει ποιεῖ. Οὐ γὰρ
C μόνον οὐκ οἰκοδομεῖς, φησὶν, [n] ὃ νομίζεις, ἀλλὰ καὶ καταλύεις,

[5] v. 18. [6] v. 19. [7] v. 20.

[s] τοῦτο A.B.C.E.F. Cat. τοιοῦτον Edd. [t] εἰς τὴν β. C. [v] θαρροῦντας I. Statim οὐχὶ βρώμασιν εἶπε μ. ἀ. κ. πόμασιν C. [w] ᾗ έναν. αὕτη ἡ φ.] ἡ ἀφιλονεικία I. αὕτη om. C. [x] ἣν——ἐπίπληξις om. H. αὕτη om. I. [y] ἀλλ' pro ἀλλὰ A.B.D.E.H. Cat. ἀλλ' ἑκατέρῳ C. [z] ἔσχεν C. [a] ὥστε ὁ ἀπολλύων τὸν ἀδ. C. [b] Edebatur καὶ τὴν χαρὰν, καὶ ἠδίκησε πλέον κ. τ. ἑ. καὶ ante ἠδίκησε om. B.C.D.E. Mox καὶ πλέον A.B.C.F.H.I. καὶ πολλῷ πλέον D.E. [c] ἄλλοις F.H. [d] εἰσάγει E. Mox ubi edebatur εἰσάγει, εἰσάγῃ dant A.B.C.D.F.I. [e] οὐχὶ A.E. [f] πλῆξαι C. Haec ὥστε τὰ μ. πῆξαι desunt in A.E.H.I. [g] τούτῳ C. [h] πάντες pro ἅπαντες A.B.D.E.F.H.I. [i] τοῦτο] ἐκεῖνο D.E. Statim πρὸς ἐκεῖνον I. [k] καταλύσῃ C. [l] ταῦτα ἀμφ. pro ἀμφ. ταῦτα A.B.D.E.F.H. τὰ ἀμφ. ταῦτα I. [m] πολὺν accessit ex omnibus. Mox τοὺν. σπουδάζει ποιεῖν C. [n] ὃν A.B.D.E.F.H.I. invita Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[o]καὶ οἰκοδομὴν οὐκ ἀνθρωπίνην, ἀλλὰ θεοῦ, [p]καὶ οὐδὲ μεγάλου τινὸς ἕνεκεν, ἀλλὰ πράγματος εὐτελοῦς· "ἕνεκεν γὰρ βρώματος," [q]φησίν. [r]Εἶτα, ἵνα μὴ αἱ τοσαῦται συγχωρήσεις βεβαιώσωσι τὸν ἀσθενέστερον ἐν τῇ πονηρᾷ ὑπολήψει, δογματίζει πάλιν οὕτω λέγων· "Πάντα μὲν καθαρά· ἀλλὰ κακὸν [s]τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι·" τῷ μετὰ συνειδότος πονηροῦ. Ὥστε κἂν ἀναγκάσῃς, [t]καὶ φάγῃ, τὸ ὄφελος
(209) οὐδέν· οὐ γὰρ τὸ φαγεῖν ποιεῖ ἀκάθαρτον, ἀλλ' ἡ γνώμη μεθ' ἧς ἐσθίει. [u]Ἂν τοίνυν ἐκείνην μὴ διορθώσῃ, πάντα εἰκῇ πεποίηκας, καὶ μᾶλλον ἔβλαψας· οὐ γὰρ ἐστιν ἴσον [v]ἀκάθαρτόν τι D νομίζειν, καὶ νομίζοντα [w]ἀκάθαρτον ἀπογεύεσθαι. Δύο τοίνυν ἐνταῦθα ἁμαρτάνεις, καὶ τὴν πρόληψιν ἐπιτείνων [x]τῇ φιλονεικίᾳ, καὶ ἀκαθάρτου ποιῶν ἀπογεύεσθαι. Ὥστε ἕως ἂν μὴ πείσῃς, [y]μὴ ἀναγκάσῃς. [8]"Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου [z]προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ." Πάλιν [a]τὸ πλέον ἀπαιτεῖ, ὥστε μὴ μόνον μὴ ἀναγκάζειν, ἀλλὰ καὶ συγκαταβαίνειν αὐτῷ. Καὶ γὰρ καὶ αὐτὸς αὐτὸ [b]πολλαχοῦ ἐποίησεν· ὡς ὅτε περιέτεμεν, ὡς ὅτε ἐξυρᾶτο, [c]ὅτε ἔθυε τὴν Ἰουδαϊκὴν θυσίαν ἐκείνην. Καὶ οὐ λέγει αὐτῷ, ὅτι ποίησον, ἀλλ' ἐν τάξει γνώμης αὐτὸ τίθησιν, ἵνα μὴ E ἐκεῖνον πάλιν ῥᾳθυμότερον ποιήσῃ τὸν ἀσθενέστερον. Καὶ τί φησι; "Καλὸν τὸ μὴ φαγεῖν [d]κρέας." [e]Καὶ τί λέγω κρέας; Κἂν οἶνος ᾖ, κἂν [f]ἄλλ' ὁτιοῦν τοιοῦτον σκανδαλίζον, ἀπέχου. Οὐδὲν γὰρ ἴσον τῆς σωτηρίας τοῦ ἀδελφοῦ. Καὶ τοῦτο δηλοῖ ὁ Χριστὸς, [g]καὶ ἐξ οὐρανῶν παραγενόμενος, καὶ πάντα παθὼν δι' ἡμᾶς, ἅπερ ἔπαθε. Σκόπει δέ μοι πῶς [h]κἀκείνου καθικνεῖται, λέγων· "προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ." Μὴ γάρ μοι λέγε, φησὶν, ὅτι ἀλόγως, ἀλλ' ὅτι δύνασαι κατορ- 714
θῶσαι. Καὶ γὰρ ἀρκοῦν ἔχει δικαίωμα εἰς τὸ βοηθεῖσθαι τὴν ἀσθένειαν ἐκεῖνος, καὶ σοὶ βλάβη οὐδεμία· οὐδὲ γὰρ ὑπόκρισις τὸ πρᾶγμά ἐστιν, ἀλλ' οἰκοδομὴ καὶ οἰκονομία. [8]Ἂν μὲν γὰρ

8 v. 21.

[o] καὶ] τὴν I. Statim οὐκ ἀνθ. ἀλλὰ θεοῦ om. A.B.F.H.I. [p] καὶ om. A. B.E.F.H. non Cat. Mox ἀλλὰ καὶ πρ. C. [q] φησὶν om. A.F.H.I. [r] εἶτα] καὶ I. [s] τῷ ἀνθρώπῳ om. D.E. [t] καὶ] κἂν C. [u] ἂκ. τι (τι om. C.) νομίζειν omnes. νομίζειν ἀκ. τι Edd. [w] ἀκάθαρτα I. ἀκάθαρτον εἶναι Edd. εἶναι deest in omnibus. [x] τῇ φιλονεικίᾳ om. I. [y] μὴ ἀναγκάσῃς om. B. [z] πρ. ἢ σκ. pro σκ. ἢ πρ. A.B.D.E.F.H.I. Mosqq. [a] τὸ om. A.B.D.E. F.H.I. [b] πολλαχοῦ] ἀλλαχοῦ A.H.I. Cat. [c] ὡς ὅτε Edd. ὡς om. B.F. H.I. Cat. Mox ἔθυε A.B.D.E.H.I. ἔθυσε Edd. et Cat. [d] κρέας pro κρέα bis A.B.D.E.F.H.I. Cat. [e] καὶ τί λέγω——οἶνος ᾖ] ἢ πιεῖν οἶνον ἢ C. [f] ἄλλ' ὁτιοῦν] Sic C. ἄλλο ὁτιοῦν Edd. et Cat. ἄλλο τι A.B.D.E.F.H.I. [g] καὶ accessit ex A.B.C.D.F.H.I. Statim ἐξ οὐρανοῦ H. [h] κἀκείνου per crasin A.B.C.D.E.H.I. Cat. Statim καθίκετο C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναγκάσῃς, καὶ καταλύεται, καὶ σοῦ καταγνώσεται, καὶ μᾶλλον οἰκοδομηθήσεται εἰς τὸ μὴ ἐσθίειν· ἐὰν δὲ συγκαταβῇς, τέως [i]σε ἀγαπήσει, καὶ οὐχ ἕξει [k]σε ἐν ὑποψίᾳ διδάσκοντα, καὶ λήψῃ λοιπὸν ἐξουσίαν [l]ἀνεπαισθήτως σπείρειν ἐν αὐτῷ τὰ ὀρθὰ δόγματα. [m]Ἂν δὲ ἅπαξ σε μισήσῃ, καὶ τὴν εἴσοδον ἀπέφραξας [n]τῷ λόγῳ. Μὴ τοίνυν ἀνάγκαζε ἐκεῖνον, ἀλλὰ καὶ αὐτὸς ἀπέχου [o]δι' ἐκεῖνον, οὐχ ὡς ἀκαθάρτου ἀπεχόμενος, ἀλλ' Bἐπειδὴ σκανδαλίζεται ἐκεῖνος, καὶ μᾶλλόν σε ἀγαπήσει. Οὕτω καὶ ὁ Παῦλος [p]ἐκέλευσεν εἰπών, "Καλὸν τὸ μὴ φαγεῖν [q]κρέας·" οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' ἐπειδὴ σκανδαλίζεται καὶ ἀσθενεῖ ὁ [r]ἀδελφός.

9 "Σὺ [s]πίστιν ἔχεις; Κατὰ [s]σεαυτὸν ἔχε." Ἐνταῦθά μοι δοκεῖ ἠρέμα καὶ εἰς κενοδοξίαν αἰνίττεσθαι τὸν [t]τελειότερον. [u]Ὁ δὲ λέγει, [v]τοῦτό ἐστι· θέλεις [w]μοι δεῖξαι, ὅτι τέλειος εἶ καὶ ἀπηρτισμένος; Μὴ [x]ἐμοὶ δείκνυε, ἀλλ' ἀρκείτω [y]σοι τὸ συνειδός. [z]Πίστιν δὲ ἐνταῦθα οὐ [a]τὴν περὶ δογμάτων, ἀλλὰ Cτὴν περὶ τῆς προκειμένης ὑποθέσεως λέγει. Περὶ γὰρ ἐκείνης φησί· 10 "Στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν·" καί, "[b]Ὃς [b]ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ." Ἐκείνη μὲν γὰρ μὴ ὁμολογουμένη καταστρέφει, αὕτη δὲ ὁμολογουμένη [c]ἀκαίρως. "Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν [d]ᾧ δοκιμάζει." Πάλιν τὸν ἀσθενέστερον πλήττει, καὶ [e]δίδωσι τούτῳ ἀρκοῦντα στέφανον [f]τὸν τοῦ συνειδότος. Κἂν γὰρ ἄνθρωπος μὴ [g]ἴδῃ, ἀρκεῖς [h]σὺ σαυτῷ εἰς τὸ γενέσθαι μακάριος. Ἐπειδὴ γὰρ εἶπε, καθ' ἑαυτὸν ἐχέτω, ἵνα μὴ [i]νομίσῃ μικρὸν Dτὸ δικαστήριον τοῦτο, λέγει, τῆς οἰκουμένης σοι τοῦτο βέλτιον. Κἂν πάντες σου [k]κατηγορῶσι, σὺ δὲ σαυτὸν μὴ κατακρίνῃς, μηδὲ τὸ συνειδὸς ἐπιλάβηται, μακάριος εἶ. Οὐχ ἁπλῶς δὲ περὶ πάντων λέγων τοῦτο τέθεικεν. Εἰσὶ γὰρ πολλοὶ μὴ κατακρίνοντες ἑαυτούς, καὶ σφόδρα πλημμελοῦντες· οἳ πάντων

9 v. 22. 10 Rom. x. 10. Luc. ix. 26.

[i] *σε ἀγαπήσει* om. C. [k] *σε* om. C. [l] *ἀναισθήτως* A.H. Cat. *ἀναισχύντως* I. [m] *ἂν*] *ἐὰν* B.E.I. Statim *ἅπαξ* pro *καθάπαξ* A.B.E.H.I. Cat. [n] *τῷ λόγῳ*] *τῶν λογισμῶν* C. [o] *δι'*] *καὶ* C. Mox *ἀπεχόμενον* idem. [p] *ἐκέλευσεν* om. I. [q] *κρέας* pro *κρέα* A.B.D.E.F.H.I. [r] *ἀδελφὸς*]+*σου* C. [s] *σεαυτὸν* pro *σαυτὸν* A.B.D.E.H.I. Veron. [t] *τελεώτερον* I. [v] *τοῦτό ἐστιν* A.B.C.E. *τοῦτ' ἔστιν* D.F.H.I. *τοιοῦτόν ἐστι* Edd. et Cat. [w] *μοι*] *σὺ* B. *μοι* om. Cat. [x] *μοι* A.D.E.F.H. *ἐμοὶ* habet Cat. [y] *σου* D. Veron. *ἀλλ' ἀρκεῖ τὸ συνειδὸς* C. [z] *πίστιν δὲ ἐνταῦθα*] Sic Edd. et Cat. *ἐνταῦθα δὲ πίστιν* A.B.D.E.F.H.I. [a] *τὴν* om. C.H. Statim *περὶ τῶν δογμάτων* I. Mox *τὴν περὶ* om. H. [b] *ἂν* pro *δ' ἂν* A.B.E.F.H.I. Cat. *ὃς ἀρνήσεται* C. [c] *ἄκαιρος* A.B.D.E.F.H.I. Cat. [d] *ᾧ*] *οἷς* C. [e] *δίδωσι* omnes. *δείκνυσι* Edd. [f] *τὸν* om. H. [g] *εἴδῃ* H.I. [h] *σὺ σαυτῷ*] *ἑαυτῷ* C. Statim *εἰς τὸ* om. I. [i] *νομίσῃς* C. Statim *τὸ* om. I. *τοῦτο* om. C. [k] *κατηγορήσωσι* C.H.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσὶν ἀθλιώτεροι· ἀλλὰ τέως τῆς προκειμένης ὑποθέσεως ἔχεται.
11 "Ὁ [1] δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται." Πάλιν
παρακαλῶν αὐτὸν φείσασθαι τοῦ [m] ἀσθενεστέρου, τοῦτό φησι.
Τί γὰρ ὄφελος, ἐὰν φάγῃ διακρινόμενος, καὶ [n] κατακρίνῃ ἑαυ-
τόν; Ἐγὼ γὰρ ἐκεῖνον ἀποδέχομαι τὸν καὶ ἐσθίοντα καὶ μὴ
μετὰ ἀμφιβολίας. [o] Ὁρᾷς πῶς αὐτὸν ἐνάγει οὐκ εἰς τὸ φαγεῖν E
μόνον, ἀλλὰ καὶ εἰς τὸ καθαρῷ συνειδότι φαγεῖν; Εἶτά φησι
καὶ τὴν αἰτίαν, δι' ἣν κατακέκριται, ἐπάγων καὶ λέγων, "Ὅτι
οὐκ ἐκ πίστεως·" οὐκ ἐπειδὴ ἀκάθαρτον, ἀλλ' [p] ἐπειδὴ οὐκ ἐκ
(210) πίστεως· οὐ γὰρ ἐπίστευσεν ὅτι καθαρόν ἐστιν, ἀλλ' ὡς ἀκα-
θάρτου ἥψατο. Διὰ δὲ τούτων δείκνυσιν αὐτοῖς καὶ τὴν βλά-
βην ὅσην [q] ἐργάζονται, ἀναγκάζοντες καὶ [r] μὴ πείθοντες ἅπτε-
σθαι τῶν τέως δοκούντων αὐτοῖς ἀκαθάρτων εἶναι, ἵνα [s] κἂν διὰ
τοῦτο ἀπόσχωνται τοῦ ἐπιπλήττειν. "Πᾶν δὲ ὃ οὐκ ἐκ πί- 715
στεως, [t] ἁμαρτία." Ὅταν γὰρ μὴ [v] θαρρῇ, φησὶ, μηδὲ πιστεύῃ
ὅτι καθαρὸν, πῶς οὐχ ἥμαρτε; Ταῦτα δὲ πάντα περὶ τῆς
προκειμένης ὑποθέσεως εἴρηται τῷ Παύλῳ, οὐ περὶ πάντων.
Καὶ σκόπει πόσην ποιεῖται [w] τοῦ μὴ σκανδαλίζειν πρόνοιαν.
Καὶ γὰρ ἀνωτέρω ἔλεγεν· "Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου
λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς." Εἰ [x] δὲ λυπεῖν
οὐ δεῖ, πόσῳ μᾶλλον σκανδαλίζειν οὐ δεῖ. Καὶ πάλιν, "Μὴ
ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ." Εἰ γὰρ ἐκκλη- B
σίαν [y] κατασκάψαι χαλεπὸν καὶ ἀνόσιον, [z] πολλῷ μᾶλλον ναὸν
πνευματικόν· καὶ γὰρ ἄνθρωπος [a] σεμνότερον ἐκκλησίας. Οὐ
γὰρ διὰ τοὺς τοίχους ὁ Χριστὸς ἀπέθανεν, ἀλλὰ διὰ τοὺς
ναοὺς τούτους.

[b] Πάντοθεν τοίνυν [c] τὰ καθ' ἑαυτοὺς περισκοπῶμεν, καὶ μηδὲ
μικρὰν μηδενὶ παρέχωμεν λαβήν. Καὶ γὰρ στάδιον ὁ παρὼν
βίος, καὶ μυρίους πάντοθεν ὀφθαλμοὺς ἔχειν δεῖ, [d] μηδὲ νομίζειν
ἀρκεῖν εἰς ἀπολογίαν τὴν ἄγνοιαν. Ἔστι γὰρ, ἔστι καὶ ἀγνοίας C

11 v. 23.

[1] δὲ pro γὰρ omnes. [m] ἀσθενοῦς C. [n] κατακρίνῃ ἑαυτὸν B.C.D.E.F. Cat. κατακρίνεις αὐτὸν A.H. κατακρίνῃς αὐτὸν I. κατακρινεῖ ἑαυτὸν Edd. [o] ὁρᾷς pro ὅρα A.B.D.E.F.I. Cat. [p] ἐπειδὴ pro ὅτι omnes. [q] ἐργάσονται E. [r] μὴ om. C.F. [s] κἂν] καὶ C. Statim διὰ τούτου I. διὰ τούτων A.E.H. [t] ἁμαρτία]+ἐστιν C. [v] θαρρήσῃ et πιστεύσῃ C. [w] τοῦ] περὶ τοῦ C. [x] δὲ]+καὶ I. Mox πόσῳ pro πολλῷ A.B.F.H.I. [y] καταστρέψαι C. [z] πόσῳ A.D.E. [a] σεμνότερον ἐκκλησίας pro ἐκκλησίας σεμνότερον A.B.D. E.F.H.I. ἐκκλησίας σεμνότερος C. [b] ΗΘΙΚΟΝ. Περὶ τοῦ δεῖν ὀρθῶς βιοῦν, καὶ προσέχειν ἀκριβῶς ἐν τῷ παρόντι βίῳ, καὶ μὴ νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν τὴν ἄγνοιαν, καὶ ποία βλάπτει ἄγνοια, καὶ ποία οὔ· καὶ ὅτι οὐδὲν ἡμᾶς ἁπλότης βλάπτει καὶ ἀφέλεια πρὸς τὸ γνῶναι τὴν ἀλήθειαν· καὶ τοῦτο δείκνυται ἀπὸ τοῦ Ἀβραὰμ καὶ Μελχισεδέκ. Veron. [c] τὰ] τὸ A.E. τὰ περὶ ἑαυτοὺς σκοπῶμεν I. [d] καὶ μηδὲ Edd. καὶ om. A.B.C.D.E.F.I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δοῦναι δίκην, ὅταν ἡ ἄγνοια [e]ἀσύγγνωστος ᾖ· ἐπεὶ καὶ Ἰουδαῖοι ἠγνόησαν, [f]ἀλλ' οὐ συγγνώμης ἄξια ἠγνόησαν· καὶ Ἕλληνες ἠγνόησαν, ἀλλ' ἀπολογίαν οὐκ ἔχουσιν. Ὅταν [g]μὲν γὰρ ταῦτα ἀγνοῇς, ἃ μὴ δυνατὸν εἰδέναι, οὐδὲν ἔγκλημα ὑποστήσῃ· ὅταν δὲ τὰ ῥᾴδια καὶ δυνατὰ γνωσθῆναι, τὴν ἐσχάτην δώσεις δίκην. Ἄλλως δὲ, ἂν μὴ σφόδρα ὦμεν ἀναπεπτωκότες, [h]ἀλλὰ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν ἅπαντα, καὶ ἐν τοῖς ἀγνοουμένοις χεῖρα ἡμῖν ὁ θεὸς ὀρέξει· ὃ καὶ Φιλιππησίοις ἔλεγε Παῦλος· [12] "Καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει." D Ὅταν δὲ μηδὲ ὧν ἐσμεν κύριοι, βουλώμεθα ἀνύειν, οὐδὲ [i]ἐν ἐκείνοις ἀπολαύσομεν συμμαχίας· ὃ καὶ ἐπὶ Ἰουδαίων γέγονε. [13] "Διὰ [k]τοῦτο γὰρ ἐν παραβολαῖς αὐτοῖς λαλῶ, φησὶν, ὅτι βλέποντες οὐ βλέπουσι." Πῶς βλέποντες οὐκ ἔβλεπον; Ἑώρων δαίμονας ἐλαυνομένους, καὶ ἔλεγον [l]ὅτι δαιμόνιον ἔχει· ἑώρων νεκροὺς ἐγειρομένους, καὶ οὐ προσεκύνουν, [m]ἀλλ' ἀνελεῖν αὐτὸν ἐπεχείρουν. Ἀλλ' οὐχ ὁ Κορνήλιος τοιοῦτος. Διά τοι τοῦτο, ἐπειδὴ πάντα τὰ παρ' ἑαυτοῦ μετὰ σπουδῆς ἔπραττε, καὶ τὸ λεῖπον αὐτῷ προσέθηκεν ὁ θεός. Μὴ τοίνυν λέγε, πῶς E τὸν δεῖνα ἄπλαστον ὄντα καὶ χρηστὸν περιεῖδεν ὁ θεὸς, Ἕλληνα ὄντα; Πρῶτον μὲν γὰρ, [n]εἴ τις ἄπλαστος, οὐκ ἀνθρώποις δυνατὸν εἰδέναι [o]σαφῶς, ἀλλὰ τῷ πλάσαντι κατὰ μόνας τὰς καρδίας· ἔπειτα κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι οὐκ ἐφρόντισε πολλάκις, οὐδὲ ἐσπούδασε. Καὶ πῶς, φησὶν, ἠδύνατο, σφόδρα ἄπλαστος ὤν; Οὐκοῦν τὸν ἁπλοῦν τοῦτον καὶ ἀφελῆ σκόπει μοι, καὶ καταμάνθανε ἐπὶ τῶν βιωτικῶν, καὶ ὄψει [p]πολλὴν ἀκρίβειαν ἐπιδεικνύμενον, ἣν εἴγε ἐβούλετο καὶ ἐπὶ τῶν πνευματικῶν ἐπιδείκνυσθαι, οὐκ ἂν παρώφθη. Καὶ γὰρ ἡλίου [q]φανότερα τὰ τῆς ἀληθείας· καὶ ὅπουπερ ἂν ἀφίκηταί τις, ῥᾳδίως ἐπιλήψεται τῆς ἑαυτοῦ σωτηρίας, εἴγε βουληθείη προσ-716 ἔχειν, καὶ μὴ πάρεργον [r]τοῦτο ἡγεῖσθαι. Μὴ γὰρ ἐν Παλαιστίνῃ τὰ πράγματα συνεκλείσθη; μὴ γὰρ ἐν γωνίᾳ μικρᾷ τῆς οἰκουμένης; Οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, ὅτι [14] "Πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου;" οὐχ ὁρᾷς

[12] Philipp. iii. 15. [13] Matth. xiii. 13. [14] Jer. xxxi. 34.

[e] ἀσύγ. ᾖ, ἀλλ' οὐ συγγνώμης ἀξία. ἠγνόησαν καὶ Ἕλληνες, ἀλλ' ἀπ. οὐκ ἔχουσιν C. [f] Haec ἀλλ' οὐ σ. ἄ. ἠγνόησαν om. E. Sequentia καὶ Ἕλληνες ἠγνόησαν desunt in A.H. [g] μὲν om. C. Mox οὐδὲ pro οὐδὲν idem. [h] Haec ἀλλὰ—ἅπαντα καὶ om. I. [i] ἐν ἐκείνοις pro ἐκείνης omnes. Mox τῆς συμμαχίας Edd. τῆς om. A.B.C.D.E.F.H. [k] τοῦτο γὰρ pro γὰρ τοῦτο A.B.E. F.H.I. [l] ὅτι accessit ex omnibus. [m] ἀλλὰ ἀναιρεῖν ἐπ. αὐτὸν C. [n] εἰ om. I. [o] σαφῶς accessit ex A.B.C.D.E.F.H. [p] τὴν πολλὴν C. Mox ἣν γε εἰ ἐβ. idem. [q] φανότερα A.B.C.D.E.F. φανερώτερα Edd. [r] τοῦτο om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ πράγματα ἀληθεύοντα; Πῶς οὖν ἂν ἔχοιεν οὗτοι συγγνώμην, ὁρῶντες [s]τὸ δόγμα τῆς ἀληθείας ἐκτεταμένον, καὶ [t]μὴ περιεργαζόμενοι, μηδὲ φροντίζοντες μαθεῖν; [v]Καὶ ταῦτα παρὰ ἀγροίκου καὶ βαρβάρου, φησὶν, ἀπαιτεῖς; Οὐ παρὰ ἀγροίκου καὶ βαρβάρου μόνον, ἀλλὰ καὶ εἴ τις τῶν νῦν ὄντων βαρβαρικώτερος. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τῶν βιωτικῶν B καὶ ἀντειπεῖν οἶδεν ἀδικούμενος, [w]καὶ ἀντιστῆναι βιαζόμενος, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ μικρὸν ἐπηρεασθῆναί [x]ποτε· ἐπὶ δὲ τῶν πνευματικῶν οὐ κέχρηται [y]τῇ αὐτῇ ταύτῃ συνέσει; Καὶ ὅταν μὲν λίθον προσκυνῇ, καὶ θεὸν ἡγεῖται, καὶ ἑορτὰς [z]ἐπιτελεῖ, καὶ χρήματα δαπανᾷ, καὶ πολὺν ἐπιδείκνυται φόβον, καὶ οὐδαμοῦ ῥᾳθυμος ἀπὸ τῆς ἀφελείας γίνεται·
(211) [a]ὅταν δὲ τὸν ὄντως [b]ὄντα θεὸν ἐπιζητῆσαι δέῃ, τότε μοι ἀφελείας καὶ ἁπλότητος μέμνησαι. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· ῥᾳθυμίας γὰρ μόνης τὰ ἐγκλήματα. Τίνας γὰρ [c]ἁπλουστέρους C καὶ ἀγροικοτέρους εἶναι νομίζεις, τοὺς ἐπὶ τοῦ Ἀβραὰμ ἢ τοὺς νῦν; Εὔδηλον ὅτι ἐκείνους. Πότε [d]δὲ εὐκολώτερον εἶναι τὴν εὐσέβειαν εὑρεῖν, [e]νῦν ἢ τότε; Εὔδηλον ὅτι νῦν. Νῦν μὲν γὰρ παρὰ πᾶσι καὶ τοῦ θεοῦ τὸ ὄνομα [f]βεβόηται, καὶ προφῆται ἀνεκήρυξαν, καὶ τὰ πράγματα ἐξέβη, καὶ τὰ Ἑλλήνων ἐλήλεγκται· τότε δὲ ἔτι [g]ἀδιδάκτως εἶχον οἱ πλείους, καὶ ἡ ἁμαρτία ἐκράτει, καὶ οὔτε νόμος ἦν [h]παιδεύων, οὐ προφήτης, οὐ θαύματα, οὐ διδασκαλία, οὐ τὸ πλῆθος τῶν [i]ἐπιγινωσκόντων, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλ' ὡς ἐν σκότῳ βαθεῖ καὶ ἀσελήνῳ καὶ χειμερίῳ νυκτὶ τὰ πράγματα [k]διέκειτο ἅπαντα. Ἀλλ' ὅμως D ὁ [l]θαυμαστὸς ἐκεῖνος καὶ γενναῖος ἀνὴρ, καὶ τοσούτων ὄντων κωλυμάτων, καὶ τὸν θεὸν ἐπέγνω, καὶ τὴν ἀρετὴν ἤσκησε, καὶ πολλοὺς εἰς τὸν ἴσον [m]ἤγαγε ζῆλον, καὶ ταῦτα [n]οὐδὲ τῆς ἔξωθεν σοφίας ἔμπειρος ὤν· πῶς [o]γὰρ, ὅπου γε οὐδὲ γράμματα [p]πώποτε ἦν εὑρεθέντα; Ἀλλ' ὅμως ἐπειδὴ τὰ παρ' ἑαυτοῦ

[s] τὰ δόγματα H. Statim τῆς ἐκκλησίας I. [t] μήτε π. μήτε φρ. C. [v] καὶ om. B.D.E.F. Verba παρὰ ἀγροίκου—ἀπαιτεῖς om. I. [w] Haec καὶ ἀντιστῆναι βιαζόμενος desunt in A.B.D.E.F.H.I. [x] ποτὲ] μηδέποτε I. [y] τῇ αὐτῇ ταύτῃ] ταύτῃ τῇ C. τῇ αὐτῇ I. [z] ἐπιτελῇ E. receptum a Montef. [a] ὅτε F. Mox δεῖ pro δέῃ B.D.E.F.H.I. χρὴ ex corr. A. [b] ὄντα om. C. [c] ἁπλουστέρους]+εἰπέ μοι B.D.E.F. [d] δὲ om. H.I. [e] νῦν ἢ τότε——νῦν μὲν γὰρ] νῦν, εὔδηλον. καὶ γὰρ I. [f] διαβεβόηται C. [g] ἀδίδακτα H. [h] ὁ παιδεύων C. Statim οὔτε πρ. idem. [i] ἐπιγινωσκόντων A.B.C.D.E.F.H. γινωσκόντων Edd. [k] διέκειτο A.B.D.E.F.H.I. διέκειντο Edd. [l] θαυμάσιος C. Statim ἐκεῖνος om. A.B.E.F.H.I. Habet, sed post γενναῖος D. [m] εἰσήγαγε A.B.F.H.I. ἐνήγαγε D.E. [n] οὔτε A.B.D.E.H.I. [o] γὰρ om. I. [p] πω τότε ex corr. F. π. ἦν εὑρεθέντα pro ἦν εὑρεθέντα π. A.B.D.E.H.I. πώποτε om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσήνεγκε, καὶ ὁ θεὸς [q]τὰ ἑαυτοῦ λοιπὸν συνεισήνεγκεν. Οὐδὲ γὰρ [r]ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι παρὰ πατέρων [s]ἐδέξατο τὴν εὐσέβειαν ὁ Ἀβραάμ· καὶ γὰρ εἰδωλολάτρης ἦν ἐκεῖνος· ἀλλ' Ε ὅμως καὶ προγόνων γενόμενος τοιούτων, καὶ βάρβαρος ὢν [t]μέσον βαρβάρων τραφεὶς, καὶ διδάσκαλον οὐδένα [v]ἔχων εὐσεβείας, καὶ τὸν θεὸν [w]ἐπέγνω, καὶ τῶν [x]ἐκγόνων τῶν ἑαυτοῦ πάντων [y]τῶν καὶ νόμου καὶ προφητῶν ἀπολελαυκότων τοσοῦτον ἠδοκίμησε μᾶλλον, ὅσον οὐδὲ ἔστιν εἰπεῖν. Τί δήποτε; Ὅτι ἐν μὲν τοῖς βιωτικοῖς οὐ σφόδρα ἦν μεμεριμνημένος, ἐν δὲ τοῖς πνευματικοῖς ὅλον ἑαυτὸν συνέτεινε. Τί [z]δὲ ὁ Μελχισεδέκ; οὐχὶ καὶ αὐτὸς κατ' ἐκείνους τοὺς χρόνους ἐγένετο, καὶ τοσοῦτον ἔλαμψεν, ὡς καὶ ἱερεὺς τοῦ θεοῦ χρηματίσαι; Καὶ γὰρ ἀμήχανον, [a]καὶ σφόδρα ἀμήχανον, τὸν νήφοντα περι- 717 οφθῆναί ποτε. [b]Μὴ δὴ ταῦτα ὑμᾶς θορυβείτω· ἀλλ' εἰδότες, ὅτι πανταχοῦ τῆς γνώμης ἐστὶ τὸ κῦρος, τὰ ἡμέτερα [c]αὐτῶν περισκοπῶμεν, ὅπως γενοίμεθα βελτίους. Μὴ τὸν θεὸν ἀπαιτῶμεν εὐθύνας, μηδὲ ἐξετάζωμεν, διὰ τί τὸν δεῖνα εἴασε, [d]καὶ τὸν δεῖνα ἐκάλεσε. Καὶ γὰρ ταὐτὸν ποιοῦμεν, οἷον ἂν εἴ τις οἰκέτης προσκεκρουκὼς [e]περιεργάζοιτο τὴν οἰκονομίαν τοῦ δεσπότου. Ἄθλιε καὶ ταλαίπωρε, δέον φροντίζειν ὑπὲρ τῶν σῶν εὐθυνῶν, καὶ πῶς καταλλάξεις τὸν δεσπότην, εὐθύνας ἀπαιτεῖς [f]ὧν οὐ μέλλεις παρέχειν εὐθύνας, ἐκεῖνα [g]παρατρέχων, ὧν [h]ὀφείλεις δοῦναι λόγον.

Τί οὖν πρὸς τὸν Ἕλληνα εἴπω, φησί; Ταῦτα τὰ [i]εἰρημένα. Β Καὶ σκόπει μὴ τί εἴπῃς πρὸς τὸν Ἕλληνα μόνον, ἀλλὰ καὶ πῶς αὐτὸν διορθώσῃ. Ὅταν σου τὸν βίον ἐξετάζων σκανδαλίζηται ἐκεῖθεν, ἐνταῦθα φρόντισον τί εἴπῃς. Ὑπὲρ μὲν γὰρ ἐκείνου, κἂν σκανδαλίζηται, σὺ λόγον οὐ δώσεις· ἀπὸ δὲ τοῦ βίου τοῦ σοῦ ἐὰν βλαβῇ, κίνδυνον ὑποστήσῃ τὸν ἔσχατον. [k]Ὅταν ἴδῃ σε περὶ βασιλείας φιλοσοφοῦντα, καὶ πρὸς τὰ παρόντα ἐπτοημένον, καὶ περὶ γεέννης δεδοικότα, καὶ τὰ ἐν-

[q] τὰ παρ' ἑαυτοῦ A.B.D.E.F.H. λοιπὸν τὸ (sic) ἑαυτοῦ inverso ord. C. [r] ἐκείνῳ Veron. Sav. Mor. ἴσ. ἐκεῖνο Sav. marg. ἐκεῖνο est in nostris omnibus. [s] διεδέξατο I. [t] μέσον pro καὶ ἐν μέσῳ omnes. [v] ἔχων A.B.C.D.E.F.H. σχὼν Edd. [w] ἔγνω D.E. [x] ἐγγόνων A.B.C.D.F.H. Statim αὐτοῦ pro τῶν ἑαυτοῦ I. [y] τῶν om. A.B.F.H.I. [z] δαὶ A.E. [a] καὶ σφ. ἀμήχανον om. D.E. [b] μὴ δὴ pro μηδὲ B.C.E.F.H.I. [c] αὐτῶν] καὶ ἑαυτῶν E. ἑαυτοὺς C. Mox γενώμεθα idem. [d] καὶ]+διὰ τί C. [e] περιεργάζεται I. [f] ὧν] ὃν E. ᾧ ex corr. B. Statim οὐ pro σὺ A.D.E.H.I. Mox παρέχειν pro παρέξειν A.B.D.E.F.H.I. In C. locus sic legitur: εὐθύνας ἀπαιτεῖς ὡς οὐ μέλλων παρασχεῖν εὐθύνας. [g] παρατρέχων omnes. παρατρέχεις Edd. [h] ὀφείλεις δ. λόγον] Sic A.B.C.E.F.H.I. μέλλεις δ. δίκην Edd. [i] εἰρημένα;]+ναὶ I. [k] ὅταν]+γὰρ C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦθα τρέμοντα δεινὰ, τότε φρόντισον. Ὅταν ταῦτα ὁρῶν ἐγκαλῇ, καὶ λέγῃ· εἰ βασιλείας ἐρᾷς, τί τῶν παρόντων οὐχ C
ὑπερορᾷς; εἰ δικαστήριον προσδοκᾷς φοβερὸν, τί τῶν ἐνταῦθα δεινῶν οὐ καταφρονεῖς; εἰ ἀθανασίαν ἐλπίζεις, τί τοῦ θανάτου οὐ καταγελᾷς; [l]ὅταν ταῦτα λέγῃ, μερίμνησον τί ἀπολογήσῃ. Ὅταν ἴδῃ σε τρέμοντα ζημίαν χρημάτων τὸν τοὺς οὐρανοὺς προσδοκῶντα, καὶ περιχαρῆ [m]γενόμενον ὑπὲρ ἑνὸς ὀβολοῦ, καὶ τὴν ψυχὴν πάλιν προέμενον ὑπὲρ ἀργυρίου ὀλίγου, τότε φρόντισον· ταῦτα γάρ ἐστι, [n]ταῦτα τὰ τὸν [o]Ἕλληνα σκανδαλίζοντα. Ὥστε εἰ φροντίζεις [o]αὐτοῦ τῆς σωτηρίας, ὑπὲρ τούτων ἀπολογοῦ, μὴ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων. Διὲ ἐκεῖνο D
μὲν γὰρ τὸ ζήτημα οὐδεὶς ποτε ἐβλασφήμησε τὸν θεόν· διὰ δὲ τὸν πονηρὸν βίον μυρίαι πανταχοῦ βλασφημίαι. [p]Τοῦτον τοίνυν διόρθου· ἐπεὶ πάλιν ἐρεῖ σοι ὁ Ἕλλην· πόθεν [q]μάθω ὅτι δυνατὰ ἐπέταξεν ὁ θεός; ἰδοὺ γὰρ [r]σὺ Χριστιανὸς ὢν ἐκ προγόνων, καὶ ἐντρεφόμενος τῇ καλῇ ταύτῃ θρησκείᾳ, οὐδὲν τοιοῦτον ποιεῖς. Τί οὖν ἐρεῖς; Πάντως [s]ἐρεῖς, δείξω σοι ἑτέρους ποιοῦντας, μοναχοὺς ἐν ἐρημίαις καθημένους. Εἶτα οὐκ αἰσχύνῃ Χριστιανὸς μὲν εἶναι ὁμολογῶν, πρὸς δὲ ἑτέρους πέμ-
(212) πων, [t]ὡς οὐ δυνάμενος δεῖξαι ὅτι τὰ Χριστιανῶν ἐπιδείκνυσαι; E
Καὶ γὰρ καὶ ἐκεῖνος εὐθέως ἐρεῖ· οὐκοῦν ποία [v]μοι ἀνάγκη βαδίζειν ἐπὶ τὰ ὄρη, καὶ τὰς ἐρημίας διώκειν; [w]Εἰ γὰρ μὴ δυνατὸν ἐν μέσαις στρεφόμενον πόλεσι φιλοσοφεῖν, πολλὴ τῆς πολιτείας [x]ταύτης ἡ κατηγορία γένοιτ' ἄν, εἰ μέλλοιμεν τὰς πόλεις [y]ἐκλιπόντες, ἐπὶ τὰς ἐρήμους τρέχειν. Ἀλλὰ δεῖξόν μοι ἄνθρωπον γυναῖκα ἔχοντα καὶ παιδία καὶ οἰκίαν, καὶ φιλοσοφοῦντα. Τί οὖν πρὸς ταῦτα ἐροῦμεν; οὐκ ἀνάγκη κάτω κύπτειν καὶ αἰσχύνεσθαι; Οὐδὲ γὰρ ὁ Χριστὸς οὕτως ἐκέλευσεν· ἀλλὰ [z]πῶς; [15] "Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων," οὐχὶ τῶν [a]ὀρέων, οὐδὲ τῆς ἐρημίας καὶ τῆς ἀβάτου. 718
Καὶ ταῦτα λέγω, οὐ κακίζων τοὺς κατειληφότας τὰ ὄρη, ἀλλὰ θρηνῶν τοὺς [b]οἰκοῦντας τὰς πόλεις, ὅτι τὴν ἀρετὴν ἐντεῦθεν ἐξήλασαν. Διὸ, παρακαλῶ, τὴν φιλοσοφίαν τὴν ἐκεῖθεν καὶ

[15] Matth. v. 16.

[l] ὅταν]+γὰρ C. Post λέγῃ add. τότε idem. [m] γινόμενον vel γιγνόμενον A.B.D.E.H. [n] ταῦτα om. C. [o] αὐτοῦ A.B.C.D.E.F.H. σεαυτοῦ Edd. [p] τοῦτο C. Ita clam dedit Montef. [q] μάθωμεν C. [r] σὺ om. C. [s] ἐρεῖς ὅτι δείξω Edd. ὅτι deest in omnibus. [t] ὡς] καὶ ὡς C. [v] μοι om. C. [w] εἰ γὰρ] εἴγε A.D.E.H.I. Mox ἐν μέσαις ταῖς πόλεσι στρ. C. [x] ταύτης om. C. [y] ἐκλιπόντες pro ἐκλείποντες A.B.C.D.E.I. ἐκλειπόντες (sic) F. [z] πῶς]+οὕτως H. [a] ὀρέων pro ὀρῶν A.B.D.E.F.H.I. οὐχὶ τῶν ὀρέων om. C. [b] οἰκοῦντας A.B.C.D.F.I. κατοικοῦντας Edd.

Δημοσία Κεντρική Βιβλιοθήκη Θεσσαλ

ἐνταῦθα εἰσαγάγωμεν, ἵνα αἱ πόλεις γένωνται πόλεις. Ταῦτα τὸν Ἕλληνα ὀρθῶσαι δύναται, ταῦτα [c]μυρίων ἀπαλλάξαι σκανδάλων. Ὥστε εἰ βούλει κἀκεῖνον ἐλευθερῶσαι σκανδάλου, καὶ αὐτὸς μυρίων ἀπολαῦσαι μισθῶν, τὸν βίον διόρθου τὸν [d]ἑαυτοῦ, καὶ πάντοθεν ἀπολάμπειν [e]ποίει, "ὅπως ἴδωσιν [f]οἱ ἄνθρωποι τὰ καλὰ ἔργα [g]ὑμῶν, καὶ [h]δοξάζωσι τὸν πατέρα [i]ὑμῶν τὸν ἐν
B τοῖς οὐρανοῖς." Οὕτω [k]γὰρ καὶ ἡμεῖς τῆς ἀπορρήτου [l]καὶ μεγάλης ἐκείνης ἀπολαυσόμεθα δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΚΗ.

[1]Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου [a]καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου
C χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά [b]τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος· μόνῳ σοφῷ θεῷ, [c]διὰ Ἰησοῦ Χριστοῦ, [d]αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔθος ἀεὶ τῷ Παύλῳ εἰς εὐχὰς καὶ δοξολογίας κατακλείειν τὴν παραίνεσιν· οἶδε γὰρ οὐ μικρὰν τὸ πρᾶγμα ἔχον ῥοπήν. Τοῦτο δὲ ἀπὸ φιλοστοργίας καὶ εὐλαβείας ποιεῖν εἴωθε. Καὶ γὰρ φιλόπαιδος καὶ φιλοθέου διδασκάλου τὸ μὴ μόνον λόγῳ
D παιδεύειν, ἀλλὰ καὶ δι' εὐχῶν τὴν παρὰ τοῦ θεοῦ συμμαχίαν τοῖς διδασκομένοις εἰσάγειν· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Ἡ δὲ ἀκολουθία αὕτη ἐστί. "Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν." Πάλιν γὰρ ἐκείνων ἔχεται τῶν ἀσθενῶν, καὶ πρὸς αὐτοὺς τρέπει τὸν λόγον. Ὅτε μὲν γὰρ ἐπετίμα, κοινὴν ἐποιεῖτο τὴν ἐπιτίμησιν· νυνὶ δὲ εὐχόμενος, ὑπὲρ τούτων τίθησι τὴν ἱκετηρίαν. Εἰπὼν δὲ, "στηρίξαι," ἐπάγει καὶ κατὰ ποῖον τρόπον, "κατὰ τὸ εὐαγγέλιόν μου."

[1] Cap. XIV. v. 24—26.

[c] μ. ἀπαλλάξαι pro ἀπαλλάξαι μ. omnes. [d] ἑαυτοῦ A.B.F.H.I. σεαυτοῦ D.E. σαυτοῦ Edd. [e] ποίει]+κατὰ τὸ εἰρημένον C.D.E. [f] οἱ ἄνθρωποι om. I. [g] ὑμῶν aberat ante Montef. invitis libris. [h] δοξάσωσι C.F. [i] ὑμῶν (ἡμῶν H.) accessit ex omnibus. [k] γὰρ om. I. [l] καὶ μ. ἐκείνης pro ἐκείνης καὶ μ. B.E.F.H. ἐκείνης om. A.I. Hom. XXVIII. [a] καὶ om. F. Statim κατὰ τὸ κ. Veron. Sav. Mor. κατὰ om. B.C.D.E.H.I. Mosqq. [b] τε accessit ex omnibus. [c] διὰ om. A. [d] αὐτῷ pro ᾧ A.C.D.E.F.I. Mosqq. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦτο δὲ δηλοῦντος ἦν, ὅτι οὔπω ἦσαν βεβαιωθέντες, ἀλλ' E
[e]εἱστήκεισαν μὲν, ἐσαλεύοντο δέ. Εἶτα ποιῶν τὸν λόγον
ἀξιόπιστον, ἐπήγαγε, "[f]καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ·"
τουτέστιν, ὃ αὐτὸς ἐκήρυξεν. Εἰ δὲ αὐτὸς ἐκήρυξεν, οὐχ ἡμέ-
τερα τὰ δόγματα, ἀλλ' ἐκείνου [g]οἱ νόμοι. Φιλοσοφῶν δὲ
[h]λοιπὸν καὶ περὶ τοῦ κηρύγματος, δείκνυσιν ὅτι πολλῆς εὐερ-
γεσίας τοῦτο [i]τὸ δῶρον, καὶ πολλῆς [k]τιμῆς. Καὶ πρῶτον μὲν
ἀπὸ τοῦ καταγγείλαντος τοῦτο κατασκευάζει, ἔπειτα καὶ ἀπ'
αὐτῶν τῶν καταγγελθέντων· εὐαγγέλια γὰρ ἦν· πρὸς τούτοις,
ἀπὸ τοῦ μηδενὶ γνωρίσαι πρὸ ἡμῶν. Τοῦτο γοῦν ἠνίξατο 719
εἰπών, "κατὰ ἀποκάλυψιν μυστηρίου·" ὅπερ μεγίστης [l]φιλίας
σημεῖόν ἐστι, τὸ μυστηρίων ποιεῖν κοινωνούς, καὶ μηδένα πρὸ
ἡμῶν. "Χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν."
Πάλαι μὲν γὰρ προώριστο, ἐφάνη δὲ νῦν. [m]Πῶς ἐφάνη;
"Διὰ γραφῶν [n]προφητικῶν." Ἐνταῦθα [o]πάλιν τὸν φόβον
ἐκλύει τοῦ ἀσθενοῦς. Τί γὰρ δέδοικας; μὴ [p]ἀποστῇς τοῦ
νόμου; Τοῦτο βούλεται ὁ νόμος, τοῦτο ἄνωθεν προύλεγεν.
(213) Εἰ [q]δὲ ἐξετάζεις διὰ τί νῦν ἐφανερώθη, οὐκ ἀσφαλὲς πρᾶγμα
ποιεῖς, μυστήρια θεοῦ περιεργαζόμενος, καὶ εὐθύνας ἀπαιτῶν· B
οὐδὲ [r]γὰρ πολυπραγμονεῖν τὰ τοιαῦτα δεῖ, ἀλλ' ἀγαπᾶν καὶ
στέργειν. Διὸ καὶ αὐτὸς ἐπιστομίζων τὴν τοιαύτην γνώμην
ἐπήγαγε, "κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν πί-
στεως." Ὑπακοῆς γὰρ ἡ πίστις δεῖται, οὐ πολυπραγμοσύνης·
καὶ ὅταν [s]θεὸς ἐπιτάττῃ, πείθεσθαι, οὐ περιεργάζεσθαι χρή.
Εἶτα καὶ ἑτέρωθεν αὐτοὺς παραθαρρύνει λέγων· "εἰς πάντα
τὰ ἔθνη γνωρισθέντος." [t]Οὐδὲ γὰρ σὺ μόνος, ἀλλ' ἡ οἰκουμένη
πᾶσα οὕτω πιστεύει, οὐκ ἄνθρωπον, ἀλλὰ θεὸν λαβοῦσα διδά-
σκαλον. [v]Διὸ ἐπήγαγε, "διὰ Ἰησοῦ Χριστοῦ." Οὐκ ἐγνω- C
ρίσθη δὲ μόνον, ἀλλὰ καὶ ἐβεβαιώθη· ἀμφότερα δὲ αὐτοῦ ἔργα.
Διὸ καὶ οὕτως ἀναγνωστέον· "Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι
διὰ Ἰησοῦ Χριστοῦ." Καὶ γὰρ, ὅπερ εἶπον, ἀμφότερα αὐτῷ
ἀνατίθησι· μᾶλλον δὲ οὐκ ἀμφότερα μόνον, ἀλλὰ καὶ τὴν δόξαν
τὴν εἰς τὸν πατέρα. Διὸ καὶ ἔλεγεν, "[w]Ὧι ἡ δόξα εἰς τοὺς
αἰῶνας. Ἀμήν." Δοξάζει δὲ πάλιν, τὸ ἀκατάληπτον τῶν

[e] εἱστήκεισαν pro ἑστήκεσαν A.B.D.E.F.I. Cat. [f] καὶ] κατὰ F. [g] οἱ om. B. [h] λοιπὸν καὶ] καὶ λοιπὸν A.H. λοιπὸν om. I. [i] τὸ om. C.I. Cat. [k] τῆς τιμῆς Edd. τῆς om. A.B.E.H.I. Cat. [l] φιλοσοφίας A.H. Veron. [m] πῶς]+δὲ A.D. [n] προφητικῶν] διὰ προφητῶν I. [o] πάλιν] δὲ πάλιν E. Statim τὸν (τὸν om. A.H.) φόβον ἐκλύει pro ἐκλύει τὸν φ. omnes. [p] ἀποστῇς τοῦ ν.] ἀπὸ τῆς προλήψεως τοῦ νόμου (sic) E. [q] δὲ]+καὶ Edd. repugnantibus libris et Cat. [r] γὰρ om. I. [s] ὁ θεὸς E. Cat. [t] οὐ Edd. et Cat. οὐδὲ Codd. [v] διὸ καὶ ἐπ. Edd. καὶ om. A.B.C.D.E.F.I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μυστηρίων τούτων ἐκπληττόμενος. Οὐδὲ γὰρ νῦν ὅτε ἐφάνη, λογισμοῖς αὐτὰ [w]δυνατὸν καταλαβεῖν, ἀλλὰ διὰ πίστεως [x]ἐπι-
D γνῶναι χρή· ἄλλως [y]γὰρ οὐκ ἔνι. [z]Καὶ καλῶς εἶπε, "μόνῳ σοφῷ θεῷ." Ὅταν γὰρ ἐννοήσῃς, πῶς τὰ ἔθνη εἰσήγαγε καὶ ἀνεκέρασε τοῖς πάλαι κατωρθωκόσι, πῶς ἀπεγνωσμένους ἔσωσε, πῶς τῆς γῆς ἀναξίους ὄντας εἰς οὐρανοὺς ἀνήγαγε, καὶ τῆς παρούσης ζωῆς ἐκπεπτωκότας εἰς τὴν [a]ἀθάνατον καὶ ἀπόρρητον ἐκείνην εἰσήγαγε, καὶ ὑπὸ δαιμόνων πατουμένους [b]ἀγγέλοις ἐφαμίλλους ἐποίησε, καὶ παράδεισον ἠνέῳξε, καὶ τὰ παλαιὰ [c]κακὰ ἅπαντα ἔλυσε, καὶ ταῦτα ἐν χρόνῳ βραχεῖ, καὶ δι' ὁδοῦ ῥᾳδίας καὶ συντομωτάτης· τότε γνώσῃ τὴν σοφίαν, ὅταν ἴδῃς,
E ὃ μήτε ἄγγελοι μήτε ἀρχάγγελοι ἤδεσαν, τοῦτο ἐξαίφνης τοὺς ἐξ ἐθνῶν μεμαθηκότας [d]διὰ Ἰησοῦ. Δέον οὖν θαυμάζειν [e]αὐτὸν τῆς σοφίας, [f]καὶ δοξάζειν αὐτὸν, σὺ δὲ περὶ μικρὰ [g]στρέφῃ, τῇ σκιᾷ προσεδρεύων ἔτι· ὅπερ οὐ σφόδρα ἐστὶ δοξάζοντος. Ὁ γὰρ μὴ θαρρῶν αὐτῷ, μηδὲ τῇ πίστει πεποιθὼς, οὐ μαρτυρεῖ τῷ μεγέθει τῶν [h]γενομένων. Ἀλλ' αὐτὸς τὴν ὑπὲρ ἐκείνων δόξαν ἀνήνεγκε, κἀκείνους εἰς τὸν αὐτὸν ζῆλον ἐνάγων. Ὅταν δὲ ἀκούσῃς αὐτοῦ λέγοντος, "μόνῳ σοφῷ θεῷ," μὴ πρὸς
720 ἀθέτησιν [i]τοῦ υἱοῦ τοῦτο νόμιζε λέγεσθαι. Εἰ [k]γὰρ ἅπαντα ταῦτα, ἀφ' ὧν ἡ σοφία αὐτοῦ δείκνυται, διὰ Χριστοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ οὐδὲ ἓν γέγονεν, εὔδηλον ὅτι καὶ τὰ τῆς σοφίας ἴσα. Τίνος οὖν ἕνεκεν, "μόνῳ," εἴρηκε; Πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως ἁπάσης.

Ἀποδοὺς τοίνυν τὴν δοξολογίαν, πάλιν ἀπὸ τῆς εὐχῆς ἐπὶ παραίνεσιν χωρεῖ, πρὸς τοὺς ἰσχυροτέρους τρέπων τὸν λόγον, καὶ λέγων οὕτως· [2]"Ὀφείλομεν δὲ ἡμεῖς οἱ [l]δυνατοί." Ὀφείλομεν, οὐ χαριζόμεθα. Τί ὀφείλομεν; "Τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν." Εἶδες πῶς ἐπῆρεν αὐτοὺς τοῖς ἐγκωμίοις,
B οὐχὶ τῷ δυνατοὺς μόνον εἰπεῖν, [m]ἀλλὰ καὶ τῷ μεθ' ἑαυτοῦ τάξαι ἐκείνους; Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ χρησίμῳ

[2] Cap. XV. v. 1.

[w] κατ. δυνατὸν Edd. et Cat. δυνατὸν κατ. Codd. [x] ἐπιγνῶναι libri omnes et Cat. εἰδέναι Edd. [y] γὰρ pro δὲ omnes. [z] καὶ accessit ex omnibus. [a] ἀθ. καὶ ἀπ. ἐκείνην A. B. D. F. H. ἀθ. καὶ ἀπ. ἐκείνην ζωὴν C. ἀπ. καὶ ἀθ. ἐκείνην E.I. ἀθ. ἐκείνην καὶ ἀπ. Edd. [b] καὶ ἀγγέλοις I. [c] κακὰ ἅπαντα pro ἅπαντα κακὰ omnes. [d] διὰ τοῦ Ἰ. Edd. τοῦ deest in omnibus. Post Ἰησοῦ add. τότε εἶση τὴν δύναμιν C.D. [e] αὐτὸν τῆς σοφίας] Sic A.B.C.D. E.F.H. τὴν αὐτοῦ σοφίαν I. αὐτοῦ τὴν σοφίαν Edd. [f] καὶ δοξάζειν αὐτὸν om. I. [g] στρέφῃ——δοξάζοντος] προσεδρεύων τῇ σκιᾷ περιστρέφῃ I. [h] γινομένων H. [i] τοῦ υἱοῦ om. A.F.H. Statim τοῦτο ν. pro ν. τοῦτο omnes. [k] γὰρ] μὲν γὰρ E. Mox διὰ Ἰησοῦ Χριστοῦ I. [l] δυνατοὶ]+τὰ ἀσθ. τῶν ἀδ. βαστάζειν I. [m] ἀλλὰ om. I.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πάλιν αὐτοὺς ἐπισπᾶται, καὶ [n]ἀνεπαχθεῖ. [o]Σὺ μὲν γὰρ δυνατὸς εἶ, φησὶ, καὶ καταβαίνων οὐδὲν βλάπτῃ· ἐκείνῳ δὲ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος, ἂν μὴ [p]διαβαστάζηται. Καὶ οὐκ εἶπε, τοὺς ἀσθενεῖς, ἀλλὰ, "τὰ ἀσθενήματα τῶν ἀδυνάτων," εἰς ἔλεον [q]αὐτὸν ἐπισπώμενος καὶ ἐπικλῶν· ὡς καὶ ἀλλαχοῦ φησιν, [3] "Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον." Δυνατὸς γέγονας; Ἀπόδος τῷ θεῷ τὴν ἀμοιβὴν τῷ ποιήσαντί σε τοιοῦτον· ἀποδώσεις δὲ, τὴν ἀσθένειαν τοῦ ἀρρώστου διορ- C
θούμενος. Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς ἦμεν, ἀλλ' ὑπὸ τῆς χάριτος ἐγενόμεθα δυνατοί. Τοῦτο δὲ οὐκ ἐνταῦθα δεῖ μόνον ποιεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν [r]ἄλλως ἀσθενούντων· [s]οἷον ἂν ἀκρόχολός τις ᾖ, ἂν ὑβριστὴς, ἂν ἄλλο τι [t]τοιοῦτον ἔχων ἐλάττωμα, διαβάσταζε. [v]Πῶς δ' ἂν τοῦτο γένοιτο, ἄκουσον τῶν ἐξῆς. Εἰπὼν γὰρ, "ὀφείλομεν βαστάζειν," ἐπήγαγε, "Καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. [4]Ἕκαστος [w]ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν." [d]Ὁ δὲ λέγει, [x]τοῦτό ἐστι· δυνατὸς εἶ; Λαμβανέτω σου πεῖραν τῆς δυνάμεως ὁ [y]ἀσθενής· ἐκεῖνος D
μανθανέτω σου τὴν ἰσχὺν, ἐκείνῳ ἄρεσον. Καὶ οὐχ ἁπλῶς
(214) εἶπεν, ἄρεσον, ἀλλ', "εἰς τὸ ἀγαθόν·" [z]καὶ οὐδὲ ἁπλῶς εἰς τὸ ἀγαθὸν, ἵνα μὴ λέγῃ ὁ τέλειος, ἰδοὺ γὰρ εἰς τὸ ἀγαθὸν ἔλκω, ἀλλὰ [a]προσέθηκε, "πρὸς οἰκοδομήν." Ὥστε κἂν πλουτῇς, κἂν [b]ἐν δυναστείᾳ ᾖς, μὴ σαυτῷ, ἀλλὰ [c]τῷ πένητι καὶ τῷ δεομένῳ ἄρεσκε· οὕτω γὰρ καὶ δόξης ἀπολαύσῃ τῆς ἀληθοῦς, καὶ ὠφέλειαν ἐργάσῃ πολλήν. Ἡ μὲν γὰρ τῶν βιωτικῶν δόξα εὐθέως [d]ἀφίπταται· ἡ δὲ τῶν πνευματικῶν μένει, ἂν πρὸς οἰκοδομὴν τοῦτο ποιῇς. Διὸ παρὰ πάντων τοῦτο ἀπαιτεῖ· οὐ γὰρ ὁ E
δεῖνα καὶ ὁ δεῖνα, ἀλλ', "ἕκαστος [e]ὑμῶν." Εἶτα ἐπειδὴ [f]μέγα ἐπέταξε, καὶ τῆς οἰκείας ἐκέλευσε καθυφεῖναι τελειότητος εἰς τὸ διορθῶσαι τὴν ἑτέρου ἀσθένειαν, πάλιν τὸν Χριστὸν [g]εἰς μέσον ἄγει λέγων· [5] "Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν." [h]ὅπερ

[3] Gal. vi. 1. [4] v. 2. [5] v. 3.

[n] ἀνεπαχθεῖ C.D.E.F. et ex corr. B. ἀνεπαχθῶς Edd. ἀνεπαχθῶς (om. καὶ) Cat. [o] σὺ] εἰ A. Statim γὰρ om. C. [p] βαστάζηται B. [q] αὐτὸν pro αὐτῶν A. B. D. E. F. H. I. αὐτὴν Cat. [r] ἄλλων E. ἄλλων ἀσθενῶν Cat. [s] οἷον, ἀκρ. τις ἦν καὶ ὑβριστὴς κἂν ἄλλο τι C. [t] τοιοῦτον ἔχων pro ἔχων τοιοῦτον omnes. [v] πῶς δ' ἂν τοῦτο γένοιτο] Sic A.B.E.F.H.I. πῶς δ' ἂν γένοιτο τοῦτο D. τοῦτο om. C. πῶς δὲ τοῦτο γένοιτ' ἂν Edd. [w] ἡμῶν C. D. Cat. [x] τοῦτέστι H. τοιοῦτόν ἐστι B.C.D.I. Mox εἰς pro εἰ C. [y] ἀσθενῶν I. Mox ἐκείνῳ ἀρέσκων C. [z] καὶ om. B. Statim οὐχ pro οὐδὲ C. Haec καὶ οὐδὲ ἁπλῶς εἰς τὸ ἀγαθὸν om. A.H. [a] προσέθηκεν, εἰς οἰκοδ. A. D.E. [b] ἐν om. B. ἐν δυναστείαις E. [c] τοῖς δεομένοις καὶ τῷ πένητι ἄρεσκε C. [d] ἀφίσταται A.B.D.E.F.H.I. [e] ἡμῶν A.C.D.H.I. Cat. [f] μέγα om. A.H.I. [g] εἰς μέσον ἄγει omnes. εἰσάγει μέσον Edd. [h] ὅπερ καὶ ἀεὶ Edd. et Cat. καὶ om. A.B.D.E.F.H.I. Statim ἐποίει C.

Δημόσια Κεντρική Βιβλιοθήκη Σέρρες

ἀεὶ ποιεῖ. Καὶ γὰρ ὅτε περὶ ἐλεημοσύνης ἔλεγεν, [i]αὐτὸν παρήγαγε λέγων· [6] "Γινώσκετε τὴν χάριν τοῦ [k]κυρίου, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν·" καὶ ὅτε εἰς ἀγάπην [l]προέτρεπεν, ἐκεῖθεν προύτρεψεν, εἰπών· "Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς·" καὶ ὅτε περὶ τοῦ φέρειν αἰσχύνην καὶ κινδύνους [m]συνε-
721 βούλευσεν, ἐπ' αὐτὸν [n]κατέφυγε, λέγων· "[n]Ος ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας." Οὕτω καὶ ἐνταῦθα δείκνυσι καὶ αὐτὸν [o]τοῦτο ποιήσαντα, καὶ τὸν προφήτην ἄνωθεν προαναφωνήσαντα· διὸ καὶ [p]ἐπήγαγεν· "Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε [q]ἐπέπεσον ἐπ' ἐμέ." Τί δέ ἐστιν, "οὐχ ἑαυτῷ ἤρεσεν;" Ἐξῆν [r]αὐτῷ μὴ ὀνειδισθῆναι, ἐξῆν μὴ παθεῖν ἅπερ ἔπαθεν, εἴγε ἤθελε τὸ ἑαυτοῦ σκοπεῖν· ἀλλ' ὅμως οὐκ ἠθέλησεν, ἀλλὰ τὸ ἡμέτερον σκοπήσας, τὸ ἑαυτοῦ παρεῖδε. Καὶ τίνος ἕνεκεν οὐκ [s]εἶπεν, ἑαυτὸν ἐκένωσεν; "Οτι
B οὐ τοῦτο [t]ἐβούλετο δεῖξαι μόνον, ὅτι ἄνθρωπος γέγονεν, ἀλλ' ὅτι καὶ ὑβρίσθη, καὶ πονηρὰν παρὰ πολλοῖς ἔλαβε δόξαν, ἀσθενὴς εἶναι νομισθείς. [7] "Εἰ γὰρ υἱὸς εἶ, [v]φησὶ, τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ" καὶ, "Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι." Διὸ πράγματος ἐμνημόνευσε χρησιμεύοντος αὐτῷ εἰς τὴν παροῦσαν ὑπόθεσιν, καὶ δείκνυσι πολλῷ πλέον οὗ ἐπηγγείλατο. Οὐ γὰρ τὸν [w]Χριστὸν δείκνυσιν ὀνειδισθέντα μόνον, ἀλλὰ καὶ τὸν πατέρα. "Οἱ ὀνειδισμοὶ [x]γὰρ τῶν ὀνειδιζόντων σε, φησὶν, ἐπέπεσον ἐπ' ἐμέ." [4]Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδὲν συνέβη καινὸν, [y]οὐδὲν ξένον. Οἱ γὰρ ἐπὶ τῆς παλαιᾶς [z]μελετήσαντες αὐτὸν ὀνειδίζειν, οὗτοι καὶ κατὰ
C τοῦ παιδὸς ἐμάνησαν. Ταῦτα δὲ ἐγράφη, ἵνα [a]μιμώμεθα. Ἐνταῦθα αὐτοὺς καὶ εἰς πειρασμῶν ὑπομονὴν ἀλείφει λοιπόν. [8] "Ὅσα γὰρ προεγράφη, φησὶν, εἰς διδασκαλίαν ἡμῶν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ [b]τῆς παρακλήσεως τῶν γρα-

6 2 Cor. viii. 9. Ephes. v. 25. Hebr. xii. 2. 7 Matth. xxvii. 40, 42. 8 v. 4.

[i] αὐτὸν π. λέγων] ἔφη A.H.I. Statim γαν. γὰρ τὴν χ. C. [k] κυρίου]+ἡμῶν Ἰησοῦ Χριστοῦ C.D.E. [l] προύτρεπεν A.B.E. Mox προέτρεψεν D. [m] συνεβούλευσεν pro συνεβούλευεν A.B.D.E.F.H.I. [n] κατέφευγε A.F.I. [o] τοῦτο] τὸν I. [p] ἐπήγαγε]+καθὼς γέγραπται Edd. repugnantibus libris. [q] ἐπέπεσαν bis H.I. [r] αὐτὸν C. Mox ἐξῆν αὐτῷ μὴ π. E. [s] εἶπεν]+ἄνθρωπος γέγονεν ἀλλ' ex corr. F. [t] βούλεται C. [v] φησὶ post σταυροῦ vulgo legitur, invitis libris A.B.D.E.F.H.I. [w] Χριστὸν] υἱὸν C.D.E. [x] γὰρ]+φησὶ E. Mox φησὶν ἐπέπ. pro ἐπέπ. φησὶν A.B.D.F.H.I. Cat. ἐπέπ. ἐπ' ἐμε, φησὶν C. φησὶν om. E. [y] οὐδὲ H. [z] μ. αὐτὸν ὀνειδίζειν libri omnes et Cat. ὀνειδίζειν αὐτῷ μ. Edd. [a] μιμώμεθα]+τὸν Χριστὸν in marg. B. ἵνα μὴ μιμώμεθα ἐνταῦθα αὐτούς. καὶ εἰς π. ὑ. Veron. ἵνα μὴ μιμησώμεθα αὐτούς. καὶ εἰς π. ὑ. (add. ἐνταῦθα in marg. ante αὐτοὺς) C. [b] τῆς ante παρακλήσεως bis om. H. Mox ἔσωθεν καὶ ἔξωθεν idem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φῶν τὴν ἐλπίδα ἔχωμεν." Τουτέστιν, ἵνα μὴ ἐκπέσωμεν· ποικίλοι γὰρ οἱ ἀγῶνες ἔσωθεν, ἔξωθεν· ἵνα νευρούμενοι καὶ παρακαλούμενοι παρὰ τῶν γραφῶν, ὑπομονὴν ἐπιδειξώμεθα· ἵνα ἐν ὑπομονῇ [c]ζῶντες, μένωμεν ἐπὶ τῆς ἐλπίδος. Ταῦτα γὰρ ἀλλήλων ἐστὶ κατασκευαστικά, ἡ ὑπομονὴ τῆς ἐλπίδος, ἡ ἐλπὶς τῆς ὑπομονῆς· ἅπερ ἀμφότερα ἀπὸ τῶν γραφῶν γίνεται. D

Εἶτα πάλιν εἰς εὐχὴν [d]περιτρέπει τὸν λόγον, λέγων· [9] "Ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, [e]κατὰ Χριστὸν Ἰησοῦν." Ἐπειδὴ γὰρ εἶπε τὰ παρ' ἑαυτοῦ, καὶ [f]τὰ ὑποδείγματα ἐπήγαγε τοῦ Χριστοῦ, καὶ τὴν ἀπὸ τῶν γραφῶν προσέθηκε μαρτυρίαν, [g]δεικνὺς ὅτι μετὰ τῶν γραφῶν καὶ αὐτὸς πάλιν δίδωσι τὴν ὑπομονήν, [h]διὰ τοῦτο ἔλεγεν, "Ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν." Τοῦτο γάρ ἐστιν [i]ἀγάπης, ὃ περὶ ἑαυτοῦ τις φρονεῖ, τοῦτο καὶ περὶ τοῦ ἄλλου. Εἶτα πάλιν δεικνὺς, ὅτι οὐχ E ἁπλῶς ἀγάπην ζητεῖ, ἐπήγαγε, "κατὰ Χριστὸν Ἰησοῦν" ὃ πανταχοῦ ποιεῖ, [k]ἐπειδὴ ἔστι καὶ ἑτέρα ἀγάπη. Καὶ [l]τί τὸ κέρδος τῆς συμφωνίας; [10] "Ἵνα ὁμοθυμαδὸν, [m]φησὶν, ἐν ἑνὶ στόματι δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." Οὐκ εἶπεν ἁπλῶς, "ἐν ἑνὶ στόματι," ἀλλὰ καὶ μιᾷ ψυχῇ τοῦτο ποιεῖν ἐκέλευσεν. Εἶδες [n]πῶς τὸ σῶμα ἥνωσεν
(215) ἅπαν, καὶ πῶς τὸν λόγον κατέκλεισε πάλιν εἰς δοξολογίαν, ὅθεν καὶ [o]ἐνάγει μάλιστα εἰς ὁμόνοιαν [p]καὶ συμφωνίαν; Εἶτα πάλιν ἐντεῦθεν τῆς αὐτῆς παραινέσεως ἔχεται λέγων· [11] "Διὸ 722
προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο [q]ἡμᾶς, εἰς δόξαν θεοῦ." Πάλιν τὸ παράδειγμα ἄνωθεν, καὶ τὸ κέρδος ἄφατον· μάλιστα γὰρ τὸν θεὸν τοῦτο δοξάζει τὸ [r]συμπεφράχθαι. Ὥστε κἂν [s]ἀλγῶν ὑπὲρ [t]αὐτοῦ διαστασιάζῃς πρὸς τὸν ἀδελφὸν, ἐννοήσας ὅτι καταλύσας τὴν ὀργὴν τὸν δεσπότην σου δοξάζεις, κἂν μὴ διὰ τὸν ἀδελφὸν, δι' αὐτὸ γοῦν τοῦτο καταλλάγηθι· μᾶλλον δὲ διὰ τοῦτο πρῶτον. Καὶ γὰρ ὁ Χριστὸς τοῦτο ἄνω καὶ κάτω στρέφει, καὶ τῷ πατρὶ διαλε-

[9] v. 5. [10] v. 6. [11] v. 7.

[c] *ζήσαντες* C. [d] *τρέπει* A.B.E.F.H.I. Cat. *προτρέπει* C. [e] *κατὰ ιν χν* (saepius) C.D. [f] *τὸ ὑπόδειγμα* C. [g] *δείκνυσιν* C. [h] *διὰ τοῦτο*] *διό* C. [i] *ἀγάπη* D.E. [k] *ἐπειδὴ*]+*γὰρ* C. [l] *τί* om. A.H.I. [m] *φησὶν* om. C. [n] *πῶς*] *ποῦ* bis C. Veron. [o] *ἐντρέπει* C. Veron. [p] *καὶ*] *τε καὶ* H. Mox *ἐντεῦθεν* om. C. [q] *ἡμᾶς* omnes. *ὑμᾶς* Edd. [r] *συμπεπλέχθαι* C. [s] *ἄκων* omnes. *ἀλγῶν* Edd. *ἄγαν* Cat. [t] *αὐτοῦ* pro *αὐτοῦ* A. D. E. F. H. Cat. *ὑπὲρ αὐτοῦ* om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B γόμενος ἔλεγεν· [12] "Ἐν τούτῳ γνώσονται πάντες, ὅτι σύ με ἀπέστειλας, [v]ἐὰν ὦσιν ἕν."

[w]Πειθώμεθα τοίνυν, καὶ συνάπτωμεν ἑαυτοὺς ἀλλήλοις. Ἐνταῦθα γὰρ οὐκέτι τοὺς ἀσθενεῖς, ἀλλὰ πάντας διεγείρει. Κἂν βούληταί τις ἀπορραγῆναί σου, [x]μὴ σὺ ἀπορραγῇς, μηδὲ τὸ ψυχρὸν ἐκεῖνο φθέγξῃ ῥῆμα, ἐὰν φιλῇ με, φιλῶ· [y]ἐὰν μὴ φιλῇ με [z]ὁ ὀφθαλμὸς ὁ δεξιὸς, ἐξορύττω αὐτόν. Σατανικὰ γὰρ [a]ταῦτα τὰ ῥήματα, καὶ τελωνῶν ἄξια, καὶ τῆς Ἑλλήνων μικροψυχίας. Σὺ δὲ ὁ πρὸς μείζονα κληθεὶς πολιτείαν, καὶ εἰς τοὺς οὐρανοὺς ἐγγραφεὶς, μειζόνων ὑπεύθυνος εἶ νόμων. Μὴ C [b]δὴ λέγε ταῦτα, ἀλλ' ὅταν σε μὴ βούληται φιλεῖν, τότε πλείονα ἐπιδείκνυσο τὴν ἀγάπην, ἵνα αὐτὸν ἐπισπάσῃ. Καὶ γὰρ μέλος ἐστί· τὸ δὲ μέλος ὅταν ὑπό τινος ἀνάγκης [c]ἀποσχίζηται τοῦ λοιποῦ σώματος, πάντα [d]ποιοῦμεν ὥστε ἑνῶσαι πάλιν αὐτὸ, καὶ πλείονα πρόνοιαν ἐπιδεικνύμεθα τότε. Καὶ γὰρ πλείων ὁ μισθὸς, ὅταν μὴ βουλόμενον φιλεῖν ἐφελκύσῃ. Εἰ γὰρ ἐπὶ ἀρίστου κελεύει καλεῖν τοὺς μὴ δυναμένους ἡμῖν ἀντιδοῦναι, ἵνα αὐξηθῇ τὰ τῆς ἀντιδόσεως· πολλῷ μᾶλλον ἐπὶ φιλίας τοῦτο δεῖ ποιεῖν. Ὁ μὲν γὰρ φιλούμενος καὶ φιλῶν D ἀπέδωκέ σοι τὴν ἀμοιβήν· ὁ δὲ φιλούμενος καὶ μὴ φιλῶν, [e]τὸν θεὸν ἀνθ' ἑαυτοῦ σοι χρεώστην κατέστησε. [f]Καὶ χωρὶς δὲ τούτων, ὅταν μὲν φιλῇ [g]σε, οὐ πολλῆς δεῖται τῆς σπουδῆς· ὅταν δὲ [h]μὴ φιλῇ, τότε σου χρείαν ἔχει τῆς ἀντιλήψεως. Μὴ τοίνυν τὴν αἰτίαν τῆς σπουδῆς αἰτίαν ποιοῦ ῥᾳθυμίας, μηδὲ [i]λέγε, ἐπειδὴ νοσεῖ, διὰ τοῦτο [k]αὐτοῦ ἀμελῶ· καὶ γὰρ νόσος ἐστὶν ἡ κατάψυξις τῆς ἀγάπης· ἀλλὰ σὺ θέρμανον τὸ καταψυχθέν. Τί οὖν [l]ἂν μὴ θερμαίνηται, φησί; Μένε τὰ σαυτοῦ ποιῶν. Τί οὖν ἂν μείζονως διαστρέφηται; Πάλιν μείζονά E σοι τὴν ἀντίδοσιν προξενεῖ, καὶ [m]τοσούτῳ μᾶλλον [n]δείκνυσι τοῦ Χριστοῦ [o]μιμητήν. Εἰ γὰρ τὸ ἀγαπᾶν ἀλλήλους, γνώ-

[12] Joan. xvii. 21.

[v] ἐὰν ὦσιν ἓν om. A. [w] ΗΘΙΚΟΝ. Περὶ ἀγάπης, καὶ τοῦ δεῖν φιλεῖν καὶ ἀγαπᾶν τοὺς ἐχθρούς. Veron. [x] μὴ καὶ σὺ Edd. καὶ om. A.B.D.E.F.H.I. Flor. p. 4. (Tom. xii. p. 433 D.) [y] ἐὰν]+δὲ A.B.F.H. Flor. [z] ὁ ὀφθ. (+μου C.) ὁ δ. omnes. ὁ δ. ὀφθ. Edd. [a] ταῦτα τὰ ῥ. A.B.C.D.F.I. τὰ ῥ. ταῦτα E. ταῦτα ῥήματα Veron. Sav. Mor. τὰ ῥ. ταῦτα edidit Montef. [b] δὴ pro δὲ D.E.I. [c] σχίζηται I. [d] ποιῶμεν B.F.H. [e] τὸν θ. ἀνθ' ἑαυτοῦ pro ἀνθ' ἑαυτοῦ τὸν θ. A.B.D.E.F.H.I. [f] καὶ χ. δὲ τούτων] Sic B.F.I. Flor. καὶ χ. τούτων δὲ A.H. χ. δὲ τούτων D.E. καὶ τοῦτον C. καὶ χ. τούτων Edd. [g] σε]+τις C. Haec ὅταν μὲν——σπουδῆς om. I. Tum ὅταν σε μὴ φ. idem. [h] μὴ om. C. [i] λέγε]+ὅτι A.E. Flor. [k] αὐτὸν C. [l] ἂν pro ἐὰν A.B.D.E.H.I. [m] τοσούτῳ pro τοσοῦτον A.B.F.I. et ex corr. H. πολλῷ D.E. [n] δείκνυσι]+σε B. [o] μαθητὴν C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρισμα μαθητῶν· 13 "Ἐν τούτῳ γὰρ γνώσονται, [p]φησὶ, πάντες, ὅτι μαθηταί μου ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους·" τὸ τὸν μισοῦντα φιλεῖν, ἐννόησον ἡλίκον. Καὶ γὰρ ὁ δεσπότης σου [q]μισοῦντας ἐφίλει καὶ παρεκάλει· καὶ [r]ὅσῳ ἀσθενεῖς ἦσαν, τοσούτῳ μᾶλλον αὐτῶν ἐπεμελεῖτο, καὶ ἐβόα λέγων, 14 "Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες·" καὶ τραπέζης ἠξίου τῆς [s]αὐτῆς τελώνας καὶ ἁμαρτωλούς· καὶ ὅσην αὐτὸν [t]ἠτίμασαν ἀτιμίαν ὁ τῶν Ἰουδαίων δῆμος, τοσαύτην περὶ 723
αὐτοὺς ἐπεδείξατο τιμὴν καὶ κηδεμονίαν, μᾶλλον δὲ [v]καὶ πολλῷ πλείονα. Τοῦτον καὶ σὺ ζήλωσον. Οὐδὲ γὰρ μικρόν ἐστι τὸ κατορθούμενον, [w]ἀλλ' οὗ χωρὶς οὐδὲ ὁ μαρτυρῶν [x]θεῷ σφόδρα δύναται ἀρέσαι, καθὼς ὁ Παῦλός φησι. Μὴ τοίνυν λέγε, ὅτι μισοῦμαι, καὶ διὰ τοῦτο οὐ φιλῶ· διὰ γὰρ τοῦτο μάλιστα φιλεῖν ὀφείλεις. Ἄλλως δὲ οὐδὲ ἕνι φιλοῦντα μισεῖσθαι ταχέως, ἀλλὰ κἂν θηρίον ᾖ τις, τοὺς φιλοῦντας φιλεῖ· 15 "Τοῦτο γὰρ καὶ οἱ ἐθνικοὶ, φησὶ, καὶ οἱ τελῶναι ποιοῦσιν." Εἰ [y]δὲ τοὺς φιλοῦντας ἕκαστος φιλεῖ, τοὺς μετὰ τοῦ μισεῖσθαι φι- B
λοῦντας τίς οὐκ ἂν ἀγαπήσειε; Τοῦτο τοίνυν ἐπίδειξαι, καὶ μὴ παύσῃ λέγων [z]τουτὶ τὸ ῥῆμα, ὅτι ὅσῳ [a]ἂν μισῇς, οὐ παύσομαί [b]σε φιλῶν, καὶ πᾶσαν φιλονεικίαν ἐχάλασας, [c]πᾶσαν ψῦξιν ἐξέβαλες. [d]Ἡ γὰρ ἀπὸ φλεγμονῆς γίνεται τὸ νόσημα τοῦτο, ἢ ἀπὸ ψυχρότητος· ἀλλ' ἀμφότερα [d]τῆς ἀγάπης ἡ δύναμις διορθοῦν εἴωθε τῇ θερμότητι. Οὐχ ὁρᾷς τοὺς αἰσχρῶς ἐρῶντας ῥαπιζομένους, ἐμπτυομένους, ὀνειδιζομένους, μυρία πάσχοντας δεινὰ ὑπὸ τῶν πορνευομένων γυναικῶν ἐκείνων; Τί οὖν; ἐξέλυσε C
(216) [e]τούτων τὸν ἔρωτα [f]τὰ τῶν ὕβρεων; Οὐδαμῶς, ἀλλὰ καὶ μᾶλλον ἀνῆψε. Καίτοιγε αἱ μὲν ταῦτα ποιοῦσαι μετὰ τοῦ πορνεύεσθαι καὶ ἀσήμου γένους εἰσὶ καὶ εὐτελοῦς, οἱ δὲ πάσχοντες πολλάκις λαμπροὺς ἔχουσι προγόνους ἀριθμεῖν, καὶ πολλὴν ἄλλην περιφάνειαν λέγειν· ἀλλ' ὅμως [g]οὐδὲν τούτων αὐτοὺς

13 Joan. xiii. 35. 14 Matth. ix. 12. 15 Ibid. v. 46.

[p] *φησὶ πάντες* pro *πάντες φησὶν* A.B.E.F.H.I. Statim *ὅτι μ. μου ἐστὲ* omnes. *ὅτι ἐμοὶ μ. ἐστε* Edd. [q] *μισοῦντας*] *μισοῦντά σε* A.I. [r] *ὅσῳ*]+ *μᾶλλον* C. Mox *τοσοῦτον* H. [s] *αὐτῆς*] *ἰσ. αὐτοῦ* Sav. marg. *ἑαυτοῦ* C. *αὐτοῦ* tacite dedit Montef. [t] *ἠτίμασαν* B.D.H.I. *ἠτίμασεν* Edd. Mox *οἱ τῶν Ἰ. δῆμαι* I. [v] *καὶ* om. B. [w] *ἀλλ' οὗ χωρὶς——ἀρέσαι*] *ἀλλ' οὐ χωρεῖς; οὐδὲ μαρτυρῶν δύνασαι σφ. ἀρέσαι θεῷ* C. [x] *θεῷ σφ. δ. ἀ.* (*ἀ. δ.* D.) pro *σφ. δ. ἀ. θεῷ* A.B.D.E.F.H.I. [y] *δὲ*]+*καὶ* C. Mox *μετὰ τὸ μ.* C.D. [z] *τουτὶ* pro *τοῦτο* A.B.C.D.E.F.H. [a] *ἄν με μισήσῃς* Edd. *με* deest in omnibus. *μισῇς* pro *μισήσῃς* A.B.E.F.H.I. [b] *σε* superscript. in A. [c] *καὶ πᾶσαν* Edd. *καὶ* om. A.B.C.D.E.H.I. Statim *ψύξιν* (sic) *ἐξέβαλες* pro *ψυχὴν ἐμάλαξας* omnes. [d] *τῆς ἀγ. ἡ δ.* pro *ἡ τῆς ἀγ. δ.* omnes. [e] *τούτων* pro *τοῦτον* A.B.D.H.I. et ex corr. E. [f] *τὰ τῶν ὕβ.*] *ἡ τῶν ὕβ. ἀτιμία* C. *τὰ* om. H. [g] *οὐδὲν τούτων* omnes. *οὐδὲ τοῦτο* Edd.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκλύει, οὐδὲ ἀφίστησι τῆς ἐρωμένης. Εἶτα οὐκ αἰσχυνόμεθα, ὅσην ὁ τοῦ διαβόλου καὶ τῶν δαιμόνων ἔρως ἰσχὺν ἔχει, ταύτην οὐ δυνάμενοι περὶ τὴν κατὰ θεὸν [h]δεῖξαι φιλίαν; Οὐκ ἐννοεῖς, D ὅτι τοῦτο μέγιστόν ἐστιν ὅπλον κατὰ τοῦ διαβόλου; [i]οὐ συνορᾷς, ὅτι παρέστηκεν ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἕλκων πρὸς ἑαυτὸν τὸν μισούμενον, [k]καὶ βουλόμενος πλεονεκτῆσαι τὸ μέλος; σὺ δὲ [l]παρατρέχεις, καὶ τὸ ἔπαθλον προδίδως τῆς μάχης; Καὶ γὰρ ἔπαθλον ὁ ἀδελφὸς ἐν τῷ μέσῳ κεῖται· [m]κἂν περιγένῃ, σὺ τὸν στέφανον ἔλαβες· ἂν δὲ ῥαθυμήσῃς, ἀστεφάνωτος ἀνεχώρησας. Παῦσαι [n]τοίνυν τὸ Σατανικὸν ἐκεῖνο φθεγγόμενος ῥῆμα, ὅτι ἐὰν [o]ὁ ὀφθαλμός μου μισῇ με, οὐδὲ ἰδεῖν αὐτὸν [p]δύναμαι. Οὐδὲν γὰρ αἰσχρότερον τοῦ ῥήματος τούτου, καίτοιγε εὐγενοῦς αὐτὸ ψυχῆς [q]εἶναι δεῖγμα τίθενται E οἱ πολλοί· ἀλλ' οὐδὲν [r]τούτου δυσγενέστερον, [s]οὐδὲν ἀνοητότερον, [t]οὐδὲν μωρότερον. Διὸ δὴ μάλιστα καὶ πενθῶ, ὅτι τὰ τῆς κακίας ἀρετῆς εἶναι [v]νομίζεται, καὶ τὸ ὑπερορᾶν καὶ καταφρονεῖν, λαμπρὸν [w]ἔδοξεν εἶναι καὶ σεμνόν· ὅπερ μεγίστη παγίς ἐστι τοῦ διαβόλου, τὸ καὶ ἀγαθὴν [x]περιτιθέναι δόξαν τῇ πονηρίᾳ· [y]διὸ καὶ δυσεξάλειπτος γίνεται. Καὶ γὰρ πολλῶν ἔγωγε ἤκουσα σεμνυνομένων ἐπὶ τῷ μὴ προσίεσθαι τοὺς ἀποστρεφομένους αὐτούς· καίτοιγε ὁ δεσπότης σου [z]καὶ ἐγκαλλωπίζεται τούτῳ. Ποσάκις [a]γοῦν αὐτὸν διέπτυσαν ἄνθρωποι; ποσάκις ἀπεστράφησαν; αὐτὸς δὲ οὐ παύεται ἐπιτρέχων. Μὴ τοίνυν λέγε, ὅτι οὐ δύναμαι [b]προσίεσθαι τοὺς μισοῦντας, ἀλλ' εἰπὲ, ὅτι οὐ δύναμαι διαπτύσαι τοὺς διαπτύοντας. Τοῦτο [c]τοῦ 724 μαθητοῦ τοῦ Χριστοῦ τὸ ῥῆμα, ὡς τό γε ἕτερον τοῦ διαβόλου· τοῦτο λαμπροὺς [d]ποιεῖ καὶ ἐνδόξους, ὡς τό γε ἕτερον αἰσχροὺς καὶ καταγελάστους. Διὰ τοῦτο [e]θαυμάζομεν Μωϋσέα, ὅτι [f]καὶ τοῦ θεοῦ λέγοντος, [16] "Ἔασόν με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς," οὐκ ἠδυνήθη διαπτύσαι τοὺς πολλάκις αὐτὸν ἀπο-

[16] Exod. xxxii. 10, 32.

[h] δεῖξαι pro ἐπιδεῖξαι A.B.D.E.F.I. [i] οὐχ ὁρᾷς I. [k] καὶ om. D.E. [l] παρέχεις B. [m] κἂν γὰρ π. Edd. γὰρ deest in omnibus. [n] τοίνυν om. I. [o] ὁ ὀφθαλμὸς A. B. C. D. E. F. I. ὁ ἀδελφὸς Veron. Sav. ἀδελφὸς sine artic. Mor. Ben. [p] δύναμαι A.D.E.I. δύνωμαι B.F.H. βούλομαι Edd. [q] εἶναι δεῖγμα pro δεῖγμα εἶναι B.C.D.E.F.H.I. τίθενται οἱ π. δεῖγμα εἶναι hoc ord. A. [r] τούτου pro τούτων A.B.D.E.F.H.I. [s] οὐδὲν pro οὐδὲ A.B.D.F.I. ἢ ἀνοητ. E. [t] οὐδὲν (οὐδὲ C.) μωρότερον omnes. οὐδὲ ὠμότερον Edd. [v] νομίζεται] Sic F.I. νομίζετε A.B.C.D.E.H. νομίζουσιν οἱ πολλοὶ Edd. [w] ἔδοξεν C. [x] περιτιθέναι omnes. περιθεῖναι Edd. [y] διὸ om. I. Statim δυσέκνιπτος C. [z] καὶ om. I. [a] οὖν A.B.E.F.H.I. Mox οἱ ἄνθρωποι B.E. [b] προσίεσθαι] ἰδεῖν I. Mox εἰπὲ om. idem. [c] τοῦ μαθ. omnes. τοῦ Χριστοῦ B.C.D.E.H. μαθητοῦ Χριστοῦ absque articulis Veron. Sav. Mor. [d] ποιεῖ pro ἐποίει A.B. C.D.E.F.H. [e] θαυμάζωμεν B.F.H. [f] καὶ om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στραφέντας, ἀλλ' ἔλεγεν, "Εἰ μὲν [g]ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· [h]ἐπεὶ κἀμὲ ἐξάλειψον." Θεοῦ γὰρ [i]ἦν φίλος καὶ μιμητής. [k]Μὴ δὴ σεμνυνώμεθα ἐφ' οἷς ἐγκαλύπτεσθαι δεῖ, μηδὲ λέγωμεν τὰ τῶν ἀγοραίων [l]τούτων καὶ σεσυρμένων ἀνθρώπων, [m]οἶδα καταπτύσαι μυρίων· ἀλλὰ κἂν [n]ἕτερος λέγῃ, καταγελῶμεν καὶ ἐπιστομίζωμεν, ὅτι καλλωπίζεται ἐφ' οἷς αἰσχύ- B
νεσθαι ἔδει. Τί λέγεις, εἰπέ μοι; καταπτύεις ἀνθρώπου πιστοῦ, οὗ [o]ἀπίστου ὄντος οὐ κατέπτυσεν ὁ Χριστός; Τί λέγω, οὐ κατέπτυσεν; Οὕτω μὲν οὖν αὐτὸν [p]ἐφίλησεν αἰσχρὸν ὄντα καὶ δυσειδῆ, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ. Εἶτα αὐτὸς [q]μὲν οὕτως ἐφίλησε καὶ τοιοῦτον ὄντα, σὺ δὲ [r]νῦν, ὅτε ὡραῖος ἐγένετο καὶ θαυμαστὸς, διαπτύεις, εἰπέ μοι, μέλος ὂν [s]Χριστοῦ, καὶ σῶμα γενόμενον δεσποτικόν; Οὐκ ἐννοεῖς τί φθέγγῃ; οὐκ αἰσθάνῃ οἷα τολμᾷς; Κεφαλὴν ἔχει τὸν Χριστὸν, καὶ τρά- C
πεζαν, καὶ ἱμάτιον, καὶ ζωὴν, καὶ φῶς, καὶ νυμφίον, καὶ πάντα ἐστὶν ἐκεῖνος αὐτῷ, καὶ τολμᾷς εἰπεῖν, ὅτι διαπτύω τοῦτον; καὶ οὐ [t]τοῦτο μόνον, ἀλλὰ καὶ μυρίους ἑτέρους μετ' αὐτοῦ; Ἐπίσχες, ἄνθρωπε, [v]παῦσαι τῆς μανίας· ἐπίγνωθι τὸν ἀδελφόν· μάθε ὅτι ἀνοίας ταῦτα τὰ ῥήματα καὶ παραπληξίας, καὶ λέγε τἀναντία, ὅτι κἂν μυριάκις με διαπτύῃ, ἐγὼ οὐκ ἀποστήσομαι. Οὕτω καὶ τὸν ἀδελφὸν κερδανεῖς, καὶ εἰς δόξαν [w]τοῦ θεοῦ βιώσῃ, καὶ τῶν μελλόντων [x]μεθέξεις ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

[g] ἀφεὶς B.E.F. [h] ἐπεὶ omnes. εἰ δὲ μὴ Edd. [i] ἦν φ. pro φ. ἦν omnes. [k] μὴ δὴ pro μηδὲ B.F. Mox ἐφ' οἷς A. B. C. D. E. F. I. ἐν οἷς Edd. [l] τούτων om. C. [m] οἶδα] ὡς οὐδὲ τοιούτων C. [n] ἕτερος τοῦτο λέγῃ Edd. τοῦτο om. B.C.D.F.H.I. τις pro τοῦτο E. [o] ἀπίστου ὄντος] ἀπιστοῦντος A.C.E.H.I. [p] ἐφίλησεν post δυσειδῆ vulgo legitur, repugnantibus libris. Post ἐφίλησεν, καίτοι add. I. Statim αἰσχρὸν pro ἐχθρὸν omnes. [q] μὲν]+οὖν αὐτὸν C. [r] νῦν om. I. [s] Χριστοῦ sine artic. A.B.D.E. F.H.I. [t] τοῦτο pro τοῦτον A.C.D.E.F.H.I. [v] παῦσαι A.B.C.D.E.F.H. καὶ ἀνάπαυσαι Edd. ἐπίσχες καὶ ἀνάπαυσαι (om. ἄνθρωπε) Veron. [w] τοῦ om. C.D.H. et ante corr. B. Statim βιώσεις C. [x] μεθ. ἀγαθῶν pro ἀγαθῶν μεθ. omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D

ΛΟΓΟΣ ΚΘ.

[1]Λέγω [a]δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων.

ΠΑΛΙΝ περὶ τῆς τοῦ Χριστοῦ κηδεμονίας [b]ἡμῖν διαλέγεται, (21)
ἔτι τοῦ αὐτοῦ κεφαλαίου ἐχόμενος, καὶ δεικνὺς ὅσα ἐποίησεν
ὑπὲρ ἡμῶν, καὶ [c]ὅπως οὐχ ἑαυτῷ ἤρεσε. Καὶ μετὰ [d]τοῦτον
E κἀκεῖνο κατασκευάζει, [e]ὅτι μειζόνων εἰσὶν οἱ ἐξ ἐθνῶν ὀφειλέται
τῷ θεῷ. Εἰ δὲ μειζόνων εἰσὶ, δίκαιοι ἂν εἶεν φέρειν [f]τοὺς
ἀσθενεῖς τοὺς ἐξ Ἰουδαίων. Ἐπειδὴ [g]γὰρ σφόδρα ἐκείνων
καθήψατο, ἵνα μὴ τούτους ἐπάρῃ τοῦτο, καταστέλλει πάλιν
αὐτῶν [h]τὴν ἀπόνοιαν, ἐκείνοις μὲν ἐξ ἐπαγγελίας πατέρων δει-
κνὺς [i]διδόμενα τὰ ἀγαθὰ, τοῖς δὲ ἐξ ἐθνῶν, ἐξ [k]ἐλέους καὶ
φιλανθρωπίας μόνης. Διὸ καὶ ἔλεγε· "Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους
δοξάσαι τὸν θεόν." Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον,
αὐτῶν πάλιν [l]ἄξιον ἀκοῦσαι τῶν ῥημάτων, ἵνα μάθῃς τί ἐστι
τὸ "ὑπὲρ ἀληθείας θεοῦ γεγενῆσθαι τὸν Χριστὸν διάκονον
725 περιτομῆς, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας [m]τῶν πατέρων."
Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Ἐπαγγελία πρὸς τὸν Ἀβραὰμ
ἣν γεγενημένη [n]ἡ λέγουσα· [2]"Σοὶ δώσω τὴν γῆν [o]καὶ τῷ σπέρ-
ματί σου, καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα
τὰ ἔθνη." Ἀλλ' ἐγένοντο κολάσεως ὑπεύθυνοι μετὰ ταῦτα
οἱ τοῦ σπέρματος [p]τοῦ Ἀβραὰμ ἅπαντες. Ὁ γὰρ νόμος ὀρ-
γὴν αὐτοῖς κατειργάζετο παραβαινόμενος, καὶ τῆς ἐπαγγελίας
[q]ἀπεστέρει λοιπὸν ἐκείνης τῆς τῶν πατέρων. Παραγενόμενος
τοίνυν ὁ υἱὸς συνέπραξε τῷ πατρὶ, εἰς τὸ τὰς ἐπαγγελίας
B [r]ἐκείνας ἀληθεῦσαι καὶ εἰς τέλος ἐξελθεῖν. Πάντα γὰρ τὸν
νόμον πληρώσας, ἐν ᾧ καὶ περιτομὴν, καὶ [s]ταύτῃ καὶ διὰ τοῦ
σταυροῦ τῆς κατάρας ἀπαλλάξας τῆς ἐπὶ τῇ παραβάσει, οὐκ
ἀφῆκε διαπεσεῖν τὴν ἐπαγγελίαν. Ὅταν οὖν λέγῃ, "διάκονον

[1] Cap. XV. v. 8. [2] Gen. xii. 7. xxii. 18.

Hom. XXIX. [a] δὲ] γὰρ C. Ἰησοῦν om. idem. [b] ἡμῖν accessit ex omnibus. [c] ὅπως A.E.F.H.I. Cat. πῶς Edd. [d] τοῦτο D.E. [e] ὅτι μειζόνων——δίκαιοι] ὅτι ἐπειδὴ μειζόνων ἔτυχον, δίκαιοι I. οἱ ἐξ ἐθνῶν om. H. [f] τοὺς ἀσθ. τοὺς ἐξ Ἰ. omnes. τοὺς ἐξ Ἰ. ἀσθενεῖς Edd. [g] γὰρ] δὲ B.D.E.F. Statim σφόδρα om. C. [h] τὸ φύσημα. ἐκείνοις μὲν γὰρ ἐξ C. [i] διδόμενα τὰ ἀγαθὰ] ἀγαθὰ τὰ διδόμενα B.D.E.F.H.I. Cat. et ante corr. A. τὰ ἀγαθὰ διδόμενα ex corr. A. [k] ἐλέους pro ἐλέου A.B.D.E.F.H.I. Mox ἐλέους A.B.C. D.E.H. ἐλέου Edd. et Cat. [l] ἄξιον ἀκοῦσαι omnes. ἄκουσον Edd. [m] τῶν πατέρων om. C. [n] ἡ accessit ex omnibus. [o] καὶ τῷ σπ. σου om. C. Mox εὐλογηθήσονται C. ἐνευλογηθήσεται I. [p] τοῦ assumtum ex A.B.C.D. E.F.H. [q] λοιπὸν ἐστέρει hoc ord. C. [r] ἐκείνας om. H. [s] ταύτην A.C.H.I. Statim καὶ om. C.E.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

περιτομῆς," τοῦτο λέγει, ὅτι ἐλθὼν, καὶ πάντα τὸν νόμον πληρώσας, καὶ περιτμηθεὶς, καὶ γενόμενος σπέρμα τοῦ Ἀβραὰμ, ἔλυσε τὴν κατάραν, ἔπαυσε τοῦ θεοῦ τὴν ὀργὴν, [t]ἐπιτηδείους λοιπὸν ἐποίησε τοὺς μέλλοντας δέχεσθαι τὴν ἐπαγγελίαν, ἅπαξ ἀπαλλαγέντας τοῦ προσκεκρουκέναι. Ἵν' οὖν μὴ λέγωσιν οὗτοι οἱ ἐγκαλούμενοι, πῶς οὖν ὁ Χριστὸς [v]περιετέμνετο, καὶ C πάντα ἐφύλαττε τὸν νόμον; εἰς τοὐναντίον αὐτὸ περιτρέπει. Οὐ γὰρ ἵνα [w]μένῃ ὁ νόμος, τοῦτο ἐποίησε, φησὶν, ἀλλ' ἵνα αὐτὸν λύσῃ, καὶ σὲ ἀπαλλάξῃ τῆς [x]ἐκείνου κατάρας, καὶ ἐλευθερώσῃ καθόλου τῆς ἀρχῆς [y]τῆς ἐκείνου. Ἐπειδὴ γὰρ σὺ παρέβης τὸν νόμον, διὰ τοῦτο [z]ἐκεῖνος ἐπλήρωσεν, οὐχ ἵνα σὺ πληρώσῃς, ἀλλ' ἵνα σοι τὰς ἐπαγγελίας βεβαιώσῃ τὰς πρὸς τοὺς πατέρας, ἃς ὁ νόμος διαπεσεῖν ἐποίει, δεικνύς σε [a]προσκεκρουκότα καὶ τῆς κληρονομίας ὄντα ἀνάξιον. Ὥστε καὶ σὺ κατὰ χάριν ἐσώθης· καὶ γὰρ ἀποβεβλημένος ἦς. Μὴ τοίνυν στασίαζε, μηδὲ φιλονείκει ἀντεχόμενος ἀκαίρως τοῦ νόμου, ὃς D καὶ τῆς [b]ἐπαγγελίας ἐξέβαλεν ἄν, εἰ μὴ τοσαῦτα ἔπαθεν ὑπὲρ σοῦ ὁ Χριστός. Ἔπαθε δὲ ταῦτα, οὐκ ἐπειδὴ [c]σὺ ἄξιος σωτηρίας ἦς, ἀλλ' ὥστε ἀληθεῦσαι τὸν θεόν.

Εἶτα, ἵνα [d]μὴ τοῦτο φυσήσῃ τὸν ἐξ ἐθνῶν, φησί· [3] "Τὰ δὲ ἔθνη ὑπὲρ [e]ἐλέους δοξάσαι τὸν θεόν." Ὁ δὲ λέγει, [f]τοῦτό ἐστιν· οἱ μὲν [g]ἐξ Ἰουδαίων κἂν ἐπαγγελίας εἶχον, εἰ καὶ ἀνάξιοι ἦσαν· σὺ δὲ οὐδὲ τοῦτο, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθης μόνης. Εἰ καὶ τὰ μάλιστα οὐδὲ ἐκείνοις τι [h]πλέον ἐγένετο ἀπὸ τῆς ἐπαγγελίας, εἰ μὴ παρεγένετο ὁ Χριστός· ἀλλ' ὅμως ἵνα αὐ- E τοὺς κεράσῃ, καὶ μὴ συγχωρήσῃ κατεξανίστασθαι τῶν [i]ἀσθενῶν, μέμνηται τῶν ἐπαγγελιῶν. Περὶ δὲ [k]τούτων φησὶν, ὅτι ἐλέῳ ἐσώθησαν μόνον. Διὸ καὶ δίκαιοι ἂν εἶεν μάλιστα δοξάζειν τὸν θεόν. Δόξα δὲ [l]θεοῦ, τὸ συνῆφθαι, τὸ ἡνῶσθαι, τὸ ὁμοθυμαδὸν εὐφημεῖν, τὸ βαστάζειν τὸν ἀσθενέστερον, τὸ μὴ περι-

[3] v. 9.

[t] ἐπιτ.] καὶ ἐπιτ. I. Mox ἅπαξ καταλλαγέντας τοὺς προσκεκρουκότας idem. [v] περιετέμετο D.H. περιετμήθη C. Mox ἐφύλαττε τὸν ν. pro τὸν ν. ἐφύλαττεν omnes. [w] μένῃ omnes. μείνῃ Edd. [x] ἐκείνου pro ἐπικειμένης omnes. [y] τῆς ἐξ ἐκείνου Edd. ἐξ om. A.B.D.E.H. Cat. [z] κἀκεῖνος A.H.I. Mox οὐχ ἵνα σοι πληρώσῃ C. [a] προσκ.] καὶ προσκ. B.D.F. Mox ὄντα om. I. [b] ἐπαγγελίας]+σε B.D.F. [c] σὺ ἄξιος] ἄξιος σὺ I. Cat. σὺ om. B. Statim σωτηρίας ἦς pro ἦς σωτηρίας omnes. [d] μηδὲ I. Mox τοὺς ἐξ ἐθνῶν C. [e] ἐλέου F.H. et ante corr. B. [f] τοῦτο (τοῦτ' H.) pro τοιοῦτον A.B.D.E.F.H. Cat. [g] ἐξ Ἰουδαίων libri omnes et Cat. Ἰουδαῖοι Edd. Statim κἂν pro καὶ A.B.C.D.E.F.I. Cat. receptum a Montef. [h] πλέον]+ ἂν E. [i] ἀσθενῶν] Ἰουδαίων C. [k] τοῦτο H. Mox ἐλέῳ pro ἐλέει omnes cum Cat. Tum μόνον pro μόνῳ C.D.E.F.H.I. et ante corr. A. [l] θεοῦ omnes. θεῷ Edd. Mox δοξάζειν pro εὐφημεῖν C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ορᾶν ἀπορρηγνύμενον τὸ μέλος. Εἶτα καὶ μαρτυρίας ἐπάγει, ἐν αἷς δείκνυσιν, ὅτι δεῖ συνῆφθαι [m]τὸν ἐξ Ἰουδαίων τοῖς ἐξ ἐθνῶν, οὕτω λέγων· "Καθὼς γέγραπται· Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ· [4] καὶ, Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ· καὶ, [n]Αἰνεῖτε πάντα τὰ ἔθνη τὸν κύριον, [o]καὶ ἐπαινεσάτωσαν αὐτὸν πάντες [*]οἱ λαοί· καὶ, Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι." Ταῦτα δὲ [p]πάντα παρήγαγε, δεικνὺς ὅτι δεῖ ἡνῶσθαι καὶ δοξάζειν τὸν θεὸν, [q]ὁμοῦ καὶ τὸν ἐξ Ἰουδαίων καταστέλλων, ἵνα μὴ ἐπαίρηται κατὰ τούτου, τῶν προφητῶν πάντων τούτους καλούντων, καὶ τὸν [r]ἐξ ἐθνῶν πείθων μετριάζειν, τῷ δεῖξαι πλείονος ὑπεύθυνον ὄντα χάριτος. Εἶτα πάλιν ἐπὶ εὐχὴν κατακλείει τὸν λόγον, λέγων· [5] "Ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι [s]ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ [t]περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου." Τουτέστιν, ἀπαλλαγείητε τῆς πρὸς ἀλλήλους ἀθυμίας, καὶ μὴ καταβληθείητέ ποτε ὑπὸ τῶν πειρασμῶν· τοῦτο δὲ [v]ἔσται ἐν τῷ περισσεύειν ὑμᾶς [w]ἐν τῇ ἐλπίδι. Τὸ [x]γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν τοῦτο. Τοῦτο δὲ ἀπὸ πνεύματος ἔσται ἁγίου. Ἀλλ' οὐχ ἁπλῶς ἀπὸ πνεύματος, ἀλλ' ἐὰν καὶ τὰ παρ' ἡμῶν εἰσενέγκωμεν. Διὰ τοῦτό φησιν, "ἐν τῷ πιστεύειν·" οὕτω γὰρ δύνασθε πληρωθῆναι χαρᾶς, ἐὰν [y]πιστεύητε, ἐὰν ἐλπίζητε. [z] Ἀλλ' οὐκ εἶπεν, [a]ἐὰν ἐλπίζητε, ἀλλ', "ἐὰν περισσεύητε ἐν τῇ ἐλπίδι," ὥστε μὴ μόνον παραμυθίαν εὑρεῖν τῶν δεινῶν, ἀλλὰ καὶ χαρὰν ἔχειν διὰ τὴν περιουσίαν τῆς πίστεως καὶ τῆς ἐλπίδος. Οὕτω καὶ τὸ πνεῦμα [b]ἐπισπάσεσθε· οὕτω καὶ ἐκείνου παραγενομένου, τὰ ἀγαθὰ διατηρήσετε πάντα.

[c]Καθάπερ γὰρ τὴν ζωὴν ἡμῶν ἡ τροφὴ διακρατεῖ, καὶ (218)

[4] v. 10–12. [5] v. 13.

[m] τὸν pro τοὺς A.B.F.H.I. non Cat. τοὺς Ἰουδαίους C. [n] αἰνεῖτε — κύριον om. F. αἰνεῖτε τὸν κ. πάντα τὰ ἔθνη C.D. [o] καὶ accessit ex A.B.C. D.E.I. Statim ἐπαινεσάτωσαν pro ἐπαινέσατε omnes. [p] πάντα om. D.E. [q] καὶ ὁμοῦ Edd. καὶ deest in omnibus. Statim καὶ τῶν ἐξ Ἰ. καταστέλλων τὸν τῦφον, ἵνα C. [r] ἐξ ἐθνῶν] ἐθνικὸν A. [s] ὑμᾶς—εἰρήνης] χαρᾶς ὑμᾶς καὶ εὐφροσύνης I. [t] περισσεύειν] + ὑμᾶς C.D. Statim ἐν om. A.B.E. Mosq. S. [v] ἔστιν A.B.D.E.F.H.I. Cat. [w] ἐν om. D.E. [x] γὰρ pro δὲ C. τὸ γὰρ — τοῦτο] τοῦτο γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν A.B.D.E.F.H.I. Cat. [y] πιστεύσητε A.B.D.E.F.H. Cat. Statim ἐὰν ἐλπίζητε om. I. [z] ἀλλ'] καὶ I. [a] ἐὰν om. C. [b] ἐπισπάσασθαι C. Statim οὕτω κἀκείνου (add. in marg. τὸ πνεῦμα) τὰ ἀγαθὰ διατηρῆσαι ἅπαντα idem. διατηρῆσαι est in H. [c] ΗΘΙΚΟΝ. Περὶ τοῦ δεῖν ἔργα ἔχειν ἀγαθά· τούτων γὰρ ὄντων καὶ πνεῦμα ἅγιον ἕξομεν, καὶ ἐλπίδα ἀγαθήν. Δεῖ οὖν καὶ ψάλλειν συνεχῶς, καὶ τὰς ἄλλας κατὰ νοῦν ἔχειν γραφάς· οὕτω γὰρ πάντα εἰσόμεθα, καὶ περὶ δογμάτων καὶ περὶ ἠθικῶν καὶ τῶν ἄλλων. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[d]ταύτῃ τὸ σῶμα οἰκονομεῖ· οὕτως ἐὰν ἔχωμεν ἔργα ἀγαθὰ, τὸ πνεῦμα [e]ἕξομεν· [f]κἂν τὸ πνεῦμα σχῶμεν, καὶ ἔργα ἕξομεν ἀγαθά· ὥσπερ οὖν [g]καὶ τοὐναντίον, [h]ἐὰν μὴ ἔργα ἔχωμεν, τὸ D
πνεῦμα ἀφίπταται· ἐὰν δὲ τοῦ πνεύματος ἐρημωθῶμεν, καὶ περὶ τὰ ἔργα [i]χωλεύσομεν. Ὅταν γὰρ τοῦτο ἀπέλθῃ, τὸ ἀκάθαρτον ἔρχεται· καὶ δῆλον ἀπὸ τοῦ Σαούλ. Τί γάρ, εἰ μὴ πνίγει ἡμᾶς ὥσπερ ἐκεῖνον; Ἀλλ' ἑτέρως ἀπαγχονίζει διὰ πράξεων πονηρῶν. Δεῖ τοίνυν ἡμῖν τῆς κιθάρας τοῦ Δαυΐδ, ἵνα ἐπάδωμεν τῇ ψυχῇ τὰς θείας ἐπῳδὰς, καὶ τὰς ἐντεῦθεν καὶ τὰς [k]ἀπὸ τῶν ἀγαθῶν πράξεων· ὡς ἂν θάτερον μόνον ποιῶμεν, καὶ τῆς ᾠδῆς ἀκούοντες, τῷ ταῦτα ἐπάδοντι πολεμῶμεν διὰ τῶν ἔργων, καθάπερ ἐκεῖνος τότε· καὶ εἰς κρίμα ἡμῖν ἔσται τὸ φάρμακον, καὶ ἀγριωτέρα ἡ μανία [l]γενήσεται. Πρὸ μὲν γὰρ E
τοῦ ἀκοῦσαι, δέδοικεν ὁ πονηρὸς δαίμων, [m]μήποτε ἀκούσαντες κατορθώσωμεν· ὅταν δὲ [n]καὶ ἀκούσαντες οἱ αὐτοὶ μένωμεν, καὶ τοῦτο ἐξαιρεῖται [o]τὸ δέος αὐτοῦ. [p]Ψάλλωμεν τοίνυν τὴν ἀπὸ τῶν πράξεων ᾠδὴν, ἵνα τὴν δαίμονος χαλεπωτέραν ἐκβάλωμεν ἁμαρτίαν. Δαίμων [q]μὲν γὰρ οὐ πάντως ἀποστερεῖ τῶν οὐρανῶν, ἀλλ' ἔστιν ὅπου καὶ συμπράττει τῷ νήφοντι· ἁμαρτία δὲ πάντως ἐκβάλλει. [r]Δαίμων γάρ ἐστιν ἑκούσιος αὕτη, καὶ μανία αὐθαίρετος· διόπερ οὐδὲ τοὺς ἐλεοῦντας ἔχει [s]καὶ συγγινώσκοντας. Ἐπάδωμεν τοίνυν τῇ οὕτω διακειμένῃ ψυχῇ, καὶ ἀπὸ τῶν ἄλλων γραφῶν, καὶ ἀπὸ τοῦ μακαρίου Δαυΐδ· καὶ ψαλλέτω τὸ στόμα, καὶ παιδευέσθω ὁ νοῦς. Οὐκ ἔστιν 727
οὐδὲ [t]αὐτὸ τοῦτο μικρόν. [u]Ἂν γὰρ παιδεύσωμεν τὴν γλῶτταν ψάλλειν, αἰσχυνθήσεται ἡ ψυχὴ ταύτης ψαλλούσης [v]τἀναντία βουλευομένη. Οὐ τοῦτο δὲ μόνον καρπωσόμεθα τὸ καλὸν, ἀλλ' ὅτι καὶ [w]πολλὰ εἰσόμεθα τῶν ἡμῖν διαφερόντων. Καὶ γὰρ [x]καὶ περὶ τῶν παρόντων καὶ τῶν μελλόντων σοι διαλέγεται, καὶ περὶ τῶν [y]ὁρωμένων, καὶ [z]περὶ τῆς ἀοράτου κτίσεως.

[d] ταύτῃ τὸ σῶμα οἰκονομεῖ] Sic H.I. et ex corr. C. ταύτῃ τὸ σ. οἰκονομεῖται A. αὕτη τὸ σ. οἰκονομεῖ B.D.E.F. Edebatur ταύτην ἡ ζωὴ οἰκονομεῖ. [e] ἕξομεν—ἀγαθὰ] πάρεσται I. [f] κἂν] καὶ ἐὰν C. Statim σχῶμεν pro ἔχωμεν A.B.C.D.E.F.H. [g] καὶ om. C. [h] ἂν I. Mox ἂν pro ἐὰν D.E.H.I. ἐὰν γὰρ pro ἐὰν δὲ C. [i] χωλεύσωμεν H. χωλαίνομεν I. Statim ἐὰν pro ὅταν C. [k] ἀπὸ om. A. ἐκ pro ἀπὸ H. [l] γίνεται C. Statim μὲν om. B.C. [m] μήποτε]+καὶ εἰς κρίμα ἔσται ἡμῖν τὸ κακὸν C. Mox βελτίους γενώμεθα pro κατορθώσωμεν I. [n] καὶ om. C.I. [o] τὸ δέος αὐτοῦ om. A.E.H.I. [p] ψάλλωμεν pro ψάλωμεν A.D.E.H. [q] μὲν assumtum ex A.B.D.E.F.H.I. [r] δαίμων ἑκούσιός ἐστιν αὕτη C. [s] καὶ συγγινώσκοντας om. H. [t] αὐτὸ τοῦτο pro τοῦτο αὐτὸ A.B.D.E.F.H.I. [u] τὰ ἐναντία A.B.E.H.I. Statim βουλευομένη B.C.D.E.F. βουλομένη Edd. [w] πολλὰ]+ἡμεῖς Edd. repugnantibus libris. [x] καὶ om. C. Mox καὶ περὶ τῶν μ. C.H. [y] ὁρωμένων]+καὶ περὶ τῶν ἀοράτων I. [z] περὶ om. B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἂν περὶ οὐρανοῦ [a] θέλῃς μαθεῖν, πότερον μένει τοιοῦτος ἢ μεταβάλλεται, σαφῶς [b] ἀποκρίνεταί σοι καὶ ἐρεῖ, ὅτι [6] "Οἱ οὐρανοὶ ὡς ἱμάτιον παλαιωθήσονται, [c] καὶ ὡσεὶ περιβόλαιον
B ἑλίξεις αὐτοὺς ὁ θεὸς, καὶ ἀλλαγήσονται." Καὶ περὶ τοῦ σχήματος [d] ἂν ἐθέλῃς ἀκοῦσαι, ἀκούσῃ πάλιν· [7] "Ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν." Κἂν περὶ τῶν νώτων αὐτοῦ [f] βουληθῇς τι πλέον εἰδέναι, ἐρεῖ σοι πάλιν· [8] "Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ." Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ περὶ τοῦ πλάτους καὶ τοῦ ὕψους σοι διαλέγεται, δεικνὺς ταῦτα ἰσόμετρα ὄντα. [9] "Καθ' ὅσον γὰρ, [g] φησὶν, ἀπέχουσιν ἀνατολαὶ (219)
ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε κύριος τὸ ἔλεος
C αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν." Κἂν τῆς γῆς τὰ θεμέλια περιεργάσῃ, οὐδὲ ταῦτά σε [h] ἀποκρύψει, ἀλλ' ἀκούσῃ ψάλλοντος αὐτοῦ καὶ λέγοντος, ὅτι [10] "Ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν." Κἂν περὶ τῶν σεισμῶν [i] θέλῃς μαθεῖν πόθεν γίνονται, ἀπαλλάξει σε πάσης ἀπορίας, οὕτω λέγων· [11] "Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν." Κἂν τῆς νυκτὸς [k] ζητῇς τὴν χρείαν, καὶ ταύτην εἴσῃ παρ' αὐτοῦ μαθὼν, ὅτι [12] "Ἐν αὐτῇ [l] διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ." Καὶ τὰ ὄρη ποῦ χρήσιμα, ἀποκρίνεταί [m] σοι· [13] "Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις." Καὶ διὰ τί [n] αἱ πέτραι; "Πέτρα καταφυγὴ
D [o] τοῖς χοιρογρυλλίοις." Διὰ τί τὰ ἄκαρπα [p] δένδρα; [14] "Ἐκεῖ στρουθία ἐννοσσεύσουσι." Διὰ τί ἐν ἐρήμοις [q] πηγαί; [15] "[r] Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, καὶ τὰ θηρία τοῦ ἀγροῦ." Διὰ τί οἶνος; Οὐχ ἵνα [s] πίνῃς μόνον, ἐπεὶ ἤρκει καὶ ἡ

6 Psal. ci. 27. 7 Ibid. ciii. 2, 3. 8 Ibid. vers. 3. 9 Ibid. cii. 12, 11.
10 Ibid. xxiii. 2. 11 Ibid. ciii. 32. 12 Ibid. vers. 20. 13 Ibid. vers. 18.
14 Ibid. vers. 17. 15 Ibid. vers. 12, 11.

[a] θέλῃς pro θέλεις A.B.C.D.E.I. [b] ἀποκρίνεται A.B.C.D.E.F.H. ἀποκρινεῖται Edd. Post ἐρεῖ add. σοι C. [c] καὶ ὡσεὶ—ἀλλαγήσονται] καὶ τὰ ἑξῆς I. ἑλίξει pro ἑλίξεις B.C. [d] ἐὰν H.I. ἐθέλῃς pro θέλῃς A.B.D.E.F.I. [e] ὁ om. D.E. [f] βουληθῇς τι A.B.C.D.F.H. βουληθείς τι E. βουληθῇς (om. τι) I. βουληθῇ τις Edd. Statim μαθεῖν pro πλέον εἰδέναι C. [g] φησὶν om. C. Mox αἱ ἀνατολαὶ idem. [h] ἀποκρύψει pro ἀποκρύψεται A.B.D.E. F.H.I. Statim ἀλλ' ἀκούσῃ om. C. [i] θέλῃς A.E.I. θέλεις H. ἐθέλῃς D. θελήσῃς B.F. ἐπιθυμήσῃς Edd. [k] ζητῇς pro ζητήσῃς B.D.E.F.I. Mox ταύτης pro ταύτην I. [l] διελεύσεται pro διελεύσονται omnes. ἐν αὐτῇ om. I. [m] σοι om. C. Veron. Mox ταῖς ἐλάφοις D. [n] αἱ πέτραι om. I. αἱ πέτραι λέγει σοι Edd. λέγει σοι om. C. Veron. [o] τοῖς χοιρογρυλλίοις καὶ τοῖς λαγωοῖς Edd. τοῖς χ. καὶ om. A. B. D. E. H. I. καὶ τοῖς λαγωοῖς om. C. [p] δένδρα]+μάθε Edd. μάθε om. C. Veron. [q] πηγαί]+ἄκουε D.E. [r] ἐπ' αὐτὰ κατασκηνώσουσι πάντα τὰ θ. τοῦ ἀγροῦ C. ἐπ' αὐτὰ κατασκηνώσει τὰ θ. τοῦ ἀ. Veron. Haec καὶ τὰ θ. τοῦ ἀ. om. D.E. [s] πίῃς C. διὰ τί—ἤρκει] οὐχ ἵνα πίῃς δὲ μόνον οἶνος, ἤρκει γὰρ D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ ὕδατος φύσις, ἀλλ' [t]ἵνα καὶ ἡσθῇς· 16 "Οἶνος γὰρ εὐφραίνει καρδίαν [v]ἀνθρώπου." Τοῦτο [w]δὲ μαθὼν, εἶσῃ καὶ μέχρι ποῦ τῷ οἴνῳ [x]χρῆσθαι δεῖ. Πόθεν τρέφεται τὰ πετεινὰ καὶ τὰ [y]ἄγρια θηρία; Ἀκούσῃ λέγοντος· 17 "Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν [z]αὐτῶν εἰς εὔκαιρον." [a]Κἂν εἴπῃς, διὰ τί τὰ κτήνη; ἀποκρίνεταί σοι, ὅτι καὶ ταῦτα διὰ σέ· E 18 "Ὁ ἐξανατέλλων γὰρ, φησὶ, χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων." [b]Τίς τῆς σελήνης ἡ χρεία; [c]Ἄκουσον αὐτοῦ λέγοντος· 19 "Ἐποίησε σελήνην εἰς καιρούς." Καὶ ὅτι γενητὰ πάντα τὰ ὁρώμενα [c]καὶ τὰ μὴ ὁρώμενα, καὶ τοῦτο σαφῶς ἐδίδαξεν εἰπών· 20 "Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν." Καὶ ὅτι θανάτου λύσις ἔσται, καὶ [d]τοῦτο διδάσκει λέγων· 21 "Ὁ θεὸς [e]λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με." Πόθεν τὸ σῶμα [f]ἡμῶν γέγονε; καὶ τοῦτο λέγει· 22 "Ἐμνήσθη ὅτι χοῦς ἐσμεν." Ποῦ πάλιν [g]ἀπέρχεται; 23 "Ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ." Διὰ τί [h]ταῦτα πάντα; Διὰ σέ. 24 "Δόξῃ γὰρ καὶ τιμῇ 728
ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν [i]ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου." [k]Ἔχομέν τι κοινὸν πρὸς τοὺς ἀγγέλους οἱ ἄνθρωποι; Καὶ τοῦτο λέγει ψάλλων οὕτως· "Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους." Περὶ τῆς ἀγάπης τοῦ [l]θεοῦ· 25 "Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, [m]ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν." Περὶ τῶν μετὰ ταῦτα [n]διαδεξομένων ἡμᾶς, καὶ [o]τῆς ἀταράχου λήξεως ἐκείνης· 26 "Ἐπίστρεψον, [p]φησὶ, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου." Διὰ τί οὕτω μέγας ὁ οὐρανός; Καὶ τοῦτο ἐρεῖ· [q]ὅτι 27 "Οἱ οὐρανοὶ διη-

16 Psal. ciii. 15. 17 Ibid. vers. 27. 18 Ibid. vers. 14. 19 Ibid. vers. 19.
20 Ibid. xxxii. 9. 21 Ibid. xlviii. 16. 22 Ibid. cii. 14. 23 Ibid. ciii. 29.
24 Ibid. viii. 6, 7. 25 Ibid. cii. 13. 26 Ibid. cxiv. 7. 27 Ibid. xviii. 2.

[t] ἵνα καὶ εὐφρανθῇς καὶ ἡσθῇς Edd. ἵνα εὐφ. καὶ ἡσθῇς A.I. ἵνα καὶ ἡσθῇς C.D.E. Veron. ἵνα ἡσθῇς B. In H. haec ἀλλ' ἵνα—ἡσθῇς desunt. [v] ἀνθρώπου]+φησὶν E. [w] δὲ accessit ex omnibus. μαθὼν om. a pr. man. C. [x] χρῆσθαι pro κεχρῆσθαι omnes. χρῆσθαι τῷ οἴνῳ hoc ord. C. Statim χρὴ pro δεῖ A.B.C.F.H.I. [y] ἄγρια om. B. [z] αὐτῶν pro αὐτοῖς omnes. [a] κἂν pro ἂν omnes. [b] τίς B.D.H.I. τί Edd. Mox ἡ χρεία pro σοι χρεία A.B.C.D.F.H.I. εἰς χρεία E. [c] καὶ τὰ μὴ ὁρώμενα om. A.B.D.E.F.H. [d] τοῦτο]+σε Edd. σε om. A.B.E.F.H.I. [e] λύτρωσαι C. [f] ἡμῶν pro ἡμῖν omnes. Mox ἐμνήσθην E. μνήσθητι C. [g] ἀπέρχεται]+καὶ τοῦτο ἐρεῖ D.E. Statim ἐπιστρέφει εἰς τὴν γῆν αὐτοῦ C. [h] πάντα ταῦτα inverso ord. B.D.F. [i] ἐπὶ]+πάντα B. [k] εἰ ἔχομεν Edd. εἰ deest in A.B.D.E.F.H.I. Statim τοι pro τι A.E. [l] θεοῦ]+λέγει A.B.D.E.F.H.I. [m] οἰκτείρει C. [n] διαδεξομένων] διδάξει σε καὶ τῶν διδαξομένων (?) I. [o] τῆς]+μετὰ C. Mox ἐκείνης om. idem. Post ἐκείνης add. διδάσκει D.E. [p] φησὶ om. H. Statim ἡ ψυχὴ B.F.I. [q] ὅτι om. D.E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B γοῦνται δόξαν θεοῦ." Διὰ τί νὺξ καὶ ἡμέρα [r] ἐγένετο; Οὐχ ἵνα φαίνωσι [s] καὶ ἀναπαύωσι μόνον, ἀλλ' ἵνα καὶ παιδεύωσιν. [28] "Οὐ γάρ εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν." Πῶς ἡ θάλασσα περίκειται τῇ [t] γῇ; [29] "Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς·" οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἔχει. Ἀπὸ δὲ τῶν εἰρημένων ἀρχὴν λαβόντες, καὶ τὰ ἄλλα πάντα εἴσεσθε, τὰ περὶ Χριστοῦ, τὰ περὶ ἀναστάσεως, τὰ περὶ τῆς μελλούσης ζωῆς, τὰ περὶ ἀναπαύσεως, τὰ περὶ κολάσεως, τὰ [v] κατὰ τὸν ἠθικὸν λόγον, τὰ περὶ [w] τῶν δογμάτων ἅπαντα, καὶ μυρίων ἀγαθῶν [x] τὸ βιβλίον ἐμπεπλησμένον εὑρήσετε. Κἂν C εἰς πειρασμοὺς ἐμπέσῃς, πολλὴν ἐντεῦθεν [y] λήψῃ παραμυθίαν· κἂν εἰς ἁμαρτήματα, μυρία φάρμακα κείμενα ἐνταῦθα εὑρήσεις· ἂν εἰς πενίαν, ἂν εἰς θλῖψιν, πολλοὺς τοὺς λιμένας ὄψει· κἂν δίκαιος ᾖς, πολλὴν [z] ἀσφάλειαν ἐκεῖθεν καρπώσῃ· κἂν ἁμαρτωλὸς ᾖς, πολλὴν τὴν παραμυθίαν. Ἂν τε γὰρ δίκαιος ᾖς, καὶ πάσχῃς δεινὰ, ἀκούσῃ λέγοντος, ὅτι [30] "Ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ταῦτα πάντα [a] ἐπῆλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου." [b] Κἂν ἐπάρῃ σε τὰ κατορθώματα, ἀκούσῃ λέγοντος· [31] "Μὴ D εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν·" καὶ εὐθέως ταπεινωθήσῃ. [c] Κἂν ἁμαρτωλὸς ᾖς, καὶ ἀπεγνωκὼς ἑαυτοῦ, ἀκούσῃ συνεχῶς ἐπάδοντος· [32] "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ·" καὶ ἀναστήσῃ ταχέως. Κἂν διάδημα ἔχῃς ἐπὶ τῆς κεφαλῆς, καὶ [d] μέγα φρονῇς, μαθήσῃ (220)
ὅτι [33] "Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ·" καὶ δυνήσῃ μετριάζειν. [e] Ἐὰν πλούσιος ᾖς καὶ ἐπίδοξος, πάλιν ἀκούσῃ ψάλλοντος· [34] "Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλή- E θει τοῦ πλούτου αὐτῶν [f] καυχώμενοι·" καὶ ὅτι "Ἄνθρωπος,

28 Psal. xviii. 4. 29 Ibid. ciii. 6. 30 Ibid. xliii. 23, 18. 31 Ibid. cxlii. 2. 32 Ibid. xciv. 8. 33 Ibid. xxxii. 16. 34 Ibid. xlviii. 7. cii. 15. xlviii. 18.

[r] ἐγένετο] ἐγένοντο C. οὐδὲ τοῦτο ἀποκρύψει· ἐγένετο γὰρ D.E. [s] καὶ ἀναπαύωσι om. C. ἀλλὰ pro ἀλλ' ἵνα idem. [t] γῇ] +καὶ τοῦτο ἔνθεν (non ἐκεῖθεν, quod citat Montef.) μαθήσῃ D.E. [v] κατὰ τὸν ἠθικὸν λόγον] Sic omnes. μετὰ τῶν ἠθικῶν λόγων Veron. περὶ τῶν ἠ. λ. Sav. cet. [w] τῶν om. I. Post ἅπαντα add. περιέχει idem. [x] τὸ β. ἐμπ. pro ἐμπ. τὸ β. B.C. D.F.H.I. [y] λήψῃ] εὑρήσεις C. Mox κἂν εἰς ἁμαρτίαν idem. [z] τὴν ἀσφ. (sic) B. Mox τὴν ante παραμυθίαν accessit ex omnibus. [a] ἐπῆλθεν pro ἦλθεν A.B.C.D.E.F.I. [b] κἂν] ἂν D.E.F. [c] κἂν] ἂν C.D.E.F.H.I. Infra haec ὡς ἐν τῷ παραπικρασμῷ om. C. [d] μέγα φρ.] μεγαλοφρ. E. [e] ἐὰν] ἂν C.D.H. [f] ἐγκαυχώμενοι F. et ex corr. A. αὐτῶν καυχώμενοι om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ὡσεὶ χόρτος αἱ ἡμέραι [g]αὐτοῦ·" καὶ [h]ὅτι "Οὐ συγκαταβήσεται [i]αὐτῷ ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ·" καὶ οὐδὲν ἡγήσῃ μέγα [k]εἶναι τῶν ἐπὶ τῆς γῆς. Τὸ γὰρ πάντων λαμπρότερον, ἡ δόξα καὶ ἡ δυναστεία, ὅταν [l]οὕτως εὐτελὲς ᾖ, τί ἕτερον ἄξιον ἂν εἴη λόγου τῶν ἐπὶ τῆς γῆς; Ἀλλ' ἐν ἀθυμίᾳ κατέστης; Ἄκουσον αὐτοῦ λέγοντος· [35] "Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ [m]τὸν θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ." Ἀλλ' ὁρᾷς εὐδοκιμοῦντας [n]παρ' ἀξίαν; [36] "Μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος [o]ξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται." Ὁρᾷς [p]καὶ δικαίους καὶ ἁμαρτωλοὺς κολαζομένους; Ἄκουσον ὅτι [q]οὐχ ἡ αὐτὴ αἰτία· [37] "Πολλαὶ γάρ, φησὶν, αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ." Ἐπὶ δὲ τῶν δικαίων οὐκ εἶπεν, αἱ μάστιγες, ἀλλὰ, [38] "Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος·" καὶ πάλιν, "Θάνατος ἁμαρτωλῶν πονηρός·" καὶ, "Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ." Ταῦτα λέγε συνεχῶς, ἐντεῦθεν παιδεύου· τούτων γὰρ ἕκαστον B
τῶν ῥημάτων πέλαγος ἀχανὲς ἔχει νοημάτων. Ἡμεῖς [r]γὰρ ἁπλῶς αὐτὰ παρεδράμομεν· εἰ δὲ βουληθείητε μετὰ [s]ἀκριβείας διερευνᾶσθαι τὰ εἰρημένα, πολὺν ὄψεσθε τὸν πλοῦτον. Ἀλλὰ τέως καὶ ἐκ τῶν εἰρημένων δυνατὸν [t]καθαίρεσθαι τῶν ἐπικειμένων παθῶν· ὅταν γὰρ [v]μὴ φθονεῖν ἐᾷ, μὴ λυπεῖσθαι καὶ [w]ἀθυμεῖν ἀκαίρως, μήτε ἡγεῖσθαί [x]τι πλοῦτον, [y]μὴ θλῖψιν, μὴ πενίαν, μηδὲ αὐτὴν τὴν ζωὴν νομίζειν τι εἶναι, πάντων σε ἀπαλλάττει [z]τῶν παθῶν. Ὑπὲρ [a]δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ θεῷ, καὶ τὸν θησαυρὸν μεταχειριζώμεθα, "ἵνα διὰ τῆς ὑπομονῆς καὶ [b]τῆς παρακλήσεως τῶν γραφῶν τὴν C
ἐλπίδα ἔχωμεν," καὶ τῶν μελλόντων [c]ἀπολαύσωμεν ἀγαθῶν·

35 Psal. xli. 12. 36 Ibid. xxxvi. 1, 2. 37 Ibid. xxxi. 10. 38 Ibid. xxxiii. 20, 22. cxv. 6.

[g] αὐτοῦ]+ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει Sav. Mor. Ben. Haec om. B.C.D.E.F.H. Veron. [h] ὅτι assumtum ex B.D.F.H.I. [i] αὐτῷ accessit ex B.E.F.H.I. Mox ὀπίσω αὐτοῦ om. E. [k] εἶναι] τι εἶναι D.E. εἰναί τι C. [l] οὕτως om. C.E. Statim εὐτελὲς B.D.E.F. εὐτελὴς Edd. [m] τῷ θεῷ A. [n] παρ' ἀξίαν]+λάβε καὶ τούτου τὴν θεραπείαν D.E. +εἰπὲ Edd. invitis libris. Post πονηρευομένοις, εἰπὲ add. A.B.D.E.F.H.I. [o] ξηρανθήσονται] ταχὺ ἀποξηρανθήσονται C. [p] καὶ om. C. [q] οὐκ αὐτὴ ἡ αἰτία C. οὐχ ἡ αὐτὴ ἡ αἰτία H. οὐχ ἡ αἰτία ἡ αὐτὴ I. Mox εἰσὶν pro φησὶν H. [r] γὰρ] μὲν γὰρ Edd. μὲν om. A.B.D.E.F.H.I. [s] ἀληθείας pro ἀκριβείας A.B.D.E.F.H.I. Statim διερευνᾶσθαι A.B.D.E.F.H. διερευνήσασθαι Edd. [t] καθαιρεῖσθαι C.H. [v] μὴ pro μήτε bis A.B.D.E.F.H.I. μήτε . . . καὶ C. [w] εὐθυμεῖν C. [x] τι om. C. [y] μὴ pro μήτε bis A.B.D.E.F.H. ἢ θλ. μήτε π. C. [z] τῶν om. A.B.D.E.F.H.I. [a] δὴ pro δὲ A.B.C.D.E.F.H. Statim ἁπάντων accessit ex A.B.C.D.E.H.I. [b] τῆς om. C. [c] ἐπιτύχωμεν B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧν γένοιτο πάντας ἡμᾶς [d]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Λ.

1 [a]Πέπεισμαι, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι [b]πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν.

D ΕΙΠΕΝ, ὅτι "Ἐφ' [c]ὅσον εἰμὶ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω" εἶπεν, [d]ὅτι "Μή πως οὐδὲ σοῦ φείσεται" εἶπε, "Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς" καὶ πάλιν, "Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;" καὶ, "[e]Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;" καὶ ἕτερα πολλῷ [f]πλείω τοιαῦτα. Ἐπεὶ οὖν πολλαχοῦ [g]τραχύτερον τὸν λόγον ἐποίησε, θεραπεύει λοιπόν· καὶ ὅπερ ἀρχόμενος ἔλεγε, τοῦτο καὶ τελευτῶν. Ἀρχόμενος [h]μὲν ἔλεγεν· "Εὐχαριστῶ τῷ θεῷ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ" ἐνταῦθα

E [i]δὲ, "Πέπεισμαι, φησὶν, ὅτι [k]καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, δυνάμενοι καὶ ἄλλους νουθετεῖν" ὅπερ πλέον ἐστὶν ἐκείνου. Καὶ οὐκ εἶπεν, ἤκουσα, ἀλλὰ, "πέπεισμαι," [l]καὶ οὐ δέομαι παρ' ἑτέρου μαθεῖν· [m]καὶ, "αὐτὸς ἐγὼ," τουτέστιν, ὁ ἐπιτιμῶν, ὁ ἐγκαλῶν. "[n]Ὅτι μεστοί ἐστε ἀγαθωσύνης." Τοῦτο πρὸς τὴν ἔναγχος γενομένην παραίνεσιν· ὡσανεὶ ἔλεγεν, ὅτι οὐχ ὡς ὠμοῖς [o]οὐδὲ μισαδέλφοις ταῦτα παρήνεσα, [p]προσλαμβάνεσθαι, καὶ [q]μὴ ἐὰν, μηδὲ καταλύειν τὸ ἔργον τοῦ θεοῦ· οἶδα γὰρ, ὅτι μεστοί ἐστε ἀγαθωσύνης. Δοκεῖ δέ μοι ἐνταῦθα καὶ ὁλόκληρον τὴν ἀρετὴν οὕτω καλεῖν. Καὶ οὐκ εἶπεν, ἔχετε,

730 ἀλλὰ, "μεστοί [r]ἐστε." Καὶ τὸ ἑξῆς μετὰ τῆς αὐτῆς ἐπιτάσεως· "πεπληρωμένοι πάσης γνώσεως." Τί γὰρ εἰ φιλόστοργοι

[1] Cap. XV. v. 14.

[d] μετασχεῖν B.F.I. Haec ὧν γένοιτο—ἐπιτυχεῖν om. A.D.E. Hom XXX. [a] πέπεισμαι δὲ Edd. δὲ om. A.C.D.E.F.H.I. Mosq. 8. Mox ὑπὲρ ὑμῶν I. [b] πάσης τῆς γν. C. [c] ὅσον]+μὲν οὖν C. [d] ὅτι om. C. Mox φείσεται pro φείσηται C.D.E.F. Veron. Statim εἶπεν ὅτι μὴ A.E. Cat. [e] σὺ om. C. [f] πλείω pro πλείονα A.B.C.D.E.F.I. Cat. πλέον H. τούτων pro τοιαῦτα C. [g] τρ. τὸν λ. pro τὸν λ. τρ. omnes. Excidit folium unum Cod. C. usque ad p. 730 B. [h] μὲν] γὰρ B.F. μὲν γὰρ E. Haec τοῦτο καὶ—ἔλεγεν om. A.H.I. Mox τῷ θεῷ μου Edd. repugnantibus libris. [i] δὲ] δὴ ex corr. A. δὲ om. I. [k] καὶ αὐτοὶ accessit ex libris omnibus. [l] καὶ] ὥστε D.E. [m] καὶ pro ἀλλ' A.B.D.E.F.I. [n] ὅτι] καὶ ὅτι Edd. καὶ deest in omnibus. [o] οὐδὲ μισαδέλφοις om. I. Statim τούτους pro ταῦτα B. [p] προσλαμβάνεσθαι]+τοὺς ἀδελφούς I. [q] μὴ aberat ante Montef. invitis libris. [r] ἐστε]+ἀγαθωσύνης Edd. ἀγαθωσύνης om. A.B.D.E.F.I. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν ἦσαν, οὐκ ἤδεσαν δὲ πῶς δεῖ τοῖς φιλουμένοις κεχρῆσθαι;
(221) Διὰ τοῦτο [s]προσέθηκε, "πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν" οὐχὶ μόνον μανθάνειν, ἀλλὰ καὶ διδάσκειν. [2] "Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους." [t]Ὅρα Παύλου ταπεινοφροσύνην, ὅρα σοφίαν, πῶς καὶ βαθεῖαν ἔδωκε τὴν τομὴν ἐν τοῖς ἔμπροσθεν, καὶ ἐπειδὴ κατώρθωσεν ὅπερ ἐβούλετο, πολλῇ κέχρηται τῇ θεραπείᾳ πάλιν. Ἱκανὸν [v]γὰρ καὶ χωρὶς τῶν εἰρημένων αὐτὸ τοῦτο τὸ ὁμολογῆσαι τετολμηκέναι, B
χαλάσαι αὐτῶν τὸν τόνον. Τοῦτο καὶ Ἑβραίοις ἐπιστέλλων ποιεῖ, [w]λέγων οὕτω· [3] "Πέπεισμαι δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν." Καὶ Κορινθίοις [x]πάλιν· [4] "Ἐπαινῶ [y]δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς [z]παρέδωκα τὰς παραδόσεις, οὕτω κατέχετε." [a]Καὶ Γαλάταις δὲ ἐπιστέλλων ἔλεγε, [5] "Πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε." Καὶ πανταχοῦ δὲ τῶν ἐπιστολῶν τοῦτο εὕροι τις ἂν τὸ θεώρημα δαψιλές· ἐνταῦθα δὲ C
καὶ μειζόνως. Καὶ γὰρ ἐν ἀξιώματι ἦσαν πλείονι, καὶ ἔδει φλεγμαίνουσαν [b]αὐτῶν τὴν διάνοιαν καταστέλλειν, μὴ τῷ στύφειν μόνον, ἀλλὰ καὶ [c]τῷ χαλᾶν· καὶ γὰρ διαφόρως αὐτὸ ποιεῖ. Διὸ καὶ ἐνταῦθά φησι, "τολμηρότερον ὑμῖν ἔγραψα." Καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ προσέθηκεν, "ἀπὸ μέρους," τουτέστιν, ἠρέμα. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ τί φησιν; "Ὡς ἐπαναμιμνήσκων ὑμᾶς." [d]Οὐκ εἶπε, διδάσκων, οὐδὲ, ἀναμιμνήσκων, ἀλλ', "ἐπαναμιμνήσκων," τουτέστι, μικρόν τι ἀναμιμνήσκων. Ὁρᾷς τὸ τέλος τῷ προοιμίῳ συμβαῖνον; [e]Ὥσπερ γὰρ ἐκεῖ ἔλεγεν, ὅτι "Ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ," οὕτω καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς· [6] "Ἡ γὰρ D
ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο." Καὶ ὥσπερ ἀρχόμενος [e]ἔγραφεν· "Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι·" οὕτω καὶ [f]ἐνταῦθα, "ὡς ἐπαναμιμνήσκων," ἔλεγε. Καὶ ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ διδασκαλικοῦ, καὶ ἐκεῖ καὶ ἐνταῦθα ὡς ἀδελφοῖς διαλέγεται, καὶ φίλοις [g]ὁμοτίμοις·

2 v. 15. 3 Hebr. vi. 9. 4 1 Cor. xi. 2. 5 Gal. v. 10. 6 Rom. xvi. 19.

[s] προσέθηκε]+πάσης δυνάμεως I. [t] ὁρᾷς bis H. [v] γὰρ] μὲν γὰρ D.E. δὲ I. [w] λέγων] γράφων I. Mox πέπεισμαι omnes. Edebatur πεπείσμεθα. [x] πάλιν]+ὁμοίως Edd. repugnantibus libris. [y] δὲ om. H. [z] παρέδωκα] +ὑμῖν D.E. receptum a Montef. [a] καὶ accessit ex omnibus. [b] αὐτῶν τὴν δ. pro τὴν δ. αὐτῶν omnes. [c] τῷ] ἐν τῷ F. τὸ pro τῷ bis H. [d] καὶ οὐκ Edd. καὶ om. B.D.F.H.I. Cat. [e] ἔγραφεν pro ἔλεγεν omnes: et mox ἰδεῖν ὑμᾶς pro ὑμᾶς ἰδεῖν. [f] ἐνταῦθα]+φησὶ (et om. ἔλεγε) D.E. [g] καὶ ὁμοτίμοις Edd. et Cat. καὶ deest in nostris omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃ [b]δὴ μάλιστά ἐστι διδασκάλου, τὸ [i]ποικίλλειν τὸν λόγον πρὸς τὴν τῶν ἀκουόντων [k]ὠφέλειαν. Ὅρα [l]γοῦν πῶς εἰπὼν, Ε ὅτι "τολμηρότερον ἔγραψα," καὶ ὅτι "ἀπὸ μέρους," καὶ ὅτι "ὡς ἐπαναμιμνήσκων," οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ ταπεινότερον ἔτι ποιῶν τὸν λόγον, ἐπήγαγε· "Διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ" ὃ καὶ ἀρχόμενος ἔλεγεν, "Ὀφειλέτης εἰμί." Ὡσανεὶ ἔλεγεν, [m]οὐχ ἑαυτῷ ἥρπασα τὴν τιμὴν, οὐδὲ ἐπεπήδησα τούτῳ πρῶτος, ἀλλ' ὁ θεὸς τοῦτο ἐπέταξε, καὶ τοῦτο κατὰ χάριν, οὐχ ὡς ἄξιον εἰς τοῦτο ἀφορίσας. Μὴ τοίνυν τραχύνεσθε· [n]οὐ γὰρ ἐγὼ κατεξανίσταμαι· θεός ἐστιν ὁ ἐπιτάττων. Καὶ ὥσπερ ἐκεῖ φησιν, "Ὧι λατρεύω ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ," οὕτω καὶ ἐνταῦθα εἰπὼν, "διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ," ἐπήγαγεν· [7] "Εἰς τὸ 731 εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ." Μετὰ [o]γὰρ τὴν πολλὴν τῶν εἰρημένων ἀπόδειξιν, ἐπὶ τὸ σεμνότερον ἄγει τὸν λόγον, οὐχ ἁπλῶς λατρείαν λέγων, [p]καθάπερ ἐν ἀρχῇ, ἀλλὰ λειτουργίαν καὶ ἱερουργίαν. Αὕτη γάρ μοι [q]ἱερωσύνη, τὸ κηρύττειν καὶ καταγγέλλειν· ταύτην προσφέρω τὴν θυσίαν. Ἱερεῖ δὲ [r]οὐδεὶς ἂν ἐγκαλέσειε τὸ θῦμα σπουδάζοντι ἄμωμον προσενεγκεῖν. Ταῦτα δὲ ἔλεγεν, ἅμα καὶ τούτων [s]πτερῶν τὰ φρονήματα, καὶ δεικνὺς θυσίαν ὄντας, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι τοῦτο ἐπιτέτακται. Ἡ γὰρ μάχαιρά μου, [t]φησὶ, τὸ Β εὐαγγέλιον, ὁ τοῦ κηρύγματος λόγος. Καὶ ἡ αἰτία, οὐχ ἵνα ἐγὼ δοξασθῶ, [v]οὐχ ἵνα λαμπρὸς φανῶ, ἀλλ', "Ἵνα ἡ προσφορὰ τῶν ἐθνῶν [w]εὐπρόσδεκτος [x]γένηται, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ." Τουτέστιν, αἱ ψυχαὶ τῶν διδασκομένων ἵνα δεχθῶσιν. Οὐ γὰρ ἐμὲ τοσοῦτον τιμῶν ὁ θεὸς εἰς τοῦτο ἤγαγεν, ὅσον ὑμῶν κηδόμενος. Καὶ πῶς ἂν [y]γένοιντο εὐπρόσδεκτοι; Ἐν πνεύματι ἁγίῳ· οὐ γὰρ πίστεως δεῖ μόνης,

7 v. 16.

[b] δὴ]+καὶ H. Mox διδασκάλων I. [i] ποικίλλειν libri omnes et Cat. διαποικίλλειν Edd. [k] ὠφέλειαν om. διόρθωσιν superscripto B. [l] οὖν D. [m] οὐχ ἑαυτῷ A.B.F.H.I. οὐκ ἀπ' ἐμαυτοῦ D.E. οὐκ ἐμαυτῷ Edd. et Cat. [n] οὐ] οὐδὲ B.D.I. Mox θεὸς sine artic. A. B. C. D. E. F. I. θεὸς γάρ ἐστιν C. [o] γὰρ om. E. [p] καθάπερ] ὥσπερ C. Mox λ. καὶ ἱεραρχίαν I. [q] ἡ ἱερωσ. C. Mox καταστέλλειν pro καταγγέλλειν idem. [r] οὐδεὶς ἂν] οὐκ ἄν τις C. Statim ἐγκαλέσειε libri omnes et Cat. ἐγκαλέσηται Edd. Tum τῷ pro τὸ C. [s] περιαιρῶν C. Sav. marg. [t] φησὶ τὸ εὐ. pro τὸ εὐ. φησιν A.B.D.E.F.H.I. Statim ὁ om. F.H. et ante corr. A. καὶ ὁ I. [v] οὐχ] τουτέστιν οὐχ D. Statim ἵνα ἐγὼ λ. C.D. [w] εὐπρόσδεκτος] δεκτὴ I. [x] Sic A.B.D.E.F.H.I. In Editis γένηται post ἵνα legitur. [y] γένοιντο εὐπρόσδεκτοι (+φησὶν D.) A.B.D.F. γένοιτο εὐπρόσδεκτοι (sic) H. et ex corr. C. Lacunam habet E. γένοιτο εὐπρόσδεκτος Edd. et Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἀλλὰ καὶ πολιτείας πνευματικῆς, ἵνα [z]κατέχωμεν τὸ πνεῦμα τὸ δοθὲν ἅπαξ. Οὐ γὰρ ξύλα καὶ πῦρ, οὐδὲ [a]βωμὸς καὶ μάχαιρα,
(222) ἀλλὰ [b]πνεῦμα πάντα παρ' ἡμῖν. Διὰ [c]τοῦτο πάντα ποιῶ, ἵνα C
μὴ σβεσθῇ ἐκεῖνο τὸ πῦρ· τοῦτο γὰρ καὶ ἐπιτέταγμαι. Τί οὖν τοῖς μὴ δεομένοις λέγεις; Δι' αὐτὸ δὴ τοῦτο οὐ διδάσκω, ἀλλ' ἀναμιμνήσκω, φησί· [d]καθάπερ ὁ ἱερεὺς παρέστηκε τὸ πῦρ ἀνακαίων, οὕτω καὶ ἐγὼ τὴν προθυμίαν ὑμῶν διεγείρων. Καὶ ὅρα· οὐκ εἶπεν, ἵνα γένηται ἡ προσφορὰ ὑμῶν, ἀλλὰ, "τῶν ἐθνῶν." [e]Ὅταν δὲ εἴπῃ, "τῶν ἐθνῶν," τὴν οἰκουμένην λέγει, γῆν καὶ θάλασσαν ἅπασαν, καταστέλλων ἐκείνων τὰ φρονήματα, [f]ὥστε μὴ ἀπαξιῶσαι [g]διδάσκαλον ἔχειν τὸν πρὸς τὰ πέρατα τῆς οἰκουμένης τεινόμενον· ὃ καὶ ἀρχόμενος ἔλεγε, "Καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· Ἕλλησί τε καὶ βαρ- D
βάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί."

[8] "Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν θεόν." Ἐπειδὴ [h]γὰρ σφόδρα ἑαυτὸν ἐταπείνωσε, πάλιν ἐπαίρει τὸν λόγον, καὶ τοῦτο ὑπὲρ ἐκείνων ποιῶν, ὥστε μὴ δόξαι [i]εὐκαταφρόνητος εἶναι. Καὶ ἐν τῷ ἐπαίρειν δὲ [k]ἑαυτὸν, τοῦ οἰκείου μέμνηται ἤθους, οὕτω λέγων· "Ἔχω οὖν καύχησιν." Καυχῶμαι, φησὶν, οὐκ ἐν ἐμαυτῷ, οὐδὲ ἐν τῇ ἡμετέρᾳ σπουδῇ, [l]ἀλλὰ τῇ τοῦ θεοῦ χάριτι. [9] "Οὐ γὰρ τολμήσω τι λαλῆσαι, E
ὧν [m]οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν [n]τῶν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος θεοῦ." Οὐδὲ γὰρ ἂν ἔχοι τις εἰπεῖν, [o]φησὶν, ὅτι κόμπος μου τὰ ῥήματα· τῆς γὰρ ἱερουργίας μου ταύτης τὰ σύμβολα, καὶ τῆς χειροτονίας ἔχω [p]δείξαι πολλὰ τὰ τεκμήρια· οὐ ποδήρη καὶ κώδωνας, καθάπερ οἱ παλαιοὶ, οὐδὲ μίτραν καὶ κίδαριν, ἀλλὰ πολλῷ φρικωδέστερα τούτων σημεῖα καὶ θαύματα. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν, ὅτι [q]ἐνεχειρίσθην μὲν, οὐκ ἐποίησα δὲ τὸ ἐπιταχθέν· μᾶλλον δὲ [r]οὐδὲ ἐγὼ ἐποίησα, ἀλλ' 732

[8] v. 17. [9] v. 18, 19.

[z] ἔχωμεν A.H.I. [a] βωμὸς]+καὶ ἐν αὐτῷ βοῦς I. βοῦς pro βωμὸς Cod. Aug. apud Sav. [b] πνευματικὰ πάντα παρ' ἡμῖν C. Cat. πάντα πνευματικὰ τὰ παρ' ἡμῖν D.E. πνεῦμα παρείτω παρ' ἡμῖν H. et (παρείτω ex corr. pro παρέστω, ut videtur) A. πνεῦμα παρεῖται παρ' ἡμῖν Sav. marg. πνεῦμα τὸ πῦρ τὸ παρ' ἡμῖν I. [c] τοῦτο]+γὰρ C. [d] καθάπερ]+γὰρ H. διὰ τοῦτο δὴ τοῦτο οὐ διδάσκω, φησὶν, ἀλλὰ καθάπερ C. [e] ὅταν δὲ εἴπῃ τῶν ἐθνῶν om. C.I. [f] ὥστε] ὡς C. [g] διδασκάλους H. καὶ διδάσκαλον Edd. καὶ om. A.B.C.D. E.F.H. Cat. Statim σχεῖν A.C.F. Cat. [h] γὰρ om. D.E.I. Cat. [i] εὐκαταφρόνητον H. [k] ἑαυτὸν pro αὐτὸν A.B.C.D.E.I. Cat. [l] ἀλλὰ] ἀλλ' ἐν C.D. [m] οὐκ εἰργάσατο C. Statim Χριστὸς sine artic. A.B.C.D.E.H.I. [n] τῶν om. A.E. (Mosqq.?) [o] φησὶν om. C. [p] δεῖξαι πολλὰ pro πολλὰ δεῖξαι omnes. τεκμήρια sine articulo Cat. [q] ἐνεχειρίσθημεν, οὐκ ἐποιήσαμεν δὲ C. [r] οὐκ C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ Χριστός· διὸ καὶ ἐν αὐτῷ καυχῶμαι, [s]καὶ οὐχ ὑπὲρ τῶν τυχόντων πραγμάτων, ἀλλ' [t]ὑπὲρ πνευματικῶν. Τοῦτο γάρ ἐστι, "τὰ πρὸς τὸν θεόν." [u]Ὅτι γὰρ ἤνυσα ἐφ' ὃ ἐπέμφθην, καὶ οὐ κόμπος τὰ ῥήματα, δηλοῖ τὰ θαύματα καὶ ἡ τῶν ἐθνῶν ὑπακοή. "Οὐ γὰρ τολμήσω τι [v]λαλῆσαι ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει
B σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος θεοῦ." [w]Ὁρᾷς πῶς βιάζεται τὸ πᾶν δεῖξαι τοῦ θεοῦ, καὶ οὐδὲν ἑαυτοῦ; Εἴτε γὰρ φθέγγομαί τι, εἴτε ποιῶ, [x]εἴτε θαυματουργῶ, πάντα αὐτὸς, πάντα τὸ πνεῦμα τὸ ἅγιον. Ταῦτα δὲ λέγει, δεικνὺς [y]καὶ τοῦ πνεύματος τὸ ἀξίωμα. Εἶδες πῶς ταῦτα τῶν παλαιῶν θαυμαστότερα καὶ φρικωδέστερα, ἡ θυσία, ἡ προσφορὰ, τὰ σύμβολα; [z]Ὅταν γὰρ εἴπῃ, "ἐν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων," τοῦτο λέγει, τὴν διδασκαλίαν, τὴν περὶ
C βασιλείας φιλοσοφίαν, [a]τὴν τῶν ἔργων καὶ τῆς πολιτείας ἐπίδειξιν, τοὺς νεκροὺς τοὺς ἐγειρομένους, [b]τοὺς δαίμονας τοὺς ἐλαυνομένους, τοὺς θεραπευομένους τυφλοὺς, τοὺς πηδῶντας χωλοὺς, τὰ ἄλλα τεράστια, ἅπερ ἅπαντα εἰργάζετο [c]τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν. Εἶτα ἡ τούτων ἀπόδειξις, ἐπειδὴ ταῦτα τέως ἀπόφασις [d]ἦν, τῶν μαθητῶν τὸ πλῆθος. Διὸ καὶ ἐπήγαγεν· "Ὥστε με ἀπὸ Ἱερουσαλὴμ [e]καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ [f]Χριστοῦ." Ἀρίθμει τοίνυν καὶ πόλεις καὶ χώρας καὶ ἔθνη καὶ δήμους, μὴ τοὺς ὑπὸ Ῥωμαίοις [g]μόνους, ἀλλὰ καὶ τοὺς ὑπὸ βαρβάροις. [h]Μὴ γάρ μοι τὴν [i]διὰ τῆς Φοινίκης καὶ Συρίας καὶ τῆς Κιλίκων καὶ
D Καππαδοκῶν ἔλθῃς ὁδὸν, ἀλλὰ καὶ τὰ ὄπισθεν ἅπαντα λογίζου, τὴν Σαρακηνῶν καὶ Περσῶν καὶ Ἀρμενίων, [k]τὴν τῶν ἄλλων βαρβάρων. Διὰ γὰρ τοῦτο εἶπε, "καὶ κύκλῳ," ἵνα μὴ τὴν κατευθὺ λεωφόρον ἔλθῃς μόνον, [l]ἀλλὰ πᾶσαν [m]καὶ τὴν κατὰ τὸν νότον [n]περιδράμῃς τῇ διανοίᾳ Ἀσίαν. Καὶ [o]ὥσπερ νιφάδας θαυμάτων ἐνὶ λόγῳ παρέδραμεν, εἰπὼν, "[p]ἐν δυνάμει σημείων καὶ τεράτων" οὕτω καὶ πόλεις ἀπείρους, καὶ ἔθνη καὶ

[s] καὶ accessit ex A.B.C.D.E.F.H. Cat. [t] ὑπὲρ τῶν πν. Edd. repugnantibus libris. [v] λαλεῖν C. Mox Χριστὸς sine artic. omnes. [w] ὁρᾷς omnes. ὅρα Edd. Mox τὸ πᾶν om. E. [x] εἴτε θ. om. C. [y] καὶ om. D.E. [z] γὰρ om. C. [a] τὴν] καὶ τὴν I. [b] τοὺς δ. τοὺς ἐ. om. A.B.H.I. [c] καὶ τὸ πν. Veron. Sav. Mor. καὶ om. D.E. et tacite delevit Montef. [d] ἦν om. C. [e] καὶ om. a pr. man. E. κύκλῳ om. H. [f] θεοῦ C. [g] μόνους A.B.C.D. F.H. et ex corr. E. μόνοις Edd. ante Ben. μόνον Cat. [h] μὴ] κἂν A. [i] διὰ om. I. [k] καὶ τὴν Edd. καὶ om. A.B.E.F.I. Cat. [l] ἀλλὰ καὶ πᾶσαν Edd. et Cat. καὶ om. B.C.D.E.F.H. [m] καὶ om. A. τὴν om. H. Statim κατὰ τῶν νώτων H. [n] π. τῇ δ. Ἀσίαν A.B.E.F.H.I. Cat. Ἀσίαν π. τῇ δ. Edd. [o] ὥσπερ] ὡς C. [p] ἐν om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δήμους καὶ χώρας [q]ἐνὶ τούτῳ πάλιν συνεῖλε ῥήματι, τῷ "κύκλῳ." Πόρρω γὰρ ἦν τύφου παντός· καὶ ταῦτα [r]δὲ διὰ
(223) τούτους ἐφθέγγετο, ὥστε μὴ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς. Καὶ ἀρχόμενος μέν φησιν, "Ἵνα [s]τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν·" ἐνταῦθα δὲ ἀνάγκην ἱερω- E
σύνης τίθησιν. Ἐπειδὴ γὰρ τραχύτερον ἐφθέγξατο, καὶ σαφέστερον αὐτοῦ δείκνυσι τὴν ἐξουσίαν. Διὰ τοῦτο ἐκεῖ μὲν ἁπλῶς φησι, "καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν·" ἐνταῦθα δὲ καὶ τὸν [t]τόπον λέγει πάντα, ὥστε πάντοθεν αὐτῶν [v]ὑποτέ-
μνεσθαι τὸ φρόνημα. Καὶ οὐχ ἁπλῶς εἶπε κηρῦξαι τὸ εὐαγγέλιον, ἀλλὰ, "πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ [w]Χριστοῦ."

10 "Οὕτω δὲ [x]φιλοτιμούμενον εὐαγγελίσασθαι, ὅπου οὐκ ὠνομάσθη [y]Χριστός." Ἰδοὺ πάλιν ἑτέρα ὑπερβολὴ, [z]ὅτι οὐ μόνον τοσούτους εὐηγγελίσατο καὶ ἔπεισεν, ἀλλ' ὅτι οὐδὲ πρὸς μεμαθηκότας ἀπῆλθε. Τοσοῦτον [a]ἀπεῖχε τοῦ ἐπιρρίπτειν ἑαυτὸν [b]ἀλλοτρίοις μαθηταῖς, [c]καὶ δόξης ἕνεκεν τοῦτο ποιεῖν, ὅτι [d]καὶ ἐσπούδαζε τοὺς μὴ [e]ἀκηκοότας διδάσκειν. Οὐδὲ γὰρ 733
εἶπεν, [f]ὅπου οὐκ ἐπείσθησαν, ἀλλ,' "ὅπου οὐδὲ ὠνομάσθη Χριστός·" ὃ πλέον ἐστί. Καὶ τίνος ἕνεκεν τοιαῦτα ἐφιλο-
τιμεῖτο; "Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον [g]οἰκοδομῶ," φησί. Ταῦτα [h]δὲ λέγει, δεικνὺς ἑαυτὸν ἀλλότριον ὄντα κενοδοξίας, καὶ παιδεύων αὐτοὺς, ὅτι οὐκ ἀπὸ τοῦ δόξης ἐρᾶν καὶ τῆς παρ' [i]αὐτῶν τιμῆς ἐπὶ τὸ γράψαι ἦλθεν, ἀλλ' ὡς διακονίαν πληρῶν, ὡς ἱερουργίαν ἀπαρτίζων, ὡς [k]τῆς σωτηρίας αὐτῶν ἐρῶν. Ἀλ-
λότριον δὲ [l]τὸν τῶν ἀποστόλων φησὶν, οὐ κατὰ τὴν [m]τοῦ προσώπου ποιότητα, οὐδὲ κατὰ τὴν τοῦ κηρύγματος φύσιν, B
ἀλλὰ κατὰ τὸν τοῦ μισθοῦ λόγον· ἐπεὶ [n]τὰ κηρύγματα οὐκ ἀλλότρια ἦν, ἀλλ' ὅσον εἰς μισθὸν [o]ἀλλότριον. Ὁ γὰρ τῶν ἑτέροις πεπονημένων μισθὸς, τούτου ἀλλότριος ἦν. Εἶτα [p]δείκνυσι καὶ προφητείαν πληρουμένην, [q]λέγων· 11 "Καθὼς

10 v. 20. 11 v. 21.

[q] ἐνὶ οὕτω π. ἀνεῖλε ῥ. C. [r] δὲ accessit ex A.D.E.F.H.I. Cat. Mox ἐν ἑαυτοῖς I. [s] καρπόν τινα inverso ord. A.E. [t] τρόπον C.D.E. [v] ὑποτεμέσθαι I. ὑποτέμεσθαι (sic) F. [w] Χριστοῦ]+ὥστε δεῖξαι φιλοτιμίας τὸ κατόρθωμα ὂν D.E. [x] φιλοτιμούμενον] φιλοτιμούμενος οὐ προεθέμην, φησὶν E. Statim εὐαγγελίσασθαι A. B. D. E. F. H. Mosqq. εὐαγγελίζεσθαι Edd. [y] Χριστὸς sine articulo hic et infra omnes. [z] ὅτι οὐ μ.] οὐ μ. γὰρ D.E. [a] ἀπήχθη C. [b] ἄλλοις C. [c] καὶ] ἐνταῦθα δὲ καὶ I. [d] καὶ om. A. Statim ἐπέσπευδεν I. [e] ἀκούοντας E. [f] ὅπου om. C. [g] οἰκοδομῶ pro οἰκοδομήσω omnes. [h] δὲ om. C. [i] αὐτοῖς I. [k] τῆς om. H. [l] τὸν pro τὸ A.B.D.E.F.I. Cat. Voculam om. C. [m] τοῦ om. I. [n] οὐ τὰ κ. inverso ord. C. [o] ἀλλότριον C. Cat. ἀλλότρια Edd. [p] δείκνυσιν]+οὕτω C. [q] λέγων] οὕτω λέγων I.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γέγραπται· Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν." Ὁρᾷς [r]ἐπιτρέχοντα ὅπου πλείων ὁ πόνος, ὅπου μείζων ὁ ἱδρώς; [12] "Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς." Σκόπει [s]πῶς πάλιν ὁμοίως τῷ προοιμίῳ τὸ τέλος ὑφαίνει. Καὶ γὰρ [t]καὶ ἀρχόμενος τῆς
C ἐπιστολῆς ἔλεγεν, ὅτι "Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο·" ἐνταῦθα δὲ καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν ἐκωλύθη· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. Ὥσπερ γὰρ ἐκεῖ φησι, "Πολλάκις προεθέμην [v]ἐλθεῖν πρὸς ὑμᾶς," οὕτω καὶ ἐνταῦθα, "Ἐνεκοπτόμην τὰ πολλὰ [w]τοῦ ἐλθεῖν πρὸς ὑμᾶς." Ὅπερ μάλιστα τὴν ἐπιθυμίαν αὐτοῦ δείκνυσι, τὸ πολλάκις ἐπιχειρεῖν. [13] "Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις." Ὁρᾷς πῶς ἔδειξεν, ὅτι οὐ τῆς παρ' αὐτῶν ἐφιέμενος δόξης ἔγραφέ τε καὶ παρεγίνετο; "Ἐπι-
D ποθίαν δὲ ἔχων [x]ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν· [14] ὡς [y]ἐὰν πορεύωμαι [z]εἰς Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ [a]ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ." Ἵνα γὰρ μὴ δόξῃ ἐξευτελίζειν αὐτοὺς [b]τῷ λέγειν, ὅτι ἐπειδὴ οὐδὲν ἔχω ποιῆσαι, διὰ τοῦτο ἔρχομαι πρὸς ὑμᾶς, πάλιν [c]τὸν τῆς ἀγάπης κινεῖ λόγον εἰπών, "Ἐπιποθίαν [d]ἔχω ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν." Οὐ [e]γὰρ διὰ τοῦτο ἐπεθύμησα ἐλθεῖν, ἐπειδὴ σχολὴν ἄγω, ἀλλ' ἵνα τὴν
E ἐπιθυμίαν, ἣν πάλαι ὤδινον, [f]ταύτην ἀποτέκω. Εἶτα, ἵνα μὴ τοῦτο πάλιν [g]αὐτοὺς φυσήσῃ, σκόπει πῶς αὐτοὺς καταστέλλει, εἰπών, "Ὡς ἐὰν πορεύωμαι εἰς [h]τὴν Σπανίαν, ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς." Διὰ γὰρ τοῦτο τέθεικε τοῦτο, ἵνα μὴ μέγα φρονῶσιν· ὁμοῦ γὰρ καὶ τὴν ἀγάπην δεῖξαι βούλεται, καὶ κωλῦσαι θρύπτεσθαι ἐκείνους. Διὸ συνεχῶς [i]αὐτὰ τίθησι καὶ ἐφεξῆς, ἐναλλάττων τὰ ἑκατέρων τούτων κατασκευαστικά. Διά τοι τοῦτο πάλιν, ἵνα μὴ λέγωσιν, ὁδοῦ πάρεργον ἡμᾶς [k]ποιῇ; ἐπήγαγε, "καὶ ὑφ' ὑμῶν προπεμφθῆναι·" τουτέστιν,

[12] v. 22. [13] v. 23. [14] v. 24.

[r] ἐπιτρ.]+αὐτὸν C. [s] πῶς om. E. πῶς πάλιν pro πάλιν πῶς A.B.C.D. F.H.I. Statim ὁμοίως τῷ πρ. pro τῷ πρ. ὁμοίως A.B.C.D.E.F.H. Cat. ἴσον τῷ πρ. I. [t] καὶ om. A.C. [v] τοῦ ἐλθεῖν C. [w] τοῦ accessit ex omnibus. [x] τοῦ ἐλθεῖν Edd. τοῦ om A.B.E.F.H. [y] ἐὰν pro ἂν B.D.E.F.H.I. [z] εἰς τὴν Σπανίαν Edd. τὴν om. A.B.D.E.F.H.I. Ἰσπανίαν hic et infra B.D. E.F. Statim ἐλπίζω γὰρ διαπ. C. [a] ὑφ'] ἀφ' I. Mox ἐκεῖ om. C. [b] τὸ B.C.H. Mox ἐπειδὴ om. C. [c] τὸν] εἰς τὸν A.H.I. [d] ἔχω pro ἔχων A.B.D.E.H. δὲ ἔχω I. Statim ἐλθεῖν A.B.D.E.F.H.I. Cat. τοῦ ἐλθεῖν Edd. [e] γὰρ assumtum ex A.B.D.E.F.H.I. Cat. [f] ταύτην om. C. Cat. [g] αὐτοὺς accessit ex omnibus. πάλιν τοῦτο αὐτοὺς hoc ord. C. [h] τὴν, quod aberat, est in nostris omnibus. [i] αὐτὰ pro αὐτὸ A.D.E.F.H. Cat. [k] ποιῇ B.D.E.F.I. et ex corr. H. etiam Cat. ποιεῖ Edd.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα ὑμεῖς μοι [l]μαρτυρήσητε, ὅτι οὐ καταφρονῶν ὑμῶν, ἀλλ' ἑλκόμενος ὑπὸ τῆς χρείας παρατρέχω. Ἐπειδὴ δὲ καὶ τοῦτο 734
ἔτι λυπεῖ, λιπαρώτερον αὐτὸ θεραπεύει, λέγων, "ἐὰν ὑμῶν
(224) [m]πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ." Τῷ μὲν γὰρ εἰπεῖν, "διαπορευόμενος," δείκνυσιν οὐκ [n]ἐφιέμενος αὐτῶν τῆς δόξης· τῷ δὲ εἰπεῖν, "ἐμπλησθῶ," δείκνυσιν [o]ἐρῶν αὐτῶν τῆς ἀγάπης, [p]καὶ οὐχ ἁπλῶς ἐρῶν, ἀλλὰ καὶ σφοδρῶς· διὸ οὐδὲ εἶπεν, "ἐμπλησθῶ," ἀλλ', "ἀπὸ μέρους." Οὐδεὶς [q]γάρ με χρόνος ἐμπλῆσαι δύναται, οὐδὲ ἐμποιῆσαί μοι κόρον τῆς συνουσίας ὑμῶν. Εἶδες πῶς τὴν [r]ἀγάπην δείκνυσιν, ὅταν καὶ ἐπειγόμενος μὴ πρότερον B
[s]ἀνίστηται, ἕως ἂν [t]ἐμπλησθῇ; Καὶ τοῦτο δὲ τῆς πολλῆς αὐτοῦ φιλοστοργίας σημεῖον, τὸ τοῖς ῥήμασιν οὕτω θερμῶς κεχρῆσθαι. Οὐδὲ γὰρ εἶπε, [v]θεάσομαι, ἀλλ' "ἐμπλησθῶ," τὰ τῶν γονέων μιμούμενος ῥήματα. Καὶ ἀρχόμενος μὲν ἔλεγεν, "ἵνα τινὰ καρπὸν [w]σχῶ" ἐνταῦθα δὲ, "ἵνα ἐμπλησθῶ·" ἅπερ ἀμφότερα ἐφελκομένου ἦν. Τὸ μὲν γὰρ ἐγκώμιον αὐτῶν ἦν μέγιστον, εἴγε καρπὸν [x]αὐτῷ παρέχειν ἔμελλον ἐκ τῆς ὑπακοῆς· τὸ δὲ, τῆς αὐτοῦ φιλίας δεῖγμα γνήσιον. Καὶ Κορινθίοις δὲ ἐπιστέλλων οὕτως ἔλεγεν· [15] "Ἵνα ὑμεῖς με προπέμψητε οὗ C
ἐὰν πορεύωμαι" διὰ πάντων τὴν πρὸς τοὺς μαθητὰς ἀγάπην ἐνδεικνύμενος, ἧς ἴσον οὐδέν. Διὸ καὶ ἀρχόμενος ἀεὶ τῶν ἐπιστολῶν ἐντεῦθεν προοιμιάζεται, καὶ τελευτῶν εἰς [y]τοῦτο καταλύει πάλιν. Καθάπερ [z]γὰρ πατὴρ φιλόπαις μονογενὲς παιδίον καὶ γνήσιον, ἐφίλει τοὺς πιστοὺς ἅπαντας· διὸ καὶ ἔλεγε, [16] "Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;"

[a]Καὶ γὰρ πρὸ τῶν ἄλλων ἁπάντων τοῦτο χρὴ τὸν διδάσκαλον ἔχειν. Διὸ καὶ Πέτρῳ ἔλεγεν ὁ Χριστὸς, [17] "Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου." Ὁ γὰρ τὸν Χριστὸν D
φιλῶν, καὶ τὴν ποίμνην αὐτοῦ φιλεῖ. Καὶ τὸν Μωϋσέα δὲ τότε ἐπέστησε τῷ δήμῳ τῶν Ἰουδαίων, ὅτε τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπεδείξατο· καὶ ὁ Δαυὶδ δὲ οὕτως ἐπὶ τὴν βασιλείαν

15 1 Cor. xvi. 6. 16 2 Cor. xi. 29. 17 Joan. xxi. 16.

[l] μαρτυρήσητε pro μάρτυρες ἦτε omnes. [m] πρῶτος H. πρότερον I. [n] ἐφιέμενος Edd. ἐφιέμενον Codd. et Cat. [o] ἐρῶντα bis B.C.D.E. Cat. et ex corr. F. [p] καὶ om. H. [q] γάρ με (με γὰρ C.) pro μὲν γὰρ libri omnes et Cat. [r] ἀγάπην] αὐτὴν H. [s] ἀνίσταται pro ἀνίσταται C.D.E.F.H.I. ἀνιστᾶται A. ἀναστῆναι ex corr. B. [t] πλησθῇ C. Statim καὶ om. idem. [v] θεάσωμαι Cat. [w] ἔχω H. [x] αὐτῷ——ὑπακοῆς] ἔμελλεν ἕξειν ἐξ αὐτῶν I. Haec εἴγε καρπὸν——ὑπακοῆς om. H. [y] τοῦτο] τὸ αὐτὸ A. Statim καταπαύει C. [z] γὰρ om. B. [a] ΗΘΙΚΟΝ. Ὁποῖον χρὴ εἶναι τὸν διδάσκαλον. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἦλθε, πρότερον φιλόστοργος περὶ αὐτοὺς φανείς. Οὕτω γοῦν [b]ἔτι νέος ὢν ἤλγησεν [c]ὑπὲρ τοῦ λαοῦ, ὡς καὶ τὴν [d]αὐτοῦ ψυχὴν ἐπιδοῦναι, ἡνίκα τὸν βάρβαρον [e]ἐκεῖνον καθεῖλεν. Εἰ δὲ [f]λέγει· [18] "Τί [g]ἔσται τῷ ἀνελόντι τὸν ἀλλόφυλον τοῦτον;" οὐ μισθὸν
E ἀπαιτῶν ἔλεγεν, ἀλλὰ πιστευθῆναι βουλόμενος, καὶ ἐγχειρισθῆναι τὴν πρὸς αὐτὸν μάχην. Ὅτε γοῦν εἰσῆλθε πρὸς τὸν βασιλέα μετὰ τὴν νίκην, οὐδὲν [h]ὑπὲρ τούτων διελέχθη. Καὶ ὁ Σαμουὴλ δὲ [i]σφόδρα φιλόστοργος ἦν· διὸ καὶ ἔλεγεν, [19] "Ἐμοὶ δὲ μὴ γένοιτο [k]διαμαρτεῖν τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν τῷ κυρίῳ." Οὕτω καὶ Παῦλος, μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον ἁπάντων περιεκαίετο τῶν ἀρχομένων. Διὸ καὶ τοὺς μαθητὰς οὕτω [l]πρὸς αὐτὸν διέθηκεν, ὡς εἰπεῖν, ὥστε, [20] "Εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς [m]ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι." Διὰ τοῦτο καὶ τοῖς Ἰουδαίων διδασκάλοις τοῦτο πρὸ τῶν ἄλλων [n]ὁ θεὸς ἐγκαλεῖ λέγων· [21] "Ὦ [o]οἱ ποιμένες
735 Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; οὐχὶ τὰ πρόβατα βόσκουσιν;" Ἐκεῖνοι δὲ τοὐναντίον ἐποίουν. "Τὸ γάλα [p]γὰρ, φησὶ, [q]κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ [r]σφάζετε, καὶ τὰ πρόβατα οὐκ ἐβόσκετε." Καὶ ὁ Χριστὸς δὲ ποιμένος ἀρίστου κανόνα ἐκφέρων ἔλεγεν· [22] "Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν [s]αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων." [t]Τοῦτο ὁ Δαυὶδ ἐποίησε πολλαχοῦ [v]τε ἀλλαχοῦ, καὶ ἡνίκα ἄνωθεν κατὰ τοῦ δήμου παντὸς ἡ φοβερὰ ἐκείνη ὀργὴ κατεφέρετο. Πάντων γὰρ σφαττομένων ἔλεγεν, [23] "[w]Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, ἐγὼ
B ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι, τὸ ποίμνιον, τί ἐποίησαν;" [x]Διὰ τοῦτο καὶ ἐν τῇ αἱρέσει τῶν τιμωριῶν ἐκείνων οὐ λιμὸν εἵλετο, [y]οὐ δίωξιν ἐχθρῶν, ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ πεμπόμενον θάνατον, δι' οὗ προσεδόκα τοὺς μὲν ἄλλους ἐν ἀσφαλείᾳ καταστήσειν, αὐτὸν δὲ πρὸ τῶν ἄλλων ἁπάντων κατενεχθήσεσθαι. [z]Ἐπειδὴ δὲ τοῦτο οὐκ ἐγένετο, θρηνεῖ καὶ λέγει· "Ἐν

18 1 Reg. xvii. 26. 19 1 Reg. xii. 23. 20 Gal. iv. 15. 21 Ezech. xxxiv. 2, 3. 22 Joan. x. 10. 23 2 Reg. xxiv. 17.

[b] ἔτι om. I. [c] ὑπὲρ pro περὶ omnes. Ita edidit Montef. [d] ἑαυτοῦ C.D. [e] ἐκεῖνον καθ. pro καθ. ἐκεῖνον A.B.D.E.F.H.I. [f] λέγει B.D.E. F.H.I. et ante corr. A. ἔλεγε Edd. εἰ δὲ λέγει τις, ὥστε ἀνελεῖν τὸν ἀ. τ. C. [g] ἐστι D. [h] περὶ C.D.H. [i] σφόδρα accessit ex omnibus. [k] ἁμαρτεῖν C. [l] πρὸς αὐτὸν δ.] προσδιέθηκεν E. δ. πρὸς ἑαυτὸν C. [m] ὑμῶν assumtum ex omnibus. Statim ἂν om. C. [n] ὁ θ. ἐγκαλεῖ λέγων] ἐγκαλῶν ὁ θ. ἔλεγεν C. [o] οἱ om. B.D.E.F. [p] γὰρ om. C. [q] κατέσθιετε . . . περιβάλλεσθε . . . σφάζετε (sic) A. [r] σφάζετε B.D.E.F.I. ἐσφάξατε C. ἐσφάζετε Edd. [s] αὐτοῦ pro αὐτοῦ B.D.E. fortasse alii. [t] τοῦτο] καὶ τοῦτο C. [v] τε]+καὶ E. τε ἀλλαχοῦ om. C. [w] ἐγὼ ὁ ποιμὴν ἥμαρτον om. A.H.I. Statim καὶ ἐγω C. [x] διὰ] καὶ διὰ C. [y] οὐ] οὐδὲ C. Mox τὸν om. I. [z] ἐπεὶ C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσ

ἐμοὶ ἡ χείρ σου·" εἰ [a]δὲ οὐκ ἀρκεῖ, "καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου." "Ἐγὼ γάρ, φησὶν, ὁ ποιμὴν ἥμαρτον." Ὥσανεὶ ἔλεγεν, ὅτι εἰ καὶ [b]οὗτοι ἥμαρτον, ἐγὼ ὑπεύθυνος [c]ἤμην τῇ τιμωρίᾳ ὁ μὴ διορθούμενος· ὅταν δὲ καὶ ἐμὸν τὸ [d]ἁμάρτημα, ἐγὼ δίκαιος ἂν εἴην δοῦναι τὴν τιμωρίαν. Καὶ γὰρ αὐξῆσαι τὸ C ἔγκλημα θέλων, τὸ τοῦ ποιμένος ἔθηκεν ὄνομα. Οὕτω γοῦν τὴν [e]ὀργὴν ἔστησεν, οὕτω τὴν ἀπόφασιν ἀνεκαλέσατο. Τοσοῦτόν [f]ἐστιν ἐξομολόγησις μέγα· [24] "Δίκαιος γὰρ ἑαυτοῦ (225) κατήγορος ἐν πρωτολογίᾳ·" [g]τοσοῦτον κηδεμονία καὶ συμπάθεια ποιμένος ἀρίστου. Καὶ γὰρ ἐσπαράττετο αὐτοῦ τὰ σπλάγχνα πιπτόντων ἐκείνων, [h]καθάπερ παίδων γνησίων ἀναιρουμένων· διὸ καὶ ἐπ' αὐτὸν τὴν ὀργὴν ἐλθεῖν ἠξίου. Καὶ ἐν ἀρχῇ δὲ [i]τῆς σφαγῆς τοῦτο ἐποίησεν ἄν, [k]εἰ μὴ βαδίζουσαν ὁδῷ καὶ [l]ἐπ' αὐτὸν ἥξειν προσεδόκησεν. Ὅτε γοῦν εἶδε [m]τοῦτο μὲν οὐ γινόμενον, ἐκείνους δὲ ἐπινεμομένην τὴν συμφορὰν, οὐκέτι D ἤνεγκεν, ἀλλ' ἀνήφθη μᾶλλον, ἢ ἐπὶ τοῦ Ἀμνὼν τοῦ πρωτοτόκου. Τότε [n]γοῦν θάνατον οὐκ ἤτησε, νῦν δὲ ἀξιοῖ πρὸ τῶν ἄλλων πεσεῖν. Τοιοῦτον εἶναι χρὴ τὸν ἄρχοντα, καὶ μᾶλλον ταῖς ἑτέρων, ἢ ταῖς οἰκείαις ἀλγεῖν συμφοραῖς. Τοιοῦτον γοῦν τι καὶ ἐπὶ τοῦ [o]παιδὸς ἔπαθεν, ἵνα μάθῃς, ὅτι οὐδὲν πλέον τῶν ἀρχομένων τὸν παῖδα ἐφίλει. Καίτοιγε ἀκόλαστος ἦν ὁ νεανίσκος καὶ πατραλοίας, ἀλλ' ὅμως ἔλεγε· [25] "Τίς [p]δώῃ μοι θάνατον ἀντὶ σοῦ;" Τί λέγεις, ὦ μακάριε, καὶ πάντων ἀνθρώπων πραότατε; Ἀνελεῖν σε [q]ἐσπούδαζεν ὁ παῖς, καὶ μυρίοις σε E περιέβαλε κακοῖς· καὶ ὅτε ἐκ μέσου γέγονε, καὶ τὸ τρόπαιον ἔστη, τότε εὔχῃ [r]σφαγῆναι; Ναὶ, φησίν. Οὐ γὰρ ἐμοὶ νενίκηκε τὸ στρατόπεδον, ἀλλ' [s]ἔτι πολεμοῦμαι σφοδρότερον ἢ πρότερον, καὶ τὰ σπλάγχνα μοι διακόπτεται νῦν μειζόνως. Οὗτοι μὲν οὖν [t]ἅπαντες τῶν ἐγκεχειρισμένων ἐφρόντιζον· ὁ

24 Prov. xviii. 17. 25 2 Reg. xviii. 33.

[a] δὲ]+τοῦτο D. [b] οὗτος ἥμαρτεν A.B.E.F.H.I. Haec ὡσανεὶ——ἥμαρτον om. C. [c] εἰμι C.I. Statim τῆς τιμωρίας μὴ δ. C. [d] ἁμάρτημα]+ἦ Edd. ἦ om. A.B.D.E.H.I. [e] πληγὴν Sav. marg. πλὴγὴν (sic) A. [f] ἐστιν om. C. Mox μέγα accessit ex A.B.D.E.F.H.I. [g] τοσοῦτον] τοῦτο D.E. [h] καθάπερ παίδων γνησίων om. I. [i] τῆς accessit ex omnibus. [k] εἰ μὴ καὶ βαδίζουσαν αὐτὴν ὁδῷ Edd. καὶ deest in A.B.D.E.F.H.I. αὐτὴν om. A.B.D. E.F.I. Tum ὁρῶν pro ὁδῷ A.H.I. [l] ἐπ' αὐτὸν omnes. πρὸς αὐτὸν Edd. Mox προσεδόκησεν pro ἤλπιζεν omnes. [m] τοῦτο om. F. Statim οὐ pro μὴ omnes. Mox οὐ κατήνεγκεν C. [n] γοῦν pro γὰρ omnes. [o] παιδὸς] Ἀβεσαλὼμ E. Post ἔπαθεν add. τοῦ Ἀβεσσαλὼμ C.D. [p] δώῃ A.C.E.F.H.I. δώσει Edd. [q] σπουδάζει C. Mox περιέβαλλεν B.F.H. περιβαλεῖν C. [r] σφαγὴν C. Mox οὐδὲ γὰρ A.C.F.H.I. [s] ἔτι πολεμοῦμαι] ὅτι με πολεμεῖ C. [t] ἅπαντες accessit ex omnibus. Statim περὶ τῶν ἐγκ. H.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ μακάριος Ἀβραὰμ καὶ τῶν οὐκ ἐμπεπιστευμένων αὐτῷ πολλὴν ἐποιεῖτο τὴν πρόνοιαν, καὶ τοσαύτην, ὡς καὶ κινδύνοις ἑαυτὸν [v]περιβαλεῖν χαλεποῖς. [w]Ὅτι γὰρ οὐχ ὑπὲρ [x]ἀδελφιδοῦ μόνον ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ καὶ ὑπὲρ τῶν
736 [y]Σοδομιτῶν, οὐ πρότερον ἀπέστη τοὺς Πέρσας [z]ἐλαύνων ἐκείνους, ἕως πάντας αὐτοὺς ἠλευθέρωσε. Καίτοιγε ἐξὴν [a]λαβόντι τοῦτον ἀναχωρεῖν, ἀλλ' οὐκ ἠθέλησε· καὶ γὰρ πάντων ὁμοίως ἐκήδετο. Καὶ τοῦτο καὶ διὰ τῶν μετὰ ταῦτα [b]δῆλον ἐποίησεν. Ὅτε γοῦν οὐ βαρβάρων στρατόπεδον ἔμελλεν αὐτοὺς πολιορκεῖν, [c]ἀλλ' ἡ θεήλατος ὀργὴ τὰς πόλεις [d]αὐτῶν ἐκ βάθρων ἀνέσπα, καὶ οὐκέτι ὅπλων ἦν ὁ καιρὸς, οὐδὲ μάχης καὶ παρατάξεως, ἀλλ' ἱκετηρίας, τοσαύτην ἐποιήσατο ὑπὲρ αὐτῶν σπουδὴν, ὅσην ἂν εἰ αὐτὸς ἀπόλλυσθαι ἔμελλε. Διὰ δὴ τοῦτο καὶ
B ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις προσέρχεται τῷ θεῷ, καὶ ἐπὶ τὴν φύσιν καταφεύγει λέγων· [26] "Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός." Καὶ ἐπειδὴ οἴκοθεν εἶδεν αὐτοὺς προδεδομένους, δι' [e]ἑτέρους αὐτοὺς ἠξίου σώζεσθαι. Διὰ τοῦτο καὶ ὁ θεὸς ἔλεγεν· "Οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ [f]ἃ μέλλω ποιεῖν;" ἵνα ἡμεῖς μάθωμεν πῶς ἐστι φιλάνθρωπος ὁ δίκαιος. Καὶ οὐδ' ἂν ἀπέστη παρακαλῶν, εἰ μὴ ὁ θεὸς ἀπέστη πρῶτος. Καὶ δοκεῖ μὲν ὑπὲρ τῶν δικαίων δεῖσθαι, τὸ δὲ πᾶν ὑπὲρ ἐκείνων ἐποίει. Καὶ γὰρ σφόδρα εἰσὶν αἱ τῶν ἁγίων ψυχαὶ ἥμεροι καὶ φιλάνθρωποι, καὶ περὶ τοὺς οἰκείους καὶ περὶ τοὺς ἀλλο-
C τρίους, [g]καὶ μέχρις ἀλόγων αὐτῶν ταύτην ἐκτείνουσι τὴν ἡμερότητα. Διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, [27] "Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ" εἰ [h]δὲ κτηνῶν, πόσῳ μᾶλλον ἀνθρώπων; Ἀλλ' ἐπειδὴ κτηνῶν ἐμνήσθην, λογισώμεθα καὶ τοὺς τῶν προβάτων ποιμένας τοὺς ἐν τῇ Καππαδοκῶν χώρᾳ, οἷα καὶ ἡλίκα πάσχουσιν ὑπὲρ τῆς τῶν [i]ἀλόγων προστασίας. Πολλάκις γοῦν χιόνι καταχωσθέντες, τρεῖς ἐφεξῆς ἔμειναν ἡμέρας. Λέγονται δὲ καὶ οἱ ἐν [k]τῇ Λιβύῃ οὐκ ἐλάττονα τούτων ὑπο-

[26] Gen. xviii. 27, 17. [27] Prov. xii. 10.

[v] *παραβαλεῖν* H. Statim *κακοῖς* C. [w] *ὅτι*] *ὅτε* A.B.D.E.F.H.I. [x] *ἀδελφιδῶν* H. Statim *μόνον* pro *μόνου* A.B.D.E.F.H.I. *ἅπερ ἔπραττεν* om. C. [y] *Σοδομηνῶν* A. [z] *ἐλαύνειν ἐκεῖνος ἕως ἂν πάντας* C. [a] *λαβόντα* I. Statim *τοῦτο* H. et a pr. man. A. *μόνον* pro *τοῦτον* C. [b] *δῆλον* om. C. [c] *ἀλλ'* pro *ἀλλὰ* A.B.D.E. *ἡ* om. C. Veron. [d] *αὐτῶν ἐκ β.*] *ἐκ β. αὐτῶν* A.B.F. Statim *ἀνέσπα* A.B.D.E.F.H.I. *ἀνασπᾶν* Edd. [e] *ἑτέρων* B.D.E. Statim *ἠξίου* pro *ἀξιοῖ* A.B.D.E.F.H.I. [f] *ἃ μ. ποιεῖν* om. C. [g] *καὶ μέχρις* (*μέχρι* B.E.F.) *ἀλόγων* A.B.D.E.F. *καὶ μέχρι λόγων* ante corr. C. *καὶ οὐ μέχρι λόγων* H.I. *καὶ μέχρι τῶν ἀλόγων* Edd. Statim *αὐτοῦ* pro *αὐτῶν* A. *αὐτὴν* C. [h] *δὲ*]+*καὶ* Edd. repugnantibus libris. [i] *ἀλόγων*] *προβάτων* C. [k] *τῇ* accessit ex A.B.D.E.F.H.I. *οἱ ἐν τῇ Λ.*] *εἰς Λιβύην* C. Statim *οὐκ ἔλαττον* idem.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μένειν δεινὰ, μῆνας ὁλοκλήρους τὴν χαλεπὴν ἔρημον ἐκείνην καὶ τῶν πικροτάτων γέμουσαν θηρίων περιπολοῦντες. Εἰ δὲ περὶ ἄλογα τοσαύτη [l]ἡ σπουδὴ, τίνα ἂν ἔχοιμεν ἀπολογίαν οἱ D ψυχὰς [m]λογικὰς ἐμπιστευθέντες, καὶ τὸν βαθὺν τοῦτον καθεύδοντες ὕπνον; Ἀναπνεῖν [n]γὰρ ὅλως ἐχρῆν; ἡσυχάζειν δὲ ὅλως; [o]ἀλλ' οὐ πανταχοῦ περιτρέχειν, καὶ μυρίοις ἑαυτοὺς ἐκδιδόναι θανάτοις ὑπὲρ τῶν προβάτων [p]τούτων; [q]Ἢ οὐκ ἴστε τῆς ἀγέλης ταύτης τὸ ἄξίωμα; οὐχ ὑπὲρ [q]ταύτης ὁ δεσπότης ὁ σὸς μυρία ἐπραγματεύσατο, καὶ τὸ αἷμα ὕστερον ἐξέχεε τὸ [r]ἑαυτοῦ; σὺ δὲ ἀνάπαυσιν ζητεῖς; καὶ τί χεῖρον γένοιτ' ἂν τῶν ποιμένων τούτων; Οὐκ ἐννοεῖς [s]τοῦτο, ὅτι περιεστήκασι τὰ πρόβατα ταῦτα λύκοι τούτων [t]πολὺ πικρότεροί τε καὶ ἀγριώ- E τεροι; Οὐ λογίζῃ [v]πρὸς ἑαυτὸν οἵας δεῖ ψυχῆς τῷ μέλλοντι ταύτην μεταχειρίζειν τὴν ἀρχήν; Ἀλλ' ἄνθρωποι μὲν δημαγωγοὶ ὑπὲρ τῶν τυχόντων βουλευόμενοι πραγμάτων, τὰς νύκτας (226) ταῖς ἡμέραις προστιθέασιν ἀγρυπνοῦντες· ἡμεῖς δὲ ὑπὲρ [w]οὐρανοῦ τὸν ἀγῶνα ἔχοντες, καὶ ἐν ἡμέρᾳ καθεύδομεν; καὶ τίς ἡμᾶς [x]ἐξαιρήσεται λοιπὸν τῆς ἐπὶ τούτοις κολάσεως; Εἰ γὰρ τὸ σῶμα κατακόπτεσθαι ἔδει, εἰ [y]γὰρ μυρίους ὑποστῆναι θανάτους, οὐχ ὡς ἐπὶ πανήγυριν τρέχειν ἐχρῆν; Ταῦτα δὲ μὴ μόνον ποιμένες, ἀλλὰ καὶ [z]τὰ πρόβατα ἀκουέτω, ἵνα τοὺς ποιμένας προθυμοτέρους ποιῶσιν, ἵνα μᾶλλον αὐτῶν τὴν προαίρεσιν 737 ἀλείφωσιν, ἕτερον μὲν οὐδὲν, πειθὼ δὲ καὶ ὑπακοὴν πᾶσαν παρέχοντες. Οὕτω καὶ [a]Παῦλος ἐκέλευσε λέγων, [28] "Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· [b]αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες." Ὅταν δὲ εἴπῃ, "ἀγρυπνοῦσι," μυρίους λέγει πόνους καὶ φροντίδας καὶ *κινδύνους. Ὁ γὰρ καλὸς ποιμὴν, καὶ τοιοῦτος οἷον ὁ Χριστὸς βούλεται, [c]μυρίοις ἀμιλλᾶται μάρτυσιν. Ὁ μὲν γὰρ ἅπαξ δι' αὐτὸν ἀπέθανεν, οὗτος δὲ μυριάκις διὰ τὴν ποίμνην, εἴγε ποιμὴν εἴη τοιοῦτος, οἷον εἶναι χρή· ὁ γὰρ τοιοῦτος καθ' B

[28] Hebr. xiii. 17.

[l] ἡ σπουδὴ omnes. Articulus aberat. [m] λογικὰς om. B. Statim πιστευθέντες C. [n] γὰρ] δὲ A.H.I. Mox ἐχρῆν om. I. Statim ἢ ἡσ. δὲ C. [o] ἀλλ' οὐ——θανάτοις] ἀλλ' οὐ πολλοὺς ὑπομένειν θανάτους I. [p] τούτων om. B. [q] αὐτῆς H. [r] ἑαυτοῦ pro αὐτοῦ A.B.C.D.E.H.I. [s] τοῦτο om. D.E. [t] πολὺ pro πολλῷ A.B.D.E.H. πολλῷ τούτων hoc ord. C. Mox τε accessit ex B.D.E.F.H. [v] πρὸς om. C. Statim ἑαυτὸν A.B.F.H.I. σεαυτὸν D.E. σαυτὸν Edd. [w] οὐρανοῦ] τῶν ἐν οὐρανῷ F. in marg. [x] ἐξ. λοιπὸν pro λοιπὸν ἐξ. omnes. [y] γὰρ superscript. in B. [z] τὰ accessit ex A.B.C.D. E.F.H. [a] Παῦλος sine articulo A.B.C.D.E.F.H. [b] αὐτοὶ γὰρ A.B.C. D.E.F.H. ὅτι αὐτοὶ Edd. * Sequentia usque ad finem operis desunt in I. [c] μυρίους ἀμ. μάρτυρας C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκάστην ἡμέραν ἀποθνήσκειν δύναται. Διὸ καὶ ὑμεῖς εἰδότες τὸν πόνον, συμπράττετε ταῖς εὐχαῖς, τῇ σπουδῇ, τῇ προθυμίᾳ, τῇ φιλίᾳ· ἵνα [d]καὶ ἡμεῖς ὑμῶν, καὶ ὑμεῖς ἡμῶν καύχημα γένησθε. Διὰ τοῦτο γὰρ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων, καὶ ὑπὲρ [e]τοὺς ἄλλους αὐτὸν φιλοῦντι, [f]τοῦτο ἐνεχείρισε, πρότερον ἐρωτήσας αὐτὸν, εἰ [g]φιλοῖτο παρ' αὐτοῦ, ἵνα μάθῃς, ὅτι τοῦτο πρὸ τῶν ἄλλων τῆς ἀγάπης τῆς εἰς αὐτὸν τεκμήριον τίθεται· καὶ γὰρ νεανικῆς [h]δεῖται τοῦτο ψυχῆς. Ταῦτα δέ μοι περὶ ἀρίστων [i]ποιμένων εἴρηται, οὐ περὶ ἐμαυτοῦ καὶ τῶν καθ' ἡμᾶς, C ἀλλ' εἴ τις τοιοῦτος, οἷος ὁ Παῦλος [k]ἦν, οἷος [l]ὁ Πέτρος, οἷος Μωϋσῆς. Τούτους οὖν μιμησώμεθα καὶ ἄρχοντες καὶ ἀρχόμενοι· ἔξεστι γὰρ καὶ ἀρχομένῳ ἐν μέρει εἶναι [m]ποιμένος, τῆς οἰκίας, τῶν φίλων, τῶν οἰκετῶν, τῆς γυναικὸς, τῶν [n]παιδίων. Κἂν οὕτω τὰ καθ' [o]ἑαυτοὺς οἰκονομῶμεν, πάντων [p]ἐπιτευξόμεθα τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [q]μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΑ.

D [1]Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ, διακονῶν τοῖς ἁγίοις. [a]Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν.

ΕΠΕΙΔΗ εἶπεν, ὅτι τόπον οὐκέτι ἔχω ἐν τοῖς κλίμασι τούτοις, καὶ ἐπιποθίαν ἔχω ἐκ πολλῶν ἐτῶν ἐλθεῖν πρὸς ὑμᾶς, ἔμελλε δὲ ἔτι βραδύνειν· ἵνα μὴ νομίζηται διαχλευάζειν αὐτοὺς, λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἀναβάλλεται τέως, καί φησιν, ὅτι E "πορεύομαι εἰς [b]Ἱεροσόλυμα." Καὶ δοκεῖ μὲν τὴν πρόφασιν λέγειν τῆς μελλήσεως, διὰ δὲ τούτων καὶ ἕτερόν τι κατασκευάζει, τὸ προτρέψαι ἐκείνους εἰς ἐλεημοσύνην, καὶ σπουδαιοτέρους ποιῆσαι. Ἐπεὶ εἰ μὴ τοῦτο [c]ἐσπούδαζε κατορθῶσαι, ἤρκει

[1] Cap. XV. v. 25—27.

[d] καὶ ἡμεῖς ὑμῶν om. E.H. Statim καὶ ὑμεῖς ἡμῶν omnes. καὶ ἡμῶν ὑμεῖς Edd. ἵνα καὶ—καύχημα] ἵνα ὑμεῖς ὑμῶν καύχημα C. [e] τοὺς om. C. Statim αὐτὸν φ. pro φ. αὐτὸν A.B.E.F.H. [f] τοῦτον F. Statim ἐνεχείρησε E.F.H. [g] φιλεῖται C. [h] δεῖται τοῦτο pro τοῦτο δεῖται D.F.H. δεῖται ψυχῆς τοῦτο hoc ord. C. [i] π. εἴρηται pro εἴρηται π. omnes. [k] ἦν om. C. [l] ὁ om. B.F. Mox Μωϋσῆς sine artic. A.B.D.E.F.H. [m] ποιμένος A.B.D.E.H. ποιμένι ex corr. F. ποιμένα Edd. ante Ben. [n] παιδίων pro παίδων A.B.D. E.H. τῶν παίδων, τῶν οἰκετῶν, τῆς γυναικὸς inverso ord. C. [o] ἑαυτοὺς A.B. D.E.F.H. αὐτοὺς Edd. [p] ἐπιτευξοίμεθα B.F. ἐπιτευξώμεθα H. τευξόμεθα C. [q] μετασχεῖν pro ἐπιτυχεῖν A.B.D.E.F.H. Hom. XXXI. [a] εὐδόκησε B. εὐδόκησεν H. [b] Ἱερουσαλὴμ C. [c] ἐσπούδαζε] ἐβούλετο A.B.E.F.H. Cat.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπεῖν, ὅτι πορεύομαι εἰς Ἱερουσαλήμ· [d]νῦν δὲ καὶ τὴν αἰτίαν προστίθησι τῆς ἀποδημίας. "Πορεύομαι γάρ, φησὶ, διακονῶν τοῖς ἁγίοις." [e]Καὶ ἐνδιατρίβει τῷ λόγῳ, καὶ λογισμοὺς κινεῖ, λέγων ὅτι ὀφειλέται εἰσὶ, καὶ ὅτι, "Εἰ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι·" ἵνα μάθωσιν ἐκεῖνοι τούτους ζηλοῦν. Διὸ καὶ 738
μάλιστα αὐτοῦ τὴν σοφίαν [f]θαυμάσαι ἄξιον, ὅτι τοῦτον τῆς συμβουλῆς τὸν τρόπον ἐπενόησεν· οὕτω γὰρ μᾶλλον ἠνείχοντο ἢ [g]εἰ ἐν τάξει παραινέσεως εἶπε. Καὶ γὰρ ἔδοξαν ἂν ὑβρίζεσθαι, εἰ εἰς προτροπὴν αὐτῶν Κορινθίους [h]παρήγαγεν εἰς μέσον καὶ Μακεδόνας. Διὰ δὴ [i]τοῦτο ἐκείνους μὲν οὕτω προτρέπει λέγων· [2] "Γνωρίζω [k]δὲ ὑμῖν τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ταῖς ἐκκλησίαις τῆς Μακεδονίας" καὶ Μακεδόνας δὲ διὰ τούτων πάλιν· "Ὁ γὰρ ἐξ ὑμῶν ζῆλος, [l]φησὶν, ἠρέθισε τοὺς πλείονας." Καὶ διὰ Γαλατῶν δὲ ὁμοίως τοῦτο ποιεῖ, ὡς
(227) ὅταν λέγῃ· [3] "Ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε." Ἐπὶ δὲ Ῥωμαίων οὐχ οὕτως, ἀλλ' ὑπεσταλμένως μᾶλλον. Ποιεῖ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ κηρύγματος, B
ὡς ὅταν λέγῃ· [4] "[m][a]Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;" Οὐδὲν γὰρ οὕτως, ὡς ζῆλος, ἰσχυρόν. Διὸ πολλαχοῦ αὐτὸ τίθησι· καὶ γὰρ [n]καὶ ἀλλαχοῦ φησι· [5] "Καθὼς ἐν πάσαις [o]ταῖς ἐκκλησίαις διατάσσομαι·" καὶ πάλιν, "Καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω." Καὶ [p]Κολασσαεῦσι δὲ ἔλεγεν, ὅτι [6] "Ἐστὶ καρποφορούμενον καὶ αὐξανόμενον τὸ [q]εὐαγγέλιον ἐν παντὶ τῷ κόσμῳ." Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ ἐπὶ τῆς ἐλεημοσύνης. Καὶ σκόπει πῶς μεγαλοπρεπῶς ταῖς λέξεσι κέχρηται· [r]οὐδὲ γὰρ εἶπε, πορεύομαι ἐλεημοσύνην ἀποφέρων, ἀλλὰ, "διακονῶν." Εἰ δὲ Παῦλος C
[s]διακονεῖ, ἐννόησον ἡλίκον τὸ γινόμενον, ὅταν ὁ τῆς οἰκουμένης διδάσκαλος καταδέχηται ἀποκομίζειν, καὶ μέλλων εἰς Ῥώμην ἀποδημεῖν, καὶ οὕτως αὐτοὺς ἐπιποθῶν, τοῦτο ἐκείνου προτιμᾷ.

2 2 Cor. viii. 1. ix. 2. 3 1 Cor. xvi. 1. 4 Ibid. xiv. 36. 5 Ibid. vii. 17. iv. 17. 6 Col. i. 6.

[d] νῦν pro νυνὶ A.B.D.F.H. [e] Haec καὶ ἐνδιατρίβει——λειτουργῆσαι desunt in A.H. Agnoscit ea Cat. [f] θαυμάζειν C.D. Statim ἄξιον libri omnes et Cat. χρὴ Edd. Mox τοσοῦτον pro τοῦτον C. [g] εἰ accessit ex B.D.E.F. Cat. Mox εἶπε vel εἶπεν D.E.F. Cat. εἰπεῖν Sav. Mor. Ben. οὕτω γὰρ μᾶλλον ἢ (ἢ om. Veron.) ἐν τ. π. εἶπεν C. Veron. [h] παρήγαγεν pro παρῆγεν omnes. [i] τοῦτο]+ἐκεῖ Edd. ἐκεῖ om. B.C.D.E.F.H. Cat. [k] δὲ om. B.E.H. Mox ἐν ταῖς ἐκκλ. C. [l] φησὶν accessit ex A.B.D.E.F.H. Cat. [m] ἢ om. C. [n] καὶ om. C. [o] ταῖς om. H. [p] Κολοσσ. D.E. [q] εὐαγγέλιον]+τοῦ θεοῦ Edd. τοῦ θεοῦ om. A.B.E.F.H. Mox τῷ κοσμῷ omnes. Articulus aberat. [r] οὐδὲ pro οὐ omnes. Mox ἐλεημοσύνας A. [s] διηκόνει C. Mox γινόμενον A.B.D.E.F.H. Cat. γενόμενον Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

"Ηὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα" τουτέστιν, ἐδοκίμασαν, ἐπεθύμησαν· "κοινωνίαν τινά." Πάλιν οὐκ εἶπεν ἐλεημοσύνην, ἀλλὰ, "κοινωνίαν." Τὸ δὲ, "τινὰ," οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἵνα μὴ δόξῃ τούτους ὀνειδίζειν. Καὶ οὐκ εἶπεν ἁπλῶς, εἰς τοὺς πτωχούς, ἀλλ', "εἰς τοὺς πτωχοὺς τῶν ἁγίων" διπλῆν [t]ποιῶν τὴν σύστασιν, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς, καὶ τὴν
D ἀπὸ τῆς πενίας. Καὶ [v]οὐδὲ τούτῳ μόνον ἠρκέσθη, ἀλλ' ἐπήγαγεν, ὅτι "ὀφειλέται [w]εἰσίν." Εἶτα δείκνυσι πῶς ὀφειλέται. "Εἰ γὰρ [x]τοῖς πνευματικοῖς αὐτῶν, φησὶν, ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς." [4]Ὁ δὲ λέγει, [y]τοῦτό ἐστι· δι' αὐτοὺς ἦλθεν ὁ Χριστὸς, αὐτοῖς ἦν ἅπαντα ἐπηγγελμένα τοῖς ἐξ Ἰουδαίων, ἐξ αὐτῶν ὁ Χριστός· διὸ καὶ ἔλεγεν, [7] "Ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία" ἐκεῖθεν οἱ ἀπόστολοι, ἐκεῖθεν οἱ προφῆται, ἐκεῖθεν τὰ ἀγαθὰ πάντα.
E Τούτων οὖν ἁπάντων ἐκοινώνησεν ἡ οἰκουμένη. Εἰ τοίνυν ἐν τοῖς μείζοσιν ἐκοινωνήσατε, φησὶ, καὶ τῶν δείπνων [z]ἐκείνοις παρεσκευασμένων ὑμεῖς εἰσελθόντες ἀπηλαύσατε τῶν προκειμένων, κατὰ τὴν τοῦ εὐαγγελίου παραβολήν· ὀφείλετε καὶ τῶν σαρκικῶν κοινωνῆσαι καὶ μεταδοῦναι αὐτοῖς. Καὶ οὐκ εἶπε, κοινωνῆσαι, ἀλλὰ, "λειτουργῆσαι·" ἐν τάξει διακόνων αὐτοὺς καθιστὰς, καὶ τῶν βασιλεῦσι τελούντων φόρους. Καὶ οὐκ εἶπεν, ἐν τοῖς σαρκικοῖς ὑμῶν, ὥσπερ ἐν τοῖς πνευματικοῖς αὐτῶν· τὰ [a]μὲν γὰρ πνευματικὰ ἐκείνων, τὰ δὲ σαρκικὰ οὐ τούτων
739 [b]μόνων, ἀλλὰ κοινὰ πάντων· τὰ γὰρ χρήματα πάντων ἐκέλευσεν εἶναι, οὐχὶ τῶν κεκτημένων [c]μόνον. [8] "Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον" τουτέστιν, [d]ὡς εἰς βασιλικὰ ταμιεῖα ἀποθέμενος, ὡς ἐν ἀσύλῳ καὶ ἀσφαλεῖ χωρίῳ. [e]Καὶ οὐκ εἶπεν, ἐλεημοσύνην, ἀλλὰ πάλιν, "τὸν καρπόν" δεικνὺς κερδαίνοντας τοὺς παρέχοντας. "Ἀπελεύσομαι δι' ὑμῶν [f]εἰς Σπανίαν." Πάλιν μέμνηται τῆς Σπανίας, δεικνὺς τὸ ἄοκνον καὶ [g]τὸ περὶ ἐκείνους θερμόν. [9] "Οἶδα

7 Joan. iv. 22. 8 v. 28. 9 v. 29.

[t] ποιῶν τὴν] ποιεῖται C. [v] οὐ C. Statim τούτοις F. [w] εἰσὶν]+αὐτῶν C. Statim εἶτα δ. π. ὀφειλέται om. idem. [x] τοῖς] ἐν τοῖς D. Mox αὐτῶν, φησὶν ἐκοινώνησαν A.B.D.E.F. φησὶν om. C.H. ἐκοινώνησαν αὐτῶν, φησὶ Edd. [y] τοιοῦτον C. [z] τῶν ἐκείνοις Sav. Mor. Ben. τῶν om. C. Veron. Mox τῶν προκειμένων om. Cat. [a] μὲν om. H. [b] μόνον D.E.H. et a pr. man. B. Statim ἀλλὰ καὶ κοινὰ π. C. ἀλλὰ κοινῇ π. D.E. Verba ἀλλὰ κοινὰ πάντων om. B.F. Haec omnia ἀλλὰ κοινὰ——κεκτημένων μόνον desunt in A.H. Vulgatum firmat Cat. [c] μόνων D. Cat. et ex corr. E. [d] ὡς om. H. Cat. ταμεῖα pro ταμεῖα A.E.H. Cat. Statim ἀποθέμ. A.C.D.H. Cat. ἐναποθέμ. Edd. [e] καὶ deest in A.B.D.E.F.H. non in Cat. [f] εἰς]+τὴν C. Ἰσπ. pro Σπ. bis B.D.E.F. [g] τὸ om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι." [h]Τί ἐστιν, "ἐν πληρώματι εὐλογίας;" [i]Ἤτοι περὶ χρημάτων φησὶν, ἢ περὶ πάντων ἁπλῶς τῶν κατορθωμάτων. Εὐλογίαν γὰρ, ὡς τὰ πολλὰ, B
τὴν ἐλεημοσύνην εἴωθε λέγειν· ὡς ὅταν λέγῃ, [10] "Ὡς εὐλογίαν [i]καὶ μὴ ὡς πλεονεξίαν·" καὶ ἔθος δὲ παλαιὸν οὕτως ἦν καλεῖσθαι τὸ πρᾶγμα. Ἐπειδὴ δὲ ἐνταῦθα προσέθηκε, "τοῦ εὐαγγελίου," διὰ τοῦτό φαμεν οὐ περὶ χρημάτων [k]μόνον εἰρηκέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων· [l]ὡσανεὶ εἶπεν, οἶδα δὲ ὅτι ἐρχόμενος ὄψομαι ὑμᾶς ἐν ἅπασιν εὐδοκιμοῦντας, καὶ κομῶντας τοῖς ἀγαθοῖς, [m]καὶ μυρίων ἐπαίνων ἀξίους τῶν κατὰ τὸ εὐαγγέλιον. Καὶ τοῦτο δὲ εἶδος [n]συμβουλῆς θαυμαστὸν, τὸ προκαταλαμβάνειν αὐτοὺς τοῖς ἐγκωμίοις. Ὅταν C
γὰρ παραιτῆται ἐν τάξει παραινέσεως τοῦτο ποιεῖν, ἐπὶ τοῦτον ἔρχεται τῆς διορθώσεως τὸν τρόπον.

[11] "Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος." Πάλιν ἐνταῦθα τὸν Χριστὸν καὶ τὸ πνεῦμα προβάλλεται, καὶ [o]οὐδαμοῦ μέμνηται τοῦ πατρός. Ταῦτα δὲ [p]εἶπον, ἵν' ὅταν ἴδῃς αὐτὸν πατρὸς καὶ
(228) υἱοῦ μεμνημένον, ἢ πατρὸς μόνου, μήτε [q]υἱὸν μήτε πνεῦμα ἀθετῇς. Καὶ οὐκ εἶπε, πνεύματος, [r]ἀλλ', "ἀγάπης πνεύματος." Καθάπερ [s]γὰρ ὁ Χριστὸς ἠγάπησε τὸν κόσμον, καὶ ὁ πατὴρ, οὕτω καὶ τὸ πνεῦμα. Τί δέ ἐστιν ὃ παρακαλεῖς, εἰπέ μοι; "[t]Συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς D
τὸν θεὸν, [12] ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ." Μέγας ἄρα ἀγὼν αὐτῷ προύκειτο· διὸ καὶ τὰς εὐχὰς αὐτῶν καλεῖ. Καὶ οὐκ εἶπεν, ἵνα συμπλακῶ, ἀλλ', "ἵνα ῥυσθῶ" ὡς ὁ Χριστὸς ἐκέλευσεν [v]εὔχεσθαι μὴ εἰσελθεῖν εἰς [w]πειρασμόν. Ταῦτα δὲ [x]λέγων, ἐδείκνυ πονηρούς τινας λύκους ἐπιθησομένους αὐτῷ, καὶ θηρία μᾶλλον ἢ ἄνδρας. Ἀπὸ δὲ τούτου καὶ ἕτερον

10 2 Cor. ix. 5. 11 v. 30. 12 v. 31.

[h] τί]+οὖν C. [i] καὶ accessit ex A.B.D.E.F.H. Cat. [k] μόνον εἰρ. pro εἰρ. μόνον omnes. [l] ὡσανεὶ omnes. ὡς ἂν Edd. ante Ben. Mox ἐν om. D. ἐν πᾶσιν C. [m] καὶ om. H. Statim edebatur μυρίων ἀγαθῶν ἀξίους ἐπαίνων. ἀγαθῶν deest in omnibus. Tum ἐπαίνων ἀξίους hoc ord. A.B.C.D.E.F. Cat. [n] συμβολῆς B. τῆς συμβουλῆς C.D. [o] οὐδαμοῦ omnes. οὐδαμῶς Edd. [p] εἶπεν B.C.D.F. [q] τὸν υἱόν C. Cat. et ex corr. A.B. Statim τὸ πνεῦμα A.B.C.F.H. non Cat. ἀθετήσῃς C. [r] ἀλλὰ D. Cat. Post πνεύματος add. εἰκότως D.E. [s] γὰρ om. A.B.F.H. Cat. [t] συναγωνίσασθε A.C.H. [v] εὔχεσθαι pro εὔχεσθε A.B.C.D.F.H. Cat. [w] πειρασμὸν]+οὕτω προτρέπων αὐτοὺς τοῦτο ποιεῖν D.E. [x] λέγων—τινας] ἔλεγεν δεικνὺς τινας πονηροὺς C. ἐδείκνυ om. H. Mox αὐτῷ om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[y]κατεσκεύαζε, τὸ δεῖξαι ὅτι δικαίως ἀνεδέξατο τὸ διακονῆσαι
E τοῖς ἁγίοις, εἴγε τοσοῦτοι οἱ ἀπειθοῦντες, ὡς καὶ [z]αὐτῶν εὔ-
χεσθαι ῥυσθῆναι. Οἱ γὰρ μεταξὺ τοσούτων ὄντες πολεμίων,
καὶ λιμῷ ἀπόλλυσθαι ἔμελλον· διὸ ἀναγκαίως [a]ἑτέρωθεν αὐ-
τοῖς ἐκομίζετο. "Καὶ ἵνα ἡ διακονία μου ἐν Ἰερουσαλὴμ εὐ-
πρόσδεκτος γένηται τοῖς ἁγίοις" τουτέστιν, ἵνα δεκτὴ [b]γένηταί
μου ἡ θυσία, ἵνα μετὰ προθυμίας ὑποδέξωνται τὰ διδόμενα.
Ὁρᾷς πῶς πάλιν ἐπῆρε τὸ ἀξίωμα τῶν λαμβανόντων, εἴγε
εὐχῶν δεῖται παρὰ δήμου τοσούτου εἰς τὸ δεχθῆναι τὰ πεμπό-
μενα; Ἀπὸ δὲ τούτου δείκνυσι καὶ ἕτερόν τι, ὅτι οὐκ ἀρκεῖ τὸ
δοῦναι ἐλεημοσύνην [c]εἰς τὸ δεχθῆναι. Ὅταν γὰρ μετὰ ἀνάγκης
740 τις παρέχῃ, ὅταν ἐξ ἀδικίας, ὅταν [d]πρὸς κενοδοξίαν, οἴχεται ὁ
καρπός. [13] "Ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος θεοῦ."
Ὥσπερ ἀρχόμενος ἔλεγεν, "[e]Εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι
ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς" οὕτω καὶ ἐνταῦθα
ἐπὶ τὸ αὐτὸ καταφεύγει θέλημα, καί φησιν, ὅτι διὰ τοῦτο
ἐπείγομαι, καὶ ῥυσθῆναι ἐκεῖθεν εὔχομαι, ἵνα ταχέως ὑμᾶς ἴδω,
καὶ ἴδω μεθ' ἡδονῆς, μηδεμίαν ἐκεῖθεν ἐπισυρόμενος ἀθυμίαν.
"Καὶ [f]συναναπαύσωμαι ὑμῖν." Ὅρα πῶς πάλιν τὸ ἄτυφον
[g]δείκνυσιν. Οὐ γὰρ εἶπε, διδάξω ὑμᾶς καὶ κατηχήσω, ἀλλ',
B "ἵνα συναναπαύσωμαι ὑμῖν." [h]Καίτοι αὐτὸς ἦν ὁ ἀγωνιζό-
μενος καὶ πυκτεύων· πῶς οὖν φησι, "συναναπαύσωμαι;" Χαρι-
ζόμενος αὐτοῖς κἀν τούτῳ, καὶ προθυμοτέρους ποιῶν, τῷ
κοινωνοὺς ποιεῖν τῶν στεφάνων, καὶ δεικνύναι καὶ αὐτοὺς ἀγω-
νιζομένους καὶ πονοῦντας. Εἶτα, ὅπερ ἀεὶ ποιεῖν εἴωθε, τὴν
εὐχὴν μετὰ τὴν παραίνεσιν [i]προστίθησι λέγων· [14] "Ὁ δὲ θεὸς
τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν."

[15] "Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν [k]ἀδελφὴν, διάκονον οὖσαν
τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς." Ὅρα διὰ πόσων αὐτὴν
σεμνύνει. Καὶ γὰρ πρὸ τῶν ἄλλων αὐτῆς ἐμνήσθη πάντων, καὶ
C ἀδελφὴν ἐκάλεσεν· οὐ μικρὸν δὲ Παύλου [l]κληθῆναι ἀδελφήν·
καὶ τὸ ἀξίωμα προσέθηκε, διάκονον εἰπών. [16] "Ἵνα αὐτὴν

[13] v. 32. [14] v. 33. [15] Cap. XVI. v. 1. [16] v. 2.

[y] *κατεσκεύαζε* (*κατεσκεύασεν* C.) libri omnes et Cat. *παρεσκεύαζε* Edd. [z] *αὐτὸν* A. B. C. D. F. [a] *καὶ ἕτερ.* C. Mox *ἐν Ἰερουσαλὴμ* om. idem. [b] *γένηταί μου* pro *μου γένηται* A.B.E.F.H. Cat. [c] *εἰς*] *ὡς* C. [d] *πρὸς κενοδοξίαν* omnes. *μετὰ κενοδοξίας* Edd. [e] *εἴ πως* om. C. [f] *συναναπαύσομαι* B.C.E. [g] *ἐνδείκνυται* C. Mox *εἶπεν ἵνα διδάξω* D.E. tacite receptum a Montef. [h] *καίτοι αὐτὸς*] Sic B.D.E.F.H. Cat. ut edidit Montef. *καὶ τοιοῦτος* Veron. Sav. Mor. [i] *προτίθεται* Edd. "MSS. [B. E.] *προτίθησι*. Legendum videtur *προστίθησι*." *Montef.* *προστίθησι* (non *προτίθησι*) habent A. B. D. E. F. Cat. *τίθησι* C. *προστίθεται* (?) H. [k] *ἀδελφὴν*]+*ὑμῶν* C. [l] *μνησθῆναι* H. Mox *προστέθεικεν* B.F. Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσδέξησθε ἐν κυρίῳ ἀξίως τῶν ἁγίων·" τουτέστι, διὰ τὸν κύριον, ἵνα τιμῆς [m]ἀπολαύσῃ παρ' ὑμῖν. Ὁ γὰρ διὰ τὸν κύριον δεχόμενος, κἂν μὴ [n]μέγαν τινὰ δέξηται, μετὰ σπουδῆς δέχεται· ὅταν δὲ [o]ἅγιος ᾖ, ἐννόησον ἡλίκης αὐτὸν ἀπολαῦσαι δίκαιον θεραπείας. [p]Διὰ τοῦτο προσέθηκεν, "ἀξίως τῶν ἁγίων," ὡς δεῖ τοὺς τοιούτους ὑποδέχεσθαι. Διπλῆν γὰρ ἔχει ἀφορμὴν τοῦ θεραπευθῆναι παρ' [q]ὑμῖν, καὶ τὸ διὰ τὸν κύριον δεχθῆναι, καὶ τὸ αὐτὴ ἁγία εἶναι. "Καὶ [r]παραστῆτε αὐτῇ ἐν D ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι." Εἶδες τὸ ἀνεπαχθές; [s]Οὐδὲ γὰρ εἶπεν, ἵνα ἀπαλλάξητε, ἀλλ' ἵνα τὰ παρ' ὑμῶν εἰσενέγκητε, καὶ χεῖρα ὀρέξητε· [t]καὶ, "ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ" οὐκ ἐν οἷς ἂν ᾖ πάντως, ἀλλ' ἐν οἷς ἂν ὑμῶν δέηται· [v]δεήσεται δὲ ἐν ἐκείνοις, ἐν οἷς ἂν ὑμεῖς ἦτε κύριοι. Εἶτα πάλιν ὁ ἔπαινος ἄφατος· "Καὶ γὰρ [w]αὐτὴ προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ." Εἶδες τὴν σύνεσιν; [x]Πρῶτον τὰ ἐγκώμια, εἶτα μέσην τὴν παράκλησιν, εἶτα πάλιν τὰ ἐγκώμια τέθεικεν, ἑκατέρωθεν E
(229) περιστέλλων τὴν χρείαν τοῖς ἐπαίνοις τῆς γυναικὸς τῆς μακαρίας ἐκείνης. Πῶς γὰρ οὐ μακαρία ἡ τοσαύτης [y]ἀπολαύουσα παρὰ Παύλου μαρτυρίας, ἡ καὶ αὐτῷ βοηθῆσαι δυνηθεῖσα τῷ τὴν οἰκουμένην διορθώσαντι; Τοῦτο γὰρ ὁ κολοφὼν αὐτῆς τῶν ἀγαθῶν· διὸ καὶ ὕστερον αὐτὸ τέθεικε λέγων, "καὶ αὐτοῦ ἐμοῦ." Τί δέ ἐστι, "καὶ αὐτοῦ ἐμοῦ;" Τοῦ [z]κήρυκος τῆς οἰκουμένης, τοῦ τοσαῦτα παθόντος, τοῦ μυρίοις ἀρκοῦντος. Μιμησώμεθα τοίνυν καὶ ἄνδρες καὶ γυναῖκες τὴν [a]ἁγίαν ἐκείνην, καὶ τὴν [b]μετ' αὐτὴν δὲ σὺν τῷ ἀνδρί. Τίνες δὲ οὗτοί εἰσιν; [17] "Ἀσπάσασθε, φησὶ, Πρίσκιλλαν καὶ Ἀκύλαν, τοὺς [c]συλλειτουργούς μου ἐν 741
Χριστῷ Ἰησοῦ." Τούτων [d]τὴν ἀρετὴν καὶ ὁ Λουκᾶς μαρτυρεῖ· τοῦτο μὲν, ὅταν λέγῃ, ὅτι [18] "Ἔμεινε πρὸς αὐτοὺς ὁ Παῦλος· ἦσαν γὰρ σκηνοποιοὶ [e]τὴν τέχνην·" τοῦτο δὲ, ὅταν δεικνύῃ τὴν

[17] v. 3. [18] Act. xviii. 3, 26.

[m] *ἀπολαύσηται* Veron. Sav. Mor. repugnantibus libris. [n] *μέγα* B.H. [o] *καὶ ἁγία* Edd. *καὶ ἅγιος* E. *ἅγιος* (sine *καὶ*) A.B.D.F.H. *καὶ ἁγίαν* (om. *ᾖ*) Cat. Mox *αὐτὸν* pro *αὐτὴν* B.D.E.F. [p] *διὰ τοῦτο πρ.*] *τί δέ ἐστιν* E. Post *ἁγίων* add. *ἀντὶ τοῦ* D.E. [q] *ὑμῖν* pro *ὑμῶν* A.B.D.E.F.H. Cat. Mox *αὐτὴ ἁγία* pro *αὐτὴν ἁγίαν* B.F.H. *αὐτὴν ἁγία* (sic) A. [r] *παράστητε* B.D.E. *παραστῆναι* H. Mox *χρ. πράγματι* pro *πράγματι χρ.* A. B. D. E. F. H. Cat. [s] *οὐδὲ*] *οὐ* C. [t] *καὶ* om. E. [v] *δεηθήσεται* B. [w] *αὕτη* C. Statim *προστάτης* H. Mosqq. Tum *ἐγενήθη πολλῶν* inverso ord. C.D. Statim *καὶ ἐμοῦ αὐτοῦ* ter C. Mosqq. [x] *πρῶτον*]+*μὲν* Edd. *μὲν* deest in A.B.D.E.F.H. Cat. Proximum *τὰ* om. H. [y] *ἀπολαύουσα* pro *ἀπολαύσασα* A.B.C.D.E. Cat. [z] *κήρυκος*]+*ὄντος* ex corr. B. [a] *παναγίαν* A.H. [b] *μετὰ ταύτην* C.D. *δὲ* om. A.H. [c] *συνεργούς* bis B.E. [d] *τὴν ἀρετὴν* A.D.E.H. Cat. *τῇ ἀρετῇ* Edd. [e] *τῇ τέχνῃ* A.C.E.F. et ex corr. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γυναῖκα τὸν Ἀπολλὼ [f]προσλαμβανομένην, καὶ κατηχήσασαν τὴν ὁδὸν τοῦ κυρίου. [g]Μεγάλα μὲν γὰρ κἀκεῖνα· πολλῷ δὲ μείζονα, ἃ φησι Παῦλος. Τί γάρ φησι; Πρῶτον συλλειτουργοὺς αὐτοὺς καλεῖ, τῶν ἀφάτων πόνων καὶ τῶν κινδύνων [h]δεικνὺς κοινωνούς· ἔπειτά φησιν, [19] "Ὅτι ὑπὲρ τῆς ψυχῆς μοι
B τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν." Εἶδες μάρτυρας ἀπηρτισμένους; Καὶ γὰρ εἰκὸς ἐπὶ Νέρωνος μυρίους εἶναι [i]τοὺς κινδύνους, ὅτε καὶ διετάξατο πάντας χωρίζεσθαι ἀπὸ τῆς Ῥώμης τοὺς Ἰουδαίους. "Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν." Ἐνταῦθα τὴν φιλοξενίαν καὶ τὴν ἀπὸ τῶν χρημάτων λειτουργίαν αἰνίττεται, θαυμάζων αὐτούς, ὅτι [k]καὶ τὸ αἷμα αὐτῶν ἐξέχεαν, καὶ τὴν [l]οὐσίαν [m]κοινὴν προέθηκαν ἅπασιν. Εἶδες γυναῖκας γενναίας, οὐδὲν ἀπὸ τῆς φύσεως ἐμποδισθείσας εἰς τὸν τῆς ἀρετῆς δρόμον; Καὶ μάλα εἰκότως. [20] "Ἐν [n]γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ." Καὶ ὅπερ [o]ἐπὶ τῆς προτέρας εἶπε, τοῦτο καὶ ἐπὶ ταύτης φησί. Καὶ
C [p]γὰρ περὶ ἐκείνης ἔλεγεν, "Ἥτις προστάτις πολλῶν [q]ἐγένετο, καὶ αὐτοῦ ἐμοῦ" καὶ ἐπὶ ταύτης πάλιν, ὅτι "Οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν." Ἵνα γὰρ μὴ δόξῃ [r]κολακεύειν λέγων ταῦτα, καὶ ἄλλους μάρτυρας ἄγει τῶν γυναικῶν πολλῷ πλείους. "Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν." Οὕτω γὰρ [s]ἦν εὐδόκιμος, ὡς καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι, διά [t]τε τοῦ πάντας ποιῆσαι πιστοὺς, καὶ διὰ τοῦ τοῖς ξένοις αὐτὴν ἀνοῖξαι πᾶσιν. Οὐδὲ γὰρ ἁπλῶς εἴωθεν οἰκίας ἐκκλησίας καλεῖν, εἰ μὴ πολλὴ [v]ἡ εὐλάβεια καὶ πολὺς ὁ
D τοῦ θεοῦ φόβος ἐρριζωμένος ἐν αὐτοῖς εἴη. Διὰ τοῦτο καὶ Κορινθίοις ἔλεγεν, [21] "Ἀσπάσασθε [w]Ἀκύλαν καὶ Πρίσκιλλαν, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ·" καὶ περὶ Ὀνησίμου [x]δὲ

19 v. 4. 20 Gal. iii. 28. 21 1 Cor. xvi. 19. Philem. 1, 2.

[f] προσλαβοῦσαν B.D.E. προσλαμβ. τὸν Ἀπ. inverso ord. C. Mox κυρίου sine artic. C. [g] μεγάλα μ. γ. κἀκεῖνα om. C. Mox ἃ om. idem. [h] δεικνὺς]+αὐτοὺς Edd. αὐτοὺς deest in omnibus. [i] τοὺς om. C. [k] καὶ om. C. Statim αὐτοῦ pro αὐτῶν H. [l] θυσίαν A.F.H. Cat. Post οὐσίαν add. αὐτῶν C.D. [m] κοινῇ D.E. Statim προέθηκαν pro προύθηκαν A.B.C.D.E.F. Cat. προσέθηκαν H. Tum ἅπασιν B.C.D.E.F. Cat. ἅπασαν Edd. [n] γὰρ Χριστῷ pro Χριστῷ γὰρ A.C.D.E.F.H. γὰρ om. B. [o] ἐπὶ] περὶ bis C.D. [p] γὰρ]+καὶ Edd. καὶ om. A.B.C.E.F. [q] ἐγένετο pro ἐγενήθη A.B.D.E. F.H. Mox ὅτι om. C. [r] κολακεύειν A.B.C.D.H. Cat. κολακεύων Edd. κολακεύων (sic) F. Statim λέγων, quod aberat, est in A.B.C.D.F. Cat. λέγει pro λέγων E. [s] ἦν εὐδόκιμος omnes. ἦσαν εὐδόκιμοι Edd. et Cat. [t] τε om. B. τὸ pro τοῦ idem. τὸ pro τοῦ bis C. Cat. [v] ἡ om. C. [w] Ἀκύλαν καὶ om. C. Statim καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν idem. [x] δὲ om. C. Statim γράφων φησὶ Edd. φησὶ om. A.H. Pro φησὶ habent οὕτω πως γράφει B.D.E. Deinde Παῦλος, φησὶ, Φιλήμονι B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γράφων, " Παῦλος Φιλήμονι καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ τῇ κατ' οἰκόν σου ἐκκλησίᾳ." Ἔνι γὰρ καὶ ἐν γάμῳ ὄντα θαυμαστὸν εἶναι καὶ γενναῖον. Ἰδοὺ οὖν καὶ οὗτοι ἐν γάμῳ ἦσαν, [y]καὶ σφόδρα ἔλαμψαν, καίτοιγε οὐδὲ τὸ ἐπιτήδευμα αὐτῶν λαμπρὸν ἦν· σκηνοποιοὶ γὰρ ἦσαν· ἀλλ' ὅμως πάντα ἀπέκρυψεν ἡ ἀρετὴ, καὶ ὑπὲρ τὸν ἥλιον αὐτοὺς ἔδειξε· καὶ οὔτε ἡ τέχνη, οὔτε ἡ συζυγία αὐτοὺς παρέβλαψεν, ἀλλὰ τὴν ἀγάπην, Ε ἣν ὁ Χριστὸς ἀπήτησε, ταύτην ἐπεδείξαντο. 22 " Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, [z]φησὶν, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ." Καὶ [a]ὃ γνώρισμά ἐστι μαθητοῦ, τοῦτο κατώρθωσαν· ἔλαβον γὰρ τὸν σταυρὸν, καὶ ἠκολούθησαν. [b]Οἱ γὰρ ὑπὲρ τοῦ Παύλου τοῦτο ποιοῦντες, πολλῷ μᾶλλον ὑπὲρ τοῦ Χριστοῦ ταύτην [c]ἂν ἐπεδείξαντο τὴν ἀνδρείαν.

[d]Ταῦτα καὶ πλούσιοι καὶ πένητες ἀκουέτωσαν. Εἰ γὰρ οἱ ἀπὸ τῶν χειρῶν ζῶντες καὶ ἐργαστηρίου [e]προεστηκότες τοσαύτην ἐπεδείξαντο δαψίλειαν, ὡς ἐκκλησίαις πολλαῖς [f]γεγενῆσθαι χρήσιμοι· τίνα ἂν ἔχοιεν συγγνώμην οἱ πλουτοῦντες καὶ [g]τοὺς πένητας παρορῶντες; Ἐκεῖνοι μὲν γὰρ οὐδὲ τοῦ αἵματος ἐφεί- 742
σαντο διὰ τὸ τῷ θεῷ δοκοῦν· σὺ δὲ καὶ χρημάτων ὀλίγων φείδῃ, πολλάκις [h]ἀφειδῶν τῆς ψυχῆς τῆς σαυτοῦ; Ἀλλὰ περὶ μὲν τὸν διδάσκαλον τοιοῦτοι ἐκεῖνοι, περὶ δὲ τοὺς μαθητὰς οὐ τοιοῦτοι; Ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν· καὶ γὰρ αἱ ἐκκλησίαι τῶν ἐθνῶν, φησὶν, αὐτοῖς εὐχαριστοῦσι. Καίτοι ἐξ Ἰουδαίων ἦσαν, ἀλλ' [i]ὅμως οὕτως ἐπίστευσαν εἰλικρινῶς, ὡς καὶ ἐκείνοις μετὰ προθυμίας διακονεῖσθαι πάσης. Τοιαύτας εἶναι χρὴ τὰς γυναῖκας,
(230) 23 " μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ ἱματισμῷ πολυτελεῖ," ἀλλὰ Β τούτοις καλλωπιζομένας τοῖς κατορθώμασι. Ποία γὰρ, εἰπέ μοι, [k]βασίλισσα οὕτως ἔλαμψε, ποία οὕτως ᾄδεται, ὡς αὕτη ἡ τοῦ σκηνοποιοῦ; Καὶ ἐν τοῖς ἁπάντων ἐστὶ στόμασιν, οὐ δέκα [l]καὶ εἴκοσιν ἔτη, ἀλλὰ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας· καὶ

22 Joan. xv. 13. 23 1 Tim. ii. 9.

[y] καὶ σφ. ἔλαμψαν om. E. [z] φησὶν om. E. Mox αὐτοῦ pro αὑτοῦ in priore loco A.H. bis B.D.E. [a] ὃ om. C. Mox κατορθῶσαι idem. [b] οἱ] εἰ C. [c] ἂν accessit ex A.B.D.E.F.H. ἂν post μᾶλλον habet C. Mox ἀνδρίαν A.B.D. [d] ΗΘΙΚΟΝ. Ὅτι οἱ ἀπὸ τῶν χειρῶν ζῶντες καὶ ἐργαστηρίου προεστῶτες πολλὴν ἐπεδείξαντο δαψίλειαν, γενόμενοι χρήσιμοι ταῖς ἐκκλησίαις· οἱ δὲ πλουτοῦντες καὶ τοὺς πενομένους περιορῶντες, τίνα ἕξουσι συγγνώμην; καὶ περὶ φιλοξενίας. Veron. καὶ ταῦτα καὶ πλ. C. [e] προεστῶτες C. [f] γεγενῆσθαι pro γενέσθαι A.B.E.F. [g] τοὺς om. E. [h] ἀφειδῶν omnes. ὑπεριδῶν Edd. Statim τῆς ψ. τῆς σαυτοῦ B.D.E. τῆς ψ. τῆς αὐτοῦ (αὐτοῦ A. ἑαυτοῦ C.) A.C.F.H. τῆς σεαυτοῦ ψ. Edd. [i] ὅμως om. A.B.F.H. [k] βασιλεία A.C.H. Mox αὐτὴ pro αὕτη A.H. [l] οὐδὲ καὶ Edd. οὐδὲ deest in omnibus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντες αὐτὴν ἐπὶ [m]τοιούτοις ἀνακηρύττουσιν, ἃ τοῦ διαδήματος αὐτὴν μᾶλλον κοσμεῖ τοῦ βασιλικοῦ. Τί γὰρ μεῖζον, τί δὲ ἴσον τοῦ [n]προστάτην γενέσθαι Παύλου, τοῦ κινδύνοις ἰδίοις διασῶσαι τὸν τῆς οἰκουμένης διδάσκαλον; [o]Σκόπει δέ. Ὅσαι μὲν βασίλισσαι σεσίγηνται, ἡ δὲ τοῦ σκηνοποιοῦ πανταχοῦ [p]περιφέρεται μετὰ τοῦ σκηνοποιοῦ, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, C τοσαύτην ἐπιτρέχει καὶ ἡ δόξα τῆς γυναικὸς οἰκουμένην· καὶ Πέρσαι καὶ Σκύθαι καὶ Θρᾷκες, καὶ οἱ τὰς ἐσχατιὰς οἰκοῦντες, ᾄδουσι τῆς γυναικὸς τὴν φιλοσοφίαν [q]καὶ μακαρίζουσι. Πόσον πλοῦτον, πόσα διαδήματα καὶ ἀλουργίδας οὐκ ἂν ἡδέως [r]ἔρριψας ὑπὲρ τοῦ τὴν μαρτυρίαν ταύτην λαβεῖν; Οὐδὲ γὰρ ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν κινδύνοις μὲν ἦσαν τοιοῦτοι, καὶ ἐν χρήμασι δαψιλεῖς, τοῦ κηρύγματος δὲ ἠμέλουν· καὶ γὰρ [s]καὶ συνεργοὺς καὶ συλλειτουργοὺς αὐτοὺς διὰ τοῦτο καλεῖ. Καὶ οὐκ αἰσχύ- D νεται γυναῖκα συλλειτουργὸν καλῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τούτῳ· οὐ γὰρ τῇ φύσει προσέχει, ἀλλὰ τὴν προαίρεσιν στεφανοῖ. Τί τοῦ κόσμου τούτου ἴσον; Ποῦ [t]οὖν ὑμῖν ὁ πλοῦτος ὁ πανταχοῦ [v]ἐπιρρέων; ποῦ δὲ ὁ τῶν ὄψεων καλλωπισμός; ποῦ δὲ ἡ δόξα [w]ἡ κενή; Κατάμαθε τῆς γυναικὸς τὸν κόσμον, τὸν οὐ σώματι περικείμενον, ἀλλὰ ψυχὴν καλλωπίζοντα, τὸν οὐδέποτε ἀποτιθέμενον, τὸν οὐκ ἐν κιβωτίῳ κείμενον, [x]ἀλλ' ἐν οὐρανοῖς ἀποκείμενον. Βλέπε αὐτῶν τὸν περὶ τὸ κήρυγμα πόνον, τὸν ἐν τῷ μαρτυρίῳ στέφανον, τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν, τὴν περὶ [y]Παῦλον ἀγάπην, τὸ περὶ E τὸν Χριστὸν φίλτρον. [z]Παράβαλε τούτοις τὰ σά, τὴν περὶ τὰ χρήματα σπουδήν, τὴν πρὸς τὰς πορνευομένας ἄμιλλαν, τὴν πρὸς τὸν χόρτον φιλονεικίαν· καὶ τότε ὄψει τίνες μὲν ἐκεῖνοι, [a]τίς δὲ σύ. Μᾶλλον δὲ μὴ παράβαλε μόνον, ἀλλὰ καὶ ζήλου τὴν γυναῖκα, καὶ τὰ φορτία τῆς χλόης ἀποθεμένη· τοῦτο γὰρ ἡ τῶν ἱματίων πολυτέλεια· λάμβανε τὸν ἐκ τοῦ οὐρανοῦ κόσμον, καὶ μάνθανε πόθεν ἐγένοντο [b]τοιοῦτοι οἱ περὶ Πρίσκιλλαν.

[m] τούτοις C. Statim ἀνακηρύττουσιν. τοῦτο αὐτὴν τοῦ δ. μᾶλλον idem. [n] προστάτην H. [o] σκόπει δέ. ὅσαι μὲν βασίλισσαι] Sic A. B. D. E. F. H. Edebatur σκόπει γοῦν καὶ ὅσαι μὲν βασιλίδες. [p] περιάδεται D.E. Haec πανταχοῦ——σκηνοποιοῦ om. A.H. [q] Haec καὶ μακαρίζουσι desunt in A.B.D.E.F.H. [r] ἔρριψαν C. Mox τὴν μ. ταύτην pro τοιαύτην μ. omnes. [s] καὶ accessit ex omnibus. Mox καὶ συλλ. αὐτοὺς pro αὐτοὺς καὶ συλλ. A.C. D.E.F. καὶ συλλ. αὐτοῦ H. καὶ συλλειτουργοὺς om. B. [t] οὖν pro νῦν A.B.D.E.F.H. τοίνυν C. Statim ἡμῖν C. [v] ἐπιρρέων A.D.E.H. περιρρέων Edd. [w] ἡ κενὴ] ἐκείνη C. ἡ καινὴ F.H. Statim καταμάθετε A.H. [x] ἀλλ' ἐν οὐρανοῖς] Sic omnes. ἀλλὰ τοῖς οὐρανοῖς Edd. Statim ἀποκ. pro ἐναποκ. B.C.D.E.F.H. [y] Παύλου F.H. [z] παράβαλλε A.B.F. Infra παράβαλλε B.F. [a] τίς] τίνες H. [b] τοιαῦται αἱ περὶ C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόθεν οὖν ἐγένοντο; [c]Δύο ἔτη τὸν Παῦλον ἐξενοδόχησαν· ἔτη δὲ δύο τί οὐκ ἂν αὐτῶν εἰργάσατο τὴν ψυχήν; Τί οὖν ἐγὼ πάθω, φησὶν, ὅτι Παῦλον οὐκ ἔχω; Ἐὰν [d]θέλῃς, ἀκριβέστερον 743
ἔχεις ἢ ἐκεῖνοι· οὐδὲ γὰρ ἐκείνους ἡ ὄψις ἡ Παύλου τοιούτους ἐποίησεν, ἀλλὰ τὰ ῥήματα Παύλου. Ὥστε, εἰ βουληθείης, καὶ Παῦλον καὶ Πέτρον καὶ Ἰωάννην καὶ τῶν προφητῶν [e]ἅπαντα τὸν χορὸν μετὰ τῶν ἀποστόλων ἔξεις ὁμιλοῦντά σοι διηνεκῶς. Λάβε γὰρ τῶν μακαρίων τούτων τὰς βίβλους, καὶ ἐντύγχανε διηνεκῶς ταῖς ἐκείνων γραφαῖς, καὶ δυνήσονταί σε ποιῆσαι κατὰ τὴν τοῦ σκηνοποιοῦ γυναῖκα. Καὶ τί λέγω Παῦλον; [a]Ἂν γὰρ B
ἐθέλῃς, καὶ αὐτὸν ἕξεις [f]τὸν Παύλου δεσπότην· διὰ γὰρ τῆς Παύλου γλώττης καὶ ἐκεῖνός σοι διαλέξεται. Καὶ ἑτέρως [g]δὲ πάλιν δυνήσῃ δέξασθαι τοῦτον, ὅταν τοὺς ἁγίους δέξῃ, ὅταν τοὺς εἰς ἐκεῖνον πιστεύοντας θεραπεύσῃς· οὕτω καὶ ἀπελθόντων ἐκείνων, πολλὰ ὑπομνήματα εὐλαβείας ἕξεις. Οἶδε γὰρ καὶ τράπεζα ἐφ' ἧς [h]ὁ ἅγιος ἔφαγε, καὶ καθέδρα ἐφ' ἧς ἐκάθισε, καὶ κλίνη ἐφ' ἧς κατεκλίθη, κατανύξαι τὸν ὑποδεξάμενον, καὶ ἀπελθόντος ἐκείνου. Πῶς γοῦν οἴει τὴν [i]Σουμανῖτιν ἐκείνην κατανύττεσθαι, [k]εἰσελθοῦσαν εἰς τὸ ὑπερῷον ἔνθα κατέμενεν ὁ C
Ἐλισσαῖος, ὁρῶσαν τὴν τράπεζαν, [l]τὴν κλίνην ἐφ' ἧς ὁ ἅγιος ἐκεῖνος ἐκάθευδε; πόσην ἐντεῦθεν δέχεσθαι τὴν εὐλάβειαν; Οὐδὲ γὰρ [m]ἄν, εἰ μὴ τοῦτο ἦν, ἔρριψεν ἐκεῖ τὸ παιδίον [n]νεκρὸν, εἰ μὴ πολλὴν ἐκεῖθεν ἐκαρποῦτο τὴν [o]ὠφέλειαν. Εἰ γὰρ μετὰ τοσοῦτον χρόνον εἰσιόντες, ἔνθα [p]ἔμεινε Παῦλος, ἔνθα ἐδέθη, ἔνθα συνεκάθισε [q]καὶ διελέχθη, πτερούμεθα, καὶ [r]πρὸς τὴν μνήμην ἐκείνην ἀπὸ τῶν τόπων παραπεμπόμεθα· [s]τί νεωτέρων τῶν πραγμάτων ὄντων πάσχειν εἰκὸς τοὺς μετ' εὐλαβείας ξενοδοχοῦντας; Ταῦτ' οὖν εἰδότες ὑποδεχώμεθα τοὺς ἁγίους, ἵνα D
λάμπῃ ἡ οἰκία, ἵνα ἀπαλλάττηται τῶν ἀκανθῶν, ἵνα λιμὴν γέ-
(231) νηται τὸ δωμάτιον· καὶ ὑποδεχώμεθα, καὶ τοὺς πόδας νίπτωμεν. Οὐκ εἶ σὺ τῆς Σάρρας βελτίων οὐδὲ εὐγενεστέρα οὐδὲ εὐπορωτέρα, κἂν [t]βασιλὶς ᾖς. Τριακοσίους [v]γοῦν καὶ δεκαοκτὼ οἰκο-

[c] δύο ἔτη——ἔτη δὲ δύο] τὸν Π. ἔξεν. ἔτη δύο C. [d] θέλῃς pro ἐθέλῃς omnes. [e] ἁπάντων C. Mox ὁμιλοῦντας E. [f] τὸν τοῦ Π. δ. A.E. τοῦ Π. τὸν δ. B.F.H. Mox γὰρ om. C. [g] δὲ om. C. [h] ὁ accessit ex omnibus. [i] Σουμανίτιν omnes. Σωμανίτιν Veron. Σωναμῖτιν Sav. cet. [k] εἰσιοῦσαν E. [l] τὴν] καὶ τὴν C. [m] ἂν om. A.B.H. [n] νεκρὸν]+οὐδ' ἂν εἰσήει D.E. [o] ἀσφάλειαν H. [p] ἔμενεν H. [q] καὶ] ἔνθα C. [r] Vid. Annot. [s] Edebatur ἔτι ν. τῶν πραγμάτων ὄντων, τί πάσχειν κ. τ. ἑ. Pro ἔτι, τί est in A.B. C.D.F. τί ἐπὶ ν. τῶν πρ. (om. ὄντων) E. τί ν. ὄντων τῶν πρ. A.C.D. Deinde τί ante πάσχειν deest in omnibus. [t] βασιλὶς pro βασίλισσα A.B.D.E.F.H. [v] γοῦν] οὖν A.B.D.E.F.H. Statim καὶ δεκαοκτὼ B.D.F. καὶ δεκαεικοστὼ Edd. κἂν βασιλὶς—ἐκείνη] εἰ τριακοσίους γοῦν δεκαοκτὼ εἶχεν οἰκογενεῖς ἐκείνη C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γενεῖς εἶχεν ἐκείνη, ὅτε [w]καὶ τὸ δύο παῖδας ἔχειν πλοῦτος ἦν. Καὶ τί λέγω τριακοσίους [x]δέκα καὶ ὀκτὼ οἰκέτας; Τὴν οἰκουμένην ἅπασαν ἐν τῷ σπέρματι καὶ ταῖς ἐπαγγελίαις ἐκέκτητο, τὸν τοῦ θεοῦ φίλον εἶχεν ἄνδρα, αὐτὸν τὸν θεὸν προστάτην, ὃ πάσης βασιλείας μεῖζον ἦν. Ἀλλ' ὅμως ἐν τοσαύτῃ οὖσα
E περιφανείᾳ καὶ δόξῃ, [y]αὐτὴ ἔφυρε τὰ ἄλευρα, καὶ τὰ ἄλλα πάντα διηκονεῖτο, καὶ ἑστιωμένοις παρειστήκει πάλιν ἐν τάξει θεραπαινίδος. Οὐκ εἶ σὺ τοῦ Ἀβραὰμ εὐγενέστερος, ὃς τὰ οἰκετῶν ἔπραττε, μετὰ τὰ τρόπαια ἐκεῖνα, μετὰ τὰς νίκας, μετὰ τὴν τιμὴν τοῦ βασιλέως Αἰγύπτου, μετὰ [z]τὸ τοὺς Περσῶν ἐλάσαι βασιλέας, καὶ τὰ λαμπρὰ στῆσαι τρόπαια. Μηδὲ τοῦτο ἴδῃς, ὅτι [a]εὐτελεῖς τὸ φαινόμενον οἱ ἅγιοι οἱ πρὸς σὲ [b]καταγόμενοι, καὶ πτωχοὶ καὶ ῥακοδυτοῦντες πολλάκις, ἀλλ' ἐκείνης μέμνησο τῆς φωνῆς τῆς λεγούσης· 24 "Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, [c]ἐμοὶ ἐποιήσατε·" καὶ, "Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, ὅτι οἱ ἄγγελοι [d]αὐ-
744 τῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός [e]μου τοῦ ἐν οὐρανοῖς·" καὶ δέχου μετὰ προθυμίας αὐτοὺς τὰ μύρια σοι κομίζοντας ἀγαθὰ διὰ [f]τοῦ ἀσπασμοῦ τῆς εἰρήνης. Καὶ [g]μετὰ τῆς Σάρρας λογίζου καὶ [h]τὴν Ῥεβέκκαν, ἣ καὶ ὑδρεύετο, καὶ ἐπότιζε, καὶ ἐκάλει τὸν ξένον ἔνδον, [i]πάντα καταπατήσασα τῦφον. Διά [k]τοι τοῦτο καὶ μεγάλους τῆς φιλοξενίας [l]ἐλάμβανον τοὺς μισθούς. Σὺ δὲ, εἰ βουληθείης, καὶ μείζους ἐκείνων λήψῃ. Οὐ γὰρ [m]παιδίων μόνον δώσει σοι τὸν καρπὸν ὁ θεὸς, ἀλλὰ καὶ τὸν οὐρανὸν καὶ τὰ ἐκεῖ ἀγαθὰ, καὶ γεέννης ἀπαλλαγὴν, καὶ ἁμαρτημάτων συγχώρησιν. Καὶ γὰρ μέγας, [n]καὶ σφόδρα μέγας
B ὁ τῆς φιλοξενίας καρπός. Οὕτω καὶ [o]Ἰοθὸρ, καὶ ταῦτα βάρβαρος ὤν, κηδεστὴν ἔλαβε τὸν τῇ θαλάττῃ μετὰ τοσαύτης ἐπιτάξαντα τῆς ἐξουσίας· καὶ γὰρ αἱ θυγατέρες αὐτῷ τὸ καλὸν τοῦτο [p]θήραμα ἐσαγήνευσαν. Ταῦτ' οὖν ἐννοοῦσα, καὶ τὴν

24 Matth. xxv. 40. xviii. 10.

[w] *καὶ τὸ*] *τὸ καὶ* B.F. [x] *δέκα καὶ ὀκτὼ*] Sic nostri omnes. *καὶ δεκακαιοκτὼ*. Edd. [y] *αὐτὴ* pro *αὕτη* C.D.E.F.H. [z] *τὸ τοὺς*] *τοῦ* C. Mox *βασιλέας* omnes. *βασιλεῖς* Edd. [a] *εὐτελεῖς* pro *εὐτελὲς* omnes. [b] *καταφεύγοντες* C. Mox *ῥακοδ.* H. *ῥακοδ.* (sic) A. [c] Haec *ἐμοὶ ἐποιήσατε—τῶν μικρῶν τούτων* om. A.H. [d] *αὐτῶν* om. F. [e] *μου* pro *ἡμῶν* omnes. Mox *ἐν τοῖς οὐρανοῖς* C. [f] *τοῦ ἀσπασμοῦ* omnes. *τῶν ἀσπασμῶν* Edd. [g] *μετὰ*]+*δε* C. [h] *τῆς Ῥεβέκκας* H. Veron. [i] *καὶ πάντα* F.H. Mox *τὸν τῦφον* H. [k] *τοι* om. H. [l] *ἐλάμβανον* pro *ἐλάμβανε* C.F.H. Veron. [m] *παιδίων* pro *παιδίον* B.C.E. *πεδίου* Veron. Mox *τὸν κ. ὁ θ.* pro *ὁ θ. τὸν κ.* omnes. [n] *καὶ* om. A.B.E.F.H. *καὶ* et p. p. *μέγας* om. C. [o] *Ἰοθὸρ* B.F. *Ἰωθὸρ* C.E. *ὁ Ἰοθὸρ* Edd. invitis libris. [p] *θήραμα* pro *θήρευμα* A.B.D.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνδρείαν τῶν γυναικῶν ἐκείνων [q]λογιζομένη καὶ τὴν [r]φιλοσοφίαν, καταπάτησον τὸν παρόντα τῦφον, τὸν τῶν ἱματίων καλλωπισμόν, τὴν τῶν [s]χρυσίων πολυτέλειαν, τῶν μύρων τὴν ἀλοιφήν· καὶ τὸ [t]κατακλᾶσθαι καὶ θρύπτεσθαι καὶ ῥυθμῷ βαδίζειν [v]ἀφεῖσα, πᾶσαν ταύτην τὴν ἐπιμέλειαν εἰς [w]τὴν ψυχὴν εἰσάγαγε, καὶ τὸν [x]τῶν οὐρανῶν πόθον ἄναψον ἐπὶ τῆς διανοίας. C
[y]Ἂν γὰρ οὕτός σε ὁ ἔρως ἕλῃ, ὄψει τὸν βόρβορον καὶ τὸν πηλὸν, καὶ καταγελάσῃ τῶν [z]νῦν θαυμαζομένων· οὐδὲ γὰρ ἔστι γυναῖκα πνευματικοῖς κοσμουμένην κατορθώμασιν, ἐπιζητῆσαι τὸν γέλωτα τοῦτον. Ῥίψασα τοίνυν [a]πάντα ταῦτα, ἃ καὶ ἀγοραίων γυναῖκες, ἃ καὶ ὀρχηστρίδες [b]καὶ αὐλητρίδες μετὰ πολλῆς ἔχουσι τῆς φιλοτιμίας, περίθου φιλοσοφίαν, φιλοξενίαν, προστασίαν τῶν ἁγίων, κατάνυξιν, εὐχὰς συνεχεῖς. Ταῦτα χρυσῶν ἱματίων βελτίω, ταῦτα λίθων σεμνότερα καὶ περιδερραίων, ταῦτα καὶ παρὰ ἀνθρώποις [c]εὐδοκιμεῖν ποιεῖ, καὶ [d]παρὰ θεῷ μέγαν φέρει σοι τὸν μισθόν. Οὗτος τῆς ἐκκλη- D
σίας ὁ κόσμος, ἐκεῖνος τῶν θεάτρων· οὗτος τῶν οὐρανῶν ἄξιος, ἐκεῖνος [e]ἵππων καὶ ἡμιόνων· ἐκεῖνος [f]καὶ νεκροῖς σώμασι περιτίθεται, οὗτος [g]ἐν ψυχῇ μόνον ἀγαθῇ λάμπει, ἐν ᾗ Χριστὸς κατοικεῖ. Τοῦτον τοίνυν κτησώμεθα τὸν κόσμον, ἵνα [h]ἀδώμεθα πανταχοῦ καὶ ἡμεῖς, καὶ εὐαρεστήσωμεν τῷ Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΒ.

[1]Ἀσπάσασθε Ἐπαίνετον τὸν [a]ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ E
τῆς Ἀχαΐας εἰς Χριστόν.

ΠΟΛΛΟΥΣ καὶ τῶν σφόδρα δοκούντων [b]εἶναι σπουδαίων τοῦτο τῆς [c]ἐπιστολῆς τὸ μέρος παρατρέχειν ἡγοῦμαι, ὡς

1 Cap. XVI. v. 5.

[q] λογισαμένη C. [r] φιλοξενίαν F. [s] χρυσέων ex corr. A. Idem post πολυτέλειαν add. κόσμων. [t] κλᾶσθαι C. Statim καὶ τὸ θρ. καὶ τὸ ῥυθμῷ β. B.D.E.F. [v] ἀφεῖσα pro ἀφεῖσα A.C.D.H. πᾶσαν om. C. [w] τὴν om. E. Statim εἰσάγαγε pro εἶσαγε omnes. [x] τῶν οὐρανῶν] οὐράνιον B.D.E.F. [y] ἂν]+μὲν C. [z] νῦν om. C. [a] πάντα ταῦτα pro ταῦτα πάντα omnes. [b] καὶ αὐλητρίδες om. C. [c] εὐδοκιμεῖν omnes. εὐδόκιμον Edd. [d] παρὰ θεῷ A.B.D.E.F.H. παρὰ τοῦ θεοῦ Edd. [e] τῶν ἵππων C. [f] καὶ om. E. [g] ἐν τῇ ψ. μ. τῇ ἀγαθῇ C. [h] ἀδώμεθα pro αἰδώμεθα omnes.

Hom. XXXII. [a] ἀγαπητὸν] ἀδελφὸν A. Mox ὅτι pro ὅς D. [b] εἶναι om. C. [c] ἐπιστολῆς A.B.C.E.F.H. ut e libris edidit Montef. ἐντολῆς Veron. Sav. Mor.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περιττὸν καὶ οὐδὲν μέγα ἔχον· καὶ τοῦτο αὐτὸ [d]καὶ ἐν τῇ γενεαλογίᾳ τῇ ἐν τῷ εὐαγγελίῳ κειμένῃ πάσχειν αὐτοὺς νομίζω. Ἐπειδὴ γὰρ ὀνομάτων ἐστὶ κατάλογος, οὐδὲν μέγα οἴονται ἐντεῦθεν κερδαίνειν. Καὶ οἱ μὲν τῶν χρυσοχόων παῖδες καὶ τὰ μικρὰ ψήγματα περιεργάζονται, οὗτοι δὲ καὶ μάζας χρυσίου τοσαύτας παρατρέχουσιν. Ἵν' οὖν μὴ τοῦτο πάσχωσιν, [e]ἱκανὰ (232)
μὲν καὶ τὰ εἰρημένα ταύτης ἀπαγαγεῖν τῆς ῥᾳθυμίας αὐτούς. Ὅτι γὰρ οὐ μικρὸν καὶ ἐντεῦθεν κέρδος, ἐδείξαμεν καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τὴν ψυχὴν ὑμῶν ἀναστήσαντες διὰ τῶν προσρήσεων τούτων· [f]πειρασόμεθα δὲ καὶ σήμερον τὸ αὐτὸ πάλιν τοῦτο μεταλλεῦσαι [g]χωρίον. Ἔστι γὰρ καὶ ἀπὸ ὀνομάτων [h]ψιλῶν μέγαν εὑρεῖν θησαυρόν. Ἐὰν γοῦν μάθῃς διὰ τί Ἀβραὰμ ἐκλήθη, διὰ τί Σάρρα, διὰ τί Ἰσραὴλ, διὰ τί Σαμουὴλ, πολλῶν πραγμάτων καὶ ἐντεῦθεν [i]ἱστορίαν εὑρήσεις. Καὶ ἀπὸ καιρῶν δὲ καὶ ἀπὸ τόπων τὸ αὐτὸ [k]τοῦτο δυνήσῃ συναγαγεῖν. Ὁ μὲν γὰρ σπουδαῖος καὶ ἐντεῦθεν πλουτεῖ, ὁ δὲ ἀναπεπτωκὼς οὐδὲ ἀπὸ τῶν σφόδρα καταδήλων κερδαίνει. Καὶ γὰρ [l]τὸ τοῦ Ἀδὰμ ὄνομα οὐ [m]μικρὰν ἡμᾶς παιδεύει φιλοσοφίαν, καὶ τὸ τοῦ παιδὸς [n]τοῦ ἐκείνου, καὶ τὸ τῆς γυναικὸς αὐτῆς, καὶ τῶν ἄλλων τὰ πλείω. Πολλῶν γάρ ἐστι πραγμάτων ὑπομνήματα τὰ ὀνόματα· καὶ θεοῦ εὐεργεσίαν καὶ [o]τῶν γυναικῶν δείκνυσιν [p]εὐχαριστίαν· συλλαμβάνουσαι γὰρ ἀπὸ τῆς [q]τοῦ θεοῦ δωρεᾶς τὰ παιδία ὠνόμαζον αὗται. Ἀλλὰ τί νῦν περὶ ὀνομάτων φιλοσοφοῦμεν, νοημάτων τοσούτων ἀμελουμένων, καὶ πολλῶν οὐδὲ τὰ ὀνόματα [r]αὐτὰ τῶν βιβλίων εἰδότων; Πλὴν [s]ἀλλ' οὐδ' οὕτως ἀναχωρητέον ἡμῖν τῆς περὶ τὰ τοιαῦτα σπουδῆς. [2] "Ἐδει γάρ σε, φησὶ, καταβαλεῖν τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας." Διόπερ κἂν μηδεὶς ὁ ὑποδεχόμενος ᾖ, τὸ [t]ἑαυτῶν ποιῶμεν, καὶ δεικνύωμεν οὐδὲν περιττὸν οὐδὲ εἰκῇ [v]προσκείμενον ταῖς γραφαῖς. Εἰ γὰρ μηδὲν εἶχε ταῦτα κέρδος,

[2] Matth. xxv. 27.

[d] *καὶ* om. B. Mox *ἐν* om. H. Post *κερδαίνειν* lacuna est in E. usque ad *ἐκεῖναι καλλωπ.* p. 746 E. [e] *ἱκαναὶ* F. *ἱκανὸν* H. [f] *πειρασόμεθα* pro *πειρασώμεθα* omnes. *πειρασόμεθα δὲ καὶ αὐτὸ τοῦτο πάλαι ἐπιζητῆσαι καὶ μεταλλ. τὸ χ.* C. [g] *τὸ χωρίον* Edd. *τὸ* om. B.F.H. [h] *δαψιλῶν* H. [i] *ἱστορίαν* A.B.C.D.F.H. *ἱστορίας* Edd. [k] *τοῦτο*]+*κέρδος* C. Mox *κερδᾶναι* pro *συναγαγεῖν* A.B.D. F.H. [l] *τὸ τοῦ Ἀ. ὄνομα* A.B.D.F.H. *τοῦ Ἀ. τὸ ὄνομα* Edd. [m] *μικρὰν . . . φιλοσοφίαν* omnes. *μικρὸν . . . φιλοσοφίας* Edd. Statim *παιδεύσει* B. [n] *τοῦ* accessit ex A.B.D.F. Statim *καὶ τὸ τῆς γ.* omnes. *τὸ* aberat. *αὐτοῦ* pro *αὐτῆς* C. [o] *τῶν* accessit ex A.B.D.F.H. [p] *εὐτονίαν* Veron. Statim *λαμβάνουσαι* B.C.D.F. [q] *τοῦ θεοῦ* om. Veron. et in textu C. Mox *αὐτὰ* pro *αὗται* C. [r] *αὐτὰ* om. C. [s] *ἀλλ'* om. C. [t] *ἑαυτῶν* pro *αὐτῶν* A. B.D.F.H. Mox *δεικνύομεν* B.F. [v] *προσκείμενον* omnes. *προφερόμενον* Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἂν [w]προσετέθη τῇ ἐπιστολῇ, οὐδ' ἂν Παῦλος [x]ἔγραψεν ἅπερ ἔγραψεν. Ἀλλὰ γὰρ οὕτω τινές εἰσι βάναυσοι καὶ χαῦνοι καὶ τῶν οὐρανῶν ἀνάξιοι, ὡς μὴ μόνον ὀνόματα, ἀλλὰ D καὶ ὁλόκληρα βιβλία περιττὰ εἶναι [y]νομίζειν, ὡς τὸ Λευϊτικόν, ὡς τὸν Ἰησοῦν, καὶ ἕτερα πλείονα. Οὕτω καὶ τὴν παλαιὰν πολλοὶ τῶν ἀνοήτων ἐξέβαλον· καὶ ὁδῷ προβαίνοντες [z]τῇ ἀπὸ τῆς πονηρᾶς ταύτης συνηθείας, πολλὰ καὶ τῆς καινῆς περιέκοψαν. Ἀλλὰ τούτων [a]μὲν ἄτε μεθυόντων καὶ τῇ σαρκὶ ζώντων οὐ πολὺς ἡμῖν ὁ λόγος· εἰ δέ τις φιλοσοφίας ἐραστὴς, [b]καὶ πνευματικῆς ἀκροάσεως φίλος, ἀκουέτω ὅτι οὐδὲ τὰ μικρὰ δοκοῦντα εἶναι [c]ἐν τῇ γραφῇ εἰκῇ κεῖται καὶ μάτην, [d]καὶ ὅτι καὶ τὰ παλαιὰ πολὺ φέρει τὸ κέρδος. [3] "Ταῦτα γὰρ πάντα E τύποι, καὶ πρὸς νουθεσίαν ἡμῶν ἐγράφη," φησί. Διὸ καὶ Τιμοθέῳ ἔλεγε, "Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει," εἰς τὴν τῶν παλαιῶν [e]αὐτὸν ἀνάγνωσιν ἐμβάλλων βιβλίων, ἄνθρωπον [f]τοσοῦτον πνεῦμα ἔχοντα, ὡς καὶ [g]δαίμονας ἐλαύνειν καὶ νεκροὺς ἐγείρειν. Ἐχώμεθα τοίνυν τῶν προκειμένων. "Ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου." Ἄξιον [h]ἐντεῦθεν ἰδεῖν, πῶς ἑκάστῳ τοὺς ἐπαίνους ἀπονέμει διαφόρως. Οὐδὲ γὰρ μικρὸς οὗτος ὁ ἔπαινος, ἀλλὰ καὶ σφόδρα μέγας, καὶ 746 πολλῆς ἀρετῆς ἐνδεικτικὸς, τὸ Παῦλον ἔχειν ἀγαπητὸν, [i]Παῦλον τὸν οὐκ εἰδότα χάριτι, ἀλλὰ κρίσει φιλεῖν. Εἶτα καὶ ἄλλο ἐγκώμιον· "ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας." Ἡ γὰρ τοῦτό φησιν, ὅτι τῶν ἄλλων ἁπάντων προεπήδησε καὶ ἐπίστευσεν, ὅπερ οὐ μικρὸς [k]ἔπαινος, ἢ ὅτι πάντων τῶν ἄλλων πλείονα ἐπιδείκνυται τὴν εὐλάβειαν. Διὰ τοῦτο εἰπὼν, "[l]ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας," οὐκ ἐσίγησεν, ἵνα μὴ τὴν κοσμικὴν ὑποπτεύσῃς δόξαν, ἀλλὰ προσέθηκεν, "εἰς Χριστόν." Εἰ γὰρ ἐν τοῖς πολιτικοῖς πράγμασιν ὁ πρωτεύων μέγας εἶναι δοκεῖ καὶ λαμπρὸς, πολλῷ μᾶλλον ἐν τούτοις. Ἐπεὶ [m]οὖν εἰκὸς ἦν B αὐτὸν ταπεινοῦ γένους εἶναι, λέγει τὴν ἀληθῆ εὐγένειαν καὶ τὴν προεδρίαν, ἐντεῦθεν αὐτὸν κοσμῶν. Καὶ οὐχὶ Κορίνθου μόνον, ἀλλὰ καὶ ὁλοκλήρου ἔθνους φησὶν αὐτὸν ἀπαρχὴν εἶναι, ὡσανεὶ

[3] 1 Cor. x. 11. 1 Tim. iv. 13.

[w] προσετέθη]+ταῦτα A.H. Haec οὐδ' ἂν πρ. τῇ ἐπ. om. C. [x] ἔγραψεν] +πνευματικὰ γὰρ A.D.F.H. οὐδ' ἂν Π. ταῦτα ἔγραφεν· πνεύματι γὰρ ἔγραψεν. ἀλλὰ C. [y] νομίζουσιν C. [z] τῇ om. B.C.F. Statim τῆς accessit ex omnibus. [a] μὲν om. H. [b] καὶ om. D. [c] ἐν τῇ] τῆς C. [d] καὶ ὅτι καὶ] ὅτι C. [e] αὐτῶν C. [f] τοιοῦτον C. καὶ post ὡς om. idem. [g] δαίμονας pro δαιμόνια A.B.C.D.F. Mox καὶ νεκροὺς ἐγείρειν om. A.C. [h] ἐνταῦθα C. Mox ἑκάστου idem. [i] Παῦλον accessit ex A.B.C.D.F. Cat. [k] ἔπαινος] ὁ ἔπαινος A.F.H. ἔπαινος ἦν C. [l] ὃς om. C. [m] οὖν pro γὰρ libri omnes et Cat. Statim αὐτὸν pro αὐτοὺς iidem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θύραν καὶ εἴσοδον τοῖς ἄλλοις γεγενημένον. Οὐ μικρὸς δὲ τοῖς τοιούτοις ὁ μισθός· καὶ γὰρ [n]καὶ τῶν ἑτέροις κατωρθωμένων πολλὴν καρπώσεται τὴν ἀμοιβὴν ὁ τοιοῦτος, ἅτε καὶ ἐκείνοις πολὺ διὰ τῆς ἀρχῆς [o]συνεισενεγκών.

4 "[1]Ασπάσασθε Μαριὰμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς [p]ὑμᾶς." C Τί τοῦτο; Πάλιν γυνὴ στεφανοῦται καὶ ἀνακηρύττεται, πάλιν ἡμεῖς αἰσχυνόμεθα οἱ ἄνδρες· μᾶλλον δὲ οὐκ αἰσχυνόμεθα μόνον, ἀλλὰ καὶ σεμνυνόμεθα. Σεμνυνόμεθα μὲν γὰρ, ὅτι τοιαῦται παρ' ἡμῖν γυναῖκες· αἰσχυνόμεθα δὲ, ὅτι σφόδρα αὐτῶν ἀπο- (233)
λιμπανόμεθα οἱ ἄνδρες. Ἀλλ' ἐὰν μάθωμεν πόθεν ἐκεῖναι καλλωπίζονται, ταχέως καὶ ἡμεῖς αὐτὰς καταληψόμεθα. Πόθεν οὖν καλλωπίζονται; Ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες· οὐκ ἀπὸ τῶν [q]ψελλίων, οὐδὲ ἀπὸ τῶν ὁρμίσκων, οὐδὲ ἀπὸ τῶν εὐνούχων καὶ τῶν θεραπαινίδων καὶ τῶν χρυσοπάστων ἱματίων, D ἀλλ' ἀπὸ τῶν ὑπὲρ τῆς ἀληθείας ἱδρώτων. "Ητις γὰρ, φησὶ, πολλὰ ἐκοπίασεν εἰς [r]ὑμᾶς" οὐκ εἰς ἑαυτὴν μόνον, οὐδὲ εἰς τὴν οἰκείαν ἀρετὴν, ἣ πολλαὶ καὶ νῦν ποιοῦσι γυναῖκες, νηστεύουσαι, χαμευνοῦσαι, ἀλλὰ καὶ [s]εἰς ἑτέρους, ἀποστόλων καὶ εὐαγγελιστῶν ἀναδεξαμένη δρόμους. Πῶς οὖν φησι, [5] "Γυναικὶ [t]δὲ διδάσκειν οὐκ ἐπιτρέπω;" Τῆς ἐν τῷ μέσῳ προεδρίας αὐτὴν κωλύων [v]καὶ θρόνου τοῦ ἐν τῷ βήματι, οὐ τοῦ λόγου τῆς διδασκαλίας. Ἐπεὶ εἰ τοῦτο ἦν, πῶς ἔλεγε τῇ τὸν ἄπιστον ἄνδρα ἐχούσῃ, [6] "Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;" πῶς ἐπέτρεπε παῖδας νουθετεῖν [w]λέγων, "Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν [x]ἐπιμείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ E ἁγιασμῷ μετὰ σωφροσύνης;" πῶς ἡ Πρίσκιλλα τὸν Ἀπολλὼ [y]κατήχει; Οὐ τοίνυν τὴν [z]ἰδίᾳ διάλεξιν γινομένην ἐπ' ὠφελείᾳ διακόπτων τοῦτο ἔλεγεν, ἀλλὰ τὴν ἐν τῷ μέσῳ καὶ ἐν τῷ κοινῷ θεάτρῳ διδασκάλοις πρέπουσαν· καὶ ὅταν πάλιν πιστὸς ὁ ἀνὴρ ᾖ, καὶ σφόδρα ἀπηρτισμένος, καὶ διδάσκειν αὐτὴν δυνάμενος· ὡς [a]ἂν αὐτὴ σοφωτέρα ᾖ, οὐ κωλύει [b]καὶ διδάσκειν καὶ διορθοῦν. Καὶ οὐκ εἶπεν, ἥτις πολλὰ [c]ἐδίδαξεν, ἀλλ', "ἥτις πολλὰ

4 v. 6. 5 1 Tim. ii. 12. 6 1 Cor. vii. 16. 1 Tim. ii. 15.

[n] καὶ om. A.B.D.F.H. Mox κατορθουμένων A.B.D.F. Vulgatum firmat Cat. [o] συνεισενεγκὼν A.B.C.D.F.H. Cat. Edebatur εἰσενεγκών. [p] ἡμᾶς B.D. Mosq. 3. [q] ψελίων B.F. [r] ὑμᾶς pro ἡμᾶς A.F. Veron. [s] εἰς om. B. [t] δὲ om. C. [v] καὶ τοῦ θρ. Edd. τοῦ deest in omnibus. [w] λέγων om. A.H. Cat. [x] ἐπιμένωσι D. Cat. Statim ἐν π. καὶ ἀ. καὶ (+τῷ B.) ἁγιασμῷ A. B. D. E. F. H. τῇ π. καὶ (καὶ om. C.) τῇ ἀ. καὶ τῷ ἁγιασμῷ Edd. et Cat. [y] κατήχει A.B.C.D.E.F. Cat. κατηχεῖ Veron. Sav. ἐκατήχησεν Mor. Ben. [z] ἰδίᾳ om. A. [a] ἂν]+εἰ C. Statim αὕτη A.D.E. [b] καὶ accessit ex omnibus. [c] Haec ἐδίδαξεν ἀλλ' ἥτις πολλὰ om. E. qui post ἐκοπίασε addit ἀλλ' εἰς ἡμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἐκοπίασε," δεικνὺς ὅτι μετὰ τοῦ λόγου καὶ ἕτερα [d]ἄλλα διηκονεῖτο, τὰ ἀπὸ τῶν κινδύνων, τὰ ἀπὸ τῶν χρημάτων, τὰ ἀπὸ 747
τῶν ἀποδημιῶν. Λεόντων γὰρ θερμότεραι αἱ τότε γυναῖκες ἦσαν, διανεμόμεναι πρὸς τοὺς ἀποστόλους τοὺς [e]ὑπὲρ τοῦ κηρύγματος πόνους· διὰ τοῦτο καὶ συναπεδήμουν αὐτοῖς, καὶ τὰ ἄλλα πάντα διηκονοῦντο. Καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ ἠκολούθουν γυναῖκες ἐκ τῶν ὑπαρχόντων αὐταῖς διακονούμεναι, καὶ θεραπεύουσαι τὸν διδάσκαλον.

7 "Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου." Δοκεῖ μὲν καὶ τοῦτο ἐγκώμιον εἶναι· τὸ δὲ [f]ἐφεξῆς πολλῷ μεῖζον. Ποῖον [g]δὴ τοῦτο; "Καὶ [h]τοὺς συναιχμαλώτους μου." Τοῦτο γὰρ ὁ μέγιστος στέφανος, ἡ μεγάλη ἀνακήρυξις. Β
Καὶ ποῦ γέγονεν αἰχμάλωτος Παῦλος, [i]ἵνα εἴπῃ, "τοὺς συναιχμαλώτους μου;" Αἰχμάλωτος μὲν οὐκ ἐγένετο, αἰχμαλώτων δὲ [k]αἰχμαλωτότερα ἔπασχεν, οὐ πατρίδος ἀλλοτριούμενος μόνον καὶ οἰκίας, ἀλλὰ [l]καὶ λιμῷ παλαίων καὶ θανάτῳ διηνεκεῖ καὶ μυρίοις ἑτέροις. Τοῦ μὲν γὰρ αἰχμαλώτου τοῦτο μόνον ἐστὶ [m]τὸ δεινὸν, ὅτι τῶν οἰκείων ἀλλοτριούμενος, δοῦλος γίνεται πολλάκις ἀντ' ἐλευθέρου· ἐνταῦθα δὲ νιφάδας ἔστιν εἰπεῖν πειρασμῶν, [n]οὓς ὑπέμεινεν ὁ μακάριος οὗτος, ἀγόμενος καὶ περιαγόμενος, μαστιγούμενος [o]καὶ δεσμούμενος, λιθαζόμενος [p]καὶ καταποντιζόμενος, μυρίους ἔχων ἐπιβούλους. Καὶ οἱ μὲν αἰχμάλωτοι οὐδένα λοιπὸν ἔχουσι πολέμιον μετὰ τὴν C
ἀπαγωγήν, ἀλλὰ καὶ πολλῆς ἀπολαύουσι [q]προνοίας παρὰ τῶν εἰληφότων αὐτούς· [r]οὗτος δὲ ἐν μέσοις [s]ἐστρέφετο τοῖς πολεμίοις διηνεκῶς, καὶ πανταχοῦ δόρατα ἔβλεπε, [t]καὶ ξίφη ἠκονημένα, καὶ παρατάξεις καὶ μάχας. Ἐπεὶ οὖν καὶ τούτους εἰκὸς ἦν πολλῶν αὐτῷ κεκοινωνηκέναι κινδύνων, συναιχμαλώτους [v]αὐτοὺς καλεῖ· ὥσπερ καὶ ἀλλαχοῦ φησιν, [8]"Ἀρίσταρχος ὁ συναιχμάλωτός μου." Εἶτα καὶ ἕτερος ἔπαινος· "Οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις." [w]Καίτοι καὶ τὸ ἀποστόλους εἶναι μέγα· τὸ δὲ καὶ ἐν [x]τούτοις ἐπισήμους εἶναι, ἐννόησον

7 v. 7. 8 Col. iv. 10.

[d] ἄλλα διηκονεῖτο] πολλὰ διηκόνει C. [e] ὑπὲρ] ἀπὸ C. [f] ἑξῆς D.E. [g] δὴ pro δὲ A.B.D.E.F.H. [h] τοὺς accessit ex A.B.D.E.F.H. Mosqq. [i] ἵνα εἴπῃ] ὅτι λέγει D.E. Statim καὶ τοὺς σ. B.D.E.H. μου om. C. [k] αἰχμαλωτότερα] Sic A.H. χαλεπώτερα B.C.D.E.F. Cat. πολλῷ χαλεπώτερα Edd. [l] Sic A.B.D.E.F.H. Cat. καὶ om. Veron. Sav. Mor. [m] τὸ om. E. [n] οὓς] ἃς C. Statim ὑπέμεινεν A.B.D.E.F.H. ὑπέμενεν Edd. [o] καὶ δεσμ. om. C. [p] καὶ accessit ex A.B.D.E.F. [q] τῆς πρ. C. [r] αὐτὸς C. [s] ἐστρέφετο pro περιεστρέφετο omnes. τοῖς π. ἐστρέφετο hoc ord. C. Idem διηνεκῶς in marg. habet. [t] καὶ τὰ ξίφη Edd. τὰ deest in omnibus. [v] αὐτοὺς om. C. [w] καίτοι om. C. Cat. [x] τούτοις ἐπισήμους] τοῖς ἐπισήμοις C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D ἡλίκον ἐγκώμιον. Ἐπίσημοι δὲ ἦσαν ἀπὸ τῶν ἔργων, ἀπὸ τῶν κατορθωμάτων. Βαβαί, πόση τῆς γυναικὸς [y]ταύτης ἡ φιλοσοφία, ὡς καὶ τῆς τῶν ἀποστόλων ἀξιωθῆναι προσηγορίας. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ἕτερον πάλιν ἐγκώμιον προστίθησι, λέγων· "Οἱ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ." Καὶ γὰρ καὶ τοῦτο ἔπαινος [z]μέγιστος, τὸ προπηδῆσαι καὶ πρὸ τῶν ἄλλων ἐλθεῖν. Σκόπει δέ μοι τὴν ἁγίαν ψυχὴν πῶς κενοδοξίας ἦν καθαρά. Μετὰ γὰρ τὴν τοσαύτην καὶ τηλικαύτην δόξαν ἑτέρους ἑαυτοῦ προτίθησι, καὶ οὐκ [a]ἀποκρύπτεται τὸ ὕστερος αὐτῶν ἐλθεῖν, οὐδὲ αἰσχύνεται τοῦτο ὁμολογῶν. Καὶ (234)
τί θαυμάζεις, εἰ τοῦτο οὐκ αἰσχύνεται, ὅπου γε καὶ τὸν πρό-
E τερον αὐτοῦ βίον [b]ἐκπομπεύειν οὐ παραιτεῖται, βλάσφημον ἑαυτὸν καὶ διώκτην [c]καλῶν; Ἐπεὶ οὖν οὐκ εἶχε τῶν ἄλλων ἐντεῦθεν αὐτοὺς [d]προθεῖναι, ἐζήτησε [e]τὸν μετὰ τοὺς ἄλλους ἐλθόντα ἑαυτόν, καὶ εὗρε καὶ ἐντεῦθεν αὐτοῖς συνθεῖναι ἔπαινον, εἰπών, "οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ."

9 "Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου." Πάλιν τοῦτον ἀπὸ τῆς ἀγάπης ἐγκωμιάζει. Ἡ γὰρ ἀγάπη Παύλου διὰ τὸν θεὸν ἦν, μυρία ἔχουσα ἀγαθά. [f]Εἰ γὰρ τὸ παρὰ βασιλέως ἀγαπᾶσθαι μέγα, τὸ παρὰ Παύλου φιλεῖσθαι ἡλίκον
748 ἐγκώμιον; Οὐδὲ γὰρ [g]ἂν, εἰ μὴ πολλὴν [h]ἀρετὴν ἐκέκτητο, εἰς ἔρωτα αὐτὸν ἐπεσπάσατο. Οἶδε γὰρ τοὺς ἐν κακίᾳ ζῶντας καὶ παρανομίαις οὐ μόνον [i]φιλεῖν, ἀλλὰ καὶ ἀναθεματίζειν· ὡς ὅταν λέγῃ, 10 "Εἴ τις οὐ φιλεῖ τὸν κύριον [k]Ἰησοῦν, ἔστω ἀνάθεμα" [l]καὶ, "Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω." 11 "Καὶ Οὐρβανὸν τὸν συνεργόν μου ἐν [m]κυρίῳ." Τοῦτο ἐκείνου [n]μεῖζον τὸ ἐγκώμιον· καὶ γὰρ καὶ ἐκεῖνο περιέχει τοῦτο. "Καὶ Στάχυν τὸν ἀγαπητόν μου." Πάλιν ἀπὸ τῶν αὐτῶν [o]στεφανοῖ καὶ τοῦτον. 12 "Ἀσπάσασθε
B Ἀπελλῆν [p]τὸν δόκιμον ἐν Χριστῷ." Οὐδὲν τούτου τοῦ ἐπαίνου ἴσον, [q]τοῦ ἄληπτον εἶναι καὶ μηδεμίαν παρέχειν λαβὴν ἐν τοῖς κατὰ θεὸν πράγμασιν. Ὅταν γὰρ εἴπῃ, "τὸν δόκιμον ἐν Χριστῷ," πᾶσαν ἀρετὴν καταλέγει. Καὶ τίνος ἕνεκεν

9 v. 8. 10 1 Cor. xvi. 22. Gal. i. 8. 11 v. 9. 12 v. 10.

[y] ταύτης om. C. [z] μέγας C. [a] ἀπέκρυπτε A. ἀπέκρυβεν H. ἀποτίθεται C. Statim τὸ ὕστερον αὐτὸν ἐλθεῖν οὔτε αἰσχ. C. [b] ἐκπομπεύειν om. H. [c] ἀποκαλῶν C. [d] προθεῖναι pro προτιθέναι A.B.D.E.F.H. [e] τὸν om. C. [f] εἰ] καὶ H. [g] ἂν om. B. [h] ἀγάπην C. [i] οὐ φιλεῖν Edd. οὐ om. Veron. et a pr. man. A. μὴ pro οὐ B.C.D.E.F.H. [k] Ἰησοῦν Χριστὸν Edd. Χριστὸν om. A.B.D.E.F.H. [l] καὶ om. C. [m] κυρίῳ pro Χριστῷ A.B.D.F.H. [n] μεῖζον om. C. [o] στεφάνων καὶ τοῦτο A. στεφάνων καὶ τοῦτον H. καὶ τοῦτον στεφανοῖ C. [p] τὸν]+ἀγαπητόν μου καὶ C. [q] τοῦ pro τὸ D.E. Cat.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδαμοῦ φησι, τὸν κύριόν μου τὸν δεῖνα, καὶ τὸν δεσπότην μου; Ὅτι ταῦτα ἐκείνων μείζω τὰ ἐγκώμια· ἐκεῖνα μὲν γὰρ [r]τιμῆς ἐστιν ἁπλῶς, ταῦτα δὲ ἀρετῆς. Καὶ [s]τούτῳ δὲ αὐτῷ τετίμηκεν αὐτοὺς οὐχ ὡς ἔτυχε, [t]τῷ πολλοὺς τῶν καταδεεστέρων μετὰ τῶν ὑψηλῶν καὶ μεγάλων προσαγορεύειν. Τῷ μὲν γὰρ προσειπεῖν, καὶ μετ' ἀλλήλων προσειπεῖν, καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ, πάντας ὁμοίως ἐτίμησε· τῷ δὲ [v]τὰ ἰδιάζοντα ἑκάστου θεῖναι ἐγκώμια, τὴν ἰδιάζουσαν ἑκάστου παρέστησεν ἡμῖν ἀρετήν· [w]ὡς μήτε φθόνον τεκεῖν τῷ τοὺς μὲν τιμῆσαι, τοὺς δὲ ἀτιμάσαι, [x]μήτε ῥᾳθυμίαν καὶ σύγχυσιν ἐργάσασθαι ἐκ τοῦ πάντας τῶν αὐτῶν ἀξιῶσαι, [y]οὐ τῶν αὐτῶν ὄντας ἀξίους. Ὅρα γοῦν πῶς πάλιν ἐπὶ τὰς θαυμαστὰς ἔρχεται γυναῖκας. Εἰπὼν γὰρ, "Ἀσπάσασθε [z]τοὺς ἐκ τῶν Ἀριστοβούλου, [13] καὶ Ἡρωδίωνα τὸν συγγενῆ μου, καὶ τοὺς ἐκ τῶν Ναρκίσσου·" οὓς εἰκὸς ἴσως μὴ τοιούτους εἶναι, [a]οἵους τοὺς ἔμπροσθεν· διὸ οὐδὲ ὀνομαστὶ τῶν πάντων μέμνηται· καὶ τὸ προσῆκον αὐτοῖς [b]ἀποδοὺς ἐγκώμιον, τὸ πιστοὺς εἶναι· τοῦτο γάρ ἐστι, "τοὺς ὄντας ἐν κυρίῳ·" ἐπὶ γυναῖκας πάλιν ἄγει τὴν πρόσρησιν, λέγων· [14] "Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν κυρίῳ." Καὶ περὶ μὲν ἐκείνης φησὶν, ὅτι ἐκοπίασεν εἰς [c]ὑμᾶς· περὶ δὲ τούτων, ὅτι ἔτι κοπιῶσιν. Οὐ μικρὸν δὲ τοῦτο ἐγκώμιον, τὸ [d]ἐνεργοὺς εἶναι δι' ὅλου, καὶ μὴ μόνον ἐνεργοὺς, ἀλλὰ καὶ κοπιᾶν. Τὴν δὲ Περσίδα καὶ ἀγαπητὴν καλεῖ, δεικνὺς μείζονα τούτων οὖσαν. "Ἀσπάσασθε γὰρ, φησὶ, Περσίδα τὴν ἀγαπητήν [e]μου." Καὶ πολὺν αὐτῇ μαρτυρεῖ κάματον, λέγων· "Ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ." Οὕτως οἶδεν ἕκαστον κατὰ τὴν ἀξίαν ὀνομάζειν, τούτους τε προθυμοτέρους ποιῶν τῷ μηδενὸς τῶν προσόντων αὐτοῖς ἀποστερεῖν, ἀλλὰ καὶ τὴν μικροτάτην ὑπεροχὴν ἀκακηρύττειν· τούς τε ἑτέρους σπουδαιοτέρους κατασκευάζων, καὶ εἰς τὸν αὐτὸν [f]ἄγων ζῆλον τοῖς περὶ τούτων ἐγκωμίοις.

[15] "Ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ, καὶ τὴν

[13] v. 11. [14] v. 12. [15] v. 13.

[r] Haec τιμῆς ἐστιν——οὐχ ὡς desunt in A.H. [s] τούτῳ δὲ αὐτῷ B.C.D. E.F. Cat. τοῦτο δὲ αὐτὸ Edd. [t] τῷ pro τὸ A.B.C.D.E. Cat. τῶν H. [v] τὰ om. H. [w] ὡς μήτε] ὥστε μὴ C. Mox τῷ om. idem. [x] μηδὲ A.H. [y] οὐ om. A.C.H. Mox πῶς ἐπὶ θαυμαστὰς C. [z] τοὺς] τὸν H. Mox τὸν συγγενῆ (μου om.) A.B.F.H. Mosqq. [a] οἵους τοὺς] τῶν C. Post ἔμπροσθεν periit folium unum hujus Cod. usque ad v. εἴποιμεν p. 749 D. [b] ἀποδοὺς ἐγκ. pro ἐγκ. ἀποδοὺς omnes. [c] ὑμᾶς A.B.E.F.H. ἡμᾶς Edd. [d] ἐνεργοὺς libri omnes et Cat. ἐν ἔργοις Edd. Iidem mox ἐνεργοὺς repetunt, ubi edebatur ἐνεργεῖν. [e] μου accessit ex omnibus. [f] ἄγων omnes. ἐνάγων Edd. et Cat.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μητέρα αὐτοῦ καὶ ἐμοῦ." Ὁλόκληρα πάλιν ἐνταῦθα τὰ ἀγαθά,
749 ὅταν καὶ ὁ παῖς τοιοῦτος ᾖ, καὶ ἡ μήτηρ τοιαύτη, καὶ πλήρης
ἡ οἰκία εὐλογίας, καὶ ἡ ῥίζα τῷ καρπῷ [g]συμβαίνῃ. Οὐδὲ γὰρ
ἁπλῶς [h]εἶπε, "μητέρα αὐτοῦ καὶ ἐμοῦ," εἰ μὴ πολλὴν ἐμαρ- (235)
τύρει τῇ γυναικὶ τὴν ἀρετήν. 16 "Ἀσπάσασθε Ἀσύγκριτον,
Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς
ἀδελφούς." Ἐνταῦθα μὴ τοῦτο [i]ἴδῃς, ὅτι χωρὶς ἐγκωμίων
αὐτοὺς τίθησιν, ἀλλ' [k]ὅτι σφόδρα, [l]ὡς ἔοικε, καταδεεστέρους
ὄντας ἁπάντων οὐκ ἀπηξίωσε τῆς παρ' αὐτοῦ προσρήσεως.
Μᾶλλον δὲ [m]οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον, τὸ καὶ ἀδελφοὺς
αὐτοὺς καλεῖν, ὥσπερ οὖν καὶ τοὺς μετ' [n]αὐτούς, ἁγίους.
17 "Ἀσπάσασθε [o]γάρ, φησί, Φιλόλογον καὶ [p]Ἰούλιον, καὶ
B Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν καὶ τοὺς σὺν
αὐτοῖς [q]πάντας ἁγίους·" ὅπερ μέγιστον ἦν ἀξίωμα, καὶ τιμῆς
μέγεθος ἄφατον. Εἶτα, ἵνα μηδεμία φιλονεικία γένηται [r]τῷ
τοὺς μὲν οὕτω, τοὺς δὲ οὕτω προσειρῆσθαι, καὶ τοὺς μὲν
ὀνομαστί, τοὺς δὲ [s]ἀδιορίστως, καὶ τοὺς μὲν μετὰ πλειόνων
ἐγκωμίων, τοὺς δὲ μετὰ ἐλαττόνων, ἀνακιρνᾷ πάλιν αὐ-
τοὺς τῇ τῆς ἀγάπης ἰσοτιμίᾳ καὶ τῷ ἁγίῳ φιλήματι, λέγων·
18 "Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ·" διὰ τῆς εἰ-
ρήνης ταύτης πάντα [t]ἐκβάλλων θορυβοῦντα αὐτοὺς λογισμὸν
C καὶ μικροψυχίας ἀφορμὴν, ἵνα μήτε ὁ μέγας καταφρονῇ τοῦ
ἐλάττονος, μήτε ὁ μικρὸς βασκαίνῃ τῷ μείζονι· ἀλλὰ καὶ
ὑπεροψία καὶ φθόνος ἀπελαύνηται, τοῦ φιλήματος τούτου
πάντα καταπραΰνοντός τε καὶ ἐξισοῦντος. Διὸ οὐ μόνον αὐτοὺς
ἀσπάσασθαι κελεύει οὕτως, ἀλλὰ καὶ τὸν [v]παρὰ τῶν ἐκκλησιῶν
ἀσπασμὸν οὕτως αὐτοῖς διαπέμπεται. "Ἀσπάζονται γὰρ
[w]ὑμᾶς," φησὶν, οὐκέτι τὸν δεῖνα καὶ τὸν δεῖνα κατ' ἰδίαν, ἀλλὰ
κοινῇ πάντας, "αἱ ἐκκλησίαι τοῦ [x]Χριστοῦ." Εἶδες πῶς οὐ
μικρὰ καὶ ἀπὸ τῶν προσρήσεων τούτων ἐκερδάναμεν; Ὅσους
D θησαυροὺς ἐμέλλομεν παρατρέχειν, εἰ [y]μὴ καὶ τουτὶ τὸ μέρος
τῆς ἐπιστολῆς μετὰ ἀκριβείας ἐξητάσαμεν, τῆς ἡμῖν [z]ἐγχω-
ρούσης λέγω; ὡς εἴγε τις εὑρεθείη σοφὸς ἀνὴρ καὶ πνευματικὸς,

16 v. 14. 17 v. 15. 18 v. 16.

[g] συμβαίνει B.D.E.F.H. Cat. [h] εἶπε] ἴσ. εἶπεν ἂν Sav. marg. Ita Cat. [i] ἴδῃς]+μόνον D.E. [k] ὅτι]+καὶ D.E. [l] ὡς ἔοικε pro καὶ τοὺς libri omnes et Cat. [m] οὐ] οὐδὲ D. Cat. καὶ οὐ A.H. καὶ ante τοῦτο om. A.B.D.E.H. non Cat. [n] αὐτοῦ A.D.E. [o] γὰρ, φησὶ om. A.H. [p] Ἰούλιον pro Ἰουλίαν nostri omnes cum Mosqq. Statim καὶ Νηρέα B.D.E. [q] πάντας pro ἅπαντας omnes. [r] τὸ A.H. [s] ἀρίστως H. [t] ἐκβαλὼν Codd. Vulgatum habet Cat. [v] παρὰ τῶν pro πασῶν libri omnes et Cat. [w] ὑμᾶς, φησὶν pro φησὶν, ὑμᾶς omnes. [x] θεοῦ A.D.E.H. Mosqq. [y] μὴ καὶ] καὶ μὴ H. [z] ἐγχειρούσης E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ βαθύτερον καταβήσεται, καὶ πλείους ὄψεται τοὺς μαργαρίτας.

Ἀλλ' ἐπειδή τινες ἐζήτησαν πολλάκις, τί δήποτε ἐν τῇ ἐπιστολῇ ταύτῃ [a]τοσούτους προσεῖπεν, ὅπερ ἐν ἑτέρᾳ οὐκ ἐποίησεν ἐπιστολῇ· [b]ἐκεῖνο ἂν εἴποιμεν, ὅτι διὰ τὸ [c]μηδέπω ἑωρακέναι Ῥωμαίους τοῦτο ποιεῖ. Καίτοιγε, φησὶν, [d]οὐδὲ Κολασσαέας εἶδε, καὶ οὐδὲν τοιοῦτον ἐποίησεν. Ἀλλ' οὗτοι δοκιμώτεροι τῶν ἄλλων [e]ἦσαν, καὶ ἐξ ἑτέρων πόλεων ἐκεῖ [f]μεταστάντες, ὡς εἰς [g]ἀσφαλεστέραν τινὰ καὶ βασιλικωτέραν Ε πόλιν. Ἐπεὶ οὖν [h]ἐν ξένῃ διῆγον, καὶ ἔδει πολλῆς ἀπολαύειν ἀσφαλείας αὐτοὺς, καὶ τῶν [i]αὐτῷ γνωρίμων ἦσάν τινες ἐξ αὐτῶν, οἱ [k]δὲ καὶ διακονησάμενοι πολλὰ καὶ μεγάλα ὑπὲρ αὐτοῦ [l]παρόντες· εἰκότως αὐτοὺς συνίστησι διὰ τῶν γραμμάτων. Καὶ γὰρ οὐ μικρὰ ἦν ἡ [m]Παύλου δόξα τότε, ἀλλὰ τοσαύτη, ὡς καὶ ἀπὸ γραμμάτων [n]μόνων πολλὴν ἔχειν προστασίαν τοὺς τῶν ἐπιστολῶν ἀπολαύοντας· οὐδὲ γὰρ ἠδοῦντο μόνον αὐτὸν, ἀλλὰ καὶ ἐδεδοίκεσαν. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ [o]ἂν εἶπεν, "Ἥτις προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ·" καὶ πάλιν, "Ηὐ- 750 χόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγώ." Καὶ Φιλήμονι γράφων ἔλεγεν, [19] "Ὡς Παῦλος πρεσβύτης, [p]νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ·" καὶ Γαλάταις, "Ἴδε ἐγὼ Παῦλος [q]λέγω ὑμῖν·" καὶ, "Ὡς Χριστὸν Ἰησοῦν ἐδέξασθέ με." Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν· [20] "Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες·" καὶ πάλιν, "Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ [r]ὃ γέγραπται φρονεῖν." Δι' ὧν ἁπάντων δῆλον, ὅτι μεγάλην περὶ αὐτοῦ [s]δόξαν εἶχον ἅπαντες. Βουλόμενος τοίνυν αὐτοὺς Β εἶναι ἐν ἀδείᾳ καὶ τιμῇ, προσεῖπεν ἕκαστον, κατὰ τὸ ἐγχωροῦν καλλωπίζων αὐτούς. Τὸν μὲν γὰρ ἀγαπητὸν ἐκάλεσε, τὸν δὲ συγγενῆ, τὸν δὲ ἀμφότερα, τὸν δὲ συναιχμάλωτον, τὸν δὲ συνεργὸν, τὸν δὲ δόκιμον, τὸν δὲ ἐκλεκτόν· καὶ τὴν μὲν ἀπὸ

19 Philem. 9. Gal. v. 2. iv. 14. 20 1 Cor. iv. 18, 6.

[a] τοσούτους] Sic Cat. πολλοὺς A.B.E.F.H. [b] ἐκεῖνο pro τοῦτο omnes. [c] μηδέπω omnes. μηδέποτε Edd. [d] οὐδὲ pro οὔτε omnes. Statim Κολοσσ. C.D.E. [e] ἦσαν]+ἄλλως δὲ D.E. [f] μεταστάντες om. A.B.D.H. et in textu F. Agnoscit Cat. [g] σαφεστέραν A.B.H. non Cat. Haec ἀσφαλεστέραν τινὰ καὶ om. D.E. sed τινα ante πόλιν habet D. [h] ἐν τῇ ξ. D.E. Mox καὶ ἔδει π. ἀπ. ἀσφ. hoc ord. omnes. καὶ π. ἀσφ. ἔδει ἀπ. Edd. [i] αὐτῶν H. αὐτοῖς B.F. [k] δὲ om. C. [l] παθόντες C. Cat. [m] Π. δόξα pro δόξα Π. A.B.D.E.F.H. Cat. Mox ἀλλὰ καὶ τοσαύτη A.B.D.E.F. non Cat. [n] μόνον B.C.D.E.F. [o] ἂν om. B. [p] νῦν C. Mox Ἰησοῦ Χριστοῦ pro ἐν Χριστῷ Ἰησοῦ B.C.D.E.F. Haec om. A.H. [q] γράφω E. [r] ὃ] ἃ B.C. F.H. [s] δόξαν εἶχον pro εἶχον δόξαν omnes.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[t]τοῦ ἀξιώματος· οὐδὲ γὰρ ἁπλῶς τὴν διακονουμένην φησὶν, ἐπεὶ εἰ τοῦτο ἦν, καὶ τὰς περὶ Τρύφαιναν καὶ Περσίδα οὕτως [v]ἂν ὠνόμασεν, ἀλλὰ τὴν χειροτονίαν ἔχουσαν διακόνου· τὴν δὲ συνεργὸν καὶ λειτουργὸν, τὴν δὲ μητέρα, τὴν δὲ ἀπὸ τῶν κόπων (236)
ὧν ἐκοπίασε· καὶ τοὺς μὲν ἀπὸ τῆς οἰκίας, τοὺς δὲ ἀπὸ τοῦ τῶν
C ἀδελφῶν ὀνόματος, τοὺς δὲ ἀπὸ τῆς [w]τῶν ἁγίων προσηγορίας· καὶ τοὺς μὲν αὐτῷ τῷ προσαγορεῦσαι τιμᾷ, τοὺς δὲ [x]καὶ τῷ ὀνομαστὶ προσαγορεῦσαι· καὶ τοὺς μὲν τῷ [y]ἀπαρχὴν προσειπεῖν, τοὺς δὲ τοῖς τῶν χρόνων πρεσβείοις· πλέον δὲ [z]πάντων τοὺς περὶ Πρίσκιλλαν καὶ Ἀκύλαν. Εἰ γὰρ καὶ πάντες ἦσαν πιστοὶ, ἀλλ' οὐ πάντες ὅμοιοι, ἀλλὰ [a]διειστήκεισαν τοῖς ἄθλοις. Διὸ δὴ καὶ εἰς μείζονα [b]ζῆλον ἅπαντας ἄγων, οὐδενὸς ἔκρυψε τὰ ἐγκώμια. Ὅταν γὰρ οἱ πλείονα [c]πονοῦντες, [d]μὴ πλείονα τὸν μισθὸν λαμβάνωσι, [e]πολλοὶ γίνονται ῥᾳθυμότεροι. Διὰ
D τοῦτο οὐδὲ ἐν τῇ βασιλείᾳ ἴση [f]ἡ τιμὴ, οὐδὲ ἐν τοῖς μαθηταῖς πάντες ἴσοι, ἀλλ' οἱ τρεῖς τῶν ἄλλων προεῖχον· καὶ ἐν τούτοις αὐτοῖς τοῖς τρισὶ πολλὴ [g]πάλιν διαφορά. Πολλὴ γὰρ ἀκρίβεια παρὰ τῷ θεῷ καὶ μέχρι τῶν ἐσχάτων. [21] "Καὶ γὰρ ἀστὴρ ἀστέρος, [h]φησὶ, διαφέρει ἐν δόξῃ." Καίτοιγε πάντες ἦσαν ἀπόστολοι, καὶ πάντες ἐπὶ δώδεκα θρόνους μέλλουσι [i]καθέζεσθαι, καὶ πάντες ἀφῆκαν τὰ [k]αὐτῶν, καὶ πάντες αὐτῷ συνῆσαν· ἀλλ' ὅμως τοὺς τρεῖς ἐλάμβανε. Καὶ πάλιν [l]καὶ τούτων αὐτῶν ἔφησέ τινας ἐγχωρεῖν ὑπερέξειν· [22] "Τὸ γὰρ καθίσαι, [m]φησὶν, ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν
E δοῦναι, ἀλλ' οἷς ἡτοίμασται." Καὶ τὸν Πέτρον δὲ αὐτῶν προτίθησι λέγων, [23] "Φιλεῖς με [n]πλέον τούτων;" καὶ ὁ Ἰωάννης [o]δὲ ὑπὲρ τοὺς ἄλλους ἠγαπᾶτο. Καὶ γὰρ πάντων ἐξέτασις ἔσται ἀκριβής· κἂν μικρὸν ὑπερέχῃς τοῦ πλησίον, κἂν ἀκαριαῖον, κἂν ὁτιοῦν, οὐδὲ τοῦτο παρόψεται ὁ θεός. Καὶ

[21] 1 Cor. xv. 41. [22] Marc. x. 40. [23] Joan. xxi. 15.

[t] τοῦ accessit ex omnibus. [v] ἂν om. H. et a pr. man. A. Statim ἀλλὰ τὴν μὲν χ. Edd. μὲν om. B.F.H. et ante corr. A. [w] τῶν ἁγίων om. C. Mox αὐτῶν pro αὐτῷ idem. [x] καὶ om. C. Mox ὀνόματι A.C.H. [y] ἀπαρχὴν πρ. pro πρ. ἀπαρχὴν omnes. [z] πάντων pro ἁπάντων A. B. D. E. F. H. [a] διειστήκεισαν vel διεστήκεισαν omnes. διεστήκασι Edd. [b] ζῆλον, quod aberat, est in nostris omnibus. [c] πονοῦντες B.C.D.E. ποιοῦντες Edd. [d] μὴ pro οὐ omnes. Mox τὸν om. H. Tum λάβωσιν C. [e] πολὺ C.D. [f] ἡ om. A.B.F.H. [g] ἡ pro πάλιν E. καὶ ἐν τοῖς τρισὶ πάλιν πολλὴ διαφορὰ C. [h] φησὶ post δόξῃ vulgo legitur, repugnantibus libris. [i] καθέζεσθαι A.B.D. E.F.H. καθιεῖσθαι C. καθῆσθαι Edd. [k] αὐτῶν pro ἑαυτῶν A.B.E.H. αὐτῶν D.F. Mox ἠκολούθησαν pro συνῆσαν C. [l] καὶ om. C. Mox ἐγχωρεῖν καὶ ὑπερέξειν Edd. καὶ om. A.B.D.E.F.H. ἐγχωρεῖν καὶ om. C. [m] φησὶν om. C. Mox ἢ ἐξ pro καὶ ἐξ idem. [n] πλεῖον E. πλείω A. B. D. F. H. [o] δὲ om. A.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τοῦτο καὶ ἄνωθεν ἴδοι τις ἂν διαλάμπον. Καὶ γὰρ [p]καὶ ὁ Λὼτ δίκαιος ἦν, ἀλλ' οὐχ οὕτως ὡς ὁ Ἀβραάμ· καὶ ὁ [q]Ἐζεκίας πάλιν, ἀλλ' οὐχ [r]οὕτως ὡς ὁ Δαυίδ· καὶ οἱ προφῆται πάντες, ἀλλ' οὐχ [s]οὕτως ὡς ὁ Ἰωάννης.

[t]Ποῦ τοίνυν εἰσὶν οἱ μετὰ [v]τὴν τοσαύτην ἀκρίβειαν οὐ βουλόμενοι εἶναι γέενναν; Εἰ γὰρ οἱ δίκαιοι πάντες οὐ τῶν αὐτῶν ἀπολαύσονται, κἂν μικρὸν ὦσι τῶν ἑτέρων ὑπερέχοντες· 751
"Ἀστὴρ γὰρ ἀστέρος διαφέρει, φησὶν, ἐν δόξῃ·" πῶς οἱ ἁμαρτωλοὶ ἐν τοῖς αὐτοῖς ἔσονται τοῖς δικαίοις; Ταύτην γὰρ οὐδ' ἂν ἄνθρωπος [w]ἐργάσαιτο τὴν σύγχυσιν, μήτι γε ὁ θεός. Εἰ δὲ βούλεσθε, καὶ ἐπὶ τῶν ἡμαρτηκότων, [x]καὶ ἐπὶ τῶν ἤδη γεγενημένων ταύτην ὑμῖν δείξω τὴν διαφοράν, καὶ τὴν ἀκριβῆ δικαιοκρισίαν. Σκόπει δέ. Ἥμαρτεν ὁ Ἀδὰμ, ἥμαρτε καὶ ἡ Εὔα· καὶ ἀμφότεροι μὲν παρέβησαν, οὐκ ἐξ ἴσης δὲ ἥμαρτον· οὐκοῦν οὐδὲ ἐξ ἴσης ἐκολάσθησαν. Τοσοῦτον γὰρ τὸ μέσον ἦν, [y]ὡς Παῦλον εἰπεῖν, ὅτι [24]"Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ B
ἀπατηθεῖσα ἐν παραβάσει γέγονε." Καίτοι ἡ ἀπάτη μία ἦν· ἀλλ' ὅμως ἡ τοῦ θεοῦ μετὰ ἀκριβείας ἐξέτασις τοσοῦτον ἔδειξε τὸ μέσον, ὡς Παῦλον [z]τοῦτο εἰπεῖν. Πάλιν ὁ μὲν Κάϊν ἐκολάζετο· ὁ δὲ Λάμεχ μετ' ἐκεῖνον φονεύσας, οὐδὲν τοιοῦτον ἔπαθε· καίτοι [a]καὶ τοῦτο φόνος, κἀκεῖνο φόνος, καὶ πολλῷ χαλεπώτερος, ὅτι μηδὲ τῷ παραδείγματι γέγονε βελτίων οὗτος· ἀλλ' ὅμως [b]ἐπειδὴ ὁ μὲν οὔτε ἀδελφὸν ἔσφαξε μετὰ παραίνεσιν, [c]οὔτε ἐδεήθη τοῦ κατηγορήσοντος, οὔτε θεοῦ ἐρω- C
τῶντος ἠναισχύντησεν, ἀλλὰ καὶ μηδενὸς [d]ἐλέγχοντος καὶ κατεῖπεν ἑαυτοῦ καὶ κατεδίκασε [e]χαλεπώτερα, συγγνώμης ἔτυχεν· ὁ δὲ, ἐπειδὴ τἀναντία ἐποίησεν, ἐτιμωρεῖτο. [f]Εἶδες μεθ' ὅσης ἀκριβείας ἐξετάζει τὰ γινόμενα ὁ θεός; Διὰ τοῦτο καὶ τοὺς ἐν τῷ κατακλυσμῷ ἑτέρως, καὶ τοὺς ἐν Σοδόμοις [g]ἄλλως ἐτιμωρεῖτο· καὶ τοὺς Ἰσραηλίτας δὲ πάλιν διαφόρως, καὶ τοὺς ἐν Βαβυλῶνι, καὶ τοὺς ἐπ' [h]Ἀντιόχου· δεικνὺς ὅτι πολὺν ἔχει τῶν ἡμετέρων λόγον. Καὶ οἱ μὲν ἑβδομήκοντα

[24] 1 Tim. ii. 14.

[p] καὶ accessit ex A.B.D.E.F. [q] Ἰεζεκιὴλ A.B.D.E. Ἐξεκιὴλ H. Ἐζεκίας C. et corr. ex Ἐξεκιὴλ F. Ἰεζεκίας Edd. Statim δὲ πάλιν A.B.D.E.H. [r] οὕτως om. A.B.D.E.F. [s] οὕτως om. B. [t] ΗΘΙΚΟΝ. Περὶ γεέννης καὶ δικαιοκρισίας θεοῦ. Veron. [v] τὴν om. C. μὴ pro οὐ idem. [w] ἐργάσοιτο B.H. Mox μήτι γε δὴ ὁ θ. C. [x] καὶ ἐπὶ] ἐκ C. Veron. [y] ὡς]+καὶ D. [z] τοῦτο εἰπεῖν pro εἰπεῖν τοῦτο omnes. [a] καὶ τοῦτο φ. κἀκεῖνο] καὶ οὗτος C. [b] ἐπειδὴ ὁ μὲν om. C. [c] οὐδὲ A.E. Mox τοῦ κατηγορήσαντος A. [d] λέγοντος C. [e] χαλεπώτερα accessit ex omnibus. Statim καὶ συγγνώμης C. [f] εἶδες pro ἴδε omnes. [g] ἄλλως] ἀλλ' ὅμως C. Statim ἐτιμωρεῖτο omnes. ἐτιμωρήσατο Edd. [h] Ἀντιόχῳ C.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D ἐδούλευσαν ἔτη, οἱ δὲ [i]τετρακόσια, οἱ δὲ τέκνα ἔφαγον, καὶ μυρίας ἑτέρας [k]χαλεπωτέρας ὑπέμειναν συμφορὰς, καὶ οὐδὲ [l]ταύτῃ ἀπηλλάγησαν, οὔτε [m]οὗτοι οὔτε οἱ ζῶντες [n]καέντες ἐν Σοδόμοις. [25] "Ἀνεκτότερον γάρ, [o]φησὶν, ἔσται γῇ Σοδόμων καὶ Γομόρρας, ἢ τῇ πόλει ἐκείνῃ." Εἰ μὲν γὰρ μηδὲν αὐτῷ [p]μέλει μηδὲ ἁμαρτανόντων [q]ἡμῶν, μηδὲ κατορθούντων, ἴσως ἔξει τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν· εἰ δὲ τοσαύτην ποιεῖται σπουδὴν, [r]ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, [s]ὥστε κατορθοῦν, εὔδηλον ὅτι [t]καὶ ἁμαρτά-
E νοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. Σὺ δέ μοι σκόπει τῶν πολλῶν τὴν ἀνωμαλίαν. Ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι (237)
[v]τῷ θεῷ, ὅτι μακροθυμεῖ πολλάκις, καὶ περιορᾷ πολλοὺς μιαροὺς, ἀσελγεῖς, βιαίους, μὴ διδόντας δίκην· ἐκεῖ πάλιν ἂν ἀπειλήσῃ κολάζειν αὐτοὺς, σφοδροὶ καὶ [w]βαρεῖς εἰσιν αἰτιώμενοι· [x]καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι [y]ἔδει καὶ θαυμάζειν. Ἀλλ' ὦ τῆς ἀνοίας, ὦ τῆς ἀλόγου καὶ [z]ὀνώδους γνώμης· ὦ [a]φιλαμαρτήμονος καὶ πρὸς κακίαν βλεπούσης ψυχῆς. Καὶ γὰρ [b]ἐκεῖθεν τὰ δόγματα ἅπαντα ταῦτα τίκτεται· ὡς εἰ βουληθεῖεν οἱ ταῦτα λέγοντες ἀρετῆς ἐπιλαβέσθαι,
752 ταχέως καὶ περὶ τῆς γεέννης [c]πεισθήσονται, καὶ οὐκ ἀμφιβαλοῦσι. Καὶ ποῦ, [d]φησὶ, καὶ ἐν ποίῳ χωρίῳ αὕτη ἔσται ἡ γέεννα; Τί σοι [e]τοῦτο μέλει; Τὸ γὰρ ζητούμενον, δεῖξαι ὅτι ἔστιν, [f]οὐχ ὅπου τεταμίευται, καὶ ἐν ποίῳ χωρίῳ. Τινὲς μὲν [g]γὰρ μυθολογοῦντές φασιν, ὅτι ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ· [h]ὃ περὶ πολέμου τινὸς εἴρηται [i]παρελθόντος, τοῦτο εἰς τὴν γέενναν ἕλκοντες· ἡ δὲ γραφὴ οὐ τοῦτό φησιν. Ἀλλ' ἐν ποίῳ [k]τόπῳ ἔσται, φησίν; Ἔξω που, [l]ὡς ἔγωγε οἶμαι, τοῦ κόσμου τούτου παντός. Καθάπερ γὰρ τῶν [m]βασιλείων τὰ δεσμω-

[25] Matth. x. 15.

[i] *τριακόσια* H. [k] *χαλεπωτέρας* om. C.H. [l] *ταύτης* C. [m] *αὐτοὶ* C. [n] *καέντες*] *καὶ τοὺς* C. [o] *φησὶν* om. A.E. Mox *Γομόρρας* pro *Γομόρρων* omnes. [p] *μέλλει* A.E.H. *μέλει* post *ἡμῶν* vulgo legitur, repugnantibus libris. Statim *μηδὲ* pro *μήτε* A.B.D.E.H. [q] *ἡμῶν* om. C. Statim *μηδὲ* pro *μήτε* A. B. D. E. F. H. [r] *ὥστε*]+*καὶ* A. B. F. H. Statim *ἁμαρτεῖν* C. [s] *ὥστε* om. C. [t] *καὶ* om. C. [v] *τὸν θεὸν* E. [w] *θρασεῖς* C. [x] *καίτοι* sine *γε* C. [y] *δεῖ* C.D.E. Veron. [z] *ἀναιδοῦς* C. [a] *φιλαμαρτήμονος*]+*καὶ φιληδόνου* Edd. Haec non leguntur in nostris. [b] *ἐκεῖθεν*] Sic A.B.D. E.F.H. Veron. *καὶ ἐκεῖθεν* C. *ἀπὸ τῆς φιληδονίας* Sav. Mor. Ben. Mox *ταῦτα* om. C. Veron. [c] *πεισθήσονται* pro *πιστωθήσονται* omnes. [d] *φησὶ καὶ*] *φησὶν* H. Statim *ἐν ποίᾳ χώρᾳ* C. [e] *τοῦτο* pro *τούτου* A.B.C.D.E.H. et ante corr. F. [f] *οὐχ ὅπου* A.B.D.F.H. *οὐχ ὅπῃ* E. *οὐ ποῦ* Edd. [g] *γὰρ* om. B. [h] *ὃ*] *ὅπερ* C.H. [i] *παρελθόντος*]+*καὶ νῦν* Edd. reclamantibus libris. [k] *τόπῳ* om. C. Statim *ἔσται φησὶν* omnes. *φησὶν ἔσται* Edd. [l] *ὡς* om. C. [m] *βασιλείων* A.D.E. *βασιλειων* eraso accentu H. *βασιλέων* Veron. Sav. Mor.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τήρια καὶ τὰ μέταλλα πόρρω διέστηκεν, οὕτω δὴ καὶ τῆς B
οἰκουμένης ταύτης ἔξω που ἔσται ἡ γέεννα. Μὴ τοίνυν ζητῶμεν
ποῦ [n]ἔστιν, ἀλλὰ [o]πῶς αὐτὴν φύγοιμεν. Μηδὲ ἐπειδὴ πάντας
ἐνταῦθα οὐ κολάζει [p]ὁ θεὸς, διὰ τοῦτο ἀπίστει τοῖς μέλλουσι·
φιλάνθρωπος γάρ ἐστι, καὶ μακροθυμεῖ. Διὰ τοῦτο ἀπειλεῖ,
καὶ οὐκ εὐθέως ἐμβάλλει· 26 "Οὐ [q]γὰρ θέλω, φησὶ, τὸν θάνατον
τοῦ ἁμαρτωλοῦ." Εἰ δὲ μὴ ἔστι θάνατος [r]ἁμαρτωλοῦ, περιττὸν τὸ εἰρημένον. Καὶ οἶδα μὲν, ὅτι οὐδὲν ἀηδέστερον τούτων
ὑμῖν τῶν λόγων· ἀλλ' ἐμοὶ τούτων οὐδὲν ἥδιον. Καὶ εἴθε ἦν
[s]καὶ ἀριστοποιουμένους καὶ δειπνοῦντας καὶ λουομένους [t]καὶ C
πανταχοῦ περὶ γεέννης διαλέγεσθαι· οὐδὲ γὰρ ἂν ἠλγήσαμεν
τοῖς ἐνταῦθα δεινοῖς, οὐκ ἂν ἤσθημεν τοῖς χρηστοῖς. Τί γάρ
μοι καὶ εἰπεῖν ἔχεις δεινόν; πενίαν, νόσον, αἰχμαλωσίαν, πήρωσιν σώματος; Ἀλλὰ [v]ταῦτα πάντα γέλως πρὸς τὴν ἐκεῖ
κόλασιν· κἂν τοὺς δι' ὅλου βασανιζομένους λιμῷ λέγῃς, κἂν
τοὺς ἐκ πρώτης ἡλικίας [w]πεπηρωμένους καὶ προσαιτοῦντας,
[x]τρυφὴ καὶ ταῦτα πρὸς ἐκεῖνα τὰ κακά. Συνεχῶς [y]τοίνυν
στρέφωμεν τοὺς περὶ τούτων λόγους· οὐ γὰρ ἀφίησιν ἐμπεσεῖν
εἰς γέενναν τὸ μεμνῆσθαι γεέννης. Οὐκ ἀκούεις [z]Παύλου λέ- D
γοντος· 27 "Οἵτινες δίκην τίσουσιν αἰώνιον ἀπὸ προσώπου
κυρίου;" [a]οὐκ ἀκούεις οἷος ὁ Νέρων ἐγένετο, ὃν καὶ μυστήριον
καλεῖ τοῦ ἀντιχρίστου [b]Παῦλος; "Τὸ γὰρ μυστήριον ἤδη,
φησὶν, ἐνεργεῖται τῆς [c]ἀνομίας." [d]Τί οὖν; οὐδὲν πείσεται ὁ
Νέρων; οὐδὲν πείσεται ὁ ἀντίχριστος; οὐδὲν ὁ διάβολος;
Οὐκοῦν [e]ἀεὶ ὁ ἀντίχριστος ἔσται, καὶ ὁ διάβολος· οὐδὲ γὰρ
ἀποστήσονται τῆς κακίας μὴ κολαζόμενοι. Ναὶ, φησίν· ἀλλ'
ὅτι μὲν [f]ἔστι γέεννα, παντί που δῆλον· οἱ δὲ ἄπιστοι [g]ἐμπεσοῦνται μόνοι. Τίνος ἕνεκεν, εἰπέ μοι; "Οτι οἱ πιστοὶ, φησὶ, E
τὸν δεσπότην ἐπέγνωσαν τὸν ἑαυτῶν. Καὶ τί τοῦτο; "Οταν
γὰρ [h]βίος ἀκάθαρτος ᾖ, καὶ μείζονα κατὰ τοῦτο δώσουσι δίκην
τῶν ἀπίστων. 28 "Οσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ
ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται."

26 Ezech. xviii. 32. 27 2 Thess. i. 9. ii. 7. 28 Rom. ii. 12. Luc. xii. 48.

[n] ἐστιν] ἔσται ἡ γέεννα H. [o] πῶς ἂν αὐτὴν Edd. ἂν deest in omnibus. Statim φύγωμεν C. [p] ὁ θεὸς cum articulo omnes. [q] γὰρ θ.] θ. γὰρ C.D. [r] ἁμαρτωλῷ A.B.E.F.H. [s] καὶ accessit ex A.B.C.D.F.H. [t] καὶ om. C. [v] πάντα ταῦτα inverso ord. B.F.H. [w] πεπηρωμένους pro πηρουμένους omnes. [x] Sic omnes. Edebatur καὶ προσαιτοῦντας τροφὴν, καὶ ταῦτα. [y] τοίνυν] οὖν C. [z] Παύλου sine artic. omnes. [a] οὐκ om. C. [b] Παῦλος pro ὁ Π. A.B.C.E.F.H. [c] ἁμαρτίας A.B.F.H. [d] τί οὖν——Νέρων om. C. [e] ἀεὶ ὁ ἀ. ἔσται] πάντοτε ὁ ἀ. C. Haec οὐκοῦν——ὁ διάβολος om. H. [f] ἐστι]+ κόλασις καὶ Edd. repugnantibus libris. [g] πεσοῦνται A.B.C.F.H. [h] βίος sine articulo A.B.C.D.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ, "Ὁ οἰκέτης ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου [i]αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς." Εἰ δὲ οὐκ ἔστι βίου δοῦναι λόγον, ἀλλ' ἁπλῶς ταῦτα εἴρηται, οὐδὲ ὁ διάβολος τιμωρηθήσεται· καὶ γὰρ [k]τὸν θεὸν οἶδε, καὶ ἀνθρώπων μᾶλλον [l]πολλῷ· καὶ οἱ δαίμονες δὲ πάντες [m]καὶ ἴσασιν αὐτὸν, καὶ φρίττουσι, καὶ κριτὴν ὁμολογοῦσιν. Εἰ τοίνυν βίου οὐκ ἔστι δοῦναι λόγον,
753 οὐδὲ πονηρῶν πράξεων, διαφεύξονται καὶ οὗτοι. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μὴ ἑαυτοὺς ἀπατᾶτε, ἀγαπητοί. Εἰ γὰρ μὴ ἔστι γέεννα, πῶς κρινοῦσι τὰς δώδεκα φυλὰς [n]τοῦ Ἰσραὴλ οἱ ἀπόστολοι; [o]πῶς φησι Παῦλος, [29] "Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;" πῶς ὁ Χριστὸς ἔλεγεν, [30] "Ἄνδρες Νινευῖται [p]ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην" καὶ [q]πάλιν, "Ἀνεκτότερον ἔσται γῇ Σοδόμων ἐν
B ἡμέρᾳ κρίσεως;" Τί τοίνυν παίζεις ἐν οὐ παικτοῖς; τί ἀπατᾷς σαυτὸν καὶ [r]παραλογίζῃ; τί τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ μάχῃ; Διὰ γὰρ τοῦτο καὶ ἡτοίμασεν [s]αὐτὴν καὶ ἠπείλησεν, ἵνα μὴ ἐμπέσωμεν, τῷ φόβῳ γενόμενοι βελτίους. [t]Ὥστε ὁ τὸν περὶ [t]τούτων ἀναιρῶν λόγον, [v]οὐδὲν ἕτερον ἢ εἰς [w]αὐτὴν ὠθεῖ καὶ (238)
ἐμβάλλει διὰ τῆς ἀπάτης ταύτης. Μὴ τοίνυν ἐκλύσῃς τὰς χεῖρας τῶν ὑπὲρ ἀρετῆς πονούντων, μηδὲ ἐπιτείνῃς τὴν ῥᾳθυμίαν
C [x]τῶν καθευδόντων. Εἰ γὰρ πεισθεῖεν οἱ πολλοὶ, ὅτι γέεννα οὐκ ἔστι, πότε ἀποστήσονται τῆς κακίας; ποῦ δὲ [y]καὶ τὸ δίκαιον φανεῖται, οὐ λέγω ἐπὶ ἁμαρτωλῶν καὶ δικαίων, ἀλλ' ἐπὶ ἁμαρτωλῶν καὶ ἁμαρτωλῶν; Διὰ τί [z]γὰρ ὁ μὲν ἐκολάσθη ἐνταῦθα, ὁ δὲ οὐκ ἐκολάσθη τὰ αὐτὰ ἁμαρτὼν, ἢ καὶ πολλῷ χαλεπώτερα; Εἰ γὰρ οὐκ ἔστι γέεννα, οὐδὲν ὑπὲρ τούτων [a]ἀπολογήσασθαι δυνήσῃ τοῖς ἐγκαλοῦσι. Διὸ παρακαλῶ παυσαμένους [b]τούτου τοῦ γέλωτος, ἐπιστομίζειν τοὺς ὑπὲρ τούτων ἡμῖν ἀντιλέγοντας. Καὶ γὰρ καὶ τῶν μικροτάτων καὶ ἐν τοῖς ἁμαρτήμασι καὶ ἐν τοῖς κατορθώμασιν ἀκριβὴς ἔσται ἡ ἐξέτασις· [c]καὶ ὀφθαλμῶν ἀκολάστων δώσομεν δίκην, καὶ ῥήματος ἀργοῦ, [d]καὶ λοιδορίας ἁπλῶς, καὶ

[29] 1 Cor. vi. 3. [30] Matth. xii. 41. xi. 24.

[i] αὐτοῦ cum tenui A.B.D.E.H. [k] τὸν om. C. [l] πολλῷ B.D.E.F. πολλῶν Edd. [m] καὶ aberat ante Montef. invitis libris. [n] τοῦ Ἰσραὴλ om. H. [o] πῶς] οὐ C. Mox ὁ Παῦλος C.D. [p] ἀναστήσονται]+ἐν τῇ κρίσει Edd. repugnantibus libris. [q] πάλιν accessit ex A. B. D. E. F. H. [r] παραλογίζῃ]+τὴν ψυχήν σου, ἄνθρωπε Edd. Haec desunt in nostris. [s] αὐτὴν om. C. [t] τούτου A.B.D.F. [v] οὐδὲν ἕτερον λανθάνει ποιῶν ἢ Edd. λανθάνει om. A. λανθάνει ποιῶν om. C.D.E.F.H. ἕτερον λ. ποιῶν om. B. [w] αὐτὸν A.H. [x] τῶν καθευδόντων om. A.B.F.H. [y] καὶ om. C.D.E. [z] γὰρ accessit ex A.C.D.E.F.H. [a] ἀπολ. δυνήσῃ pro δυνήσῃ ἀπολ. omnes. [b] τούτου τοῦ γ. pro τοῦ γ. τούτου A.B.D.E.F.H. [c] καὶ] καὶ γὰρ καὶ Sav. Mor. Ben. καὶ γὰρ deest in omnibus. [d] καὶ λοιδ. ἁπλῶς] καὶ γέλωτος καὶ λοιδ. ἁπλῶς καὶ ἐνθυμήσεως Sav. Mor. Ben. repugnantibus libris.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλίας

μέθης εὐθύνας [e]ὑφέξομεν· καὶ ποτηρίου ψυχροῦ ληψόμεθα D
[f]μισθὸν, καὶ στεναγμοῦ μόνου. 31 "Δὸς γὰρ, φησὶ, τὸ σημεῖον
ἐπὶ [g]τὸ πρόσωπον τῶν στεναζόντων καὶ κατοδυνωμένων." Πῶς
οὖν τολμᾷς εἰπεῖν, ὅτι ὁ μετὰ τοσαύτης ἀκριβείας ἐξετάζων τὰ
ἡμέτερα, ἁπλῶς καὶ εἰκῇ τὴν γέενναν ἠπείλησε; Μὴ, παρακαλῶ,
μὴ ταῖς κεναῖς ταύταις ἐλπίσι σεαυτὸν ἀπόλλυε, καὶ τοὺς
[h]πειθομένους. Εἰ γὰρ τοῖς ἡμετέροις ἀπιστεῖς [i]λόγοις, ἐξέ-
τασον Ἰουδαίους, Ἕλληνας, αἱρετικοὺς ἅπαντας· καὶ πάντες ὡς
ἐξ ἑνὸς [k]ἀποκρινοῦνται στόματος, ὅτι [l]καὶ κρίσις ἔσται καὶ
ἀντίδοσις. Ἀλλ' οὐκ ἀρκοῦσιν ἄνθρωποι; Ἐρώτησον καὶ E
τοὺς δαίμονας αὐτοὺς, καὶ ἀκούσῃ [m]βοώντων· 32 "Τί ἦλθες ὧδε
πρὸ καιροῦ βασανίσαι ἡμᾶς;" Καὶ [n]πάντα ταῦτα συναγαγὼν
πεῖσον τὴν ψυχὴν μὴ μάτην ληρεῖν, ἵνα μὴ διὰ τῆς πείρας μάθῃ
τὴν γέενναν, ἀλλ' [o]ἐντεῦθεν σωφρονισθεῖσα καὶ τὰς βασάνους
ἐκείνας [p]δυνηθῇ διαφυγεῖν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυ-
χεῖν, [q]ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλαν-
θρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ
πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΓ. 754

[1]Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, σκοπεῖν τοὺς τὰς διχοστασίας
καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε,
ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι τῷ
κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν
κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας [a]καὶ εὐλογίας ἐξαπατῶσι
τὰς καρδίας τῶν ἀκάκων.

ΠΑΛΙΝ παραίνεσις, καὶ εὐχὴ μετὰ τὴν παραίνεσιν. Εἰπὼν B
γὰρ σκοπεῖν τοὺς τὰς [b]διχοστασίας, καὶ μὴ ὑπακούειν αὐτοῖς,
ἐπήγαγεν· "Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν
ὑπὸ τοὺς πόδας ὑμῶν" [c]καὶ, "Ἡ χάρις τοῦ κυρίου μεθ' ὑμῶν."
Σκόπει [d]δὲ πῶς καὶ προσηνῶς παραινεῖ, οὐκ ἐν τάξει συμβούλου,
ἀλλ' ἐν τάξει ἱκέτου τοῦτο ποιῶν, καὶ μετὰ πολλῆς τῆς τιμῆς·

31 Ezech. ix. 4. 32 Matth. viii. 29. 1 Cap. XVI. v. 17, 18.

[e] *ὑφέξομεν*]+*ὡς πάλιν καὶ ἐν τοῖς ἀγαθοῖς* Edd. Haec om. A.B.D.E.F.H. Veron. [f] *μισθὸν*]+*καὶ λόγου ἀγαθοῦ* Sav. Mor. Ben. invitis libris. [g] *τὸ* om. E. Mox *κατωδυνωμένων* B.E. [h] *πειθομένους*]+*σοὶ* C.D. [i] *λογισμοῖς* C. [k] *ἀποκρ. στόματος* pro *στόματος ἀποκρ.* A.B.D.E.F.H. [l] *καὶ* accessit ex iisdem. Mox *ἀνταπόδοσις* E.H. [m] *λεγόντων* C.D. [n] *πάντα ταῦτα σ.* A.B.E.F.H. *πάντα σ. ταῦτα* D. *ταῦτα πάντα σ.* Edd. [o] *ἐνταῦθα* C. [p] *δυνηθῇ* omnes. *δυνήσῃ* Edd. [q] Haec *ὧν*——*μετασχεῖν* assumta ex A.B.D, E.F.H. Hom. XXXIII. [a] *καὶ εὐλογίας* om. C. Mosq. 8. [b] *διχοστασίας*] +*ποιοῦντας* Edd. *ποιοῦντας* om. B.H. Veron. [c] Haec *καὶ*——*μεθ' ὑμῶν* desunt in E. [d] *δὲ* et mox *καὶ* om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ γὰρ [e]καὶ ἀδελφοὺς ἐκάλεσε, καὶ ἱκετεύει. "Παρακαλῶ [f]γὰρ ὑμᾶς, φησὶν, ἀδελφοί." Εἶτα καὶ ἐναγωνίους ποιεῖ, δεικνὺς τὸ δολερὸν τῶν ἐπηρεαζόντων. Ὡς γὰρ οὐκ αὐτόθεν
C [g]ὄντων δήλων φησί· "Παρακαλῶ [h]ὑμᾶς σκοπεῖν" τουτέστι, περιεργάζεσθαι μετὰ ἀκριβείας, καὶ καταμανθάνειν καὶ διερευνᾶσθαι. Τίνας, εἰπέ μοι; "Τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας." Αὕτη γὰρ μάλιστα ἐκκλησίας ἀνατροπὴ, τὸ [i]διῃρῆσθαι· τοῦτο ὅπλον τοῦ διαβόλου, τοῦτο [k]πάντα ἄνω καὶ κάτω ποιεῖ. Ἕως γὰρ ἂν [l]ᾖ τὸ σῶμα ἡνωμένον, οὐκ ἰσχύει εἴσοδον [m]σχεῖν, ἀλλ' ἀπὸ τῆς διχοστασίας τὸ σκάνδαλον. Ἡ δὲ διχοστασία πόθεν;
D Ἀπὸ τῶν δογμάτων τῶν παρὰ τὴν διδαχὴν τῶν ἀποστόλων. Τὰ δὲ δόγματα τὰ τοιαῦτα πόθεν; Ἀπὸ τοῦ γαστρὶ δουλεύειν καὶ τοῖς ἄλλοις πάθεσιν. "Οἱ γὰρ τοιοῦτοι, φησὶ, τῷ κυρίῳ οὐ δουλεύουσιν, ἀλλὰ τῇ [n]ἑαυτῶν κοιλίᾳ." Ὥστε οὐκ ἂν γένοιτο [o]σκάνδαλον, οὐκ ἂν γένοιτο διχοστασία, εἰ μή τι παρὰ τὴν ἀποστολικὴν διδαχὴν [p]ἐπινοηθείη δόγμα· ὃ καὶ ἐνταῦθα δηλῶν ἔλεγε, "[q]παρὰ τὴν διδαχήν." [r]Καὶ οὐκ εἶπεν, ἣν ἐδιδάξαμεν, ἀλλ' "ἣν ὑμεῖς ἐμάθετε," (239)
προκαταλαμβάνων αὐτοὺς, καὶ δεικνὺς πεπεισμένους [s]δὴ καὶ ἀκούσαντας καὶ καταδεξαμένους. Καὶ τί [t]ποιήσομεν τοῖς τὰ τοιαῦτα κακουργοῦσιν; Οὐκ εἶπεν, ὁμόσε χωρεῖτε καὶ πυκτεύετε, ἀλλ', "ἐκκλίνατε ἀπ' αὐτῶν." Εἰ μὲν γὰρ ἐξ ἀγνοίας ἢ πλάνης [v]τοῦτο ἐποίουν, ἔδει διορθοῦν· ἐπειδὴ δὲ [w]ἑκόντες
E ἁμαρτάνουσιν, ἀποπηδᾶτε. Καὶ ἀλλαχοῦ δὲ τοῦτο λέγει. 2 "[x]Στέλλεσθε γὰρ, φησὶν, ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος." Καὶ [y]Τιμοθέῳ περὶ τοῦ χαλκέως διαλεγόμενος, τοιαῦτα παρῄνει λέγων· "[z]Ὃν καὶ σὺ φυλάσσου." Εἶτα καὶ κωμῳδῶν τοὺς τὰ τοιαῦτα τολμῶντας, λέγει καὶ τὴν αἰτίαν, ἀφ' ἧς ταύτην [z]ἐπενόησαν τὴν διχοστασίαν. "Οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν [a]Χριστῷ, φησὶν, οὐ δουλεύουσιν, ἀλλὰ τῇ

2 2 Thess. iii. 6. 2 Tim. iv. 15.

[e] καὶ accessit ex A.B.D.F.H. Cat. et corr. C. [f] γὰρ] δὲ C. [g] ὄντων δήλων omnes. δήλων ὄντων Edd. [h] δὲ ὑμᾶς Edd. δὲ om. B.F.H. Cat. [i] διαιρεῖσθαι C.D. [k] πάντα om. A.H. [l] ᾖ pro εἴη A.B.D.E.F. ᾖ pro ἂν εἴη C. [m] σχεῖν A.B.D.E.F. ἔχειν Edd. [n] ἑαυτῶν pro αὐτῶν A.B.D.E.F.H. [o] σκάνδαλον pro σκάνδαλα B.C.D.E.F. Haec σκάνδαλον οὐκ ἂν γένοιτο om. A.H. Cat. [p] ἐπινοηθείη omnes. ἐπινοηθῇ Edd. [q] παρὰ omnes. Ante Montef. edebatur περί. [r] καὶ om. D. [s] δὴ om. A.B.C. D.E.F. [t] ποιήσωμεν H. [v] ταῦτα C.D. [w] ἑκόντες A.B.D.E.F.H. Cat. εἰδότες Edd. [x] στέλλεσθε pro συστέλλεσθε C.D.E.H. [y] Τιμοθέῳ] +δὲ C. Mox παραινεῖ idem. [z] ἐποίησαν Cat. [a] Ἰησοῦ Χριστῷ C.D.E. et ex corr. F. φησὶν om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτῶν κοιλίᾳ." Τοῦτο καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν· [3] "Ὧν [b]ὁ θεὸς ἡ κοιλία." Ἐνταῦθα δέ μοι τοὺς ἐξ Ἰουδαίων αἰνίττεσθαι δοκεῖ, οὓς μάλιστα ἀεὶ διαβάλλειν εἴωθεν ὡς γα- 755
στριμάργους. Καὶ γὰρ [c]καὶ Τίτῳ ἐπιστέλλων ἔλεγε περὶ αὐτῶν· [4] "Κακὰ θηρία, γαστέρες ἀργαί." Καὶ ὁ Χριστὸς δὲ [d]αὐτοὺς ἐπὶ τούτῳ διαβάλλων, "Κατεσθίετε, φησὶ, τὰς οἰκίας τῶν χηρῶν." Καὶ οἱ προφῆται τοιαῦτα [e]αὐτῶν κατηγοροῦσιν· "Ἐλιπάνθη γὰρ, φησὶ, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος." Διὸ καὶ Μωϋσῆς παρήνει λέγων· "Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς, μνήσθητι κυρίου τοῦ θεοῦ σου." Καὶ ἐν τοῖς εὐαγγελίοις δὲ τῷ Χριστῷ [f]λέγοντες, "Τί σημεῖον δεικνύεις ἡμῖν;" [g]τὰ ἄλλα πάντα παραδραμόντες, τοῦ μάννα μέμνηνται· οὕτω πανταχοῦ τῷ πάθει τούτῳ κρατούμενοι φαί- B
νονται. Πῶς οὖν οὐκ αἰσχύνη δούλους κοιλίας διδασκάλους ἔχων ὁ τοῦ Χριστοῦ ἀδελφός; Καὶ ἡ μὲν ὑπόθεσις τῆς πλάνης αὕτη, ὁ δὲ τρόπος τῆς ἐπιβουλῆς ἕτερον πάλιν νόσημα, [h]ἡ κολακεία. "Διὰ γὰρ τῆς χρηστολογίας, φησὶν, ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων." Καὶ καλῶς εἶπε, "χρηστολογίας·" μέχρι γὰρ τῶν ῥημάτων ἡ θεραπεία· ἡ δὲ διάνοια οὐ τοιαύτη, ἀλλὰ δόλου γέμουσα. Καὶ οὐκ εἶπεν, ὑμᾶς ἐξαπατῶσιν, ἀλλὰ, "τὰς καρδίας τῶν ἀκάκων." Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ὥστε ποιῆσαι [i]ἀνεπαχθέστερον τὸ εἰρημένον, φησίν· [5] "Ἡ γὰρ C
ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο." Τοῦτο δὲ ποιεῖ, οὐκ [k]ἀφεὶς αὐτοὺς ἀναισχυντῆσαι, ἀλλὰ τοῖς ἐγκωμίοις προκαταλαμβάνων, καὶ τῷ πλήθει τῶν [l]μαρτύρων προκατέχων αὐτούς. Οὐδὲ γὰρ ἐγὼ μαρτυρῶ μόνος, [m]ἀλλὰ καὶ ἡ οἰκουμένη πᾶσα. Καὶ οὐκ εἶπεν, ἡ γὰρ ὑμῶν σύνεσις, ἀλλ', "ἡ ὑμῶν ὑπακοή" τουτέστιν, ἡ πειθώ· ὅπερ πολλὴν αὐτοῖς ἦν μαρτυροῦντος πραότητα. "Χαίρω οὖν [n]τὸ ἐφ' ὑμῖν." Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον. Εἶτα μετὰ τὸν ἔπαινον νουθεσία. Ἵνα γὰρ μὴ τῶν ἐγκλημάτων ἀπαλλάξας αὐτοὺς, [o]ὡς λανθάνοντας ῥᾳθυμοτέρους ἐργάσηται, αἰνίττεται πάλιν [p]αὐτοὺς λέγων· "Θέλω δὲ ὑμᾶς σοφοὺς D
[q]μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν." Ὁρᾷς

[3] Philipp. iii. 19. [4] Tit. i. 12. Matth. xxiii. 14. Deut. xxxii. 15. vi. 12, 13. Joan. ii. 18. [5] v. 19.

[b] ὁ accessit ex omnibus. [c] καὶ assumtum ex A.B.D.E.F.H. [d] αὐτοὺς] τοὺς A.H. [e] αὐτῶν om. A.B.F.H. [f] λεγόντων C. [g] καὶ τὰ Edd. καὶ om. A.D.E.H. Mox παραδραμὼν H. [h] ἡ om. C. [i] ἀνεπαχθέστερον omnes. μὴ ἐπαχθέστερον Edd. [k] ἀφεὶς C. [l] μαρτυριῶν C. [m] ἀλλὰ καὶ ἡ pro ἀλλ' ἡ A.B.D.E.F.H. Cat. [n] τὸ om. C. [o] ὡς λανθάνοντας] λανθανάντως C. [p] αὐτοὺς pro αὐτοῖς omnes. [q] μὲν accessit ex A.B.C. D.E.F. Mox δὲ om. H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῶς πάλιν αὐτῶν καθάπτεται, καὶ ἀνυπόπτως; τοῦτο γὰρ αἰνιττομένου ἐστὶν, ὅτι τινὲς [r]ἐξ αὐτῶν καὶ παρήγοντο. [6] "Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει." Ἐπειδὴ γὰρ εἶπε τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα ποιοῦντας, εἶπεν εἰρήνης θεὸν, ἵνα θαρρήσωσι περὶ τῆς τούτων ἀπαλλαγῆς. Ὁ γὰρ [s]ταύτῃ χαίρων, τὰ λυμαινόμενα [t]αὐτὴν καταλύσει. Καὶ οὐκ εἶπεν, ὑποτάξει, ἀλλ', ὃ Ε μεῖζόν ἐστι, "συντρίψει" καὶ οὐκ ἐκείνους [v]μόνον, ἀλλὰ [w]καὶ τὸν στρατηγοῦντα αὐτοῖς τὰ τοιαῦτα [x]Σατανᾶν. Καὶ οὐχ ἁπλῶς συντρίψει, ἀλλ', "ὑπὸ τοὺς πόδας ὑμῶν" ὥστε [y]αὐτοὺς τὴν νίκην ἄρασθαι, καὶ τῷ τροπαίῳ γενέσθαι λαμπρούς. Καὶ ἀπὸ τοῦ χρόνου δὲ ἡ παραμυθία πάλιν· ἐπήγαγε γὰρ, "ἐν τάχει." Τοῦτο δὲ ὁμοῦ [z]καὶ εὐχὴ καὶ προφητεία ἦν. "Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν." Τὸ μέγιστον ὅπλον, τὸ τεῖχος τὸ ἄρρηκτον, ὁ πύργος ὁ ἄσειστος· ἀνέμνησε γὰρ αὐτοὺς τῆς χάριτος, ἵνα [a]προθυμοτέρους ἐργάσηται. Εἰ γὰρ τῶν πολὺ χαλεπωτέρων ἀπηλλάγητε, [b]καὶ ἀπηλλάγητε χάριτι μόνον· πολλῷ [c]μᾶλλον τῶν ἐλαττόνων ἀπαλλαγήσεσθε, [d]ὅτε καὶ φίλοι γεγόνατε, καὶ τὰ παρ' ἑαυτῶν (240)
756 [e]συνεισάγετε. [f]Ὁρᾷς πῶς οὔτε [g]εὐχὴν χωρὶς ἔργων, οὔτε ἔργα χωρὶς εὐχῆς τίθησι; Μαρτυρήσας γὰρ αὐτοῖς τὴν ὑπακοὴν, τότε ἐπηύξατο, δεικνὺς ὅτι ἀμφοτέρων δεόμεθα, καὶ τῶν παρ' ἡμῶν, καὶ τῶν παρὰ τοῦ θεοῦ, εἰ μέλλοιμεν μετὰ ἀκριβείας σώζεσθαι. Καὶ γὰρ οὐκ ἔμπροσθεν μόνον, ἀλλὰ καὶ νῦν, κἂν μεγάλοι ὦμεν καὶ εὐδόκιμοι, τῆς παρ' αὐτοῦ δεόμεθα χάριτος.

[7] "Ἀσπάζεται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου." Εἶδες πάλιν τὰ συνήθη ἐγκώμια; "Καὶ [h]Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου." Τούτου τοῦ [i]Ἰάσονος καὶ Λουκᾶς μέμνηται, καὶ τὴν ἀνδρείαν αὐτοῦ παρίστησιν ἡμῖν Β λέγων, [8] ὅτι ἦγον αὐτὸν ἐπὶ τοὺς πολιτάρχας βοῶντες. Καὶ τοὺς ἄλλους δὲ [k]εἰκὸς εἶναι τῶν ἐπισήμων· οὐ γὰρ ἁπλῶς συγγενῶν μέμνηται, εἰ [l]μὴ κατὰ τὴν εὐσέβειαν εἶεν ἐοικότες αὐτῷ. [9] "Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν."

6 v. 20. 7 v. 21. 8 Act. xvii. 6. 9 v. 22.

r ἐξ om. C. s ἐν ταύτῃ C. t αὐτὴν pro αὐτῇ omnes. v μόνους C. w καὶ om. A.F.H. x τὸν Σατανᾶν Edd. τὸν om. A.B.D.E.F.H. Cat. y αὐτοῖς C. z καὶ om. C.D. a λαμπροτέρους B. b καὶ ἀπηλλ. om. C. c μᾶλλον om. E. d ὅτε pro ὅτι omnes. e συνεισηγάγετε C. f ὁρᾷς omnes. ὅρα Edd. g εὐχὴν omnes. εὐχὴ Veron. Sav. h Λουκᾶς H. i Ἰάσωνος A.E.H. k εἰκότως A.B.F. Mox οὐδὲ γὰρ C. l μὴ] + καὶ B.E. Statim εὐλάβειαν et in marg. γρ. εὐσέβειαν D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ [m]μικρὸν καὶ τοῦτο ἐγκώμιον, ὑπογραφέα εἶναι Παύλου· πλὴν οὐχ ἵνα ἑαυτὸν ἐγκωμιάσῃ, τοῦτο [n]λέγει, ἀλλ' ἵνα θερμὴν ἐπισπάσηται παρ' αὐτῶν τὴν ἀγάπην ἀπὸ τῆς διακονίας. 10 "Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης." Εἶδες οἷον αὐτῷ στέφανον ἔπλεξε, τοσαύτην φιλοξενίαν μαρτυρήσας, καὶ ὁλόκληρον [o]τὴν ἐκκλησίαν εἰς τὴν οἰκίαν [p]εἰσαγαγὼν τὴν ἐκείνου; τὸν γὰρ ξένον ἐνταῦθα τὸν ξενοδόχον φησίν. Ὅταν δὲ ἀκούσῃς, ὅτι Παύλου ξενοδόχος ἦν, μὴ τῆς φιλοτιμίας αὐτὸν θαύμαζε μόνον, ἀλλὰ [q]καὶ τῆς κατὰ τὸν βίον ἀκριβείας. Εἰ μὴ γὰρ ἦν ἄξιος τῆς ἀρετῆς τῆς ἐκείνου, οὐδ' ἂν ἐκεῖνος ἐκεῖ κατήχθη. Ὁ γὰρ πολλὰ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ σπουδάζων ὑπερβαίνειν, οὐκ ἂν τοῦτον παρέβη τὸν νόμον τὸν κελεύοντα [r]περιεργάζεσθαι τοὺς ὑποδεχομένους, καὶ [s]παρ' ἀξίοις κατάγεσθαι. "Ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός." Οὐχ ἁπλῶς προσέθηκεν, "[t]ὁ οἰκονόμος τῆς πόλεως" ἀλλ' ὥσπερ Φιλιππησίοις [v]ἔγραφεν, 11 "Ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Καίσαρος οἰκίας," ἵνα δείξῃ ὅτι καὶ τῶν μεγάλων τὸ κήρυγμα ἥψατο· οὕτω καὶ ἐνταῦθα τοῦ ἀξιώματος μέμνηται, τὸ αὐτὸ τοῦτο κατασκευάζων, καὶ δεικνὺς ὅτι τῷ προσέχοντι [w]οὐδὲ πλοῦτος κώλυμα γίνεται, οὔτε ἀρχῆς φροντίδες, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. 12 "Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν." Εἶδες πόθεν ἄρχεσθαι δεῖ, καὶ ποῦ τελευτᾶν [x]πανταχοῦ; Καὶ γὰρ τὸν θεμέλιον ἐντεῦθεν κατέβαλε τῆς ἐπιστολῆς, καὶ τὸν ὄροφον ἐντεῦθεν ἐπέθηκεν, ὁμοῦ καὶ ἐπευχόμενος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς, καὶ πάσης ἀναμιμνήσκων [y]τῆς εὐεργεσίας. Τοῦτο γὰρ μάλιστα διδασκάλου γενναίου, τὸ μὴ [z]λόγῳ μόνον, ἀλλὰ καὶ [a]εὐχαῖς ὠφελεῖν τοὺς μαθητευομένους. Διὸ καὶ ἔλεγεν, 13 "Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου [b]προσκαρτερήσωμεν."

[c]Τίς οὖν ἄρα καὶ ἡμῖν ἐπεύξεται, ἐπειδὴ Παῦλος ἀπῆλθεν;

10 v. 23. 11 Philipp. iv. 22. 12 v. 24. 13 Act. vi. 4.

[m] *μικρὸν*]+δὲ C. [n] λέγη B.H. [o] *τὴν* om. C.D. [p] *εἰσαγαγὼν* libri omnes et Cat. *συναγαγὼν* Edd. [q] *καὶ* om. H. [r] *τὸ περιεργ.* C. [s] *παρ' ἀξίοις* pro *παρὰ ἀξίοις* B.D.E.H. [t] *ὁ* accessit ex B.D.E. Cat. [v] *ἔλεγεν* C. [w] *οὐδὲ* pro *οὔτε* A.B.D.E.F. Cat. *οὐδὲ* ter H. [x] *πανταχοῦ* pro *πάντα* omnes. [y] *τῆς* om. A.B.E.F.H. non Cat. [z] *μόνον λόγῳ* inverso ord. C.D. [a] *εὐχαῖς* pro *εὐχῇ* A.B.D.E.F.H. Cat. B.C.D.E.F.H. *προσκαρτερήσωμεν* Sav. Mor. Ben. [b] *προσκαρτερήσωμεν* [c] ΗΘΙΚΟΝ. *Περὶ τῆς ἀγάπης καὶ προσευχῆς Παύλου, καὶ τῶν ἀρετῶν αὐτοῦ καὶ κατορθωμάτων· καὶ περὶ τοῦ δεῖν μιμεῖσθαι Παῦλον, ἐπὶ τῷ καταξιωθῆναι καὶ ἡμᾶς ἰδεῖν αὐτὸν ἀπελθόντας ἐκεῖ· καὶ ὅτι τούτῳ μάλιστα ὑπὲρ τὰ ἄλλα κοσμεῖται ἡ Ῥώμη καὶ τειχίζεται, τὸν Παύλου τάφον ἔχουσα καὶ Πέτρου· καὶ περὶ τῶν κατὰ μέρος διδασκαλιῶν Παύλου καὶ πράξεων.* Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἱ Παύλου ζηλωταὶ [d]οὗτοι· μόνον ἀξίους παράσχωμεν ἑαυτοὺς τῆς τοιαύτης συνηγορίας, ἵνα μὴ ἐνταῦθα μόνον ἀκούσωμεν τῆς Παύλου φωνῆς, ἀλλὰ καὶ ἐκεῖ ἀπελθόντες ἰδεῖν [e]ἀξιωθῶμεν τὸν
757 ἀθλητὴν τοῦ Χριστοῦ· μᾶλλον δὲ ἂν ἐνταῦθα ἀκούσωμεν, κἀκεῖ πάντως [f]αὐτὸν ὀψόμεθα, εἰ καὶ μὴ πλησίον ἑστῶτες, ἀλλ' ὀψόμεθα πάντως ἐγγὺς τοῦ θρόνου τοῦ βασιλικοῦ λάμποντα, ἔνθα τὰ Χερουβὶμ δοξάζει, ἔνθα τὰ Σεραφὶμ [g]πέταται. Ἐκεῖ Παῦλον ὀψόμεθα μετὰ Πέτρου καὶ τοῦ τῶν ἁγίων χοροῦ κορυφαῖον ὄντα καὶ [h]πρωτοστάτην, καὶ τῆς ἀγάπης [i]ἀπολαυσόμεθα τῆς γνησίας. Εἰ γὰρ ἐνταῦθα ὢν οὕτως ἠγάπα τοὺς ἀνθρώπους, ὡς αἱρέσεως οὔσης ἀναλῦσαι καὶ σὺν Χριστῷ [k]εἶναι, ἐλέσθαι ἐνταῦθα εἶναι· πολλῷ μᾶλλον ἐκεῖ θερμότερον ἐπι-
B δείξεται τὸ φίλτρον. [l]Ἐγὼ καὶ τὴν Ῥώμην διὰ τοῦτο φιλῶ, καίτοιγε αὐτὴν καὶ ἑτέρωθεν ἔχων ἐπαινεῖν, καὶ ἀπὸ τοῦ μεγέθους, καὶ ἀπὸ τῆς ἀρχαιότητος, καὶ ἀπὸ τοῦ κάλλους, καὶ ἀπὸ τοῦ πλήθους, καὶ ἀπὸ τῆς δυναστείας, καὶ ἀπὸ τοῦ πλούτου, καὶ ἀπὸ τῶν κατορθωμάτων τῶν ἐν [m]πολέμοις· [n]ἀλλὰ πάντα τὰ ἄλλα ἀφεὶς, διὰ τοῦτο αὐτὴν μακαρίζω, ὅτι καὶ ζῶν αὐτοῖς [o]ἔγραφε, καὶ οὕτως αὐτοὺς ἐφίλει, καὶ παρὼν αὐτοῖς διελέχθη, καὶ τὸν βίον ἐκεῖ [p]κατέλυσε. Διὸ καὶ ἐπίσημος ἡ πόλις ἐντεῦθεν μᾶλλον, ἢ ἀπὸ τῶν ἄλλων ἁπάντων· [q]καὶ καθάπερ σῶμα (241)
C μέγα καὶ ἰσχυρὸν, ὀφθαλμοὺς ἔχει δύο λάμποντας, τῶν ἁγίων τούτων τὰ σώματα. Οὐχ οὕτως ἐστὶν ὁ οὐρανὸς λαμπρὸς, ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ῥωμαίων πόλις τὰς δύο ταύτας λαμπάδας πανταχοῦ τῆς οἰκουμένης [r]ἀφιεῖσα. Ἐκεῖθεν ἁρπαγήσεται Παῦλος, ἐκεῖθεν Πέτρος. Ἐννοήσατε καὶ φρίξατε, [s]οἷον ὄψεται θέαμα Ῥώμη, τὸν Παῦλον ἐξαίφνης ἀνιστάμενον ἀπὸ τῆς θήκης ἐκείνης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ [t]Χριστοῦ· οἷον ἀποστέλλει τῷ Χριστῷ [v]ῥόδον ἡ Ῥώμη, οἵους στεφάνους ἡ πόλις περίκειται δύο, οἵας χρυσᾶς ἁλύσεις διέζωσται, οἵας ἔχει πηγάς. Διὰ [w]ταῦτα θαυμάζω τὴν πόλιν, οὐ διὰ τὸν χρυσὸν τὸν πολὺν, οὐ διὰ τοὺς

[d] οὗτοι om. A.B.D.E.F.H. ζηλωταὶ· οὗτοι μόνοι· ἀξίους οὖν παράσχ. C. [e] ἀξιωθῶμεν A.B.E.F.H. καταξιωθῶμεν Edd. [f] αὐτὸν om. A.B.F. [g] πέτεται D.E. [h] πρωτοστάτην pro προστάτην A.B.C.D.E.F. [i] ἀπολαυσόμεθα pro ἀπολαύσομεν omnes. [k] εἶναι]+ἢ ἐνταῦθα εἶναι in marg. man. recent. B. Statim αἱρεῖσθαι C. [l] ἐγὼ δὲ διὰ τοῦτο καὶ τ. Ῥ. φ. C. [m] πολέμοις C.D.E.F.H. πολέμῳ Edd. [n] ἀλλὰ om. A.C.H. Mox τὰ ἄλλα pro ταῦτα A.B.D.E.F.H. [o] ἔγραφε] εὔνους ἦν Veron. [p] κατέλυσε]+καὶ τὸ ἅγιον σῶμα κατέχουσιν A.B.C.F.H. Eclog. (Tom. xii. p. 717 A.) +καὶ αὐτοὶ τὸ ἅγιον ἐκεῖνο σῶμα κατέχουσι D.E. [q] καὶ καθ.] καθ. γὰρ D. καὶ om. E. [r] ἐφεῖσα (sic) C. [s] οἷαν ὄψεται θέαν C. [t] Χριστοῦ pro κυρίου omnes. [v] δῶρον libri omnes et Eclog. ibid. et p. 666 E. ῥάδον Edd. [w] τοῦτο C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κίονας, [x]οὐ διὰ τὴν ἄλλην φαντασίαν, ἀλλὰ διὰ τοὺς στύλους D
τῆς ἐκκλησίας τούτους.

Τίς μοι νῦν ἔδωκε περιχυθῆναι [y]τῷ σώματι Παύλου, καὶ προσηλωθῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου, τοῦ τὰ ὑστερήματα ἀναπληρώσαντος τοῦ Χριστοῦ, τοῦ τὰ στίγματα [z]βαστάξαντος, τοῦ πανταχοῦ τὸ κήρυγμα κατασπείραντος; τὴν κόνιν ἐκείνου τοῦ σώματος, [a]δι' οὗ πανταχοῦ διέδραμε· τὴν κόνιν τοῦ στόματος, δι' οὗ Χριστὸς ἐφθέγγετο, καὶ τὸ φῶς ἐξέλαμψε τὸ πάσης ἀστραπῆς λαμπρότερον, καὶ φωνὴ ἐξεπήδησε πάσης βροντῆς φοβερωτέρα τοῖς δαίμοσι· δι' οὗ τὸ μακάριον ἐκεῖνο ἐφθέγξατο ῥῆμα λέγων· "[b]Ηὐχόμην E
ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου" δι' οὗ ἐλάλει ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχύνετο· δι' οὗ Παῦλον ἐμάθομεν, δι' οὗ τὸν Παύλου δεσπότην; Οὐχ οὕτως ἡμῖν ἡ βροντὴ [c]φοβερὰ, ὡς ἐκείνη τοῖς δαίμοσιν ἡ φωνή. Εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ ἔφριττον, πολλῷ μᾶλλον τὴν φωνήν. Αὕτη δεδεμένους αὐτοὺς ἤγαγεν, αὕτη τὴν οἰκουμένην ἐξεκάθηρεν, αὕτη [d]νοσήματα ἔλυσε, κακίαν ἐξέβαλεν, ἀλήθειαν ἐπανήγαγε, τὸν Χριστὸν εἶχεν ἐγκαθήμενον, καὶ μετ' αὐτοῦ πανταχοῦ προήει. Καὶ [e]ὅπερ τὰ Χερουβὶμ, τοῦτο ἡ Παύλου φωνή. Καθάπερ γὰρ ἐπὶ τῶν δυνάμεων ἐκείνων ἐκάθητο, οὕτω [f]καὶ ἐπὶ τῆς τοῦ 758
Παύλου γλώττης. Καὶ γὰρ ἀξία τοῦ δέξασθαι τὸν Χριστὸν ἐγένετο, ἐκεῖνα [g]φθεγγομένη, ἃ τῷ Χριστῷ φίλα ἦν, καὶ πρὸς ὕψος ἄφατον ἱπταμένη καθάπερ τὰ Σεραφίμ. Τί [h]γὰρ ὑψηλότερον τῆς φωνῆς ἐκείνης τῆς λεγούσης, [i]ὅτι "Πέπεισμαι, ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε [k]ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ;" Πόσας δοκεῖ σοι πτέρυγας [l]ἔχειν αὕτη ἡ φωνή; πόσους ὀφθαλμούς; Διὰ τοῦτο ἔλεγεν· [14]"Οὐ γὰρ αὐτοῦ τὰ B
νοήματα ἀγνοοῦμεν" διὰ τοῦτο [m]ἔφευγον δαίμονες, οὐχὶ φθεγγομένου μόνον ἀκούοντες, ἀλλὰ καὶ πόρρωθεν ὄντος ἱμάτιον ὁρῶντες. Τούτου τοῦ [n]στόματος ἐβουλόμην τὴν κόνιν ἰδεῖν,

[14] 2 Cor. ii. 11.

[x] οὐ] οὐδὲ C.D. [y] τῷ σώματι—προσηλωθῆναι om. C. [z] βαστάξαντος pro βαστάσαντος A.B.C.E.F.H. [a] δι' οὗ ἔδραμεν πανταχοῦ C. Mox σώματος pro στόματος idem. [b] ηὐχόμην]+γὰρ C. [c] φοβερὰ pro φοβερὸν omnes. [d] τὰ νοσήματα Edd. τὰ deest in omnibus. [e] ὅπερ]+ἦν Edd. ἦν om. A.B.D.E.F.H. Eclog. p. 717 D. [f] καὶ om. H. [g] φθεγγομένη]+μόνον Edd. μόνον non legitur in A.B.D.E.F.H. Eclog. [h] γὰρ om. C. [i] ὅτι πέπεισμαι om. A. [k] ὕψος C. Mox τις om. A.B.H. [l] ἔχει C. [m] ἔφυγον C. [n] σώματος C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' οὗ τὰ μεγάλα καὶ ἀπόρρητα ὁ Χριστὸς ἐλάλησε, καὶ μείζονα ἢ δι' ἑαυτοῦ· ὥσπερ γὰρ εἰργάσατο μείζονα διὰ τῶν μαθητῶν, οὕτω καὶ ἐφθέγξατο· δι' οὗ τὸ πνεῦμα [o]τῇ οἰκουμένῃ τοὺς θαυμαστοὺς ἐκείνους χρησμοὺς [p]ἔδωκε. Τί [q]γὰρ οὐκ εἰργάσατο ἐκεῖνο τὸ στόμα ἀγαθόν; Δαίμονας [r]ἤλασεν, ἁμαρ-
C τήματα ἔλυσε, τυράννους ἐπεστόμισε, φιλοσόφων [s]γλώττας ἔφραξε, τὴν οἰκουμένην τῷ θεῷ προσήγαγε, βαρβάρους φιλοσοφεῖν ἔπεισε, [t]ἅπαντα μετερρύθμισε τὰ ἐν τῇ γῇ· καὶ τὰ ἐν [v]τοῖς οὐρανοῖς δὲ, ὃν ἐβούλετο [w]διετίθει τρόπον, δεσμῶν οὓς ἐβούλετο, καὶ λύων ἐκεῖ κατὰ τὴν δεδομένην ἐξουσίαν αὐτῷ. Οὐ τοῦ στόματος δὲ μόνον, ἀλλὰ καὶ τῆς καρδίας ἐκείνης ἐβουλόμην τὴν κόνιν ἰδεῖν, ἣν οὐκ ἄν τις ἁμάρτοι καρδίαν τῆς οἰκουμένης εἰπών, καὶ τῶν μυρίων [x]πηγὴν ἀγαθῶν, καὶ ἀρχὴν καὶ στοιχεῖον τῆς ἡμετέρας ζωῆς. [y]Τὸ γὰρ πνεῦμα τῆς ζωῆς ἐκεῖθεν εἰς [z]ἅπαντας ἐχορηγεῖτο, καὶ τοῖς μέλεσι τοῦ Χριστοῦ
D διεδίδοτο, οὐ δι' ἀρτηρίας ἐκπεμπόμενον, ἀλλὰ διὰ [a]προαιρέσεως ἀγαθῶν. Αὕτη οὕτω πλατεῖα ἡ καρδία ἦν, ὡς καὶ πόλεις ὁλοκλήρους δέχεσθαι καὶ δήμους καὶ ἔθνη. 15 "Ἡ καρδία [b]γάρ μου, φησὶ, πεπλάτυνται." Ἀλλ' ὅμως τὴν οὕτω πλατεῖαν [c]συνέσχε πολλάκις καὶ [d]ἔθλιψεν αὐτὴ ἡ εὐρύνουσα αὐτὴν ἀγάπη. 16 "Ἐκ γὰρ πολλῆς θλίψεως, [e]φησὶ, καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν." Ταύτην καὶ διαλελυμένην ἐπεθύμουν ἰδεῖν, τὴν πυρουμένην καθ' ἕκαστον τῶν ἀπολλυμένων, τὴν ὠδί- (242)
E νουσαν ἐκ δευτέρου τὰ ἐξαμβλούμενα τῶν παίδων, τὴν τὸν θεὸν ὁρῶσαν· 17 "Οἱ γὰρ καθαροὶ τῇ καρδίᾳ, φησὶ, τὸν θεὸν ὄψονται·" τὴν θυσίαν γεγενημένην· 18 "Θυσία γὰρ τῷ θεῷ, πνεῦμα συντετριμμένον·" τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν εὐρυτέραν τῆς οἰκουμένης, τὴν τῆς [f]ἀκτῖνος φαιδροτέραν, τὴν τοῦ πυρὸς θερμοτέραν, τὴν τοῦ ἀδάμαντος στερροτέραν, τὴν τοὺς ποταμοὺς ἀφιεῖσαν· 19 "Ποταμοὶ γὰρ, [g]φησὶν, ἐκ τῆς κοιλίας αὐτοῦ

15 2 Cor. vi. 11. 16 Ibid. ii. 4. 17 Matth. v. 8. 18 Psal. l. 19. 19 Joan. vii. 38.

[o] τῇ] ἐν τῇ H. [p] ἐξέχεε C. [q] γὰρ om. F. Mox τὸ στόμα ἐκεῖνο inverso ord. D.E. [r] ἤλαυνεν C. [s] γλῶτταν D.E. Statim ἔφραξε pro ἐνέφραξε A.B.D.E.F.H. [t] ἅπαντα A.B.D.E.F.H. πάντα Edd. [v] τοῖς accessit ex omnibus. [w] διέπειν A.H. διεῖπε Eclog. p. 666 A. δὲ ὃν ἐβ. δ. τρόπον] δι' ὧν ἐβ. διαθεῖναι τρόπων C. [x] πηγὴν ἀγαθῶν pro ἀγαθῶν πηγήν omnes. [y] τὸ γὰρ—ζωῆς om. B.H. [z] ἅπαντας A.B.E.F. et Eclog. p. 717 E. πάντας C.D. ἅπαντα Edd. [a] προαιρέσεως] μεταδόσεως D.E. Statim ἀγαθῆς C. ἀγαθῶν (sic) B. [b] γάρ μου pro μου γὰρ A.D.E.F.H. γὰρ om. B. [c] συνέχεεν C. [d] Vid. Annot. [e] φησὶ om. C. [f] ἀκτῖνος]+τῆς ἡλιακῆς C. Haec τὴν τῆς ἀ. τῆς ἡ. φαιδροτέραν post οὐρανῶν transp. hic Codex. [g] φησὶν om. C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῥεύσουσιν ὕδατος ζῶντος·" ἔνθα ἦν ἡ πηγὴ [h] ἡ ἀλλομένη, καὶ ποτίζουσα οὐ τὸ πρόσωπον τῆς γῆς, ἀλλὰ τὰς ψυχὰς τῶν ἀνθρώπων· ὅθεν οὐ ποταμοὶ μόνον, ἀλλὰ καὶ πηγαὶ δακρύων ἐξήεσαν καὶ νύκτωρ καὶ μεθ' ἡμέραν· τὴν καινὴν ζήσασαν ζωὴν, [i] οὐ ταύτην τὴν ἡμετέραν· 20 "Ζῶ γὰρ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ, φησὶν, ὁ Χριστός·" ἆρα ἐκείνου [k] καρδία ἦν ἡ Παύλου καρδία, καὶ τοῦ πνεύματος τοῦ ἁγίου πλὰξ, καὶ βιβλίον τῆς χάριτος· 759
τὴν τρέμουσαν μὲν [l] ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων· 21 "Φοβοῦμαι γὰρ, [m] φησὶ, μή πως εἰκῇ κεκοπίακα εἰς [n] ὑμᾶς," "Μή πως ὡς ὁ ὄφις Εὔαν [o] ἠπάτησε," "Μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς·" ὑπὲρ δὲ [p] αὐτῆς καὶ δεδοικνῖαν καὶ θαρροῦσαν· 22 "Φοβοῦμαι γὰρ, φησὶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι·" καὶ, "Πέπεισμαι γὰρ, ὅτι οὔτε ἄγγελοι οὔτε [q] ἀρχάγγελοι δυνήσονται [r] ἡμᾶς χωρίσαι·" τὴν καταξιωθεῖσαν φιλῆσαι Χριστὸν, ὡς οὐδεὶς ἄλλος ἐφίλησε, τὴν θανάτου καὶ γεέννης [s] καταφρονοῦσαν, καὶ ὑπὸ δακρύων ἀδελφικῶν συντριβομένην· 23 "Τί γὰρ ποιεῖτε, φησὶ, κλαίοντες καὶ [t] συνθρύπτοντές μου τὴν καρδίαν;" τὴν καρτερικωτάτην, καὶ οὐ B
στέγουσαν καιρὸν ὥρας ἀποστῆναι Θεσσαλονικέων. Ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν χειρῶν τῶν ἐν ἁλύσει, δι' ὧν τῆς ἐπιθέσεως τὸ πνεῦμα ἐχορηγεῖτο, δι' ὧν [v] τὰ θεῖα γράμματα ἐγράφετο· 24 "[w] Ἴδε γὰρ πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί·" καὶ πάλιν, "Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου" τῶν χειρῶν ἐκείνων, ἃς ἰδοῦσα ἡ ἔχις ἐξέπεσεν εἰς τὴν πυράν. Ἐβουλόμην τὴν [x] κόνιν ἰδεῖν τῶν ὀφθαλμῶν τῶν πηρωθέντων καλῶς, τῶν ἀναβλεψάντων ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, τῶν C
καὶ ἐν σώματι Χριστὸν ἰδεῖν καταξιωθέντων, τῶν ὁρώντων τὰ γῆϊνα καὶ οὐχ ὁρώντων, τῶν βλεπόντων τὰ μὴ βλεπόμενα, τῶν [y] μὴ εἰδότων ὕπνον, τῶν ἐν μέσαις [z] νυξὶν ἀγρυπνούντων, τῶν οὐ πασχόντων τὰ τῶν [a] ὀφθαλμῶν. Ἐβουλόμην καὶ τῶν ποδῶν

20 Gal. ii. 20. 21 Gal. iv. 11. 2 Cor. xi. 3. xii. 20. 22 1 Cor. ix. 27. Rom. viii. 38. 23 Act. xxi. 13. 24 Gal. vi. 11. 1 Cor. xvi. 21.

[h] ἡ om. C. Veron. [i] οὐ om. A.H. ἢ pro οὐ Eclog. p. 666 B. Haec οὐ ταύτην τ. ἡμ. om. C. [k] ἡ καρδία A.C.H. [l] ὑπὸ C. [m] φησὶ om. C. [n] ὑμᾶς]+καὶ πάλιν D.E. [o] ἐξηπάτησεν D. Statim καὶ πάλιν μή πως D.E. [p] αὐτῆς A.B.D.F.H. ἑαυτῆς Edd. [q] ἀρχάγγελοι pro ἀρχαὶ A.B.D.F.H. [r] ἡμᾶς χ.] με χ. (+ἀπὸ D.) τῆς ἀγάπης τοῦ Χριστοῦ D.E. [s] καταφρονοῦσαν pro καταφρονήσασαν omnes. [t] συνθρύπτοντες omnes. συντρίβοντες Edd. [v] τὰ θεῖα γρ. A.B.D.E.F.H. Eclogg. ταῦτα τὰ γρ. Edd. [w] ἴδετε C.D. Mox ὑμῖν γράμμασιν pro γράμμασιν ὑμῖν A.B.D.E.F.H. ὑμῖν ἔγραψα γράμμασιν C. [x] κόνιν]+ἐκείνην C.D. [y] μὴ ἰδόντων H. μηδὲ ἰδόντων C. [z] ταῖς νυξὶν Edd. ταῖς deest in omnibus. [a] ὀφθαλμῶν omnes et Eclog. p. 718 A. ὀφθαλμιώντων Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[b]ἐκείνων ἰδεῖν τὴν κόνιν τῶν περιδραμόντων τὴν οἰκουμένην καὶ μὴ [c]καμόντων, τῶν ἐν [d]τῷ ξύλῳ δεδεμένων, ἡνίκα τὸ δεσμωτήριον ἔσεισε, τῶν [e]οἰκουμένην καὶ ἀοίκητον περιελθόντων, τῶν ὁδοιπορούντων πολλάκις. Καὶ τί δεῖ κατὰ μέρος λέγειν; D Ἐβουλόμην τὸν τάφον ἰδεῖν, ἔνθα τὰ ὅπλα τῆς δικαιοσύνης [f]ἀπόκειται, τὰ ὅπλα [g]τοῦ φωτὸς, τὰ μέλη τὰ νῦν ζῶντα, νενεκρωμένα δὲ ὅτε ἔζη, [h]ἐν οἷς πᾶσιν ὁ Χριστὸς ἔζη, τὰ ἐσταυρωμένα τῷ κόσμῳ, τὰ τοῦ Χριστοῦ μέλη, τὰ ἐνδεδυμένα τὸν Χριστὸν, τὸν ναὸν τοῦ [i]πνεύματος, τὴν οἰκοδομὴν τὴν ἁγίαν, τὰ δεδεμένα τῷ πνεύματι, τὰ καθηλωμένα τῷ φόβῳ τοῦ θεοῦ, τὰ ἔχοντα [k]τὰ στίγματα τοῦ Χριστοῦ. Τοῦτο τὸ σῶμα τειχίζει τὴν πόλιν ἐκείνην, ὃ παντὸς πύργου καὶ μυρίων [l]περιβόλων ἐστὶν ἀσφαλέστερον· καὶ μετὰ τούτου τὸ Πέτρου. Καὶ [m]γὰρ ζῶντα ἐτίμα· 25 "Ἀνέβη γὰρ ἱστορῆσαι Πέτρον." Διὰ E τοῦτο [n]καὶ ἀπελθόντα κατηξίωσεν ὁμόσκηνον αὐτῷ ποιῆσαι [o]ἡ χάρις. Ἐβουλόμην ἰδεῖν τὸν λέοντα τὸν πνευματικόν. Ὥσπερ γὰρ λέων πῦρ ἀφιεὶς [p]εἰς ἀλωπέκων ἀγέλας, οὕτως εἰς τὴν τῶν [q]δαιμόνων καὶ φιλοσόφων ἐνέπεσε φατρίαν, καὶ καθάπερ σκηπτοῦ τις ἐμβολὴ εἰς τὰς τοῦ διαβόλου κατηνέχθη φάλαγγας. Οὐδὲ γὰρ ἐκ παρατάξεως ἵστατο πρὸς αὐτὸν, ἀλλ' οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν, ὡς, εἰ [r]καὶ σκιὰν ἴδοι καὶ φωνῆς ἀκούσειε, πόρρωθεν [s]δραπετεύειν. Οὕτω γοῦν καὶ τὸν πεπορνευκότα παρέδωκεν αὐτῷ πόρρωθεν ὢν, καὶ πάλιν ἐξήρπασε τῶν 760 ἐκείνου χειρῶν· οὕτω καὶ ἑτέρους, ἵνα [t]παιδευθῶσι μὴ βλασφημεῖν. Σκόπει δὲ πῶς καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους ἀντεπεξάγει, διεγείρων, ἀλείφων· καὶ νῦν μὲν Ἐφεσίοις [v]φησίν· 26 "Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς [w]καὶ τὰς ἐξουσίας·" εἶτα καὶ [x]τὸ ἔπαθλον τίθησιν, "ἐν τοῖς ἐπουρανίοις," λέγων. Οὐ γὰρ περὶ γηΐνων πραγμάτων ἡμῖν ὁ

25 Gal. i. 18. 26 Ephes. vi. 12.

[b] ἐκείνων ἰδεῖν A.B.D.E.F.H. Eclogg. ἰδεῖν ἐκείνων Edd. τὴν κόνιν om. C. [c] καμόντων pro καμνόντων D.F.H. Eclogg. [d] τῷ accessit ex B.C.D.E.F.H. Eclogg. [e] τὴν οἰκουμένην Edd. τὴν om. A.B.D.E. Eclogg. τὴν οἰκ. καὶ τὴν ἀοίκητον C. [f] ἀπόκειται pro ἀπόκεινται A.B.C.D.E.F. [g] τοῦ] τὰ τοῦ F. et ex corr. A. Adde Eclog. p. 718 B. [h] ἐν οἷς πᾶσιν ὁ Χ. ἔζη om. C. Haec ἐν οἷς——τῷ κόσμῳ om. A.H. et Eclog. ibid. ὁ Χριστὸς πᾶσιν inverso ord. F. [i] πνεύματος]+τοῦ ἁγίου C. [k] τὰ om. A.B.F.H. [l] περιβόλων ἐστὶν pro ἐστὶ περιβόλων libri omnes et Eclog. ibid. [m] γὰρ]+καὶ C. Mox ἀνέβην D.E. Veron. Eclog. [n] καὶ om. C. [o] ἡ χάρις αὐτὸν Edd. αὐτὸν ἡ χάρις C. αὐτὸν om. A.B.D.E.F.H. Eclog. [p] εἰς ἀλ. ἀγέλας] ἀλ. ἀγέλαις C. [q] φιλ. καὶ δαιμόνων hoc ord. C. [r] καὶ accessit ex omnibus. [s] δραπετεῦσαι C. [t] παιδευθῶμεν H. [v] φησιν] λέγει E. Mox ἡμῖν om. B. [w] καὶ τὰς] πρὸς τὰς D. τὰς om. B. [x] τὸ accessit ex A.B.C.E.F.H.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγὼν, φησὶν, ἀλλὰ περὶ [y]τῶν οὐρανῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς.
(243) Νῦν δὲ [z]ἑτέροις φησίν· [27] "Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;" Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, στῶμεν B γενναίως. Καὶ γὰρ καὶ Παῦλος ἄνθρωπος ἦν, τῆς αὐτῆς φύσεως ἡμῖν μετέχων, καὶ τὰ ἄλλα [a]ἅπαντα ἔχων κοινά· ἀλλ' ἐπειδὴ πολλὴν τὴν περὶ τὸν Χριστὸν ἀγάπην ἐπεδείξατο, τοὺς οὐρανοὺς ὑπερέβη, καὶ μετὰ τῶν ἀγγέλων ἔστη. Ὥστε [b]ἂν βουληθῶμεν καὶ ἡμεῖς διαναστῆναι μικρὸν, καὶ τὸ πῦρ ἐκεῖνο ἀνάψαι ἐν ἡμῖν, δυνησόμεθα ζηλῶσαι τὸν ἅγιον ἐκεῖνον. Οὐδὲ [c]γὰρ, εἴπερ ἀδύνατον ἦν τοῦτο, ἐβόα λέγων· [28] "Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ." Μὴ τοίνυν θαυμάζωμεν [d]αὐτὸν μηδὲ ἐκπληττώμεθα μόνον, ἀλλὰ καὶ μιμώμεθα, ἵνα κατα- C ξιωθῶμεν καὶ ἐντεῦθεν ἀπελθόντες αὐτὸν ἰδεῖν, καὶ τῆς ἀπορρήτου δόξης μετασχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς [e]ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

27 1 Cor. vi. 3. 28 Ibid. xi. 1.

[y] τῶν οὐρανίων A.B. τῶν ἐπουρανίων C.D. οὐρανίων (om. τῶν) E. Mox τοῖς om. C.D. [z] ἑτέροις] Κορινθίοις D.E. φησὶν om. C. [a] ἅπαντα pro πάντα A.B.D.E.F.H. Eclog. [b] ἂν pro ἐὰν iidem. [c] γὰρ]+ἂν Edd. ἂν deest in omnibus. [d] αὐτὸν μόνον Edd. μόνον αὐτὸν C. μόνον deest in ceteris. [e] ἀξιωθῆναι A.B.D.F.H. Eclog. ἐπιτυχεῖν Edd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ANNOTATIONES.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ANNOTATIONES

AD HOMILIAS IN EPISTOLAM AD ROMANOS.

HOM. I.

TIT. Post ἐπιστολὴν add. E. τοῦ ἁγίου καὶ πᾶν εὐφήμου ἀποστόλου Παύλου. ΛΟΓΟΣ Α.] ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ Edd. Haec desunt in nostris B.D.E.F.I. Initio mutili sunt A.G.H. Prooemium pro primo sermone numerant, primum pro secundo, et sic deinceps, Codices A.B.D.E.F.G.I. cum Mosquensi utroque: quorum auctoritati obtemperandum censuimus. Sermones hi λόγοι, non ὁμιλίαι, inscribuntur in libris D.E.F.H.I. et Edd. Veron. Sav.

Pag. 426 A. not.[n]. Editi δῶτε. "Ambo MSS. [B. E.] δεδῶτε." *Montef.* Librorum scriptura est διδῶτε, non δεδῶτε.

P. 426 D. not.[y]. Infra p. 737 D. ηὐδόκησεν est in duobus Codd. Sed paullo post p. 738 C. legitur sine librorum dissensione ηὐδόκησαν, hoc est, interprete Chrysostomo, ἐδοκίμασαν. Vid. etiam Tom. X. p. 689 E.

P. 427 C. not.[s]. Κολοσσαεῦσιν. In scriptura hujus nominis non ubique nobismet ipsis constitimus: nam infra pp. 703 C. 738 B. 749 D. Κολασσαεῖς retinuimus. Etiam Novi Testamenti Codices antiquiores inter se dissident. In numis autem Κολοσσηνῶν constanter scriptum esse testatur *Eckhel.* Doct. Num. Tom. III. p. 147.

P. 427 D. not.[x]. [καὶ ἄλλοι] (sic) Sav. Idem in marg. dat, ὁ γοῦν Ἀμὼς καὶ Ζ. καὶ Ἀγγαῖος, absente, ut credibile est, καὶ ἄλλοι. In verbis καὶ ἄλλοι vel καὶ οἱ ἄλλοι, quae sensum loci evertunt, mendum inesse vix dubium esse potest. Requiritur nomen Malachiae, qui cum duobus istis junioribus semper fere consociatur. En autem lectionem nunc primum in lucem editam, καὶ ἄγγελος, quae id ipsum quod desiderabatur, praestat. *Angelum* vulgariter appellari istum Prophetam.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

propter locum Mal. i. 1, ubi LXX dederunt, *διὰ χειρὸς ἀγγέλου αὐτοῦ*, notum est. Nunc nobis in promptu est Clem. Alex. Strom. I. 21. p. 392 Pott. *Ἰεζεκιὴλ, μεθ' ὃν Ναοὺμ ὁ προφήτης, ἔπειτα Δανιὴλ, πάλιν αὖ μετὰ τοῦτον προφητεύουσιν Ἀγγαῖος καὶ Ζαχαρίας ἐπὶ Δαρείου τοῦ πρώτου ἔτη δύο, μεθ' ὃν ὁ ἐν τοῖς δώδεκα* **ἄγγελος**. Ibid. p. 395. *ἐφ' οὗ, ὡς προεῖπον, Ἀγγαῖος καὶ Ζαχαρίας καὶ ὁ ἐκ τῶν δώδεκα* **ἄγγελος** *προφητεύουσι.*

P. 428 D. not q. Codices summo consensu habent, *μᾶλλον δὲ πατρὸς πρὸς πάντας μείζονα ἐπεδείκνυτο φιλοστοργίαν*, quod vulgato deterius videtur. Vocabulum *πρὸς* male repetitum ex praecedenti *πατρὸς* ($\overline{\pi\rho o\varsigma}$) causam depravationis fuisse facillime apparet.

HOM. II.

P. 430 A. not.v. *ἐκ* **καθαρᾶς** *καρδίας*. Hujus lectionis nullum exstat vestigium in Commentariis Nostri ad locum Rom. vi. 17. sed a Criticis affertur ex Cod. N. T. Alexandrino et quibusdam aliis, necnon a Chrysostomo *alicubi*. Occasionem ei dedit locus 1 Tim. i. 5. vel 2 Tim. ii. 22.

P. 430 B. lin. ult. *μὴ πονηρεύεσθε*. Negativam casu praetermisit Montef. quem incaute secutus est Editor novissimus.

P. 433 A. not.x. Μιλησίοις] Sic H.I. Musc. Brix. cum libris editis. Ceteri Φιλιππησίοις. Eadem varietas notatur Tom. VII. p. 594 B. ubi quaedam monuimus, hujus loci non immemores. Nunc illud addimus, discipulos istos *Ephesios* vocari Tom. II. p. 490 A. *Milesios* Tom. X. pp. 660 A. 709 A. nullo librorum dissidio: *Milesios et Ephesios* Tom. XI. p. 123 D. etiam in Codd. a nobis inspectis.

Ibid. lin. 6. usque ad p. 433 D. lin. 7. Folio minor est G.

P. 433 B. lin. 5. *οἷς ἦν δεδομένον —— τοῦ θεοῦ*. Locus S. Scripturae incertus est. Dubitanter appellant Act. xix. 10. Luc. viii. 10.

P. 433 E. not.v. *φησὶν ἐν* pro *φησὶ* legitur etiam in A.

P. 434 E. not.k. *λέγειν* om. Cod. Bessarion. 103. in textu, sed in marg. appictum habet *φάσκειν*. Inde transiit *φάσκειν* in Veronensem et recentiores.

P. 435 A. lin. 7. *ὅπερ ἐστὶν ἴσον τῷ,* **ἐξ οὗ**. Dictum videtur contra eos, qui formula *ἐξ οὗ* quasi Patris peculiari seposita, minus honorificam *δι' οὗ* Filio tribuerunt, ex iniqua interpretatione loci Paulini 1 Cor. viii. 6. Cf. Tom. X. p. 172 C. *Εἶτα καὶ ὅπερ ἐστὶ μέγιστον δεῖγμα θεότητος, καὶ τοῦτο ἐπάγει, "* **ἐξ** *οὗ τὰ πάντα."* Ibid. D. *ὥστε τὸ, "* **ἐξ** *οὗ," τοῦτο οὐκ ἔστι χωρὶς τοῦ Χριστοῦ.*

P. 435 D. not.h. Lectio *περιβέβληται* non omnino spernenda, cum satis exploratum sit, constructionem *τοῦ κἂν* cum indicativo a Nostri usu non abhorrere. Cf. nos ad Tom. X. p. 581 C. Praestare tamen videtur *περιβάληται*. Infra p. 473 B. *ὅσῳπερ ἂν περιβάληται πλείω*. p.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

575 A. *κἂν τὰ πάντων περιβάλωνται.* Tom. X. p. 136 C. *ὅσῳ γὰρ ἄν τις πλείονα περιβάληται.* Adde Tom. III. p. 356 D. ubi hodie legitur, *πρὸς τὸ πλείονα περιλαβέσθαι.*

HOM. III.

P. 436 E. lin. 3. *πᾶσα ἐξ ἐκείνου.* "Sc. *τοῦ χρόνου.*" *Dun.* Recte, ut videtur. Tom. XII. p. 617 A. *οὐδεὶς ἐξ ἐκείνου τοῦτο ἐποίησε.* Alii aliter.

Ibid. not.[o]. *διὰ πάντα κατάδηλος ἦν.* Interpretes *undique* aut *undequaque* habent, quasi *διὰ πάντων* legissent. Si *διὰ πάντα* verum est, vertendum, *propter omnia.*

P. 437 C. lin. penult. *ὁ ἱερεὺς ἄγγελος λέγεται.* Vid. Mal. ii. 7.

P. 437 E. not.[l]. "Haud dubie legendum, *καὶ σημεῖον ἐποιεῖτο τὸ διηνεκῶς εὔχεσθαι.* Sic dicimus *τεκμήριον ποιοῦμαι*, non *ποιῶ*. Hoc qui Graece mediocriter sciunt, fatebuntur." *Dun.* Infra p. 704 D. *ἕτερον σημεῖον ποιεῖται.*

Ibid. not.[p]. Verba *εἰ δὲ τὸ διηνεκῶς* desunt in Veron. homoeoteleuti causa. Pro *εἰ δὲ* Morellus negligenter dedit *ὡς δὲ*, etiam Benedictinos in errorem ducens. In sequentibus, erunt fortasse quibus lectio *τὸ ἐν εὐχαῖς ἔχειν καὶ ἀδιαλείπτως ἔχειν* non displiceat. Cf. p. 439 A.

P. 438 D. not.[m]. *κνίσης.* Cf. Annot. ad Tom. X. p. 528 E.

P. 439 A. lin. 4. Interpungunt *ὑπὲρ μεγάλων πραγμάτων δεόμενος. εἴ πως* Sav. Mor. invitis libris. *ὑπὲρ μεγάλων πραγμάτων δεόμενος, εἴ πως* Ben. Mox post *πρὸς ὑμᾶς* addunt *ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς* Sav. Mor. Ben. contra fidem librorum, etiam Mosquensium. "Hoc Montef. aut alius ante eum Editor, videtur addidisse ex Edd. N.T. Ne tamen putes expellendum esse, vid. p. 427 A. Sic saepe Chrys. quaedam omittit, quae tamen alio loco habet." *Matth.* Editor huic culpae obnoxius est Savilius; nam in Veronensi haec non leguntur.

P. 439 C. lin. 4. Verba *καὶ φιλεῖν ὡς χρὴ καὶ ὡς προσῆκον ἦν* om. Veron. quia deerant in archetypo ejus Cod. Bessarion. 103. Adscivit ea Sav. sed inclusis verbis *καὶ ὡς προσῆκον ἦν.* "Sic lego: *ἀλλ' ᾔδει καὶ φιλεῖν, καὶ ὡς χρὴ φιλεῖν, καὶ πάντας νικῶν κ.τ.ἑ.* Chrysost. nunquam posuit illam *ταυτολογίαν, ὡς χρὴ καὶ ὡς προσῆκον ἦν*, praeterquam quod est *ἀκατάλληλος.* Aut enim dicendum fuit *ὡς χρὴ καὶ ὡς προσήκει*, aut *ὡς ἐχρῆν καὶ ὡς προσῆκον ἦν.*" *Dun.* "Haud multum placent illa *καὶ ὡς προσῆκον ἦν.* Idem glossema irrepsit p. 442 C. [not.[d].]" *Heyse.* Nihil mutamus.

P. 440 A. lin. ult. Pro *ὑποτεμνόμενος* est in Ben. *ἀποτεμνόμενος*, culpa operarum.

P. 440 D. not.[e]. *ὑπὸ τῶν διωκόντων περιαντλούμενοι.* Musc. *pacne exhausti:* Brix. *jactati.* "Nautae sive vectores dicuntur *ὑπεραντλούμενοι*,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cum sic sentina exsuperat, ut exhaurire non possint. Et sic fortasse hic legendum. Nec tamen quod invenimus, improbandum: nam *περὶ* declarat *περιουσίαν τινὰ τοῦ τινος*. Sic mersi calamitatibus dicuntur *βαπτισθέντες*." *Dun.* "Fort. sic: *ὑπὸ τῶν διωκόντων ἀδικούμενοι, καὶ περιαντλούμενοι ταῖς συμφοραῖς*. Nam *περιαντλεῖσθαι ὑπό τινος* nescio an recte dicatur, et e consuetudine Graeci sermonis." *Bois.* Vulgatum satis defendunt loca Nostri Tom. VII. p. 379 B. *πῶς δὲ ὅλως δυνησόμεθα φρόνησιν ἔχειν, ὑπὸ τοσούτων περιαντλούμενοι κυμάτων*; Ibid. p. 707 A. *σοὶ δὲ τῷ περιαντλουμένῳ πανταχόθεν ἡσυχίας δεῖ, καὶ τοῦ μικρὸν ἀναπνεῦσαι ἐκ τῶν ἐπαλλήλων κυμάτων*.

P. 440 E. not.[1]. *παρ' αὐτῷ*. "Quod probo. Deseramus velim tandem aliquando abusum istum fastidiose ineptum pronominis reflexivi *αὑτοῦ*, quo omnes ferme libros Graecos inquinavit Grammaticorum *πολυπραγμονοῦσα ὑπέρκρισις*; et redeamus ad optimam normam veterum exemplarium MSS. vero rationique consentaneam. Ubi cogitatione potest locum habere pronomen simplex et absolutum, habeat locum." *Heyse.*

P. 441 B. lin. 4. *ἐπὶ ὑποδείγματος τὸν λόγον ἀγάγω*. Locutio paullo insolentior. Nostri usus tantum non requirit, *ἐπὶ ὑποδείγματος τὸν λόγον γυμνάσω*, ut Tom. VII. p. 647 D. al. Diversi generis sunt loca Tom. X. p. 122 E. *ἐπ' αὐτὰ τὰ πράγματα ἀγάγωμεν τὸν λόγον*. Ibid. p. 583 B. *τέως δὲ ἐπὶ τὴν ἀρχὴν τὸν λόγον ἀγάγωμεν*.

Ibid. not.[v]. Musc. *dispergi*: Brix. *a nobis mutuo avelli*. Hic quidem multo aptius videbatur *διεσπάρθαι*; sed in alio loco Tom. XI. p. 133 F. ubi nunc legitur, *μήτηρ κατὰ θυγατρὸς, θυγάτηρ κατὰ μητρὸς ἦσαν διεσπαρμένοι*, libri penes nos potiorem scripturam *διεσπασμένοι* offerunt.

P. 441 D. not.[d]. Edebatur, *εἰ δέ τις ἐνταῦθα παράκλησιν καὶ εὐφροσύνην τὴν ἐπὶ τῆς πίστεως αὐτῶν ἐπίδοσιν λέγοι*. "Vel sic legendum, *τὴν τῆς πίστεως αὐτῶν ἐπίδοσιν*, vel *τὴν ἐπὶ τῇ τῆς πίστεως αὐτῶν ἐπιδόσει*, quod melius puto." *Dun.* Locum, ut a nobis librorum ope restitutus est, accurate expressit Brix. *Quod si quis hic* consolationem *laetitiam eam interpretetur, quam fidei illorum incrementum afferebat.*

P. 442 C. not.[g]. "MSS. *ἐκείνων*, forte melius." *Montef.* Haec est vetus scriptura, a Savilio mutata.

P. 443 B. lin. 6. *οἱ σοφοὶ τῶν Ἑλλήνων, οἱ τοὺς βαθεῖς πώγωνας ἕλκοντες, καὶ τὰς ἐξωμίδας ἀναβεβλημένοι*. "Haec insignia sunt Philosophorum, *πώγων βαθὺς, βακτηρία, ἐξωμίς*. Quanquam Lucianus in habitu philosophorum nusquam, quod memini, memorat *τὴν ἐξωμίδα*, sed barbam promissam, baculum, et *τριβώνιον*, hoc est, *tritum pallium*." *Dunaeus* ad Hom. X. in Act. Apost. Similia sunt loca Tom. I. p. 272 E. *τὸν μὲν φιλόσοφον οὐκ ἀπὸ τῆς κόμης, οὐδὲ ἀπὸ τῆς βακτηρίας, οὐδὲ ἀπὸ τῆς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξωμίδος δοκιμάζομεν. Tom. IX. p. 87 A. ἐννόησόν μοι ὅση ἐστὶν αἰσχύνη, ἄνθρωπόν τινα ὑπήνην βαθεῖαν ἔχοντα (fort. ἕλκοντα*), καὶ ῥόπαλον ἐπιφερόμενον, καὶ ἐξωμίδα ἔχοντα, εἰς διδασκάλους μετὰ τῶν παίδων ἀπιέναι. Tom. XI. p. 763 C. οἱ τὸ γένειον ἔχοντες βαθὺ, καὶ τὸν τρίβωνα ἀναβεβλημένοι. Ἐξωμίδες autem "dicebantur *tunicae substrictae et breves, citra humerum desinentes*, ut ait Gellius VII. 12." *Salmas.* de Pallio p. 255. "At Julius Pollux: κωμικὴ δὲ ἐσθὴς, ἐξωμίς· ἔστι δὲ χιτὼν λευκὸς, ἄσημος, κατὰ τὴν ἀριστερὰν πλευρὰν ῥαφὴν οὐκ ἔχων: et vult esse servilis vestimenti genus, sic dicti, quod latere aperto dextrum humerum exserebant." *Dun.* u.s.

Ibid. not.[d]. Vulgatum ἀγόμενος frustra defendit Dunaeus: "Dicunt διὰ τιμῆς ἄγειν; est igitur hic ἀγόμενος *in magno honore et pretio*." Codex Vat. ἀδόμενος (ᾱ in loco raso). "Scribe ᾀδόμενος." *Heyse.* Noster infra p. 744 D. ἵνα ᾀδώμεθα πανταχοῦ καὶ ἡμεῖς. Tom. VII. p. 447 A. τῆς παρουσίας τῆς παρὰ τῶν προφητῶν ᾀδομένης. Ibid. p. 652 C. διὰ τοῦτο ᾄδεται πανταχοῦ. Parcius apud exteros Scriptores e.g. Plut. Tom. II. p. 2 C. εἰς τὰς τῶν παρ' ἅπασιν ᾀδομένων ψυχὰς, Πυθαγόρου καὶ Σωκράτους καὶ Πλάτωνος. De re conferas Tom. VII. p. 382 A. καὶ γὰρ πολλῆς ἀπολαύσας ἐκεῖνος τιμῆς οὕτως ἠλέγχετο ὡς καὶ ἀπεμποληθῆναι, καὶ μηδὲν ὧν ἐβούλετο κατορθῶσαι, οὐδὲ ἐφ' ἑνὸς τυράννου.

P. 443 E. lin. 7. ὅτι οὐδὲν αὐτοῖς αὐτὸς χαρίζεται. Morellus casu omisit αὐτὸς, quem secuti sunt recentiores.

Ibid. lin. ult. ὀφειλετής εἰμι] Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλετής εἰμι Sav. Mor. Ben. reclamantibus libris omnibus et Veron.

P. 444 A. lin. 1. ὃ καὶ Κορινθίοις. Vid. 1 Cor. ix. 16.

P. 444 B. lin. 1. ἀποτμηθείς. "Dun. [et Bois.] desiderabat τὴν κεφαλήν; quod haud ita necessarium apud recentiores. Cf. infra p. 458 B. Tom. X. p. 13 B. [ubi male vertunt, *concidi*]". *Heyse.* Adde Tom. VII. p. 498 C. οὐδὲ γὰρ ἀποτέμνεσθαι μέλλων ἐσίγησεν ἄν (Joannes Baptista). Et sic passim.

P. 444 C. lin. 6. οὕτω γοῦν αὐτοὺς καὶ ἑκάλουν. "Strabo pro Divo Julio semper Καίσαρα τὸν θεόν. Hinc illa ἀποθέωσις, quem Historici memorant." *Dun.*

* "Juliani Imper. p. 311 C. μετὰ τοῦτον ἐπεισέρχεται βαθεῖαν ἔχων ὑπήνην, ἀνὴρ σοβαρὸς, τά τε ἄλλα, καὶ δὴ καὶ μουσικὴν ἐργαζόμενος. Equidem non nego, Graecum esse ἔχειν ὑπήνην. Sic enim Apoll. Tyan. Ep. 63. Lucian. Pisc. p. 606. Eunuch. p. 356. De Merced. Cond. p. 683. Conjeci tamen βαθεῖαν ἕλκων ὑπήνην. Sic Greg. Naz. Stel. II. p. 112 A. τί φήσουσιν οἱ τοῦ αἰῶνος τούτου σοφοὶ, καὶ τὰ παρ' αὐτοῖς ἀποσεμνύοντες, οἱ τὰς βαθείας ὑπήνας ἕλκοντες; et Aristid. Orat. Plat. II. p. 212. ἡδέως δ' ἂν ἐροίμην τοὺς τὰς β. ὑ. ἕλκοντας, ἔφη τις τῶν κωμικῶν. [Adde Nostrum Tom. XII. p. 372 A. οἱ παρὰ τοῖς Ἕλλησι τὸν πώγωνα ἕλκοντες]." *D. Wyttenb.* Epist. Crit. p. 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 445 B. not.[s]. "κἂν πᾶσαν ἐλθὼν κακίαν καὶ ἐπελθών G. Corrigo, κἂν πᾶσαν Ἑλλήνων κακίαν ἐπελθών." *Heyse.*

P. 445 E. lin. 1. Post ἀποκαλύπτεται Editores inde a Savilio haec in textum intulerunt: ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Libri non patiuntur.

P. 446 B. not.[v]. Edebatur τὸν **Σοφονίαν** εἰς μέσον παράγων. "Habacuc, non Sophonias habet, *Justus ex fide vivet* . . . . . Haec et hujusmodi μνημονικὰ sunt ἁμαρτήματα, qualia permulta apud Historicos reperiuntur." *Dun.* Non negamus quidem talia apud Nostrum reperiri posse; cum vero haec verba, tum alias, tum in hoc ipso opere, veri auctoris nomine allegaverit, emendatam librorum scripturam praeterire religio fuit. Vid. infra p. 484 C. Tom. X. p. 699 C.

P. 446 D. not.[n]. "Saepius variant Codd. in constructione duplici, ἄξιός εἰμί τινος et ἄξιόν ἐστί μοι [vel μου]." *Heyse.* E.g. infra p. 681 B. Tom. X. p. 87 D. Hic autem omnino necessaria est posterior structura, scilicet ut ἀνάξιον pro neutro genere habeatur. Nam sequitur, καὶ μὴν ἀνάξιον ἡ φιλονεικία. Musculus: *cum turpe putas videri teque indignum, non omnia scire.*

P. 446 E. not.[v]. Verba τοὺς κατασκόπους δεξαμένη suspectae fidei sunt, et fortasse delenda.

HOM. IV.

P. 448 C. not.[r]. "Quod habent Edd. ἢ siglum fuit vocis ἡμέραν, quam in hac phrasi non amat omittere Chrys." *Heyse.*

P. 451 B. not.[f]. "Duo MSS. ἐφράξαντο, male." *Montef.* Inter ἐφρυάξαντο et ἐφράξαντο diutius haesimus; hodie vero ad ἐφράξαντο, quae librorum fere omnium scriptura est, aliter ac in textu edidimus, propemodum inclinamus. Infra p. 509 C. οὐ γὰρ μετ' ἀλλήλων **φραττόμεθα** κατ' ἐκεῖνον, ἀλλὰ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα. Vox insolentior φρυάττεσθαι in alterius sedem irrepsit alio loco Tom. X. p. 587 E. καὶ πρὸς πάντας στήσῃ γενναίως, ἀπὸ τῶν ἐκείνου **φραττόμενος** ὅπλων: ubi unus mendose φρυαττόμενος habet.

P. 451 D. not.[a]. Vulgo plene interpungunt post οὗτός ἐστιν. Deinde scribunt: Ἔνθα τῶν κνωδάλων τούτων καὶ τῶν ἑρπετῶν εἰκόνας, καὶ τὸν Ἀπόλλωνα δὲ καὶ τὸν Διόνυσον μετὰ τούτων θεραπευομένους τῶν ἑρπετῶν ἴδοι τις ἄν. Musculus: *Tum scilicet videre fuit philosophos illos et bestiarum et reptilium imagines, cumque illis Apollinem et Dionysum adorare et colere.* Brixius: *Hinc brutorum horum animantium et reptilium imagines, atque adeo cum his reptilibus et Apollinem et Liberum coli videas.* Codices A.B.E.F.G.I. haec habent: ἔνθα τῶν κνωδάλων τούτων αἱ εἰκόνες καὶ τῶν ἑρπετῶν. καὶ τὸν Ἀπόλλωνα δὲ κ.τ.ἑ. In H. lapsu scribae haec αἱ εἰκόνες καὶ τῶν ἑρπετῶν —— μετὰ τούτων absunt. In D. locus

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

sic legitur: *καὶ ἔνθα τῶν κνωδάλων τούτων αἱ εἰκόνες καὶ τῶν ἑρπετῶν, ἐκεῖ πάντες οὗτοι ἀπαίροντες φαίνονται. καὶ τὸν Ἀπόλλωνα δὲ κ.τ.ἑ.* quae interpolatoris manum manifesto produnt. Locum, ni fallimur, restituimus, recepta librorum lectione, sed distinctione paullulum mutata, ita ut verba *ἔνθα* (*apud Aesculapium*) *τῶν κν. τούτων αἱ εἰκόνες καὶ τῶν ἑρπετῶν* cum praecedentibus arcte cohaereant. Pergit Auctor: *Praeter vero Aesculapium etiam in Apollinis et Liberi cultu haec reptilia frequentata videas.*

Ibid. not.[b]. *θεραπευόμενον.* "Ad Socratem refer: sed praestat omnino vulgata." *Heyse.* Etiam Musculus verbo *θεραπεύεσθαι* activum sensum tribuit, nullo, ut videtur, jure.

P. 452 D. not.[e]. Probum est verbum *δεινοῦν, aggravare*, junctum cum *ἐπαίρειν*, ut hic, itidem Tom. X. p. 715 B. *εἶτα, ἵνα μή τις λέγῃ, τί οὕτω τὸ πρᾶγμα ἐπαίρεις καὶ δεινοῖς τῷ λόγῳ;* Adde Tom. IX. p. 70 B. *ἔλεγεν, ἀντ' αὐτοῦ ληστὴν ἠτήσασθε. σφόδρα ἐδείνωσε τὸ πρᾶγμα.* Plut. Tom. I. p. 167 C. Δοῦρις (historicus) *μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν Ἀθηναίων.*

P. 453 A. lin. 8. *Καὶ πῶς ἔνι μὴ ἀλγεῖν, φησί; Πῶς ἔνι μὲν οὖν ἀλγεῖν;* Figura orationis apud Nostrum haud infrequens: e. g. Tom. VII. p. 843 B. *Καὶ πῶς δυνατὸν μὴ πλουτοῦντα, φησὶ, τούτων ἐπιτυχεῖν; Πῶς μὲν οὖν δυνατὸν . . . . πλουτοῦντα;* Tom. VIII. p. 441 A. *Καὶ πῶς ἔχει λόγον, εἰπέ μοι, φησί; Πῶς μὲν οὖν τὸ ἐναντίον ἔχει λόγον;* Tom. X. p. 525 D. *Καὶ πῶς ἔνι τοῦτο; Πῶς μὲν οὖν τὸ ἐναντίον ἔνι;*

P. 453 C. not.[d]. Edebatur, *Ἀλλ' [a]ἐκεῖνος τῆς χάριτος [b]τὸ ὅλον [c]εἶχε συμπράττον, φησί. [d]Καλῶς· ἐπειδὴ ταύτης [f]τὰ τῆς προαιρέσεως προηγήσατο.* Varietas lectionis haec est. [a] *ἐκεῖνο* A.B.D.E.F.G.H. et ex corr. ut videtur, I. [b] *τὸ* om. A.B.F.G.H.I. *ἦν* pro *τὸ* D.E. [c] Haec *εἶχε συμπράττον* desunt in omnibus. [d] *καλῶς* om. A.B.F.G.H.I. Mox *ταύτης* deest in iisdem. Post *καλῶς* add. *ἀλλ' οὐχ ἁπλῶς, ἀλλ'* D.E. [f] *τὰ τῆς πρ.*] *ἡ προαίρεσις* Veron. "Nescio an jure omiserint *εἶχε συμπράττον*, quod interpolatorem sapit; nam vix commode dixeris *τῆς χάριτος τὸ ὅλον* eo sensu, ut significet gratiae divinae amplam plenamque copiam: at optime dicitur, *ἐκεῖνο τῆς χάριτος ὅλον.* Sic ad Hebraeos p. 448, 11. *ἐκεῖνο μὲν γὰρ ὅλον τῆς τοῦ θεοῦ χάριτός ἐστιν.* Ponitur *ὅλον* sine articulo, quia attributive. Hactenus probo Codices [F.G.] Sed *καλῶς* nequit abesse." *Heyse.* Nostro quidem judicio etiam *καλῶς* interpolatori debetur: itaque expunximus.

P. 453 E. not.[n]. *ἀπὸ τῶν φονώντων Ἰουδαίων.* "G. ex corr. *ἀπὸ τοῦ φθόνου τῶν Ἰουδαίων.* Recte." *Heyse.* Brix. *a Judaeorum invidia.* Musc. *ab invidentibus Judaeis;* quasi legisset, *ἀπὸ τῶν φθονούντων Ἰουδαίων.* Sed nihil mutandum. Verbum *φονᾶν* (alicujus *sanguinem sitiri*, non alicujus *mortem machinari*, ut minus accurate dixit Montef. ad Tom. VI.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

p. 346 C.) saepenumero librarios male habuit; ut Tom. VII. p. 811 E. καὶ οὐδὲ οὕτω γίνονται ἥμεροι, ἀλλ' ἐκθηριοῦνται μειζόνως καὶ φονῶσιν (alii φωνῶσιν, φθονῶσιν, φωνοῦσιν, invidentes). Tom. VIII. p. 337 C. καὶ μὴν φθονοῦντας (φονῶντας Sav. et Interp. Vet.) ὑμᾶς καὶ ἑτοίμους ὄντας ἐπιλαβέσθαι τῶν αὐτῷ πεπραγμένων κ. τ. ἑ.

HOM. V.

P. 455 B. not.[x]. εἰς τὸ γυμνὸν τῆς διηγήσεως G. "Ne decipiamur veri specie. Credebat antiquus quisquis ille fuerit, corrector, τῷ παραπετάσματι debere opponi τὸ γυμνόν. At tum scribendum erat τοῦ γυμνοῦ. Nam εἰς post verbum χρῆσθαι non introducit incommodum aliquod, cui remedium paremus, sed indicat, in quem finem et propter quid vel consequendum vel perficiendum aliqua re utamur." *Heyse.*

P. 455 C. not.[f]. πρὸς τὸν παράνομον τοῦτον ἐξεβράσθησαν ἔρωτα. Verterunt, *furibundi anhelant* Musc. *efferbuerunt* Brix. Ἐκβράσσειν proprie est, *aestus impetu ejicere, evomere*, dictum de mari, ὅταν ἐκταραχθεῖσα τοῖς πνεύμασι τὰ βρύα καὶ τὸ φῦκος ἀναβάλλῃ, ut ait Plutarchus Tom. II. p. 456 C. etiam cadavera, ut Noster Tom. I. p. 434 A. νεκροὺς τοὺς εἰς τὰς αἰγιαλοὺς ἐκβρασσομένους: et Euseb. de Mart. Palaest. IV. τὸν νεκρὸν ἡ θάλασσα πρὸ τῶν τῆς πόλεως ἐκβράσσει πυλῶν. Quinetiam de terra herbas inutiles progerminante et, ut ita dicas, *ebulliente* usurpat Chrysost. Tom. I. p. 462 E. ἤδη γάρ που καὶ γῆ χερσωθεῖσα, καὶ γεωργικῶν οὐκ ἀπολαύσασα χειρῶν, πονηρὰς βοτάνας, καὶ ἀκανθῶν πλῆθος, καὶ δένδρα ἄγρια ἐξέβρασεν ἐκ τῶν οἰκείων κόλπων πολλάκις. Tom. XII. p. 104 B. ἐκφέρουσα ἀκάνθας, ὡς ἂν εἴποι τις, ἐκβράσσουσα, ἐκβάλλουσα. Non tamen dissimulandum est, inusitati aliquid habere, quod hic dicitur, πρὸς ἔρωτα ἐκβρασθῆναι, quod Dunaeum quoque leviter detinuisse videtur. Sed ejusdem generis sunt ἐξωκεῖλαι, ἐξενεχθῆναι, ἐκκυλισθῆναι, εἰς ὀργὴν, εἰς ἀσέλγειαν et similia. Vulgare est ἐξεκαύθησαν, et a glossatore haud dubie excogitatum.

P. 456 C. not.[n]. περὶ παιδεραστῶν καὶ μαλακῶν corrigit Heysius. Sed praeter Veron. inspeximus libros nostros D.E. qui cum impressis consentiunt.

P. 456 D. not.[r]. Abesse potest sine incommodo πράσσοντες, favente etiam Brixio, qui vertit: *multas et eas miserandas in semet injurias dum inferunt.*

Ibid. lin. penult. καὶ νομοθέτης τις παρ' αὐτοῖς κ. τ. ἑ. Sic Plutarch. Vit. Solon. init. καὶ νόμου, ὃν ἔγραψε διαγορεύοντα δοῦλον μὴ ξηραλοιφεῖν μηδὲ παιδεραστεῖν, εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων τιθέμενος τὸ πρᾶγμα, καὶ τρόπον τινὰ τοὺς ἀξίους προκαλούμενος, ὧν τοὺς ἀναξίους ἀπήλαυνε.

P. 458 C. lin. ult. χαλεπώτερα Sav. χαλεπωτέρα vitiose edidit Montef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

HOM. VI.

P. 460 D. lin. 1. *τοῦ ἡνιόχου διαφθαρέντος.* "Respexit Platonis Phaedr. p. 246 A. ad quem locum vid. *Ast.* Ed. Plat. Opp. Tom. X. p. 390." *Krabinger.*

P. 461 C. not.[k]. *καὶ ἑκόντα πλημμελοῦντα.* Constructio Chrysostomo familiaris. Infra p. 536 B. *οἱ γὰρ ἑκόντες* (Vat. solus *ἑκοντὶ*) *προσελθόντες.* Tom. I. p. 162 D. *τοὺς οὐ βιαζομένους, ἀλλ' ἑκόντας ὑποκλινομένους αὐτῷ.* Tom. VII. p. 799 D. *ἑκόντος ἑαυτὸν παραδιδόντος αὐτοῖς,* ubi ante nos soloece edebatur *ἑκόντως.* Tom. X. p. 330 C. *ἐν πενίᾳ ζώντων ἑκόντων.*

P. 461 D. lin. 1. *ἵνα ἕλῃ.* Vertendum cum Brixio, *ut adversarium evincat,* non ut Montef. *ut illam de medio tollat.* Tantundem est, quod proxime sequitur, *χειροῦσθαί τινα.* Infra p. 510 D. *κατηγόρει καὶ ᾕρει καὶ ἐχειροῦτο.* Tom. III. p. 227 E. *πάντως καὶ τὸν ἄνδρα ἑλεῖν δυνήσεται καὶ χειρώσασθαι τῷ περὶ αὐτὴν πόθῳ.*

P. 462 B. lin. 2. *καὶ ὅτι σοφοὶ ὄντες* (sc. *ἡμάρτανον*). Verbo monemus propter Heysium nostrum, qui verbum finitum desiderat, quod ab *ὅτι* pendeat. Eidem non ita displicet *φύσιν* pro *ἀρετήν*: "nam id quidem nusquam antea crimini datum Graecis, quod virtutem (*ἁπλῶς*) *in contemptu habuerint.*" Sed *ἀτιμάσαι* hic contrarium est *τοῦ τιμᾶν, colere;* ut *τιμᾶν τἀληθές* Tom. I. p. 377 E. *φιλοξενίαν* Tom. II. p. 779 E. *ἰσότητα* Tom. III. p. 236 E. *φιλοσοφίαν* Tom. VII. p. 270 B. Eurip. Bacch. 883.

ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν
τιμῶντας.

P. 462 E. not.[h]. Edebatur, *εἰ μένεις ἀδιόρθωτος ὤν, ἀναβάλλεται· ὃ μηδέποτε συμβήσεταί σοι.* Ita Veron. Sav. Mor. Sav. in marg. notavit, *ἴσ. συμβήσηται.* Verba *ὃ μ. συμβ. σοι* verterunt Interpretes, *quod utinam tibi non contingat.* "*εἰ μένοις.* Sic MSS. Mox MSS. *συμβήσεται.*" *Montef.* Ergo edidit, *εἰ μένοις ἀδ. ὤν, ἀναβάλλεται· ὃ μηδέποτε συμβήσηταί σοι.* Scriptura *μένοις* in altero Codd. Benedictinorum, qui nobis est B. non in utroque exstat. Sed solet Montef. siglum "MSS." de uno Codice adhibere. Quod vero ad *συμβήσηται* attinet, id eum a Savilii margine, non a libro sumsisse credibile est; certe in nullo nostrorum legitur. Deinde pro verbis *ἀναβάλλεται· ὃ μηδέποτε συμβήσεταί σοι,* Codices haec habent: *τὸ* (+*δὲ* G.) *μηδέπω* (*μὴ* in textu, *μηδέπω* in marg. H. *μήπου* Flor.) *δοῦναι συμβήσεταί σοι.* Hi autem sunt A.B.C.D. E.F.G.H.I. et Flor. p. 393. (Tom. XII. p. 607 D.) Calculum suum addit Heysius, notans: "Bona lectio. Futurum *συμβήσεται* pro futuro perfecto; nam cogitatione praeoccupat diem *δικαιοκρισίας.* Si quis tueri malit *ἀναβάλλεται,* ita scribet: *εἰ μένοις ἀδ. ὤν, ἀναβάλλεται· τὸ δὲ μηδέποτε δοῦναι, μηδέπω συμβήσεταί σοι.*" Memoratu dignum est, hoc ipsum verbum *ἀναβάλλεται* a librariis invectum esse Tom. X. p. 584 B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ubi vid. Annot. Unum addemus, *fieri posse*, tum haec τὸ μηδέπω δοῦναι, tum illa ἀναβάλλεται ὁ μηδέποτε in textum aliunde illata esse. Certe nihil desideraremus, si sic scriptum exstitisset: οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ μένοις ἀδιόρθωτος ὤν, συμβήσεταί σοι.

P. 463 C. not.[v]. Recisis verbis, quae a plurimis libris absunt, sensus loci constabit h.m. ἐπειδὴ γὰρ ἔδειξε τοῦ θεοῦ τὴν φιλανθρωπίαν, τότε ἐστὶν ἀφόρητος (sc. Paulus) τῷ μηδὲ οὕτως ἐπιστρέφοντι: h.e. vertente Brixio, *tum demum terribilis est ei, qui ne sic quidem ad poenitentiam redierit.* Cf. infra p. 675 D. Οὐχ ὁρᾷς τοὺς ταύρους τοὺς φλόγα ἐπὶ τοῦ νώτου φέροντας, πῶς πᾶσίν εἰσιν ἀφόρητοι; Οὕτω καὶ σὺ τῷ διαβόλῳ ἀφόρητος ἔσῃ, ἂν ἑκατέραν λάβῃς τὴν φλόγα. Adde Floril. p. 124. ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς ἐνδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις, πανταχοῦ φέρεται, καὶ τοῖς ἁπαντῶσίν ἐστιν ἀφόρητος.

P. 464 C. not.[h]. "Duo MSS. αὐτὸς ὁ βασιλεύς." *Montef.* "Sic quoque A. [sed antiq. αὐτοβασιλεὺς] recte." *Editor* Ben. 2[dae]. Vulgatum olim vindicavimus ad Tom. VII. p. 818 D. Vid. etiam Annot. ad Tom. X. p. 52 C.

P. 464 D. not.[d]. "Nisi me omnia fallunt, haec Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος apud Chrys. p. 464 D. inculcarunt Editores. Certe ambo mei id omittunt." *Matth.*

P. 465 B. not.[y]. καὶ οἳ (alii οἷον) τελευτῷ τὰ τῆς πονηρίας. Particula οἳ in hujusmodi formulis corruptioni valde obnoxia est. Infra p. 553 A. οἳ τῶν κακῶν εἰσιν. (Vid. Var. Lect.). Tom. V. p. 236 E. ἐννόησον οἳ (οἷον Mor.) προβήσεται τὰ τῆς κολάσεως αὐτῷ. Tom. VII. p. 175 D. ἐννόησον οἳ τείνει τὰ τῆς βλασφημίας ὑμῶν (alii ποῦ τείνει τὰ vel οἷα τὰ). Ibid. p. 844 C. εἶδες οἳ (alii οἷα vel ποῦ) προέβη τῆς πενίας τὰ ἐγκώμια. Tom. III. p. 613 C. οὐκ εἰδότες οἷα τῆς ἀρρωστίας ἔστηκε τῆς σῆς: ubi pro οἷα τῆς in aliis est εἰ τὰ τῆς, unde οἳ τὰ τῆς recte effecit Editor Ben. 2[dae]. Tom. VIII. p. 204 E. οὐκ εἰδότες οἷα (alii ἐν οἷς: leg. οἳ) τὰ τοῦ παιδίου πράγματα ἔστηκε. Alciphron. III. 59. δέομαι οἷον φέρει τὸ ὄναρ (οἳ φέρει Codex ap. *Bast.* Ep. Crit. p. 208.)

P. 465 C. not.[e]. "Duo MSS. ἐπετείχισεν, minus recte." *Montef.* Defendimus ἐπετείχισεν in Ind. Graec. ad Homilias in Matth. s.v. Exempla ubique obvia sunt. Tom. X. p. 511 C. καὶ τὸν ἐκεῖθεν φόβον αὐτοῖς ἐπιτειχίζων. Tom. VII. p. 294 D. κἀκείνους φοβῶν καὶ μεταβάλλων, ἐπετείχισεν αὐτοῖς τὴν παρ' αὐτοῦ κόλασιν. Vocabulum ἐπηχεῖν, etiam apud Graecos rarissimum, in Nostri scriptis legere non meminimus.

P. 466 D. not.[l]. Constructio εἰ δὲ μὴ τοῦτο γένηται habet quo se tueatur. Cf. Annot. ad Tom. X. p. 628 A.

P. 468 C. not.[h]. τοσαύτης non admittendum esse censuit Heysius. Infra p. 606 A. ποῦ ταῦτα προνοίας;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 468 D. not.s. *τῶν κατορθούντων* absolute dictum, ut Tom. VII. p. 174 D. *εἰ μὴν τοῖς* **κατορθοῦσιν** *ἀναγκαῖον ἡ θλῖψις, πολλῷ μᾶλλον τοῖς ἁμαρτάνουσιν.* Ibid. p. 642 C. *εἰ βούλει πρὸς ἑτέρους ἰδεῖν,* **τοὺς κατορθοῦντας** *βλέπε, τοὺς εὐδοκιμοῦντας, τοὺς τὸν νόμον μετὰ ἀκριβείας ἀποπληροῦντας.*

P. 469 C. lin. 1. *πῶς ἂν οὐκ ἀπολέσθαι*] *οὐκ ἂν ἀπώλετο* Eclog. Tom. XII. p. 616 B. in Fragmento a Savilio primum edito.

P. 469 D. not.g. "A. *ἠπείλει καὶ πῦρ.*" *Editor* Ben. 2dae. Fallitur, teste Collatore nostro.

P. 470 B. not.h. *καὶ εἰς λόγον ἀξιῶν καθεῖναι.* "Forte sic rectius; *καὶ εἰς τὸν λόγον ἀξιῶν ἑαυτὸν* **καθεῖναι**, *seipsum demittere.* Omnino deest accusativus." *Dun.* Attamen in hoc verbo pronomen multo frequentius abest, quod recte monuit Editor Ben. 2dae ad Tom. X. p. 179 B. praesertim in locutione *καθεῖναι εἰς τὸν ἀγῶνα.* Vid. Tom. I. pp. 111 E. 144 E. 177 C. Tom. II. p. 239 E. Tom. III. p. 545 C. et passim.

P. 470 E. lin. 2. Cf. Tom. X. p. 84 E. *μὴ κατὰ τοὺς* **ἀγνώμονας** *τῶν οἰκετῶν φύρωμεν τὸν λόγον.*

P. 471 A. not.t. Vox *μυριομακαριότης* a Lexicographis non nisi ab hoc Nostri loco affertur. Aliud compositum *αὐτομακαριότης* exstat Tom. XI. p. 654 B.

P. 471 B. not.c. *πρὸ τοῦ ποθουμένου ἦγον.* Locutio Chrysostomica, etiam contra consensum librorum firmiter retinenda. Tom. X. p. 7 B. *θαυμάζοι καὶ μέγα* **ἄγοι**. Ibid. p. 240 B. *τοῦτο καὶ πρὸ οἰκίας καὶ ἀνδραπόδων καὶ χρημάτων καὶ ἀγρῶν . . . .* **ἄγωμεν**. Tom. I. p. 412 B. *θαυμαστὸν αὐτὸν ἡγοῦντο* (alii *ἦγον*) *οἱ πολλοί.* S. Basil. Tom. III. p. 91 D. *καὶ ἅμα τὸ λαθεῖν βιώσαντες ἐν τοῖς πρώτοις τῶν ἀγαθῶν* **ἄγομεν**. Lucian. Tom. III. p. 218. Ed. Bipont. *καὶ μηδὲν αὐτοὺς σεμνότερον οἱ μισθοδόται* **ἄγοιεν**.

P. 471 D. not.r. *παρὰ τοιούτου μεγάλου* pro *παρὰ οὕτω μεγάλου*, notanda constructio. Tom. III. p. 588 A. *ὅταν ἐπὶ τοιούτῳ μεγάλῳ ἐγκλήματι γίνηται.* Tom. V. p. 502 A. *τοιούτῳ μεγάλῳ θεῷ.* Tom. IV. p. 215 B. *τοιοῦτον ὄντα πονηρόν.* Tom. XI. p. 515 A. *πρὸς δεσπότην τοιοῦτον μοχθηρόν* (ubi Dunaeus *τοσοῦτον* corrigit). Supra p. 469 C. edebatur *ἐν τοιούτῳ θεάτρῳ λαμπρῷ καὶ περιφανεῖ*, quod per se probum est.

Ibid. lin. penult. *καὶ* **καταστρηνιῶντες** *αὐτοῦ τῆς ἀγάπης.* Musculus, *ipsius dilectione luxuriantes abutimur:* Brixius, *delicias facientes illius erga nos amori, sic illudamus.* Vid. Interpp. ad 1 Tim. v. 11. Legit *καὶ* **καταφρονοῦντες** *αὐτοῦ τῆς ἀγάπης* Auctor Florilegii p. 422. (Tom. XII. p. 620 A).

P. 472 A. not.z. *στῶμεν οὖν λοιπὸν κατὰ κρημνῶν φερόμενοι.* De constructione dictum in Annot. ad Tom. VII. p. 161 C. ubi hunc locum attulimus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

HOM. VII.

P. 472 C. not.[c]. *ὥσπερ νῦν, ὁ Χριστιανός.* Nomen Christianum tunc temporis venerabile fuisse testis est Noster Tom. VII. p. 198 C. *διὸ ὅταν μάλιστα ἡμῖν ὀνειδίσαι βούλωνται, καὶ τὴν κατηγορίαν αὐξῆσαι, τοῦτο ἐπιλέγουσιν, οἷον ὁ Χριστιανός· οὐκ ἂν εἰπόντες, εἰ μὴ μεγάλην περὶ τοῦ δόγματος ἔσχον ὑπόνοιαν.*

P. 472 E. not.[w]. Verba *φῶς τῶν ἐν σκότει* silentio praeteriit Chrysost. infra pp. 473 D. 487 B. In tribus autem aliis locis, ubi hunc S. S. locum allegavit, haec verba diserte posuit, et semel quidem eorum causa locum excitavit.

P. 473 E. lin. 3. *μηδὲν πρὸς ἐκείνην γράφοι*; h. e. secundum Veteres, *ad illius typum* vel *exemplar*. Perperam Montef. *in illa*.

P. 474 A. not.[b]. Vid. Annot. ad Tom. X. p. 168 D.

P. 474 C. lin. 6. *ὁμολογῶ κἀγώ. κἀγὼ* deest in Mor. Ben. typothetae culpa.

P. 475 A. not.[z]. "Ejiciendum omnino *αὕτη*. Subintelligitur *ὁ Παῦλος.*" *Heyse.* Minime. Αὕτη est *circumcisio*, quae non solum adversus ethnicos, sed etiam *πρὸς τὴν πίστιν ἀπομάχεται*; quod de Apostolo dici nequit.

P. 476 B. not.[q]. *Matth.* ad Rom. ii. 26. "*λογισθήσεται*] *μετατραπήσεται* ter 8. Semel *λογισθήσεται*, bis *τραπήσεται* 3. Cf. Chrys. p. 476 B. Vix ergo dubitandum est, quin Chrysostomus *τραπήσεται* aut *μετατραπήσεται* scripserit .... Aut ergo uno Codice usus est, eoque vitioso, aut *φαντασία*, hoc est, concipiendarum imaginum acumen et celeritas, quibus virtutibus in primis excellit, lusit ejus memoriam." Supra p. 476 A. not.[g]. ubi Codd. *λογισθήσεται* exhibent, notat Heysius: "Recte tuetur *περιτραπήσεται* Cod. b. [Ed. Veron.] Ita apud Paulum legisse Chrysostomum, aut certe ut legatur voluisse, si quidquam unquam, manifestissimum est; quippe quod aperto testimonio ipse affirmat Chrys. infra B. lin 3 sqq. Alteram scripturam *λογισθήσεται*, quae in textu sacro obtinuit, non ignorabat ille, sed improbabat, disertaque hinc *κρίσει* removere velle videtur. Quo magis mireris interpolatorum audaciam. Scilicet illa quoque (B. lin 3 sqq.) ne discreparent, absurdissime sic pervertit G. *εἰς περιτομὴν λογισθήσεται. καὶ οὐκ εἶπεν, μετατραπήσεται, ἀλλὰ, λογισθήσεται, ὅπερ ἐμφατικώτερον ἦν· καὶ ὡς ἀνωτέρω οὐκ εἶπεν κ. τ. ἑ.* Ista quidem impudentia est."

P. 476 E. not.[l]. Post *ἐστιν* addunt *οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ* Sav. Mor. Ben. repugnantibus libris. "Etiam haec ab Editoribus Chrysostomi addita videntur." *Matth.*

P. 477 E. lin. 4. *ἀλλὰ συνέβραμε τῷ λόγῳ.* Infra p. 478 E. *τὸ ἀληθῶς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεγενημένον κατὰ συνδρομὴν συγχωρῶν. Vid. Annot. ad Tom. X. p. 46 B. Interpretum errores perstringere non attinet.

P. 479 B. not.[i]. "Malim οὐκοῦν ἐπεὶ (vel ἐπειδὴ), δι' ὅτι. Mox abest οὖν G. recte, cum jam praecesserit οὐκοῦν." *Heyse.* Nisi nos omnia fallunt, scripsit Auctor, οὐκοῦν εἰ ἐπειδὴ ὑβρίσαμεν . . . . ἐφάνη, τίνος ἕνεκεν κολάζομαι κ.τ.ἑ.

P. 480 E. lin. 5. καὶ τῶν Περσῶν ἐπικειμένων. Vid. Annot. ad Tom. X. p. 237 B.

HOM. VIII.

P. 482 A. not.[a]. Editi juxta textum Sacri Codicis vulgarem, τί οὖν; προεχόμεθα; οὐ πάντως· προηγιασάμεθα γάρ. Sic e nostris A.B.D.E.G. Ceteri cum Mosquensi utroque, τί οὖν προκατέχομεν περισσόν; ἠγιασάμεθα γάρ. "Hic haud dubie Editores [immo, *librarii*] textum Chrysostomi ex Edd. N. T. correxerunt." Infra p. 497 C. etiam in Editis legitur, τί οὖν προκατέχομεν περισσόν; ubi solus G. a vero aberravit.

P. 483 E. not.[a]. Edebatur παρὰ τῶν Ἰουδαίων. "Legendum παρὰ τὴν τῶν Ἰουδαίων ῥᾳθυμίαν [quod diserte legitur in nostris D.E.] Antecessit οὐ γὰρ νόμου κατηγορία τὸ εἰρημένον, ἀλλὰ τῆς τῶν Ἰ. ῥᾳθυμίας. Sic autem saepe loquitur Noster, ut p. 454 A. οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν ἑαυτῶν ῥᾳθυμίαν (περιετράπησαν)." *Dun.* Verumtamen tantundem valet, quod nos recepimus, παρὰ τὸν Ἰουδαῖον, *per Judaeum stat.* Supra p. 431 C. εἰ δὲ μὴ ἐξ ἀρχῆς ἔδωκε, παρὰ τοὺς μὴ βουλομένους δέξασθαι. Tom. VII. p. 290 C. οὐδαμοῦ γὰρ παρὰ τὸν θεὸν τὸ μὴ λαβεῖν, ubi vid. Var. Lect. Tom. X. p. 378 D. τὸ ἔγκλημα οὐκέτι παρὰ τὸν ἀπελθόντα γίνεται, ἀλλὰ παρὰ τὸν ζῶντα.

P. 484 A. lin. penult. ἐβαρύνθησαν pro ἐβαρήθησαν post Morellum tacite edidit Montef. invitis libris.

P. 485 B. not.[l]. "A. παντοδύναμος, quod minus probandum." *Editor* Ben. 2[dae]. Praestat quidem vulgatum, sed probum est παντοδύναμος. Tom. V. p. 337 D. ἀλλ' ἡ τοῦ θεοῦ παντοδύναμος καὶ κραταιὰ χείρ. Tom. VI. p. 247 D. (in genuino opere) δεικνὺς τὸ παντοδύναμον καὶ εὔπορον τοῦ θεοῦ.

P. 485 E. not.[a]. ἐν ἁμαρτίᾳ κατασαπέντας. Sic Tom. VII. p. 820 A. ὁ γοῦν ἐν ἐσχάτῃ πονηρίᾳ κατασαπείς. Tom. IX. p. 38 A. τῶν κατασαπέντων ἐν Ἀκαδημίᾳ καὶ περιπάτοις. Tom. X. p. 502 A. τῶν ἐν τρυφῇ κατασαπέντων. Falsam scripturam καταπεσόντας verterunt Interpretes.

Ibid. lin. ult. ἐνδείκνυται, *ostenditur* Montef. Rectius Brix. *ostentat sese*, quo sensu usitatius est ἐπιδείκνυσθαι. Illud exstat Tom. VII. p. 244 D. ἐπειδὴ γὰρ οὐδεὶς ἄλλος παρῆν, τῷ τελώνῃ ἐνεδείκνυτο. Plut. Tom. I. p. 867 E. τοῖς συνωμόταις ἐνδεικνύμενος.

P. 486 B. lin. 4. "Totus v. 26. abest. Apparet tamen a Chry-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

sostomo lectum fuisse. Habet enim in interpretatione *ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ*, et *ἐν τῷ νῦν καιρῷ*. Sed vocabula *πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ*, et *εἰς τὸ εἶναι——πίστεως Ἰησοῦ* prorsus non habet." *Matth.* Immo, verba *εἰς τὸ εἶναι κ.τ.ἑ.* diserte affert Noster p. 485 E.

P. 488 D. not.[b]. *δυνάμεως.* Vid infra p. 498 A.

P. 490 A. not.[o]. "Qui Graece sentit, probabit et *ποιήσασθαι*, et tamen [proxime] *ποιεῖς*." *Heyse.*

P. 491 C. lin. 6. "*πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ.* *Ille te observabit*, ut fratrem natu majorem, *te exspectabit.* Quod jam de muliere dicitur, *καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου.* Dionys. Halic. Antiq. Rom. II. 25. *οὗτος ὁ νόμος τὰς γυναῖκας ἠνάγκασε τὰς γαμετὰς, οἷα μηδεμίαν ἔχουσας ἑτέραν ἀποστροφὴν, πρὸς ἕνα τοῦ γεγαμηκότος ζῆν τρόπον.* Hinc coelebs dicitur *μονότροπος, qui suo more vivit*, Psal. lxvii. 7. *κατοικίζει μονοτρόπους ἐν οἴκῳ.* Latinus Interpres habet, *ad virum tuum erit* appetitus *tuus.* Videtur quidem Hebraea vox significare *appetitum*, sed Graeca versio est multo luculentior." *Dun.* Ad locum Gen. iii. 16. (Tom. IV. p. 659 E.) verba *ἡ ἀποστροφή σου* sic enarrat Noster: *ἡ καταφυγή σου καὶ ὁ λιμὴν καὶ ἡ ἀσφάλεια.*

P. 493 B. not.[y]. *τῷ μὴ δεδωκότι* pro *μὴ τῷ δεδωκότι* sine monito dedit Editor novissimus, contra fidem librorum, etiam Codicis sui, qui nobis est A.

P. 493 C. not.[z]. "Legendum *ἐκεῖ σε, διαλελυμένως*." *Dun.*

P. 493 E. not.[ε]. Forma futuri *δανειῶ* hic illic legitur apud LXX Interpretes; e.g. Deut. xv. 8, 10. Prov. xxii. 7.

P. 494 C. not.[x]. "Non dubito veram lectionem esse *ἐκ τῆς μετοικίας μετακομίσαι*, i.e. *ex loco ubi tu es μέτοικος, inquilinus.* Nam *εἰς τὴν μετοικίαν* plane contrarium est loci sententiae." *Dun.* "Mihi non improbatur marginalis lectio, *εἰς τὴν οἰκίαν μετακομίσαι*." *Bois.*

P. 494 E. not.[ζ]. *ἐκείνων*, h.e. *Apostolorum.* A singulari transit ad pluralem, prorsus ut infra p. 507 C. not.[ρ].

P. 496 C. not.[a]. *τὴν σὴν διορθούμενος σωτηρίαν* G. "Non male. Modo dictum *τὴν σὴν διψᾷ σωτηρίαν*; et paullo post, *ἐρᾷ τῆς σωτηρίας τῆς ἡμετέρας.* Et perfacile confunduntur *χρείαν* et *σριαν.* Attamen ne perdamus elegantem antithesin." *Heyse.*

HOM. IX.

P. 497 A. lin. penult. Verba *καὶ ὅτι ἡ καύχησις ἐξεκλείσθη* casu praetermisit Morellus, in Graecis, non in Latinis. Errorem ejus non correxit Montef.

P. 498 A. not.[a]. *καὶ ἀπὸ πίστεως δύναιτ' ἂν ἔχειν καύχημα*, sc. Abraham. Modo dixerat p. 497 D. *τὸ δὲ κομῶντα ἐν κατορθώμασι μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ πίστεως γενέσθαι δίκαιον κ. τ. ἑ.* Parum tamen abest, quin probemus

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

lectionem marginis, *καὶ ὁ ἀπὸ πίστεως*, memores formulae Apostolicae *οἱ ἐκ πίστεως* Gal. iii. 9.

P. 498 C. not.[b]. *καὶ σφόδρα περὶ αὐτὸν* **διακειμένης**. "G. *διακαιομένης*. Forsitan idem exhibebat G. p. 674 D. ubi tamen probo vulgatam. Usitatius etiam hoc sensu est *περικαίεσθαί τινος*, ut infra p. 693 D. Et mihi vero, nisi recipiamus *διακαιομένης*, aut videtur legendum **σφοδρῶς** *διακειμένης*, i.e. *σφοδρᾶς πρὸς τὸ πιστεῦσαι καὶ ἰσχυρᾶς καὶ παγίας τὴν διάθεσιν*: aut saltem *σφόδρα* **πρὸς** *αὐτὸν διακειμένης*, sicut recte habetur p. 595 D. *καὶ ἄνωθεν πρὸς ἡμᾶς διέκειτο*. Eadem est alius loci ratio p. 528 C." *Heyse*. Locus iste, *ὅταν μὲν μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι*, hunc nostrum satis superque defendit. Nimirum utrum *σφόδρα διακεῖσθαι πρός τινα* an *περί τινα* dixeris, ne hilum quidem interesse putamus. Cf. Var. Lect. ad p. 425 B. De ipsa locutione vid. Annot. ad Tom. VII. p. 626 B.

P. 498 D. lin. 1. Post *ἀγάπης* Editi inde a Savilio addunt verba Apostoli *τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσε Ἀβρ. τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην*. Haec non leguntur in libris.

P. 499 A. lin. 1. Post *ἀσεβῆ* vulgo addunt *λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην*, repugnantibus libris et Veron.

P. 499 B. not.[b]. "Unus Codex [E.] *τὸν ἐν ἔργοις* **καμόντα**, *ἢ τὸν χ. ἀπολελαυκότα; εὔδηλον ὅτι τὸν ἀφ. καὶ δ. τ.* Lectio illa *καμόντα* non spernenda; immo illam adoptarem, nisi altera *κομῶντα* in omnibus Editis et MSS. hoc uno excepto haberetur." *Montef.* Lectio *καμόντα* est in *utroque* Codice ab isto Editore adhibito, et aliis pluribus. Sed unice verum est *τὸν ἐν ἔργοις κομῶντα*; ut *κομῶντα ἐν κατορθώμασι* p. 497 D. *κομᾶν ἐν ἀγαθοῖς* pp. 565 D. 613 E. *ἐν ἔργοις ἀγαθοῖς* Tom. X. p. 408 E. Accedunt Interpretes: *qui operibus turget* Brix. *qui ex operibus insolescit* Musc.

Ibid. lin. 8. *τὸν ἀφέσεως καὶ δωρεᾶς τετυχηκότα*. Post haec verba repetit Brix. *an eum qui fidem ac beatitudinem*; notans haec in Veron. deesse. Utique Vaticanus noster in textu habet, *ἢ τὸν πίστεως καὶ μακαρισμοῦ*: in margine autem, *εὔδηλον ὅτι τὸν ἀφέσεως καὶ μακαρισμοῦ τετυχηκότα*. Tum procedit in textu: *μακαριότητα δὲ ὅταν εἴπω*.

P. 499 C. not.[c]. *ἔχει γὰρ καύχημα, φησὶ, πρὸς τὸν θεόν*: nempe, *ἡ δικαιοσύνη ἡ ἐκ πίστεως*. Supra p. 498 D. *διὰ τοῦτό φησι, πρὸς τὸν θεὸν αὐτὸν (τὸν πιστὸν) ἔχειν τὸ καύχημα*. Vid. etiam p. 505 D. Hoc quidem aperte non dicit Apostolus, sed dum affirmat, justitiam *τὴν ἐξ ἔργων* talem gloriationem non habere, haud obscure innuit.

P. 499 D. lin. ult. Post *ἀνομίαι* vulgo addunt *καὶ ὧν ἀπεκαλύφθησαν* (sic mendose pro *ἐπεκαλ.*) *αἱ ἁμαρτίαι*. Haec desunt in nostris omnibus et Veron. Habet ea, ut videtur, Mosq. 3. quocum consentit Vaticanus.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 500 A. lin. ult. Post *φησὶ* Editi addunt, *πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν π. ἀλλ' ἐν ἀκροβυστίᾳ· καί.* Haec primus assumsit Sav. repugnantibus libris.

P. 500 B. lin. 3. *ἐνταῦθα καὶ τὴν*] *ἐνταῦθα γὰρ τὴν* Mor. Ben. vitio, ut videtur, typographico.

P. 500 C. not.[w]. Hic locus, ut ante nos legebatur, merito Criticos exercuit. Etiam emendatam lectionem multimodis tentavit Heysius noster, quem miramur non perspexisse *ἢ* pro *μᾶλλον ἢ* positum, quo nihil tritius. Plut. Tom. I. p. 279 E. *τούτους ἂν ὀρθῶς καὶ δικαίως προσαγορεύσειε συνάρχοντας καὶ συστρατήγους ἢ ἐκείνους*: ubi Coraes, *κατ' ἔλλειψιν τοῦ μᾶλλον, ἧς ἔστι μὲν καὶ ἐκ τῶν πάλαι ἀναλέξασθαι παραδείγματα, μακρῷ δὲ πλείω ἐκ τῶν μεταγενεστέρων.* Prosequitur, *καὶ τούτους* (Judaeos) *ἐκείνοις* (*τοῖς ἐν ἀκροβυστίᾳ*) *προσερριμμένους*, h.e. *adjectos*, non quidem simpliciter, sed cum contemptu quodam, qui vocis istius usus est. Vocabulum *παρασίτων*, cujus loco Boisius *παρεισάκτων* infeliciter tentat, optime illustrat locus infra p. 738 E. *καὶ τῶν δείπνων ἐκείνοις* (Judaeis) *παρεσκευασμένων ὑμεῖς* (Gentiles) *εἰσελθόντες ἀπηλαύσατε τῶν προκειμένων.* Revera Gentiles, non Judaei, pro parasitis habendi erant; sed amat Noster hujusmodi paradoxis auditores suspensos tenere.

P. 500 D. lin. 5. *ὅσον ἡ σφραγὶς τοῦ στρατιώτου.* Vid. Annot. ad Tom. X. p. 454 B.

P. 501 C. not.[t]. Vaticanus legit, *ὡς ἀξίωμα μέγιστον πεισθεὶς, αἰδῇ τὸν πρόγονον.*

P. 502 C. lin. ult. Idem Codex haec habet: *εἰ δὲ ὀργὴν κατεργάζεται, παραβάσει ὑπεύθυνον ποιεῖ, εὔδηλον ὅτι καὶ κατάρᾳ· εἰ δὲ κατάρᾳ καὶ τιμωρίᾳ. καὶ παραβάσει ὄντες ὑπεύθυνοι, οὐ τοῦ κληρονομεῖν κ.τ.ἑ.* Vulgatum tuentur Interpretes.

P. 503 B. not.[v]. *τῇ μαρτυρίᾳ ἐπισφραγίζει τὸ εἰρημένον.* Haec ipsa locutio legitur Tom. XII. p. 193 D. *καὶ μαρτυρίαις ἑτέραις ἐπισφραγίσας τὰ εἰρημένα.*

P. 504 C. not.[y]. Verba Apostoli rursus adducit Noster p. 623 C. ubi particulam negantem auctoritate unius Codicis delevimus. Cum nostro omnino conferendus est locus Tom. I. p. 458 C. *Ἄκουσον τοῦ Παύλου λέγοντος περὶ τοῦ Ἀβραὰμ καὶ τῆς ὑπακοῆς τῆς ἐκείνου καὶ τῆς ἐν ἅπασι πίστεως. Κατενόησε μὲν γὰρ, φησὶ, τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς δὲ τὴν ἐπαγγελίαν κ.τ.ἑ.* Non tamen negandum est, Auctorem alicubi pro sua inconstantia vulgarem scripturam *οὐ κατένοησε* tam legere, quam enarrare. Vid. Tom. VI. p. 280 A.B.

Ibid. lin. penult. *νενεκρωμένου*] + *ἑκατονταέτες* (sic) *που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας* Sav. Mor. Ben. Tandem in Benedictina repetita *ἑκατονταέτης* editum. Haec desunt in libris omnibus et Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 504 E. not.[f]. *οὐκ ἐπίστευσεν* Codd. "Manifestus error, quem miror probavisse Sav. in Addend." *Heyse.*

Ibid. not.[h]. Utramque formam, *ἐνδοιάζειν* et *ἐνδυάζειν* notant Lexicographi veteres, probante *Valcken.* ad Ammon. p. 68. Nobis autem magis verisimile videtur, scripturam *ἐνδυάζειν*, sicubi in libris exstiterit, negligentiae scribarum, vocales οῖ et ῦ solito errore inter se permiscentium, imputandam esse. Semel quidem *ἐνδυάζειν* textum Nostri occupavit, altero in marginem ablegato, Tom. IV. p. 578 B. *καὶ μὴ διὰ τὸν ἐν μέσῳ χρόνον ἐνδυάσαι.* Alio loco Tom. X. p. 634 E. pro *ἐνδοιάζων*, duo Codd. *ἐνδυάζων* habent.

P. 505 C. not.[w]. Si quis *αὐτὴν* probaverit, non repugnabimus; sed *διασαλεῦσαι* omnino retinendum est. Cf. Tom. X. p. 336 A. *τὸν γὰρ μέλλοντα διασαλεύειν δόξαν πεπηγυῖαν, καὶ εἰς τὸ ἐναντίον περιτρέπειν.* Ibid. p. 366 B. *τῷ φόβῳ τὴν πώρωσιν αὐτῶν διασαλεύει πρῶτον.*

Ibid. not.[y]. "Legendum *ἐπετείχισεν αὐτοῦ τὴν ἀκοὴν τοῖς λόγοις.* Dicendum enim fuit *ἀπετείχισεν αὐτοῦ τῆς ἀκοῆς τοὺς λόγους.*" *Dun.* Dicitur *ἀποτειχίζειν ἀκοήν τινι* plane ut *ἀποτειχίζειν ὁδὸν, εἴσοδον* et similia; quae tritissima sunt. Vid. Tom. VII. pp. 137 D. 227 D. 336 B. Usu non differt *ἀποφράττειν.* Tom. X. p. 92 B. *πᾶσι τοῖς τοιούτοις λόγοις ἀποφράττουσι τὴν ἀκοήν.*

P. 506 B. not.[c]. *οὐκ ἂν ἐθελήσῃς.* In Ben. 2[da] tacite editum est *θελήσαις.* De syntaxi vid. Annot. ad Tom. X. p. 13 E.

P. 506 C. lin. 3. *εἰ καὶ τῶν ἄλλων*] Sic Veron. et Codd. (nisi forte excipiendus sit F.) Savilius, operarum, ut videtur, lapsu, δὲ pro *καὶ* edidit. Vitium sustulit Montef.

P. 506 D. lin. 2. *κἂν μή τινα λάβῃ γυμνὸν καὶ ἔρημον εἰς τὰς αὐτοῦ καταδύσεις.* "Hic profecto deest verbum *ἐρχόμενον* vel *κατιόντα.*" *Dun.* Per enallagen pro *ἐν ταῖς αὐτοῦ καταδύσεσι* accipit Bois. "Fortassis *εἰσιόντα* pro *εἰς.*" *Heyse.* Vid. Annot. ad Tom. X. p. 636 E. Exemplis adde Tom. X. p. 361 A. *καὶ εἰς δεσμωτήριον οἰκοῦντας.*

P. 507 A. not.[e]. Vat. in textu δῆλος, in margine *γρ. δειλός.* "Si voluisset δῆλος, aptius diceret Chrys. *φεύξεται, εὐθὺς δῆλος γενόμενος*; neque vero *φεύξεται ῥᾳδίως, δῆλος γενόμενος.*" *Heyse.* Vertit Musculus, *confestim timidus factus aufugit:* Brixius, *facile aufugiet timidus redditus.* Verum enimvero Diabolus natura *δειλὸς* est, non redditur. Unice igitur probamus **δῆλος** *γενόμενος.* Plat. Rep. II. p. 360 A. *στρέφοντι μὲν εἴσω τὴν σφενδόνην ἀδήλῳ γίγνεσθαι, ἔξω δὲ δήλῳ.* De hac confusione vid. *Bast.* ad Gregor. Corinth. p. 930 Ed. Schaef.

P. 507 B. lin. penult. *ἀλλὰ τοῦ κρασπέδου μόνον* Vat. non male.

P. 507 C. not.[p]. *αὐτῶν*, h.e. *Apostolorum.* Cf. Annot. ad p. 494 E.

P. 507 E. not.[o]. *εἰ γὰρ ὑπὲρ τῶν μελλόντων ἐπιτρέχει.* "Mendum notaverunt Dun. et Bois. non correxerunt. Videtur enim alienum

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ab hac sententia verbum ἐπιτρέχει, unice autem aptum ὑποτρέχει, cujus statim affertur interpretatio, τὸ ἐγκώμιον ὕφαινεν. Sic igitur lego: εἰ γὰρ καὶ τὸν μέλλοντα ὑποτρέχει. Singularem suadet et unius Pauli exemplum, et quod sequitur ἀπηρτισμένον. Voculas τὸν et τῶν, ἐπὶ et ὑπὸ sexcenties confundi, vulgo notum. Quod si in re parum dubia auctoritatem Codicis desideras, adest. Nimirum cum iterum inspexi Cod. G. animadverti in eo reapse primitus exaratum fuisse ὑποτρέχει, sed illico rescriptum ἐπιτρέχει eo modo, ut nisi verum antea scrutatus fueris, cernere nequeas . . . . . Ceterum postquam haec scripsi, observandum mihi venit verbum ἐπιτρέχειν proprio quodam sensu aliquoties a Chrysostomo usurpatum, ut non multum distare videatur ἀπὸ τοῦ πάντα ποιεῖν καὶ ἐργάζεσθαι. Sic p. 723 E. ποσάκις γοῦν αὐτὸν διέπτυσαν ἄνθρωποι, ποσάκις ἀπεστράφησαν; αὐτὸς δὲ οὐ παύεται ἐπιτρέχων. Minus huc pertinet alius locus p. 733 B. ὁρᾷς ἐπιτρέχοντα ὅπου πλείων ὁ πόνος, ὅπου μείζων ὁ ἱδρώς; facit tamen et hic, ut acquiescere malim in lectione Codicum, ὑπὲρ et ἐπιτρέχει." *Heyse.* Verbum ἐπιτρέχειν cum significatione *praeveniendi* aliquem, vel *alacritate obviam eundi*, Nostro familiare est. Infra p. 676 C. παιδεύων ἡμᾶς μὴ ἀναμένειν τοὺς δεομένους . . . . ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν. Tom. X. p. 311 D. ὥσπερ οὖν αὐτός με ἔγνω πρότερος νῦν, καὶ αὐτός μοι ἐπέδραμεν, οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦμαι τότε. Sensum luculenter expressit Musculus: *si enim iis qui tales aliquando futuri sunt, etiam cum nondum sint, accurrit.*

P. 508 E. lin. penult. Vat. solus, καὶ ποῦ τοῦτο τῆς φιλοσοφίας τῆς σῆς;

P. 509 C. not.[i]. Pro ἀλῶν, τισὶν est in Flor. p. 27. (Tom. XII. p. 552 D.) Post ἀλῶν add. μετ' ἀλλήλων Vat.

P. 510 A. not.[c]. "στήκῃς G. Notent Grammatici." *Heyse.* Vid. Annot. ad Tom. VII. p. 482 D. ubi hunc locum in crisin vocavimus. Ceterum inter στήκῃς et ἑστήκῃς interdum difficilis est electio. Infra p. 690 A. dubitanter edidimus παρεστήκῃ pro παραστήκῃ. Alterius formae indubitatum exemplum habes Tom. II. p. 737 E. οὐ στήκει (τὸ ὕδωρ), ἀλλὰ κατέρχεται. Inter στήκοι et ἑστήκοι libri vacillant Tom. XI. p. 352 E. Imperativum στήκετε quasi vitii suspectum notavit *Cramer.* ad Catenam in Corinth. p. 335.

P. 510 D. not.[v]. "καὶ ᾖρει G. quod est aptius: recteque sibi opponuntur κατηγόρει et ἐσίγα, ᾖρει et ἠσχύνετο, ἐχειροῦτο et ἡλίσκετο." *Heyse.* Cf. Annot. ad p. 461 D.

P. 510 E. not.[c]. τοσοῦτον ἐμοὶ παρ' αὐτοῦ τὸ φίλτρον (Vat. solus τὸ παρ' αὐτοῦ φίλτρον). "Forte περὶ αὐτόν: non enim quantum Deus fuit dilectus, sed quantum dilexit Abel." *Dun.* "Non erat quod in dubium vocaret Dun. παρ' αὐτοῦ. Non sunt synonyma φίλτρον et ἀγάπη; sed accipimus φίλτρον (παρά τινος), ut in nobis excitet πόθον καὶ ἀγάπην. Cf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

p. 528 D. *μεγίστην τιθέμεθα δόξαν τὸ παρ' ἐκείνου φίλτρον.* Quod sicubi legitur *ἔχειν φίλτρον περί τινα* (ut pp. 600 E. 742 D.) minus est proprie et definite expressum." *Heyse.*

HOM. X.

P. 512 D. lin. 6. Post *ταύτην* Sav. addit *ἐν ᾗ ἑστήκαμεν*, quem secuti sunt Mor. Ben. contra fidem librorum et Ed. Veron.

P. 513 E. lin. penult. *ἀπογινώσκειν* **τὰ μέλλοντα.** "Lego *τῶν μελλόντων.* Sic magis usus loquendi fert." *Dun.* Proba tamen et illa constructio. Tom. XI. p. 773 C. *τὸ δουλικὸν γένος οὐ δεῖ ἀπογινώσκειν.*

P. 515 C. not.[b]. "MS. om. *δὲ* post *δεύτερον*, ut saepe fit recteque." *Heyse.* Cf. pp. 450 B. 465 E.

Ibid. lin. penult. *ἀπὸ τοῦ δώρου τοῦ δοθέντος.* Excidit *τοῦ δώρου* in Ed. Morelli, quem incaute imitatus est Montef.

P. 515 E. not.[m]. Edebatur, *ὧν οὐδὲν ἔστιν εἰπεῖν ἐπὶ τοῦ θεοῦ, ἐξ ὧν τὸν υἱὸν ἐξέδωκεν.* Olim nobis suboluit, quaedam hic deesse; et in margine scripseramus, "Post *θεοῦ* supple, *ὅτι μὲν γὰρ βούλεται, δῆλον.*" Nunc ea ipsa verba reperimus in uno nostrorum I. consentiente libro quo usus est Interpres Brixius, ut ex versione ejus colligimus: *nam quod ille voluerit, hinc declaravit, quod filium dediderit.*

P. 516 B. lin. penult. *τοῦτο βασιλείας μεῖζον*] *τοῦτο βασιλεῖς μείζους* (sc. *ποιεῖ*) Vat. Vehementer miramur, haec Heysio nostro *valde placuisse.* Nimirum *βασιλεία* est *regnum coeleste*, ut semper fere apud Nostrum. Vid. pp. 470 E. 471 A. *βασιλείας κελεύων καταφρονεῖν*, quae perperam de regno mundano cepit Montef. Tom. VII. p. 354 D. *καὶ μηδὲν μηδέπω περὶ* **γεέννης** *εἴπῃς, μηδὲ περὶ* **βασιλείας.** Ibid. p. 633 D. *τῆς βασιλείας* (vulgo addunt *τῶν οὐρανῶν*) *ἐκπεσόντας.* Tom. X. p. 14 C. *τῶν στεφανουμένων καὶ τῶν τῆς* (+ *θείας* Edd.) *βασιλείας ἐπιτυγχανόντων.*

P. 516 E. not.[n]. Vat. *τὸ κακόν.* Conjecit Sav. *τὸ κακοὺς* vel *τὸ κακόν.* "Malim *τὸ κακόν.*" *Heyse.* Librorum lectionem **τὸ κακὸς** *εἶναι*, olim vindicavimus in Annot. ad Tom. VII. p. 670 B.

P. 518 B. not.[o]. *ἀποδυσπετῶν καὶ* **ἀλύων** *καὶ βλασφημῶν.* "Deterius *ἀλγῶν.*" *Heyse.* Haec junguntur Tom. X. p. 265 C. *μὴ τοίνυν* **ἀλύωμεν**, *φησὶ, μηδὲ* **ἀλγῶμεν.** Permutantur Tom. I. p. 417 B. Adde *Jacobs.* ad Ach. Tat. p. 763 *not.*

P. 518 D. not.[c]. *ὑπὲρ τοῦ ὀνόματος*] + *αὐτοῦ* Veron. Sic G.I. + *τοῦ* Χριστοῦ Sav. Mor. Ben. et, ut videtur, D.E. *ὑπὲρ τοῦ ὀνόματος* simpliciter est in A.B.F.H. Ex his autem A. habet *τοῦ* Χριστοῦ a secunda manu insertum: Χριστοῦ habet B. sed a recenti correctore ascriptum: *αὐτοῦ* est in marg. F. Vid. Annot. ad Tom. VII. p. 428 D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

HOM. XI.

P. 519 E. not.h. Edebatur, *καὶ ἀπὸ τῶν ἐναντίων συνιστὰς τὸ προκείμενον, τουτέστιν, ἀπὸ τοῦ θανάτου καὶ τῆς ἁμαρτίας, πῶς καὶ τίνι τρόπῳ ζητεῖ, καὶ πόθεν εἰσῆλθεν κ.τ.ἑ.* Pro *συνιστὰς, συνιστᾷ* recepimus e libris in margine recensitis: "nempe ut plene interpungas post *ἁμαρτίας*, interrogative post *τρόπῳ*: recte omnino; nam vulgata, nisi ejeceris, *πῶς καὶ τίνι τρόπῳ*, non potest construi." *Heyse.* Deinde *ζητεῖ πόθεν εἰσῆλθεν*, reciso *καὶ*, habent B. G. E. Vat. *ζητεῖ τε πῶς εἰσῆλθεν* in marg. a secunda manu F. Nam in hoc libro, pariter ac in A.H.I. scriba ab *ἁμαρτίας* E. lin. 1. ad *ἁμαρτίας* lin. 3. transiliendo intermedia praetermisit. Solus D. ut videtur, cum impressis omni ex parte conspirat.

P. 520 A. not.q,r. "Legendum omnino *φασὶ* et *λέγοντα*; aliter oratio non cohaeret: quam etiam lectionem secutus est Interpres." *Dun.* Assentit Heysius, sed offendit in verbis *τὰ ἡμέτερα*. "Quid innuunt ista? Certe non Chrysostomi sententiam, sed ejus tantum novissima verba, quibus aliorum sententiam referebat .... Fortassis reponendum *τὰ ἕτερα*." Non crediderimus. Οἱ *τὰ ἡμέτερα εἰρηκότες*, sunt antiquiores illi Sacri Codicis Interpretes, quorum ope in commentariis suis conficiendis Chrysostomum usum esse vel ex hoc uno exemplo patet.

P. 520 B. lin. 6. Fortasse legendum, *αὕτη ἡ ἁμαρτία, φησὶν, ἡ ἐκ τῆς τοῦ νόμου παραβάσεως*, fere ut C. lin. 1.

P. 520 C. lin. 6. "Dele *πῶς ἐβασίλευσεν*." *Dun.* Sed recte vidit Boisius, Chrysostomum aliter hunc locum distinguere, quam vulgo legi solet: nempe, ut arcte jungantur *ἐβασίλευσεν ἐν τῷ ὁμοιώματι*, non *ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι*.

P. 520 D. not.b. "Morel. male, *καὶ εἰ τῷ τοῦ ἑνός*." *Montef.* Fallitur. Nam Morellus non discedit a lectione ante eum vulgata, *καὶ ἐν τῷ τοῦ ἑνός*. Sed *libri* omnes *εἰ* pro *ἐν recte* habent.

P. 520 E. not.o. *ὅταν οὖν ... ἐνταῦθα ἡ ὑπεροχή*. Post *ὅταν, κἂν, ἂν* verbum substantivum *ᾖ* abesse posse videtur. Vid. infra p. 735 B. Tom. X. p. 162 D. *κἂν εἰδωλολάτρις ἡ γυνή*. Adde 1 Cor. v. 11. juxta textum receptum.

P. 522 B. not.c. Post *πᾶσαν* sic legitur in Vat. *καὶ πῶς; ἄκουσον. ἐγεννήθημεν ἄνωθεν.*

P. 524 C. lin. 5. "*νόσου*] Sic MSS. Editi *νόσῳ*." *Montef.* *νόσου* Veron. *νόσῳ* Sav. Mor. operarum, ut videtur, culpa.

Ibid. not.o. Veron. habet, *ἀλλὰ καὶ τῶν πολλῶν ποιήσειε κύριον*, omissis *χρημάτων* et *εἶναι*. Illud quidem, etiam ab Interpretibus neglectum, siquis expunctum velit, nos quidem non repugnabimus. Sic Plut. Tom. I. p. 1031 B. *κατελθόντες δὲ οἱ πλεῖστοι πένητες, ὧν κύριοι πρότερον ἦσαν, ἐπελαμβάνοντο, καὶ βαδίζοντες ἐπὶ τὰ χωρία καὶ τὰς οἰκίας κ.τ.ἑ.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ibid. not.q. Musc. *transgressi:* Brix. *praetergressi.* Utrum παρέβησαν an ὑπερέβησαν legerint, non liquet. Sed constat ὑπερβαίνειν ἐντολὴν esse *praeceptum ita transgredi, ut plus quam illud postulet, facias.* Infra p. 578 C. καὶ τοῦτο δηλοῦσι τῷ καὶ ὑπερβαίνειν τὰ ἐπιτάγματα. Tom. X. p. 202 A. ὑπερέβην τὰ προστάγματα.

P. 524 D. not.t. Sex Codices A.B.F.G.H.I. haec habent: διὸ καὶ ἔλεγε (ἔλεγεν G.) καὶ βασιλεῦσαι αὐτὴν φησὶ (φησὶ om. B.) δεικνὺς (+ὅτι B.G.) ὥσπερ ἐβασίλευσεν . . . . οὕτω καὶ ἡ χάρις βασιλεύσει (hoc ex corr. A. βασιλεύει G.) Duo D.E. διὸ καὶ ἔλεγε καὶ βασιλεῦσαι αὐτήν· ἐπιφέρει γάρ, ἵνα ὥσπερ: cetera ut Editi. Ingeniose Heysius: "Ex lemmate, credo, in margine scripto irrepserunt haec: καὶ βασιλεῦσαι αὐτὴν φησι. Quanquam fieri etiam potuit, ut Chrysostomus h.l. id quod aliquoties fecit, non allato integro Pauli versu, in hunc modum maluerit commentando pergere: τίς οὖν τοῦ θανάτου ἡ ῥίζα; ἡ ἁμαρτία. διὸ καὶ βασιλεῦσαι αὐτὴν φησι, δεικνὺς ταύτην μὲν ἐν τάξει βασιλέως, τὸν δὲ θάνατον ἐν τάξει στρατιώτου etc. Posteriores cum apponerent verba Paulina, structuram concinnare non poterant."

P. 525 A. not.k. Editi ἐφείδετο. "A. corr. ὑφείδετο." *Editor* Ben. 2dae. Immo ὑπείδετο habet ex corr. A. quod etiam in G. et Vat. exstat. Musc. *veretur:* Brix. *cavebat.* Semel quidem apud Nostrum legere meminimus ὑπιδεῖν, Tom. III. p. 447 B. ἵνα πενίαν δείσῃς, ἵνα φοβηθῇς νόσον, ἵνα ὑπίδῃς δόξαν πονηράν. Sed longe frequentius ὑπιδέσθαι: e.g. Tom. IV. p. 65 E. ὑπιδέσθαι κίνδυνον. Ibid. p. 194 B. οὔτε ἔδεισεν, οὔτε ὑπείδετο (τι). Ibid. p. 584 D. οὐδὲν ὑπιδόμενος. Tom. X. p. 595 A. οὐδὲν τούτων ὑπείδετο (ὑφείδετο A. ἐφείδετο Veron.) Tom. IV. p. 32 C. ἐνταῦθα δὲ οὐδέν ἐστι τοιοῦτον παθεῖν (Sic Sav. in textu, sed in marg. ὑπιδέσθαι. Morell. ὑφιδέσθαι. Montef. ex pluribus libris, ut ait, ὑφικέσθαι). Tom. XII. p. 378 B. οὐ τοῦ βασιλεύοντος τότε τὸν θυμὸν ὑπειδόμενοι (sic). "Qui error librariorum est frequentissimus." *Schaef.* ad Plut. Vit. Tom. V. p. 69.

P. 526 D. lin. penult. καὶ γὰρ εἰς Sav. cum libris omnibus. οὐ γὰρ εἰς, mera negligentia, ut videtur, edidit Morell. Minus facile excusandus est Montef. qui maluerit ex ingenio ἢ γὰρ εἰς corrigere, quam libros inspicere.

P. 527 A. not.h. "Probo omnino οὐδὲν ἦν τὸ πονοῦν." *Heyse.* Mirum. Infra p. 566 A. οὐδὲν ἄτοπον γίνεται.

P. 528 C. lin. penult. κἂν περιφανής. "Add. in marg. F. antiqua manus, non aliena glossatoris, sed quae omissa supplere solet ex veteri Cod. τῆς ἀγάπης μὴ οὔσης βαθείας, πάντα ἐν δευτέροις τιθέμεθα τὰ περὶ αὐτόν." *Heyse.*

P. 528 D. not.k. Male admissum εἰς. Vid. Annot. ad Tom. VII. p. 471 A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 529. C. lin. 4. *καὶ ταῦτα πρὸς οὕτω πονηρὸν* **πολέμιον** *ἔχοντες.* Sav. in marg. *ἴσ. πόλεμον*, probante Editore novissimo. "Aut reponendum *πόλεμον*, aut delendum *πρός*." *Heyse.* Idem ad Cod. Vat. "Fort. *πολέμιον πόλεμον ἔχοντες*." Immo, nihil mutandum. *Ἔχειν πρός τινα* est *rem habere cum aliquo*, ut recte Interpres Anglus. Geminus est locus Tom. XI. p. 124 A. *εἰ γὰρ πρὸς αἰσθητοὺς ἔχοντες πολεμίους ἐκεῖνοι*, ubi itidem haesit Dunaeus. Adde ibid. p. 515 A. de Josepho: *ὁ τοίνυν πρὸς δεσπότην ἔχων τοιοῦτον μοχθηρόν*. "Fort. delendum *πρὸς*, et mox legendum *τοσοῦτον*." *Dun.* Tom. V. p. 334 A. *ὅταν πρὸς ἀγρίους ἔχωμεν, ὅταν πρὸς ἀνημέρους.* Tom. VI. p. 3 D. *ἐπειδὴ γὰρ πρὸς δῆμον εἶχον ἰταμὸν καὶ ἀναίσχυντον.* "Savilius verisimile putat post *εἶχον* aliquid deesse, puta *λέγειν* aut *πρεσβείαν*, vel simile quidquam. Boisius vero legendum esse *ἦχον* pro *εἶχον* ex conjectura existimat." *Montef.* Post *ἔχοντες* pergit Vat. *καὶ ἡ διήγησις ἡ αὐτή. πῶς; ἄκουσον. καὶ εἰ μὲν ὄφιν κ.τ.ἑ.*

HOM. XII.

P. 531 D. not.[b]. Pro "*μερῶν πονηρίαν* A. et a pr. man. B." corrigendum, "*μερῶν πονηρίαν* F. et a pr. man. B."

P. 532 C. not.[q]. *καὶ οὐ καθόσον* G. "Sententiae summa et apodosis omnino negationem postulat; quam aut h.l. positam virgula sejunge a *καθόσον*; aut si minus commode hic stare videatur, insere post *ἁμαρτίας*, legeque *οὐκ ἐκ δευτέρου*, sive *οὐχὶ δεύτερον*." *Heyse.* Scilicet fugit Censorem acutissimum, verba *καὶ καθόσον——εἰς σωτηρίαν*, pariter ac praecedentia ex Sacro Codice assumta esse. Idem Benedictinis accidit.

P. 534 D. lin. 7. *πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς δρόμον.* "Cf. *Alb. Jahn.* ad Gregor. Nyss. de Anima Ed. Krabinger p. 259 sq." *Krabinger.*

P. 535 E. not.[e]. Vitiosa est scriptura Cod. G. ita e Vat. emendanda: *καταργεῖται ὁ θάνατος.* **ἀθάνατος** *οὖν ἔσται.*

P. 537 C. lin. 1. Pro *προκειμένου, ὑποκειμένου* tacite ediderunt Mor. Ben. reclamantibus libris.

Ibid. lin. 4. *οὕτω καὶ ὁ πιστὸς, βίον* **δὲ** *διεφθαρμένον ζῶν.* Sic Vat. "Placet. Hoc Graecum est, neque tamen adeo urgenda antithesis, ut addas *πιστὸς μέν*. Alterum, quod Cod. exhibet, Graecitatis sensus et suadet et comprobat: alterum Scholastici foret, non Chrysostomi." *Heyse.*

P. 538 D. not.[c]. Edebatur *τὰ τῆς* **οὐσίας** *αὐτῆς.* Musc. *naturae:* Brix. *substantiae.* Praeter I. (qui *ὁσίας* in textu, in marg. autem a manu secunda *τῆς ταφῆς* habet) genuinam lectionem servavit Vindobonensis alter (Lamb. CXXXIV). Matthaeius, qui totum hunc locum excerpsit (Nov. Eclog. p. 436 sqq.) sagaciter vidit, tum vitiosam esse scripturam,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

tum qua ratione emaculanda sit. "Οὐσία nec sensu philosophico, nec sensu populari huic loco convenit. Primo hic non philosophice loquitur, sed populariter. Sed populari sensu jam dixit *φύσις*, quod idem est. Secundo, sensu populari de *opibus* accipi nequit, quod opes inferiores sunt natura et cognatione. Cur ergo additum sit *αὐτῆς*, quod rem auget? Ex iis, quae mox de sepulchris dicuntur, conjici possit *ταφῆς, jura sepulturae*. Sed hoc tamen nimis recedit ab edito .... Proxime ad *οὐσίας* accedit **ὁσίας**. Dicitur autem, ipso Chrysostomo auctore, *ὁσία* de justis quae persolvuntur mortuis. Vid. Tom. XI. p. 99 A. *διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν*. In uno hoc aliquis offendere possit, quod hic *ὁσία* et *δίκαια* junguntur.... Isidorus Pelusiota hunc totum locum fere ad verbum expressit Lib. II. Epist. 151. p. 192 E. Sed ibi etiam est *οὐσίας*. Collationes Isidorianae non sunt ad manus. Tamen in notis video memorari *ὁσίας*. Atque ita est ibid. Lib. II. Ep. 233. p. 229 B. *οὐδὲ τὴν ὁσίαν αὐτὴν αἰδεῖται (ἡ φιλοχρηματία)... ἀλλὰ καὶ* (forte addendum *κατὰ*) *νεκρῶν σωμάτων τὰς μιαρὰς... ὁπλίζει δεξιὰς, καινὸν καὶ παράνομον ληστείας ἐπινοοῦσα τρόπον....* Denique Lib. V. Ep. 491. **τὴν ὁσίαν αὐτὴν ὑβρίζεις**. Euseb. Praepar. Evang. p. 358 D. *μὴ ταφῆς νεκροὺς ἐξείργειν, ἀλλὰ καὶ γῆς αὐτοῖς ὅσον γε εἰς τὴν ὁσίαν προσεπιβάλλειν.*" Hactenus ille.

Ibid. not.[f]. *καὶ οὐδὲ τῷ θανάτῳ πρὸς αὐτοὺς σπένδονται*. "Est sane quo offendaris in vulgata. Recte dicimus *σπένδεσθαι* et *τινὶ*, et quod est usitatius Chrysostomo, *πρός τινα*. Sic ille p. 693 A. *ἵνα κἂν πρὸς ἀπελθόντα σπείσηται*. Quorsum autem hic utrumque simul, *τῷ θανάτῳ πρὸς αὐτοὺς σπένδονται*? ... Subintelligas licet *τῷ θανάτῳ ὑπείκοντες, ὑποχωροῦντες*; quaeras elegantiam in isto dativo, quasi sit *casus commodi* [hoc unice verum] ita explicandus ut videatur dicere, *θάνατον αἰδεσθέντες*; manet tamen in ipsa cogitatione ingratus pleonasmus. Fateor non mihi rem liquere. An reponendum *ἕλκονται*?" *Heyse*.

P. 538 E. not.[k]. *caedibus ac sceleribus* Brix. Musculus interpungit, *εἰς συμμαχίαν ἕλκοντες τῶν τοιούτων φόνων, μιασμάτων τὰς πόλεις ἐνέπλησαν*. Sic etiam Veron. Sav.

P. 539 B. not.[w]. Floril. in textu impresso *κίων* habet, sed notavit Etzelius in marg. "Exempl. *κύων*."

P. 539 C. not.[c]. "Praepositiones *ὑπὸ* et *ἀπὸ* dici non potest quoties confusa sint." *Bast.* Comment. Palaeogr. (ad Greg. Cor. p. 794 Ed. Schaef.) Musculus: *ex auro et argento parantur*. Brixius: *auro et argento decorantur*. In talibus describendis aut *ἀπὸ* aut *ἐκ* usurpat Noster. Tom. XI. p. 327 D. *τὰ δὲ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη ἀπὸ ὑέλου κατασκεύασθω μόνης*. Ibid. p. 378 B. *καθέδραι καὶ ὑποπόδια ἐξ ἀργυροῦ πάντα*.

P. 539 D. lin. 6. *τὰ γὰρ ἔτι τούτων ἀτιμότερα σκεύη*. Hanc turpitudinem

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

tecte carpit Noster infra p. 626 C. Tom. VII. p. 261 E. *καὶ τὰς ἀργυρᾶς τραπέζας καὶ τὰ ἄλλα τὰ καταγελαστότερα ἐπινοοῦσιν.* Apertius Tom. XI. p. 377 D. *οἱ κεράμια ποιοῦντες χρυσᾶ, καὶ χύτρας, καὶ ἀλάβαστρα. τί δὲ αἱ γυναῖκες· αἰσχύνομαι μὲν οὖν, πλὴν ἀναγκαῖον εἰπεῖν·* **ἀμίδας ἀργυρᾶς** *ποιοῦσαι;* Adde Clem. Alex. Paedag. p. 188 Ed. Pott. *κλιντῆρες δὲ ἀργυραῖ, καὶ λεκάναι, καὶ ὀξύβαφα, καὶ πινακίσκοι, καὶ τρυβλία· πρὸς ἐπὶ τούτοις σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ, τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς,* (fort. *ἃς*) *αἰσχύνομαι καὶ λέγειν, χρείας.* Ibi Scholiast. *τὰς λεγομένας ἀμίδας φησὶν, αἵτινες οὖρου καὶ ἀφόδου εἰσὶ δοχεῖα.*

P. 540 E. not.o. *ὁ καθήμενος αὐτόν.* Sic Tom. VIII. p. 395 C. *τὸ δὲ ὄνον καθίσαι, μέλλον πρᾶγμα προδιατυποῦντος* (alii *ὄνῳ*, vel *ἐπὶ ὄνον*). Cf. Annot. ad Tom. VII. p. 655 C.

P. 541 A. lin. ult. *λέγεται γάρ τις ἐκείνων.* Aristippus notatur. Diog. Laert. in Vita ejus §. 75. *ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει· τοῦ δ' ἀγανακτήσαντος, οὐκ εἶχον, εἶπε, τόπον ἐπιτηδειότερον.*

HOM. XIII.

P. 542 B. lin. ult. *τὸ σύμμετρον τῇ προσηγορίᾳ τοῦ* **ἀνθρωπίνου** *δηλοῖ.* "Demosth. c. Mid. *ποία γὰρ πρόφασις; τίς* **ἀνθρωπίνη** *καὶ μετρία σκῆψις;* Horat. Lib. II. Ep. 2. Intervalla vides *humane* commoda: i.e. non valde commoda, ut sunt res humanae." *Dun.*

P. 543 A. not.x. *ἀναπλοῖ*] *ἐξαπλοῖ* (*ἐξ* in rasura) Vat. De verbo *ἀναπλοῦν* dictum ad Tom. VII. p. 487 E. ubi itidem cum *ἀναπληροῦν* confunditur. Legitur *λόγον ἀναπλῶν* Tom. V. p. 485 B. *ἀναπλῶσαι σαφέστερον* Tom. X. pp. 641 C. 658 C. Alio loco Tom. VI. p. 19 B. ubi edebatur *τὰς προφητείας* **ἀναπληρώσας**, Montef. ex Codice dedit *ἐξαπλώσας.*

P. 546 E. not.w. *οὐκοῦν οὐ*] *οὐκοῦν* G. "Lego *οὔκουν.*" *Heyse.* Cf. p. 575 D. not.d.

Ibid. lin. 10. Pro *κατειχόμεθα, κατεχόμεθα* tacite edidit Montef. invitis libris.

P. 547 A. lin. 2. Ediderunt Sav. et ejus successores, *ἀλλ' οὐχ ὁμοίως, ἀλλ' ὥστε* **δουλεύειν** *ἡμᾶς ἐν καινότητι κ.τ.ἑ.* Verba *ὥστε δουλεύειν ἡμᾶς* absunt ab Ed. Veron. et libris omnibus.

P. 547 B. lin. ult. *καὶ γέενναν ἠπείλησε.* Ad hunc locum notavit in margine scriba Codicis E. *Ἄλλως τὸν θεόλογον λέγοντα ἐν τῷ β'. λόγῳ τῶν στηλιτευτικῶν, καὶ πρόσχες ὅλῳ τῷ χωρίῳ.* Paullo post adscripsit: *καὶ τοῦτο ἄλλως ἐν τῇ χθὲς τῇ λαμπρᾷ:* sine indicatione loci.

P. 547 E. lin. 1. *ἀλλ' ἐξ* **ἀντιλογίας.** Ante Morellum vitiose legebatur *αἰτιολογίας.* Vera scriptura est in A. D. E. F. G. H. fortasse omnibus.

P. 548 A. not.k. Verterunt; *quare et objectionem illam antevertens*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(προλαβὼν ἐκείνην) Brix. *propterea igitur per occupationem auditorem praeveniens* (προλαβὼν ἐκεῖνον) Musc. Retinemus ἐκεῖνον, sed προλαβὼν in προσλαβὼν mutato, ut sensus sit, *auditorem sibi comitem adjungens:* scilicet per interrogationem, τί οὖν ἐροῦμεν; Cf. Annot. ad Tom. X. p. 505 E.

P. 548 C. not.[y]. ἀλλὰ ἠρέμα καὶ κατασκευαστικόν. Vid. Annot. ad p. 730 C.

P. 549 B. not.[x]. τὰ ἐντεῦθεν λεγόμενα. Sic Tom. X. p. 73 C. οὐ μικρὸν ἡμῖν τοῦτο τὸ προκείμενον ζήτημα ἐντεῦθεν. Ibid. p. 629 A. θεραπεύει μὲν αὐτὸ ἐν τῇ προτέρᾳ ... γλυκύτερον δὲ ἐντεῦθεν (sic a nobis editum pro ἐνταῦθα) καὶ προσηνέστερον.

P. 550 A. lin. 2. καὶ σφόδρα Edd. "Scribe σφοδρά." *Heyse.* σφοδρὰ est in Vat. fortasse aliis.

Ibid. not.[t]. ὑπὸ κατήγορον G. "Nempe volebat ὑποκατήγορον, i. e. κρύβδα κατηγοροῦσαν, quae est haud contemnenda lectio, immo prope necessaria propter oppositum νόμον φανερῶς διαγορεύοντα." *Heyse.* Sed tale compositum Graecitas ignorat.

P. 551 A. not.[t]. Fortasse retinendum erat πόλεμον. Infra p. 685 E. παιδεύων μὴ περιττοὺς ἀναδέχεσθαι πολέμους.

P. 551 D. not.[i]. Rectius abesse videntur verba καὶ αὐτὴ δὲ ἡ πρᾶξις, quae propter illud quod mox legitur p. 552 A. μὴ δύναμίν τινα ἐνυπόστατον νομίσῃς, ἀλλὰ τὴν πρᾶξιν τὴν πονηρὰν, a castigatore male sedulo inserta esse conjicias. Exstant tamen in Catena, ubi copula ante ἡ ἐπὶ τὸ χεῖρον ὁρμὴ deest, non male.

Ibid. not.[l]. Forma ἰατικὸς semel legitur apud Nostrum Tom. XII. p. 376 A. τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰατικά.

P. 552 A. not.[c]. "Omissio non placet. Est enim τοῦτο τὸ μέρος *haec provincia, haec pars sermonis.*" *Heyse.*

P. 552 E. not.[t]. κἂν μυριάκις τρυφῆς ἀπολαύωσιν. Cf. Tom. VII. p. 267 A. καίτοιγε κἂν μυριάκις ἐν ἀσφαλείᾳ γένηται κάτω.

Ibid. not.[y]. De confusione trium vocabulorum μοιχὸς, μοναχὸς, μονομάχος dictum in Annot. ad Tom. VII. p. 698 D. Iste locus est: οἷον ἂν εἴ τις παρθένον καὶ θυγατέρα βασιλέως ἀπὸ τοῦ θρόνου κατενεγκὼν τοῦ βασιλικοῦ, κελεύοι μονομάχοις (vulg. μοιχοῖς) ἀνδράσι καὶ διαπτύουσιν αὐτὴν ἑαυτὴν ἐκδιδόναι: quocum omnino conferendus erat locus Euseb. Hist. Eccles. VI. 5. τέλος ἐφ' ὕβρει τοῦ σώματος μονομάχοις αὐτὴν ἀπειλῆσαι παραδοῦναι. Porro conjecturae nostrae ibidem propositae de alio Nostri loco (Tom. XII. p. 154 B. καὶ τοῦτο δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ χρυσίον διδόντος εἰσί· κἂν γὰρ δοῦλος ᾖ, κἂν ἐλεύθερος, κἂν μονομάχος (μοναχὸς Edd.) κἂν ὁστισοῦν, προτείνῃ δὲ τὸν μισθὸν, καταδέχονται) ne nunc quidem nos poenitet, immo magis magisque in ea acquiescimus. Cf. Tom. I. p. 20 E. οὐχ ὁρᾷς καὶ ἐν τοῖς χαμαιτυπείοις τῶν γυναικῶν ὅτι τὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν εἰδεχθεῖς καὶ ἀναισχύντους μονομάχοι *καὶ δραπέται καὶ θηριομάχοι μόλις ἂν προσοῖντο κ.τ.ἑ.*

P. 553 A. lin. 6. *ἀναμνήσθητε τοῦ λόγου κ.τ.ἑ.* Cf. supra p. 537 E.

P. 554 A. not.[a]. *διψῶντες*] *διψῶνταs* Sav. solus, quod nescimus an typothetae tribuendum.

P. 554 C. lin. ult. *οὐδὲν παρὰ τοῦτο*: *nihil erit ab hoc damni*, vel *nihil oberit* Musc. *non in hoc positum est salutis momentum* Brix. Vid. Annot. ad Tom. VII. p. 512 C.

P. 555 C. not.[m]. *πόνος*] + *ἐκείνοις τοῖς ἀκολάστοις* Floril. p. 213 (Tom. XII. p. 523 E.)

Ibid. lin. penult. *ἐὰν ἄρα ποτὲ ἀπαλλαγῇ*. Particula *ἄρα* abest a textu Benedictino, invitis libris.

P. 556 A. not.[k]. *ἀλλὰ καὶ τοῦ παθεῖν εὖ. sed etiam ut beneficio afficiamur* Brix. " Utique recipiendum *τοῦ παθεῖν εὖ* sive *τοῦ εὖ παθεῖν*. Propter id ipsum enim *τὸ εὖ* facile omittitur, quod facile locum mutat." *Heyse.* Cf. Tom. X. p. 52 D. not.[g].

P. 556 B. lin. 5. *ὅταν τοίνυν κ.τ.ἑ.* Sequentia excerpsit Auctor Florilegii p. 278. (Tom. XII. p. 559 D.) unde varietas lectionis aliquantulum amplificari potest: B. not.[s]. *ὑβρικότα*. Mox *σὲ μὲν ἐπαινέσονται*] + *καὶ θαυμάσονται*. not.[t]. *χαλεπώτερον*. D. not.[f]. *ἀμύνασθαι*.

HOM. XIV.

P. 558 A. not.[x]. Cf. p. 562 A. *εἶδες πῶς ἔδειξεν ἀναγκαίαν τῆς χάριτος τὴν* παρουσίαν.

P. 558 B. not.[c]. *τὰς λέξεις* ἐκδεξώμεθα. Infra p. 568 A. *ἐὰν ἁπλῶς τὰ λεγόμενα ἐκδεξώμεθα*. Tom. X. p. 643 E. *ὅταν δὲ ἀκούσῃς σταυρὸν καὶ ζωὴν, τὸν περὶ τῆς οἰκονομίας ἐκδέχου λόγον*. Tom. V. p. 188 C. *τὰ δὲ κατὰ διπλῆν ἐκδοχὴν, τά τε αἰσθητὰ νοοῦντες, καὶ τὰ νοητὰ ἐκδεχόμενοι*. Dicitur etiam ἐκλέγειν *τὰς λέξεις*, ut Tom. III. pp. 392 D. 395 D. sed nunquam, ni fallimur, *ἐκλέγεσθαι*.

P. 559 E. lin. 3. *πρὸς τὸ τὸν ἵππον ἄγχειν ὡς βούλεται*. Sic Sav. et libri omnes. *ἄγειν* Veron. *ἄρχειν* Mor. Ben. *agere* Musc. *regere* Brix. Unice verum est *ἄγχειν*. Sic Noster Tom. IX. p. 232 C. *ὅτι εἰ ἐλέφαντας καὶ ἵππους ἀγρίους ἄγχομεν σπουδάζοντες, πολλῷ μᾶλλον τὰ πάθη τὰ ἐν ἡμῖν*. Tom. XII. p. 289 C. *ἀλλ' ἄγξον τὴν ψυχὴν, καὶ ἐπίθες αὐτῇ κημόν· καθάπερ γὰρ ἵππος δυσήνιος οὕτω δυσανασχετεῖ*. Dio Chrys. p. 590, 45. *καὶ ὁ ἡνίοχος ἐκράτει τοῦ χαλινοῦ, τὸ πολεμικὸν σάλευμα τοῦ ἵππου ἀπὸ ῥυτῆρος ἄγχων*.

P. 561 C. not.[b]. Vid. Annot. ad Tom. X. p. 310 D.

P. 561 D. not.[n]. *βοηθησόντων*. " Sic in Epistolis ad Olymp. aliquoties, *ἐρημία τῶν θεραπευσόντων*." *Heyse.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 562 D. not.[i]. *κατ' αὐτόν.* "Lege *κατὰ τὸν αὐτὸν χρόνον.*" *Dun.* "Sed fortasse nihil mutandum. Sic enim Demosthenes, quem in multis imitatur Noster, dicit *κατ' ἐκεῖνον* (*τὸν χρόνον*) vel etiam *κατ' ἐκείνους.* Cf. *Dindorf.* Praef. ad Dem. p. ix." *Heyse.* Hoc non defendit *κατ' αὐτὸν* vel *κατ' αὐτὸ, simul, eodem tempore;* quae tamen locutio apud recentiores quidem indubitatae est fidei. Noster Tom. IV. p. 592 C. *ἄλλως δὲ καὶ τὰ δύο παιδία κατ' αὐτὸν τικτόμενα τῶν δύο λαῶν ἦν τύπος.* Ibid. p. 594 C. *καὶ τὸν Φινεὲς, ὡς κατ' αὐτὸν δύο φόνους ἐργασάμενον.* Tom. III. p. 31 A. *τρία κατ' αὐτὸν ἀγαθά.* Tom. X. p. 126 E. *ὅταν πάντας ὁμοῦ καὶ κατ' αὐτὸ εἶναι ποιῇ.* Cf. *Toup.* ad Suid. Tom. II. p. 73. *Jacobs.* ad Ach. Tat. p. 626.

P. 562 E. not.[l]. Olim conjeceramus *συμμέτρων* vel *προτέρων.* Confusa videas *ἡμέτερος* et *πρότερος* supra p. 556 E. Sed praestare videtur *συμμέτρων.* Tom. IV. p. 704 C. *ἵνα καὶ ἁμαρτάνουσι σύμμετρα συγγινώσκωσι τοῖς παισί.*

P. 563 B. lin. 1. Post *τῆς ζωῆς* addunt *ἐν Χριστῷ Ἰησοῦ* Sav. Mor. Ben. repugnantibus libris. "Verba *ἐν Χριστῷ Ἰησοῦ* absunt a Mosqq." *Matth.* Num etiam infra D. lin. 8?

P. 564 B. not.[t]. "*μηκέτι ὄντα αὐτά.* Quid hoc? Lego *μηκέτι πράττοντα αὐτά.*" *Dun.*

Ibid. not.[a]. *ἕως ἂν ἀπήλλαξε.* Eadem est constructio *τοῦ ἕως* infra p. 710 B. *ἕως ἂν ἔλυσαν τὴν ὀργήν.* Tom. II. p. 139 B. *ἕως ἂν τὸ ἀπολωλὸς εὕρε.*

P. 565 C. lin. 6. Distinctionem correximus ex G. et Cat. Editi sic: *οὐκοῦν οὐχ ἁμαρτησόμεθα λοιπὸν, οὐχ ἁμαρτησόμεθα, ἂν μὴ κ.τ.ἑ.* "Lego *οὐκοῦν ἁμαρτησόμεθα λοιπόν; οὐχ ἁμαρτησόμεθα, ἄν.*" *Dun.*

P. 566 A. lin. 2. *οὐδὲν ἄτοπον φαίνεται, ἀλλ' ὅτι φέρειν καρποὺς κ.τ.ἑ.* (vid. p. 567 A. lin. 2). Sic Veron. omissis quae interjacent.

Ibid. lin. 4. *ὅταν . . . . κατεξανίσταται* Edd. *ὅταν . . . . κατεξανισταίη* Cat. Accentum mutavimus, ut conjunctivus sit verbi *κατεξανιστᾶν.* Quod si minus placet, legendum *κατεξανιστῆται,* ut Tom. X. p. 406 E. ubi vid. Annot.

P. 567 A. lin. 5. *ὅταν εἰσάγῃ τὰ ζιζάνια γινόμενα σῖτον.* "Haec de zizaniis dicta cum Evangelio non omnino consonare videntur." *Montef.* Consonant cum Evangelio, ut ab ipso Chrysostomo enarratur, Tom. VII. p. 482 C. *Τί δέ ἐστι, "μὴ ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον;" Ἡ τοῦτό φησιν, ὅτι εἰ μέλλοιτε κινεῖν ὅπλα καὶ κατασφάττειν τοὺς αἱρετικοὺς, ἀνάγκη πολλοὺς καὶ τῶν ἁγίων συγκαταβάλλεσθαι· ἢ ὅτι ἀπ' αὐτῶν τῶν ζιζανίων πολλοὺς εἰκὸς μεταβαλέσθαι καὶ γενέσθαι σῖτον. Ἂν τοίνυν προλαβόντες αὐτοὺς ἐκριζώσητε, λυμαίνεσθε τῷ μέλλοντι γίνεσθαι σίτῳ.*

P. 567 C. lin. 2. Edebatur, *ἐπειδὴ γὰρ οὐκ ἀνάγκη φύσεως τὸ δῶρον ἐνέθηκεν, ἀλλ' ἐλευθερία προαιρέσεως ἐνεχείρισεν*: h. e. vertente Montef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

quia vero non necessitas naturae donum intulit, sed libertas propositi largita est. Scripsimus *ἀνάγκη* et *ἐλευθερίᾳ* de nostro.

P. 568 A. not.[r]. "*τῷ βαράθρῳ* H. Male. Vid. Annot. ad Gregor. Nyss. de Precat. p. 138 sq." *Krabinger.*

Ibid. lin. 8. *σάρκα* γὰρ *ἐνταῦθα.* Pro *γὰρ, καὶ* mendose scripsit Mor. quem secuti sunt recentiores.

P. 569 B. lin. 7. *καὶ σταυρουμένη πάντοθεν.* Vid. Annot. ad Tom. X. p. 177 D.

P. 569 D. not.[l]. Libri omnes, tam scripti quam editi, *πάλιν τὸν Χριστὸν ἐπ' αὐτῶν,* nullo sensu. Catena sola, *πάλιν τὸ χρηστὸν ἐπ' αὐτῶν,* egregie: atque id ipsum aut in suo exemplari invenit, aut ex ingenio commentus est Musculus, vertens: *Rursus quod bonum erat et acceptabile ipsis accommodat.*

P. 569 E. lin. 6. *τὸ μὴ δύνασθαι ἀρέσαι τοῖς ἐκείνου νόμοις.* "Hic locus mendi manifestus. Legendum *ἀρέσκεσθαι.*" *Dun.* Boisius tentat, *ἀρέσαι αὐτῷ καὶ τοῖς ἐκείνου νόμοις ὑποτάσσεσθαι.* "Suspicabar *ἀρκέσαι*: sed nihil mutandum. Cf. p. 723 A. *οὗ χωρὶς οὐδὲ ὁ μαρτυρῶν θεῷ σφόδρα δύναται ἀρέσαι.*" *Heyse.* Verum aliud est *ἀρέσαι θεῷ,* aliud, et quidem insolentius dictum, *ἀρέσαι τοῖς τοῦ θεοῦ νόμοις.* Nobis quidem non displicet *ἀρκέσαι, sufficere, parem esse.*

Ibid. *τὸ μὴ εἶναι* ὡς χρὴ *τοῦ Χριστοῦ.* "Egregie Dunaeus, ὡς Χριστοῦ *τοῦ Χριστοῦ,* quod unice probo." *Heyse.*

P. 570 B. not.[b]. Hic quidem tanta est librorum dissensio, ut marginis limites exsuperet.

τοῦτο γὰρ τὸ τὸν Χριστὸν ἔχειν, τοῦ τὸ πνεῦμα κ.τ.έ. Veron.
τοῦτο γὰρ τοῦ τὸν υἱὸν ἔχειν, τοῦ τὸ πνεῦμα Sav. Ben. Ita H.
τὸ γὰρ τοῦ τὸν υἱὸν ἔχειν, τοῦ (corr. *τὸ*) *τὸ πνεῦμα* F.
τὸ γὰρ τοῦτο τοῦ τὸν υἱὸν ἔχειν, τοῦ τὸ πνεῦμα A.
τοῦτο γὰρ τοῦ τὸν Χριστὸν ἔχειν, τοῦτο τὸ πνεῦμα (et add. *τοῦτο* post *εἶναι*) G.
τοῦ γὰρ τὸν Χριστὸν ἔχειν, τοῦ τὸ πνεῦμα B.
τοῦ γὰρ τὸν Χριστὸν ἔχειν, καὶ τὸ πνεῦμα D.E.
τοῦ γὰρ τὸν υἱὸν ἔχειν, καὶ τοῦ τὸ πνεῦμα I.

Denique, quod nos edendum curavimus, *τοῦ γὰρ τὸν υἱὸν ἔχειν, τοῦ τὸ πνεῦμα* Cat.

P. 571 A. not.[d]. *ἐτάφη* verterunt Interpretes. Fortasse scripsit Auctor, *ἐσταυρώθη καὶ ἀπέθανε καὶ ἐτάφη.*

P. 571 D. not.[s]. *τὸν σκιρτῶντα.* Cf. p. 696 E. *οὐχ ἵνα ὑγιαίνωσιν, ἀλλ' ἵνα* σκιρτῶσιν, *ἵνα τὴν ἐπιθυμίαν ἀνάπτωσιν.*

P. 572 B. lin. 2. *ἅπαντας* post *ζῶντας* casu omisit Montef.

P. 572 C. lin. 5. *οἴνου πνέων* ὀδωδότος. Frequentius quidem dicitur *οἶνος* σεσηπώς. Noster infra p. 537 E. Tom. X. p. 377 A. *ὅταν γὰρ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐρεύγηται συνεχῶς ἀηδῆ, καὶ σεσηπότος οἴνου πνέῃ. S. Basil. Tom. II. p. 10 B. σεσηπότος οἴνου ἀπόζων. Utrumque conjungit Noster, modo sana sit lectio, Tom. IX. p. 218 A. πῶς ἔστιν ἀηδὴς οἴνου ἀποπνέουσα γυνὴ ὀδωδότος, σεσηπότος.

P. 572 D. not.P. ἐκ τῆς κωμῳδίας ἐκείνης. "Censeo legendum ἐκ τοῦ κώμου καὶ τῆς παροινίας ἐκείνης . . . . vel ἐκ τοῦ κώματος τῆς παροινίας ἐκείνης . . . . Nulla hic comoediae similitudo." *Dun.* "Videtur legendum ἐκ τοῦ κώματος ἐκείνου vel ἐκ τῆς κωμασίας ἐκείνης, quarum correctionum alteri magis favet τὸ ἀναστὰς, alteri τὸ νήφειν." *Heyse.* Idem ex curis secundis: "Sed interdum apud Chrys. κωμῳδία alio sensu usurpatur, quam quo noverunt antiqui sermonis scriptores. Cf. Tom. X. p. 61 C. τοῖς οὐδὲν ἄλλο εἰδόσιν ἢ μεθύειν καὶ γαστρίζεσθαι, τοῖς ἑορτὰς ἐπιτελοῦσιν οὐδαμόθεν ἄλλοθεν συνεστῶσας ἢ ἀπὸ αἰσχρότητος καὶ γέλωτος καὶ κωμῳδίας ἁπάσης. Ibid. pp. 105 B. 106 B." Hoc verum. Scilicet cognata vocabula κῶμος et κωμῳδία nullo fere discrimine adhibet Noster. Κῶμα vero et κωμασία apud eum legere non meminimus.

P. 573 A. lin. 4. καὶ μεθυόντων (h.e. *ebrii cum ebrio*) ποιήσωμεν σύγκρισιν. Frustra Dunaeus legendum censet καὶ πλεονεκτῶν καὶ μεθυόντων, probante etiam Heysio nostro. Nam paullo post sequitur: τὸ μὲν γὰρ εἶδος τῆς μέθης διάφορον, ἐπειδὴ τὸ μὲν ἐξ οἴνου, τὸ δὲ ἀπὸ χρημάτων γίνεται· τὸ δὲ πάθος ὅμοιον. Si quid mutandum, libenter legerimus καὶ μεθύοντος καὶ μεθύοντος ποιήσωμεν σύγκρισιν.

P. 573 D. not.W. Edebatur κἂν ὁστισοῦν, ἐγγελάσεται δαψιλές. Musc. *deridebitur abunde.* Brix. *majorem in modum ludibrio haberi.* Montef. *effuse irridebitur.* Contra linguam omnes; nam ἐγγελάσεται activum est. Codices B.E. ἐκγελάσεται dant; ἐγελάσετε I. ἐγελάσατε A. quod fugit Editorem Ben. 2dae. Scripsimus igitur cum interrogatione, Ἐγελάσατε δαψιλές; (Cf. Tom. X. p. 199 E. καὶ γελάσαι μοι λοιπὸν δαψιλὲς ἐνταῦθα ἐπέρχεται.) Scilicet inter concionandum auditoribus mos erat plausu, risu, variisque acclamationibus verba Oratoris excipere. Tom. VII. p. 232 D. ἐπηνέσατε τὰ εἰρημένα; ἀλλά μοι κρότων οὐ δεῖ. Tom. IX. p. 239 C. διὰ τί ἐκρυτήσατε; Tom. X. p. 239 E. ἐβοήσατε μεγάλα; Infra p. 697 C. ἀλλ' ὅμως· καὶ τάχα γελάσεσθε τὸ εἰρημένον, ἐγὼ μέντοι αὐτὸ ἐρῶ.

P. 574 A. lin. 2. Pro μετὰ τὴν νύκτα, κατὰ τὴν νύκτα dedit Montef. mendo typographico, ut videtur.

P. 574 E. not.i. ἵνα κἂν τῇ συνηθείᾳ δυνηθῇ τι γενέσθαι πλέον. Unus συνεχείᾳ, non male: *assiduitate* Brix. Tom. I. p. 423 D. ὅθεν ἀνάγκη τῷ διδασκάλῳ σπείρειν καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν, ἵνα τῇ γοῦν συνεχείᾳ δυνηθῇ κρατηθῆναι παρὰ τοῖς ἀκούουσι τῆς διδασκαλίας ὁ λόγος. Ibi Montef. "Savil. et plurimi MSS. συνεχείᾳ: Morel. et pauci συνηθείᾳ."

Ibid. lin. 8. κἂν τὸν νόσῳ μακρᾷ προσηλωμένον. "Respexit nimirum

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Plat. Phaed. p. 83 D. ad quem locum vid. *Wyttenbach.* p. 220." *Krabinger.*

P. 575 A. lin. ult. καὶ αὐτῆς ἐκπεπτωκέναι τῆς ζωῆς. "Vid. *Boissonade* ad Eunap. p. 400. coll. Aeschyl. Prom. V. 996. Thucyd. VIII. 81." *Krabinger.*

HOM. XV.

P. 575 D. lin. 1. "Post βίου Corrector F. jubet inseri, καὶ ὅτι τὸ πνευματικοῦ εἶναι βίου ἐν ζωῇ καὶ εἰρήνῃ διατελεῖν ποιεῖ." *Heyse.*

Ibid. not.[d]. "οὐκοῦν ὀφείλομεν G. Scribe οὔκουν. Cf. p. 546 E. not.[w]." *Heyse.* οὔκουν ὀφείλομεν Vat.

P. 575 E. not.[i]. εἰ abest a quibusdam Codd. N.T. apud Matthaeium. non a Chrysostomicis. Sed verba καὶ ὑπὲρ πάντων ἀπέθανεν silentio praeteriit Noster ad loc. Vid. Tom. X. p. 513 E.

P. 576 B. not.[t]. "Aut recipiendum αὐτῇ, aut ejiciendum δέχεσθαι." *Heyse.*

P. 578 B. not.[t]. "Corrupit interpolator. Nihil subintelligitur quam quod proximum est, οὕτως ἐκαλοῦντο. Παῖδας γὰρ εἰώθαμεν τοὺς δούλους καλεῖν." *Heyse.*

P. 578 C. lin. ult. ἀλλὰ ἀρκεῖ τραπέζης ἐκβληθῆναι πατρικῆς. Hic in margine Codicis I. a librario adscripti sunt versus qui sequuntur Iambici.

Στίχες τοῦ Κυρεφυλάτου*.

Θείας τραπέζης ἐκβαλεῖς τοὺς Βουλγάρους;
πάνυ γε φροντίσουσιν ὡς ποθητέας.
ἄλλης τραπέζης ἐκβαλὼν λυπεῖς πλέον,
ζωμῶν γεμούσης, κρομμύων, σκόρδων, μέθης.
οὓς ἡ διορθώσαιτο Χριστὸς ἐν τάχει,
ἢ τῆς τομῆς μάχαιραν αὐτοῖς ἐμβάλοι.

P. 579 A. lin. 4. ἐκεῖνοι] ἐκεῖναι Sav. errore typographico; quem tamen non correxerunt Mor. Ben.

P. 580 A. not.[x]. Vaticanus, quem deficiente G. hic illic inspeximus: ἐπειδὴ οὐ πάντες κληρονόμοι μεγάλων εἰσὶ πραγμάτων; non male.

P. 580 C. lin. penult. ὡς ἀεὶ δωρεὰν σωζόμενοι] ὡς ἂν οἱ δωρεᾷ σ. Vat.

P. 580 E. not.[q]. τὰς ἐπαγωγὰς Vat. Vid. Annot. ad Tom. X. p. 422 A.

P. 581 C. lin. 3. Pro συγκεκλήρωται, συγκαταλύεται est in Vat.

P. 582 A. lin. 2. καὶ τὰ φατνώματα ὀλολύζοντα τὰ τοῦ ναοῦ Vat. Vid. Amos. viii. 3. LXX.

* "Vel Κυροῦ φυλάτου? Scriptura enim minutissima et compendiose exarata. Hujusmodi nomen proprium Graeci auctoris, nisi τὸν Κουροπαλάτην, ignoramus." *Collator.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 582 C. lin. 7. *οὐδὲ γὰρ——ὑποστήσονται*] *οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι τοιαύτην ὑποίσονται* Vat.

P. 582 D. lin. 4. *καὶ τὴν αἰτίαν ἡμᾶς τίθησι*] *τὴν αἰτίαν εἰς ἡμᾶς τιθεὶς* Vat.

P. 582 E. lin. 8. Vulgo interpungunt *οὐκ ἐκείνης κατόρθωμα. τοῦτο εἰπὲ δὴ, καὶ ποίᾳ ἐλπίδι.* Post, non ante, *τοῦτο* disting. F. Vat. alii.

P. 583 C. not.[c]. "*μελήσει*] Sic omnes. Sed legendum videtur *μελλήσει*, ut conjicit Savilius." *Montef.* Scriptura *μελλήσει* exstat in duobus nostrorum, qui sunt illi ipsi, quos contulisse se profitetur Montef. Legitur hoc vocabulum infra p. 737 E. Tom. VII. p. 267 D.

P. 584 A. not.[o]. *εἰς τὴν ἰδίαν αἰχμαλωσίαν* Vat.

P. 584 D. not.[z]. *φορᾶς* est in Vat. non male. Vid. Tom. X. pp. 406 A. 600 D.

P. 585 C. not.[a]. D. not.[ε]. Nunc *προσευξόμεθα* scribendum esse censemus, tum hic, tum infra pp. 593 E. 594 B.

P. 585 E. lin. 4. *τῶν κινδύνων*] *ὑπὲρ τῶν κινδύνων* invitis libris edidit Morell. quem secuti sunt Benedictini.

P. 586 E. not.[i]. Lectio Codicis G. haec est. *φθαρτὸν τὸν κόσμον, δι' ἡμᾶς ἄφθαρτον. δι' ἡμᾶς κακωθῆναι τοὺς προφήτας. δι' ἡμᾶς εἰς αἰχμαλωσίαν ἀφῆκεν. δι' ἡμᾶς εἰς κάμινον ἐμπεσεῖν. δι' ἡμᾶς τὰ μυρία ὑπέμεινε κακά. καὶ προφήτας δὲ δι' ἡμᾶς αὐτοὺς ἐποίησεν. καὶ ἀποστόλους δι' ἡμᾶς. δι' ἡμᾶς τὸν μονογενῆ. τὸν διάβολον δι' ἡμᾶς κολάζει.*

P. 588 B. not.[v]. Verba sunt Esaiae, non Jeremiae. Fortasse Chrysostomo in mente versabatur locus Jerem. ix. 1.

P. 588 D. lin. 5. Pro *καὶ ἐρυθριᾷς* Morellus suo, ut videtur, arbitratu *οὐκ ἐρυθριᾷς* dedit; unde error in recentiores irrepsit.

P. 590 A. not.[f]. Scriptura *κατασκευάσειν* confirmari potest ex Flor. p. 419. (Tom. XII. p. 618 C.) et Homilia de perfecta Caritate, quae dicitur, Tom. VI. p. 294 D.

Ibid. lin. 4. *ποιῆσαι*] *καὶ ποιῆσαι* Flor. Mox *ἀλλὰ τὰ πολλῷ μείζονα* idem.

P. 590 B. lin. 7. "Post *διάφορον* Corrector F. add. in marg. *καὶ τῆς φθορᾶς.* [Sic in Hom. supra dicta]. Rectius cogitatione supplebis *πρὸς τὰ παρόντα.*" *Heyse.*

P. 590 C. lin. 1. Savilius *φαινοτάτῃ*, quod operis imputandum est. Tandem mendum sustulit Editor Ben. 2[dae]. "Scribendum *φανοτάτῃ*. Vid. quae annotavi ad Synes. Calvit. Encom. p. 176. quibus add. *Creuzer.* ad Plotin. pp. 269, 360." *Krabinger.*

Ibid. not.[x]. "*νῦν μὲν* omnes praeter Morell. qui habet *νῦν δέ.*" *Montef.* qui *νῦν δὲ* edidit. Sed *νῦν μὲν* habet etiam Morell.

P. 590 D. not.[d]. In Veron. Sav. Mor. locus sic legitur: *ἀμφιβάλλεις; εἰ δὲ προέσθαι χρήματα δέον, ἢ καὶ αὐτὴν τὴν ζωὴν ἀποδύσασθαι, ἔδει*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκιρτᾶν κ.τ.ἑ. Hic quidem bene de Nostro meritus est Montef. qui tam scripturam quam interpunctionem foede jacentem ex libris suis restituit. Cum his conspirant nostri omnes, nisi quod in uno G. δέον deest. Adde Tom. VI. p. 295 B. et Flor. p. 172. (Tom. XII. p. 506 D.) ubi ἀμφιβάλλεις εἰ δέοι προέσθαι χρ. [Paullo ante not.^{y}. εἰσήγαγεν et ἐποίησεν est in iisdem; et not.^{c}. ἀπροσίτου pro ἀπορρήτου.] Emendatam lectionem expressit Brixius.

P. 590 D. lin. 6. ὑποθέσθαι. Est ἀκυρολογία, notante Dunaeo, pro ὑποθεῖναι. J. Pollux VIII. 142. Ὑπερίδης δὲ ἐν τῷ πρὸς Χάρητα ἔφη ὑποθέμενος ἀντὶ τοῦ ὑποθείς. Cf. *Lobeck.* ad Phryn. p. 468.

P. 590 E. not.^{o}. εἰς τὰ στίφη τῶν ἀρχ. τὰ ἄπειρα] εἰς τὰς τάξεις τῶν ἀρχαγγέλων Homilia s. d. ἔθνη verterunt Interpretes. Hesych. στίφη, πλήθη, συστήματα, τάγματα· στῖφος, τάξις πολεμικὴ ἢ ὄχλος, σύστρεμμα.

P. 591 A. lin. 5. καὶ ἵππους λευκοφοροῦντας Vat. solus.

P. 591 C. lin. 8. ὡς καὶ —— καταλαμπόμενον] ὥστε τὸν ἥλιον καὶ τὴν σελήνην ἅπαν κρύψαι τὸ φῶς ὑπὸ τῆς αὐγῆς ἐκείνης ὑπερλαμπόμενον Hom. s.d.

P. 592 B. not.^{a}. "Morell. ἡμῶν, minus recte." *Montef.* Legitima quidem est constructio per dativum (cf. *Dorvill.* ad Charit. p. 341 Ed. Lips. *Jacobs.* ad Ach. Tat. p. 605) sed vulgariter dicitur καταχέειν τί τινος. Eadem est ratio verbi cognati κατασκεδάζειν.

Ibid. not.^{g}. τὴν σπουδὴν ἅπασαν κενοῦμεν. Verum vidit Dunaeus. Sic Tom. VII. p. 356 A. ἐπειδὴ πᾶσα εἰς τὴν σάρκα ἡ σπουδὴ κενοῦται. Tom. XII. p. 487 D. ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κενοῦντες τῆς ἑαυτῶν οἰκίας. Tom. III. p. 352 C. ἀλλὰ τὴν σπουδὴν ταύτην κατὰ τῶν ἐχθρῶν κενοῦσιν ἅπασαν (ubi in Ed. Ben. 2da nescimus quomodo irrepserit κινοῦσιν.)

P. 592 C. lin. penult. κἂν] ὥστε κἂν Morell. et recentiores, repugnantibus libris.

HOM. XVI.

P. 594 C. not.^{o}. κἂν ὁτιοῦν ἕτερον ἐπίῃ. Ita correximus in Indice Graeco ad Homilias in Matth. s.v. ἐπιέναι. Cf. Tom. II. p. 56 C. κἂν γὰρ ζημία χρημάτων ἐπίῃ, κἂν θάνατος. Tom. X. p. 522 E. ὅταν δὲ καὶ πάντα, καὶ ὁμοῦ πάντα ἐπίῃ.

P. 595 C. lin. 7. Post μονογενὴς Corrector in marg. F. supplet: κατὰ δὲ τὴν ἐν σαρκὶ οἰκονομίαν, τουτέστι, τὴν ἐκ νεκρῶν ἀνάστασιν, πρωτοτόκος ἐν πολλοῖς ἀδελφοῖς.

P. 595 D. lin. 4. πρὸς ἡμᾶς διέκειτο. Musc. *erga nos disposita sunt* (haec). Brix. *erga nos affectus erat* (Deus.) Montef. *pro nobis ita affectus erat.* Hunc locum excitavimus in Annot. ad Tom. VII. p. 626 B. vertentes, *erga nos* benevole *affectus erat.* Cf. supra ad p. 498 C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ibid. not.[l]. Vocula *εἰ* ante *εἶπεν* excidit in Edd. infra p. 739 B.

P. 596 A. lin. 2. *τοσοῦτον ἀπέχουσιν ἐπηρεάζειν ἡμῖν.* "Malim *ἀπέχουσι τοῦ ἐπηρεάζειν*, quod jam postulasse video Dunaeum." *Heyse.* Non opus. Adeas, si tanti est, Tom. X. pp. 428 D. 579 C. al. Tom. XII. p. 391 A. *τοσοῦτον ἀπεῖχον τοὺς ἄλλους παιδεύειν.* "Leg. *τοῦ ἄλλους παιδεύειν.*" *Matth.* "Inutilis conjectura." *Editor* Ben. 2[dae].

Ibid. not.[s]. **καὶ οὐδὲν ὅλως** *κατ' αὐτοῦ γέγονε.* Vulgo *ὅμως.* "Malim aut *ἀλλ' οὐδὲν ὅλως*, aut *ἀλλ' ὅμως οὐδέν.*" *Heyse.* Cum *ὅμως* scribendum erat aut *ἀλλ' ὅμως οὐδὲν*, aut *καὶ ὅμως οὐδέν.* Eadem varietas notanda Tom. VII. p. 232 E. *καὶ γὰρ καὶ τοῖς ἰδίᾳ συντυγχάνουσιν οὐ διελιπον ταῦτα παραινῶν, καὶ ὑμῖν κοινῇ διαλεγόμενος,* **καὶ οὐδὲν ὅλως** *ὁρῶ γεγενημένον πλέον*: ubi *ὅμως* in tribus nostrorum habetur.

P. 596 C. not.[g]. "Mallem *στῆναι* simplex; nam *ἀντιστῆναι* regit dativum sine praepositione [vel *πρός τινα*]." *Dun.* Cf. Tom. X. p. 2 E. *καὶ γὰρ ἐκεῖνοι κατ' ἀλλήλων ἔστησαν.* Ibid. p. 585 B. *τὰ ὅπλα ... ἱστάμενα κατ' αὐτῶν.*

P. 596 D. not.[o]. Vat. *τῶν εὐεργετούντων* **αὐτὸν** *οὐκ ἔλαττον* (om. *αὐτὸν*) *ὠφελῶσι.* "**Αὐτῶν** sane injucundior est repetitio post *αὐτοὶ οἱ δοκοῦντες.*" *Heyse.*

P. 597 D. not.[q]. *ἀνθρωπικώτερον διαλεχθείς.* Sic Tom. III. p. 394 A. *ἀλλὰ τί πάθω; ἄνθρωπός εἰμι, καὶ ἀνθρωπικώτερον διαλέγομαι.*

Ibid. lin. ult. Pro *ἐκλάβωμεν, ἐπιλάβωμεν* tacite ediderunt Mor.Ben. reclamantibus libris.

P. 597 E. not.[x]. *αὐτοζωή.* Noster Tom. VIII. p. 36 B. *οὐ γὰρ αὐτοζωὴ ὁ ἄνθρωπος, ἀλλὰ ζωῆς δεκτικός.* S. Basil. Tom. III. p. 17 A. *τί φησιν ἡ αὐτοζωή;* Ibid. p. 83 E. *πᾶν γὰρ τὸ δι' ἕτερον ζῶν, αὐτοζωὴ εἶναι οὐ δύναται.* Instar omnium est Nostri locus Tom. VIII. p. 78 B. *ἀλλ' αὐτοπηγὴ καὶ αὐτορίζα ἐστὶ πάντων τῶν καλῶν, αὐτοζωὴ, καὶ αὐτοφῶς, καὶ αὐτοαλήθεια.*

P. 598 C. lin. 1. *χωρίζει* pro *χωρίσει* est sphalma Benedictinorum.

P. 598 D. lin. 2. *καὶ δεσμωτήρια λέγῃ, δεσμὰ, καὶ συκοφαντίας* Ben. typothetae culpa. Correxit Editor novissimus.

P. 598 E. not.[a]. Permutantur *ἀγώνων* et *ἀγαθῶν* Tom. VII. p. 242 B. Hinc corrigendus alius Nostri locus Tom. II. p. 673 A. *ἀκούσατε τοῦ πρωτοστάτου τῶν τοιούτων* **ἀγαθῶν**. Lege *ἀγώνων.*

P. 599 A. lin. 3. *κἂν γὰρ τῇ φύσει κεκληρωμένον ᾖ.* "Lego *συγκεκληρωμένον.* [Sic Tom. X. pp. 279 B. 421 B.] Mors enim hominibus obvenit non sortito, sed necessitate naturae. Nec erit, nisi ita legas, unde *τῇ φύσει* regatur." *Dun.* Ita tamen locutus est Noster Tom. II. p. 702 C. *ἅπαντες οἱ τῷ θεῷ φίλοι τῷ στυγνῷ καὶ ἐπιμόχθῳ ... ἐκληρώθησαν βίῳ.* Tom. X. p. 238 A. *κἂν ἀπὸ περιστάσεώς τινος κληρωθῇς, ὦ γύναι, συνοίκῳ τοιούτῳ.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 601 D. lin. 5. Ἀλλ' ὁ μὲν θεὸς κ.τ.ἑ. Cf. Flor. p. 371 sqq. (Tom. XII. p. 598 E—599 C.) Hinc excerpsimus lectiones, quae sequuntur. P. 601 D. not.[y]. παιδὸς om. p. 602 B. lin. ult. καίτοιγε ἐπτώχευσα διὰ σὲ et ὅμως desunt. C. not.[d]. σε στεφανοῦν. Mox ἵνα φέρῃ σοί τινα καρπὸν καὶ παρρησίαν. D. lin. 5. καὶ τοῦ θ.] ἵνα τοῦ θ. not.[l]. τότε om. not.[m]. καὶ om.

HOM. XVII.

P. 603 B. lin. 5. οὐκ ᾤμην αὐτὰ ἔχειν ὑπερβολήν. Αὐτὰ sunt τὰ τῇ προτεραίᾳ εἰρημένα, et ἔχειν ὑπερβολὴν hic quidem, alio quam quo paullo ante positum erat sensu, non valet *superare*, sed *superari posse*. Graecorum est hic usus, et quidem in primis Oratoris, quem in multis imitatur Chrysostomus. Demosth. p. 563, 12. τοῦτο γὰρ, τοῦτο οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας. Ibid. p. 786, 26. δεινῶν γὰρ ὄντων, οὐ μὲν οὖν ἐχόντων ὑπερβολήν: h.e. *immo vero, ut rectius dicam, tanta ut atrociora excogitari nequeant.*

Ibid. not.[g]. "ἐπελθόντι Sav. Addend. an ex Aug? certe ita corrigendum." *Heyse.* Hoc ipsum est in nostro H. qui cum Aug. passim conspirat. Ἐπελθεῖν est *legere*, ut vulgo. Vid. Tom. I. p. 46 D. Tom. III. p. 2 C. Tom. VII. pp. 129 A. 325 B.

P. 603 C. lin. 1. καὶ ἀπιστεῖσθαι] ὡς καὶ ἀπιστεῖσθαι Cat.

P. 604 E. not.[e]. "Malo περὶ Ἰουδαίων, quia praecesserat ὑπέρ. Ad Ephes. vi. 18. καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ. Sic solent variare." *Dun.*

P. 605 A. not.[k]. "θορυβῆτε F. At huc non pertinent Demosthenica illa, μή μοι θορυβῆτε, ὦ ἄνδρες. Cf. Tom. X. p. 10 B." *Heyse.* Sed ibi quoque nunc editum, τί θορυβεῖτε γὰρ, φησὶ, τί ταράττετε; Sic μὴ θορύβει Tom. X. p. 489 C. Tom. XII. p. 398 A. ἀλλὰ μὴ θορυβήσητε (vulgo θορυβηθῆτε) Tom. X. p. 581 C.

P. 606 B. not.[a]. De confusione vocabulorum μᾶλλον et μόνον cf. Annot. ad Tom. X. p. 409 D. Adde Tom. IX. p. 154 A. ἀλλὰ καὶ ἐξεπλάγη μόνον: ubi nunc demum μᾶλλον repositum. Tom. VIII. p. 376 D. ἀλλὰ μόνον (f. μᾶλλον) μετριάζει τε καὶ συγκαταβαίνει. Tom. VI. p. 154 D. in Homilia ex unico exemplari edita: τί κακὸν ἔπαθε (ὁ Ἰωσὴφ) καὶ ξένος καὶ δοῦλος καὶ δέσμιος γενόμενος; οὐχὶ διὰ τοῦτο μόνον (leg. μᾶλλον) εὐδοκίμει καὶ ἔλαμπε;

P. 606 C. not.[i]. καὶ νιφάδας κινδύνων θεὶς. Respicitur locus 2 Cor. xi. 26. Vulgare est θεῖναι, *in scriptis ponere*, nec opus est conjectura Dunaei, ὑποθεὶς. "Boisius ὑποδύς. Forsan δεχθεὶς. Licebat etiam ἐνδύς. *Induit* enim vir fortis pericula, i.e. *subit.*" *Heyse.* Verum ista omnia non sunt hujus loci, ubi de *describendis* tantum periculis, non *subeundis*, sermo est. Etiam haec, ὁ γὰρ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ad sensum valent; *qui se tanquam singulis diebus morientem repraesentat.* Cf. *Hemsterh.* ad Thom. M. p. 187 sqq.

P. 606 D. not.[m]. παραδραμὼν desiderabat Dunaeus.

P. 607 B. not.[l]. καὶ τούτου (non τοῦτο) μάλιστα ἦν. Brix. *hocque in primis curabat.* Cf. infra p. 684 A. πρὸς ἓν τοῦτο ὁρῶντες, καὶ τούτου μᾶλλον ὄντες, ἢ τοῦ φυλάξασθαί τι παθεῖν. Elegans Graecismus. Ejusdem generis sunt, ἑνὸς μόνου γίνεσθαι, ὅλος τινὸς γίνεσθαι. Vid. *Savil.* in Notis pp. 15, 52. *Bergler.* ad Alciph. I. 13.

P. 607 E. not.[q]. ὡς ἐχθροῖς διαλέγεσθαι. Vid. supra p. 430 D. Cf. etiam Annot. ad Tom. X. p. 443 D.

P. 608 B. not.[r]. ἐπαγγελία] + πῶς οὖν ἕστηκεν; Reg. 753. et Brix.

P. 609 A. not.[y]. καὶ πάντας ἐκείνους sc. τοὺς ἐκ τοῦ Ἰσαὰκ γεννωμένους. Pro Ἰδουμαίους Veron. habet Ἰουδαίους. Brix. in margine: "Forte *Idumaeos* legendum etc."

P. 609 E. lin. penult. πῶς οὖν αὐτὰ ἔλυσεν; Vid. Annot. ad Tom. VII. p. 279 E.

P. 610 B. lin. 2. Post δι' ἀπορίας ἑτέρας suspenditur oratio, usque ad οὕτω δὴ καὶ ἐνταῦθα C. lin. 5.

P. 612 D. lin. 8. Post φησὶ add. μηδὲ πραξάντων τι ἀγαθὸν Sav. Mor. Ben. repugnantibus libris.

P. 613 D. not.[l]. "ὁ ταύτῃ διεφθαρμένος legendum, ut vel ad κακίαν referatur, quod proximum est, vel ad προαίρεσιν." *Dun.* Graeci libentius dicunt, διεφθαρμένος τὴν γνώμην, quam τῇ γνώμῃ. Sed ταύτῃ pro adverbio habere, *quoad hoc*, nil vetat.

Ibid. not.[m]. ἀπὸ περιστάσεώς τινος καὶ συναρπαγῆς. Noster supra p. 460 C. κρίσεως διεφθαρμένης καὶ οὐ συναρπαγῆς λέγων εἶναι τὸ ἁμάρτημα. Tom. IV. p. 200 A. οὐ γὰρ ἐκ συναρπαγῆς τοῦτο ὑπομένουσιν, ἀλλ' ἐν τῇ καρδίᾳ διανοούμενοι. Tom. VI. p. 72 B. οὐ γὰρ συναρπαγῆς ἦν αὐτῶν τὰ τολμήματα, οὐδὲ γνώμης ἐπηρεαζομένης. Tom. XI. p. 191 E. εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον, καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες. Nec tamen negandum, bene se habere vulgatum, ἀπὸ περιστάσεώς τινος συναρπαγείς.

P. 613 E. not.[o]. Interpretes ἀσαφέστερον verterunt. Sed vid. pp. 614 C. 617 D.

P. 614 B. lin. 3. ἆρα οὖν] ἄρα οὗτος mendose Ben.

Ibid. lin. 4. "Post θεοῦ haec habet in textu G. ἤθελε μὲν ὁ Ἰσαὰκ εὐλογῆσαι τὸν Ἡσαῦ. οὗτος ἔτρεχεν εἰς τὸ πεδίον τοῦ πατρὸς ποιῆσαι τὴν ἐπιταγὴν, τὴν εὐλογίαν (leg. τῆς εὐλογίας) ἐπιθυμῶν. ὁ δὲ θεὸς τὸν ἄξιον εἰς μέσον παραγαγὼν τὸν Ἰακὼβ, κρίσει δικαίᾳ ἄξιον τῆς εὐλογίας ἀπέφηνεν. Quae e scholio, non inepto quidem, in ordinem admissa videntur." *Heyse.* Eadem ad verbum habet Vat.

P. 615 A. lin. 7. ἐνταῦθα οὐ τὸ αὐτεξούσιον κ.τ.ἑ. Cf. Tom. III. p. 469 B. "Μὴ ἐρεῖ——ἐποίησας οὕτως;" Ὁρᾷς πόσην ἀπαιτεῖ τὴν ὑπακοήν; πόσην

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν σιγήν; Οὐ γὰρ δὴ τὸ αὐτεξούσιον ἡμῶν ἀναιρῶν τοῦτο λέγει· μὴ γένοιτο· ἀλλὰ δηλῶν, ὅτι τὸν ταῦτα ζητοῦντα οὕτως ἄφωνον εἶναι δεῖ, ὡς ἡ τοῦ πηλοῦ φύσις, ἑπομένη ἥπερ ἂν ὁ τεχνίτης ἄγῃ, μὴ ἀντιτείνοντα, μηδὲ περιεργαζόμενον.

P. 615 A. not.[d]. *μὴ γὰρ δὴ* pro *μὴ δὴ γὰρ* a nobis editum Tom. X. p. 423 E. Cf. Annot. ad Tom. X. p. 500 A.

P. 615 B. not.[e]. *ἀλλ' οὐδὲ ἀντιφθέγγεσθαι οὐδὲ ἐννοεῖν* Vat.

Ibid. lin. 5. *ἀλλ' εἰς τὴν ἐπιτεταμένην ὑπακοὴν καὶ σιγήν.* Veron. *ὑποτεταγμένην*, unde *subditam* Interpp. "Morel *ἐπιτεταγμένην*. Savil. *ἐπιτεταμένην*. Manuscripti *ὑποτεταγμένην*, quam esse veram lectionem puto." *Montef. Manuscripti* isti non exstant nisi in Sav. marg. ubi *γρ. ὑποτεταγμένην* scilicet in exemplari Veronensi. Libri omnes, si excipias Bodl. Crom. 21. ubi *ὑποτεταμένην* scriptum invenimus, *ἐπιτεταμένην* exhibent. Cf. supra p. 549 E. *τί οὖν φησι; τὴν ἐπιτεταμένην (ἐπιθυμίαν).* Haec tria vocabula permutantur Tom. V. p. 192 C. "Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν." . . . Τὸ δὲ, "ὑπὸ τοὺς πόδας," τὸ ὑποτεταγμένον δηλοῖ, μᾶλλον δὲ τὴν πολλὴν ὑποταγήν. Καὶ εἰ βούλει μαθεῖν τῆς ὑποταγῆς τὴν ἐπίτασιν, ἄκουσον. "Alii *τὸ ὑποτεταμένον*, alii *τὸ ἐπιτεταμένον*." *Montef.* Verum videtur *τὸ ἐπιτεταμένον*; sed tum delenda ista, *μᾶλλον δὲ τὴν πολλὴν ὑποταγήν*, utpote e glossemate nata.

P. 615 E. lin. penult. *τὸ τῆς σοφίας*] *καὶ τῆς σοφίας* mendose Mor. unde *καὶ τὸ τῆς σοφίας* effecit Montef.

P. 616 A. lin. 7. *ὥσπερ οὖν*] *ὅπερ οὖν* Mor. Ben. repugnantibus libris.

P. 616 B. not.[i]. C. not.[t]. Vid. nos in Indice Graeco ad Homilias in Matth. s. vv. *ἐνάγειν* et *ἥκειν*.

P. 616 D. lin. 2. *ἐν* post *ἤνεγκεν* deest in Ben. typothetae lapsu.

P. 617 B. not.[t]. *εἰ γὰρ καὶ τὸ πλέον* (*τὸ πᾶν* G. Vat.) *ἐστὶ τοῦ θεοῦ.* Cf. infra p. 642 D. *καὶ ὅτι τὸ πλέον τῆς χάριτος ἦν, οὐ τὸ πᾶν.* p. 646 C. *δεικνὺς καὶ τότε τὸ πλέον τῆς χάριτος ἐσόμενον, καὶ τῆς δωρεᾶς τοῦ θεοῦ, καὶ σχέδον τὸ πᾶν.*

P. 618 C. lin. ult. *σώζεσθαι*] *σώσεσθαι* mendose Ben.

P. 619 C. not.[i]. "Quod omnino probo, nisi quod abesse malim *καὶ* ante *τὴν κυριωτάτην*, unde incipit apodosis." *Heyse.*

P. 619 D. lin. 2. *ἐπειδὴ γὰρ ἔχει ἰσχυρὰν λύσιν ἐπαγαγεῖν.* "Ἔχει i.e. *μέλλει*. Alius locus notandus propter hanc *τοῦ ἔχειν* significationem." *Bois.* Locum non indicavit. Nobis ad manum sunt exempla quae sequuntur. Tom. I. p. 774 D. Ὁ δεσπότης μου ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἀνθρώπου· κἀγὼ καταφρονῆσαι ἔχω; Tom. IV. p. 462 C. Μὴ γὰρ μέχρις ἐμοῦ εἶχε στῆναι τὰ τῆς τιμωρίας; Πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι. Tom. VIII. p. 304 E. ᾔδεισαν γὰρ ὅτι ἁλῶναι εἶχον. Tom. X. p. 53 C. οὐ γὰρ ᾔδεσαν ὅτι οὕτω λάμψαι ἔχει ὁ σταυρός. Ibid. p. 566 C. *ἡμᾶς οὖν ὑφορᾶσθαι ἔχει.* Adde Tom. II. pp. 731 B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

742 A.E. in opusculis ab una et eadem manu, vix tamen Chrysostomi, profectis.

HOM. XVIII.

P. 621 B. not.f. *καὶ τὴν δέησιν ἣν ποιεῖται*] Sic B.D.E.F. *καὶ τὴν δέησιν ποιεῖται* A.H.I. Omissio proclivis *τοῦ ἣν*, post syllabam *ιν*, nexum verborum dissolvit, quem sic resarcire conati sunt interpolatores: *καὶ ὅρα καὶ τὴν δέησιν πῶς* (*ὡς* Vat.) *ποιεῖται ἀπὸ διανοίας*. Sic cum Editis G. Vat. *καὶ ὅρα καὶ τὴν δέησιν πῶς ἀπὸ διανοίας ποιεῖται* Cat.

P. 621 C. lin. 4. *εἰ γὰρ μὴ δι' ἄνθρωπον*. Interpretes, *propter hominem Christum*. Dunaeus dubitanter corrigit, *εἰ γὰρ δι' ἀγνωσίαν*, vel *εἰ γὰρ μὴ ἀλλ' ἢ δι' ἀνθρώπινον*. Propius a vulgato abest, *εἰ γὰρ μὴ δι' ἀπόνοιαν*. Sed audiamus Boisium. "Est hic locus unus ex iis, qui emendatione indigere videntur, nec tamen indigent. *Δι' ἄνθρωπον* et *διὰ ζῆλον* opponuntur, sicut *πείθειν ἀνθρώπους* et *πείθειν θεὸν* Gal. i. 10. Separantur a Christo *διὰ ἄνθρωπον*, qui hominum studio . . . id faciunt; *διὰ ζῆλον* autem qui Dei, non hominum causa separantur . . . . Hoc ita esse clarissime liquet e Graecis Scholiis . . . . *μαρτυρῶ, φησὶν, αὐτοῖς, ὅτι οὐ δι' ἄνθρωπόν εἰσιν ἀπεσχοινισμένοι Χριστοῦ, ἀλλὰ διὰ ζῆλον θεοῦ.*"

P. 623 B. lin. 1. *εὔκολον καὶ εὐτελῆ*. Haec ad sensum vix hilum differunt. Infra p. 631 D. *ἐπειδὴ ἐδόκει τοῦτο εὐτελὲς εἶναι*. Vid. Annot. ad Tom. VII. p. 11 A.

Ibid. lin. 7. *τῇ ἀρετῇ τῇ διὰ τῶν ἔργων*. Articulum post *ἀρετῇ* casu omisit Montef.

Ibid. not.f. *τοὺς τόνους ἐκλύουσα*. Cf. supra p. 549 B. *ἀλλ' ἵνα τούτων ἐκλύσῃ τὸν τόνον*. Infra p. 710 B. edidimus, *καὶ πολλῶν τὸν τόνον τῶν σπουδάζειν βουλομένων ἐκλύοντες*. Eadem correctio adhibenda videtur locis, quae sequuntur. Tom. I. p. 699 D. *καὶ σπουδάζων ἡμῶν ἐκλῦσαι τοὺς περὶ ἀρετὴν πόνους*. Tom. VIII. p. 215 B. *ἐκλύων τοὺς ὑπὲρ ἀρετῆς πόνους*. Plurale *τόνοι* legitur Tom. II. p. 511 C. *ὥστε μὴ τὴν ἐκείνου νοθείαν τῶν τόνων αὐτῶν τὸν δρόμον ἐκκόψαι*.

P. 623 E. lin. 2. *τὸ τὴν κάτω*] *καὶ τὴν κάτω* mendose dedit Morellus, quem temere secuti sunt recentiores.

Ibid. lin. 6. "Legendum, *ἀλλ' αὐτὸς ἐφ' ἕτερον αὐτοὺς ἄγει τὸ γ.*" *Dun.* *αὐτὸ* om. Cat.

P. 624 B. lin. 6. Mendum *ὄψεις* pro *ὄψει* est in Benedictina utraque.

P. 624 E. not.s. *εἰς πάντας καὶ ἐπὶ πάντας* citat Noster Tom. VII. p. 283 C.

P. 625 A. lin. 6. *ἐπείπερ καὶ εἷς ὁ θεὸς* Mor. Ben. invitis libris.

P. 626 A. not.n. *Ἐντάφια* sunt *vestes et ornatus sepulcrales*. Supra p. 574 D. *ἀπὸ τῆς πολυτελείας τῶν ἐνταφίων*. Tom. IX. p. 175 B. *Μὴ περὶ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα. Περίστησον χήρας· τοῦτο ἐντάφιον μέγιστον. (Similis sententia, Tom. II. p. 689 A. ἱκανὸν ἐντάφιον λαβὼν ἅπεισι, τὴν πρὸς τὸν θεὸν παρρησίαν. Cf. *Wesseling.* ad Diod. Sic. XI. 11. *Dorvill.* ad Charit. p. 456 Ed. Lips.)

P. 626 A. not.[c]. "Post ὑπεσκέλισα Hoeschelius desiderabat verbum ἀπώλεσε, seu aliud simile. Poterat conjicere, ὑπεσκέλισα, ὑπεσκέλισε καὶ εἰς μοιχείαν ἐνέβαλεν. At nulla opus est conjectura, si καὶ sumatur pro *adeo*." *Heyse.* Librariis, qui καὶ pro copula haberent, proclive erat ἐνέβαλεν cum ἐνέβαλον mutare.

P. 626 C. lin. 8. τὰ ἄλλα τὰ τούτων καταγελαστότερα. Vid. Annot. ad p. 539 D.

P. 627 B. lin. 1. καὶ συγκροτῆσαι καὶ στεφανῶσαι. Vetus vertit, *vel* exturbare *vel coronare*; mire. Alii de *plausu* intelligunt, qui sensus in simplici verbo inest. Συγκροτεῖν potius valet *augere, confirmare*. Noster Tom. X. p. 460 A. οἱ οὕτω φιλοῦντες αὐτὸν καὶ συγκροτοῦντες, ὡς καὶ φυσιωθῆναι. Ibid. p. 630 C. καίτοιγε φιλίαν οὐδὲ τοῦτο ἀρκεῖ δεῖξαι, τὸ μὴ φθονεῖν . . . ἀλλὰ τὸ συγκροτεῖν καὶ αὔξειν τὸν φιλοῦντα. Olim tentavimus καί σε κροτῆσαι, quod nunc non placet.

P. 628 B. lin. 1. τότε μὲν μυρίους ὑποσκελίζουσα. "Mendi manifestum. Quid si legas μυρίως, ut διχῶς, τριχῶς, τετραχῶς, πολλαχῶς? Non possum aliquid melius." *Dun.* "Dunaeus μυρίως, quod omnino sensus postulat. Non aeque aptum foret μυριάκις." *Heyse.* Vocabulum μυρίως non est Graecum. Auctor, ni fallimur, scripsit, μυρία σε ὑποσκελίζουσα.

P. 628 D. lin. 1. ὁ δὲ ἀπὸ δουλοπρεποῦς διακονίας. Montefalconius ex ingenio, ut videtur, nec monito lectore, διανοίας edidit. Frustra. Vid. p. 629 D.

P. 629 B. not.[w]. τὸν ἐρήμου πολίτην. Idem uno vocabulo ἐρημοπολίτης audit, Tom. III. p. 510 B.

Ibid. not.[x]. καὶ κολακεύοντος (τοῦ πλήθους) οὐκ ἐπεστρέφετο. Sic Tom. IV. p. 39 A. παντὸς τοῦ δήμου καθημένου καὶ μυρίας εὐφημίας καταχέοντος οὐκ ἐπιστρέφονται . . . . ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι τὸν βασιλέα . . καὶ τῷ νεύματι ἐκείνου προσέχοντες παντὸς ὑπεροράσι τοῦ πλήθους.

P. 629 D. not.[c]. καὶ τῆς χάριτος ταύτης [ἐξεπέσομεν καὶ] προδέδοται τὰ τοῦ Χρ. πράγματα. "Verba ἐξεπέσομεν καὶ desunt in Morell." *Montef.* Scilicet ea in textum intulit ipse Montef. auctoritate sui Codicis E. Syntaxis προδιδόναι τί τινος ea ipsa est, quam illustravimus ad Tom. VII. p. 746 A. μὴ τῶν μικρῶν τὰ μεγάλα προέσθαι. Nunc addimus Tom. IV. p. 546 C. προΐεται τῶν μανδραγορῶν τὸν ἄνδρα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

HOM. XIX.

P. 630 B. not.[a]. ἀκούσωσιν et κηρύξωσιν Mosqq.

P. 631 B. lin. 8. ἐγκαλεῖτε, διὰ τί μὴ πάντες ὑπήκουσαν. Sav. in marg. ἴσ. διότι. Non opus. Noster Tom. VII. p. 689 C. εἶτα ἵνα μὴ ἐγκαλέσῃ (*objiciat*) διὰ τί ἕπτα μίαν ἔσχον.

P. 632 E. lin. 7. ὃ δὲ λέγει κ.τ.ἑ. Cum his conferri potest locus Nostri Tom. VI. p. 177 C.

Ibid. lin. ult. τὴν οἰκείαν ὑφορώμενος σωτηρίαν. "Lego προορώμενος, *suae* prospiciens *saluti*. Idem, προνοούμενος σωτηρίας." *Dun.* Frustra. Secundum Nostri usum ὑφορᾶσθαι valet *respicere*; ut Tom. III. p. 51 D. οὐχ ὁ γέρων τὴν πολιὰν αἰδεῖται, οὐχ ὁ νέος ὑφορᾶται τὴν φλόγα τῆς φύσεως καὶ τῆς ἐπιθυμίας. Tom. VIII. p. 96 B. οὐ πλῆθος, οὐ δόξαν, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ὑφορώμενος.

P. 633 D. lin. 5. Post ἐπείσθησαν Cat. addit, οὐ μόνον δὲ οὐκ ἐπείσθησαν.

P. 635 C. not.[b]. Edebatur, τί οὖν; ὁ λαὸς εἰς τρισχιλίους κ.τ.ἑ. Copulam ante εἰς τρισχ. habet Sav. in marg. consentientibus nostris excepto C. omnibus. In Catena legitur, τί οὖν ὁ λαὸς, εἰς σέ; καὶ εἰς τρισχιλίους κ.τ.ἑ. non male, si interpungas, τί οὖν; ὁ λαὸς εἰς σὲ καὶ εἰς τρισχ. Tum vero post περιέστη leviter distinguendum erat, quod in vulgata quoque scriptura molestum est. Nihil, nostro judicio, sincerius est lectione unius Cod. I. τί οὖν; οὗτος λαός; καὶ εἰς τρισχιλίους κ.τ.ἑ. Error ortus, ut videtur, ex compendiosa scriptura vocabuli οὗτος. Interpres vetus non vertit ὁ λαός.

P. 638 E. lin. 3. τῆς δὲ ἐκείνου ψυχῆς. Particula δὲ, a Morello casu praeterita, nunc demum ex libris omnibus restituta est.

P. 639 D. not.[i]. Locutio ἀναπαλαίειν τὴν ἧτταν, qua usitatior est ἀναμάχεσθαι τὴν ἧτταν, non fugit diligentiam *Budaei* Comment. L.G. p. 403. Adde Eustath. ad Il. λ. 72. μικρὸν δὲ ὅσον περιέσονται τῶν Τρώων, ἀναμαχεσάμενοι καὶ τὴν ἧτταν ἀναπαλαίσαντες.

P. 639 E. not.[p]. *Matthaei* ad Luc. xvi. 6. "Ad lectionem κάδους hoc unum noto, quod $\bar{\beta}$ et $\bar{\kappa}$ in Codd. inde a Saec. IX. facile confunduntur. $\bar{\beta}$ enim in Codd. fere respondet Latinorum u. Ergo modo cum $\bar{\kappa}$, modo cum $\bar{\mu}$ confunditur."

P. 640 D. not.[s]. λύει τὰς ἐπιβουλὰς, ἀποκρούεται τὰς ἐπηρείας. "Aptior lectio. Insidiarum laqueos extricat et dissolvit, praepotentium injurias retundit." *Heyse.*

P. 641 A. lin. 4. ἐπισκῆψαι τοῖς προσήκουσι. Vetus, *ut quibus quaeque conveniant, dispicias.* Montef. *ut rebus tuis consuleres.* Immo, *ut cognatis mandares.* Noster Tom. VII. p. 753 B. ἀθρόον ἀναρπασθέντες, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲ ἐπισκῆψαι συγχωρηθέντες τοῖς οἰκείοις ὑπὲρ ὧν ἐβούλοντο. Babrias Fab. XLVII. p. 94 Ed. Boissonade.

Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπέργηρως·
εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων·
ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν·
ἐκέλευε κ. τ. ἑ.

P. 641 C. lin. 8. ὅταν μὲν γὰρ ἔζης. Sic omnes. Rursus Tom. XI. p. 416 F. οὕτω καὶ αὐτὸς, ὅταν εἶδεν ἀσθενοῦντα, καὶ ἐπιπλῆξαι οὐκ ἴσχυσεν, ἐδάκρυε λοιπόν. Adde infra p. 708 E. Tom. X. pp. 230 B. 610 A. ut ante nos legebantur haec loca. *Savil.* ad Tom. IV. p. 277 D. "Ὅταν, rectam grammaticae regulam sequendo, non nisi cum subjunctivo: quod hoc loco non observatur, et aliis plerisque apud Chrysostomum: nisi dicamus omnes Codices esse vitiosos."

HOM. XX.

P. 642 B. not.[f]. Editi omnes, τί οὖν; (distinctio abest a Veron.) ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν. Sic C. favente Cat. τί οὖν; (sine distinctione F.) ἐπιζητεῖ Ἰσραὴλ τοῦτο ὃ οὐκ ἐπέτυχε. B.F.H. τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ τοῦτο ὃ οὐκ ἐπέτυχε E. τί οὖν; ἐπιζητεῖ Ἰσραὴλ τοῦτο οὐκ ἐπέτυχε. D. τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ (ὁ Ἰσραὴλ I.) τοῦτο οὐκ ἐπέτυχε. A.I. Mosqq. Hoc nos edidimus, tum hic, tum in fronte Homiliae, sed mutata ad mentem Chrysostomi distinctione, scilicet ut tota periodus per interrogationem efferatur.

P. 643 A. lin. penult. Verba οὐ μὴ μεταστῶ desunt in Benedictina utraque, vulgari operarum vitio.

P. 647 C. not.p. "Lego παραμυθούμενον sine μόνον." *Dun.* "Lego, ὅρα δὲ αὐτὸν καὶ ἐν οἷς χαρίζεται, διὰ ῥ. αὐτοὺς παραμυθούμενον μόνον .... Μόνον autem legendum esse, docent Graeca Scholia his verbis: ἃ γὰρ ἅπαντα δοκεῖ λέγειν ὑπὲρ αὐτῶν, ψυχρὰν χάριν χαριζόμενος λέγει, ὡς καὶ ἰατροὶ πολλάκις ποιοῦσι τοῖς κάμνουσι." *Bois.* Recte. Cf. pp. 648 B.C. 649 A. 652 C.

P. 648 B. lin. 5. ἐννόησον γὰρ πονηρίαν τῶν κλάδων. Ne quis τὴν πονηρίαν requirat, apponimus συντάξεις simillimas ex hoc ipso opere, p. 598 C. ὅρα τοῦ μακαρίου Παύλου σύνεσιν. p. 617 C. σκόπει δὲ αὐτοῦ εὐγνωμοσύνην καὶ σοφίαν ἄφατον. p. 635 E. σκόπει δὲ αὐτοῦ σύνεσιν. Adde Tom. X. p. 56 E. ubi hodie dubitamus an recte ex uno libro ediderimus, εἶδες τοῦ διαβόλου τὴν κακουργίαν;

P. 649 B. not.g. "Fortasse οἱ sublatum est, ideo quod v. 17. legitur τινὲς τῶν κλάδων. Nam κλάδοι sunt τινὲς κλάδοι: οἱ κλάδοι autem sunt πάντες οἱ κλάδοι." *Matth.* ad loc.

P. 649 C. not.r. "Editi ἕτερον ἐγκώμιον, omisso αὐτῶν, quae vox

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

in MSS. interseritur." *Montef.* Immo, MS. iste (non MSS.) ἕτερον τούτων ἐγκώμιον exhibet.

P. 649 E. lin. 2. φείσηται pro φείσεται tacite edidit Montef. repugnantibus libris. Cf. p. 729 D.

P. 651 B. not.w. φυσικά. "Sic unus Codex [immo, *uterque*]. Editi οὐ γὰρ φύσει τὰ καλὰ, male." *Montef.* Probum est φύσει, fortasse alteri praeferendum.

P. 651 C. not.y. μεγάλας . . ὑποφαίνων ἐλπίδας. Quanquam usus τοῦ ὑφαίνειν apud Nostrum latissime patet, hic proculdubio in locum non suum irrepsit. Vid. Tom. IV. pp. 114 D. 629 A. Tom. VIII. p. 372 C. Tom. X. p. 425 D. al.

P. 653 D. not.x. Scripturam συγκροτεῖ recte praetulit Editor Ben. 2dae. Vid. Annot. ad Tom. VII. p. 223 C. et ad Tom. X. p. 281 C.

Ibid. not.a. "ἄπορον F. G. male." *Heyse.* Permutatio frequens. Chrys. Tom. I. p. 410 C. ὅταν τις μετὰ αὐθεντίας ἐπιστομίζῃ τοὺς τὰ ἄπορα (alii ἀπόρρητα) ταῦτα ἐρευνῶντας; ubi vid. *Bengel.* Tom. X. p. 55 C. ὅταν πνευματικὸν καὶ ἄπορον ᾖ (unus ἀπόρρητον).

P. 654 A. not.f. "τοῖς παρ' ἑτέρων κατορθώμασι. Error. Cf. p. 650 E. [not.i.]. Placet autem et ordo [hoc ex alio Cod. receptum] et articulus." *Heyse.*

Ibid. not.k. Utrum scriptura Cod. C. sit τῶν ἁγίων γεγόνασι, an τῶν ἁγίων γεγόνασι συγγενεῖς, pro certo non affirmamus. Posteriorem habet Sav. in marg. probante Heysio.

P. 654 C. not.p. Editi, οὕτω καὶ Παύλου Τιμόθεος παῖς ἦν ἐξ ἀρετῆς (ἀρχῆς Veron.) καὶ γνήσιον τέκνον ἐκαλεῖτο. Ita C. sed inverso ordine παῖς Τιμόθεος. Ceteri post Παύλου sic legunt: παῖς T. ἐξ ἀρετῆς ἐκαλεῖτο A. παῖς T. ἐξ ἀρετῆς τέκνον ἐκαλεῖτο H.I. Τιμ. ἐξ ἀρετῆς τέκνον ἐκαλεῖτο, καὶ τέκνον γνήσιον D.E. Τιμ. ἐξ ἀρετῆς τέκνον ἐκαλεῖτο B.H. Hoc, quod Heysio quoque nostro non displicebat, edendum curavimus.

HOM. XXI.

P. 657 A. not.c. Lectionem marginis probat Heysius, quocum hic quidem consentire non possumus. Diversa est ratio loci Tom. XI. p. 458 D. ubi edebatur, ὡς ἔτι ζῇ τῇ μνήμῃ τῶν ἁγίων ἡ καρδία. "Leg. ἕως ἔτι ζεῖ." *Dun.* "ζεῖ praebet Colb. Aeque certum est ἕως pro ὡς." *Ed.* Ben. 2dae. Ζεῖ certo certius; nam sequitur τῆς ζέσεως: ἕως pro ὡς prorsus inutile et falsum.

P. 658 B. not.f. "Mallem ἀνοίσει, ut supra saepe ἀναφέρειν dixit: ἀνύειν enim non est *absolvere*, sed *expedire rem*, et *agendo proficere* . . . . Sed rectius utrisque ἀνάλωσει. Error ex eo, quod sic scriptum erat per compendium ἀνώσει." *Dun.* Etiam Heysio ἀνοίσει placet. Sed ἀναφέρειν θυσίαν cujusvis est, nec ope S. Spiritus indiget: hic fortius

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

vocabulum requiritur. Quod vero ait Dunaeus, ἀνύειν non esse *absolvere rem*, id quidem sexcentis exemplis confutari potest. Ceterum falsa scriptura ἄνοιε pro ἄνυε legitur in duobis libris Tom. X. p. 236 C. Contrario errore Morellus dedit ὕμνον ἀνύσει Tom. V. p. 182 B.

P. 658 D. lin. 3. οὐδὲ διηνεκὲς] οὐδὲν διηνεκὲς Mor. Ben. reclamantibus libris.

P. 659 B. lin. 7. εἰς τὸ δοκιμάζειν ὑμᾶς [τὰ διαφέροντα καὶ γινώσκειν] τί τὸ θέλημα. "Verba τὰ διαφέροντα καὶ γινώσκειν add. [Codd. Chrysost.] 3. 8. Τὰ διαφέροντα autem bis ibi interpretatur Chrys. τὰ συμφέροντα . . . Ex Philipp. i. 10. huc translatum putat Millius. Mihi ex Rom. ii. 18. repetitum videtur. Nullus certe Codex [N. T.] agnoscit. Ergo et hic Chrysostomum memoria fefellit, ut Rom. xi. 20. et alibi." *Matth.* ad loc.

P. 659 E. not.[k]. διωρθωμένην Sav. marg. "Multo melius. Nam τὸ διηρθρωμένην vel de compage corporis, vel de oratione articulis distincta dicitur." *Dun.* Non tam arcte astringendus apud Nostrum quidem hujus vocabuli usus. Tom. I. p. 447 C. φρονεῖ μὲν (τὸ παιδίον) οὐδὲν δὲ διηρθρωμένον. Tom. II. p. 128 A. Deus τὸ συνειδὸς ἡμῖν διήρθρωσε. Denique Tom. IX. p. 405 A. ὅρα τὴν φυσικὴν κρίσιν διηρθρωμένην καὶ παρὰ βαρβάροις.

P. 660 B. lin. 8. οὐ γὰρ ἐμὸν λόγον λέγω. "Imitatur Eurip. Melanipp. (Fragm. Tom. II. p. 454 Ed. Lips. in 4°. coll. *Valckenar.* ad Eurip. Hippol. v. 352. et Diatribe p. 46.)". *Krabinger.*

P. 661 A. not.[o]. Eadem vocabula permutantur infra p. 681 B. Tom. X. p. 18 C. ubi vid. Annot.

P. 661 B. lin. penult. καὶ τὸ πόσον δοῦναι. Articulum casu praeteriit Montef.

P. 661 D. lin. penult. καὶ ἑκάστῃ δὲ μεγαληγορίᾳ τ.ε. ἐφίσταται τὸ ὅ. Veron. καὶ ἑκάστῃ δὲ μεγαληγορίᾳ τ.ε. ἐπισπᾶται τὸ ὅ. Sav. Morellus dedit ἑκάστη et μεγαληγορίᾳ. Contrario errore Montef. ἑκάστῃ et μεγαληγορία.

P. 663 A. not.[v]. Vulgatum πεπτωκότος frustra defendendum suscepit Dunaeus. "Quid si πτωκός? Proverbiale enim quiddam verba haec resipiunt." *Bois.* "πτωκὸς F. Certissima lectio, quam ingeniose divinaverat Boisius." *Heyse.*

HOM. XXII.

P. 664 D. not.[z]. Codex Bessarion. 103. καὶ πᾶν ἀγαθὸν πνευματικὸν ἔργον διακονία (sic). Inde fluxit lectio vulgaris in Veronensem et cet.

P. 664 E. lin. penult. ἁπλότητα γὰρ τοῦτο οἶδε πανταχοῦ. "Puto deesse καλεῖν aut simile quidpiam." *Sav.* "Oratio est integra, nec

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

opus est additione. Sic enim loqui solent Graeci, praesertim Grammatici. Auctor Etym. Magni in dictione ἔγχος. *Ἰστέον ὅτι ἔγχος καὶ ξίφος καὶ δόρυ τὸ αὐτὸ οἶδε Ὅμηρος* i.e. ut Sylburgius recte interpretatur, *pro eodem habet, pro eodem usurpat.*" *Bois.* Acute. Nec desunt exempla hujus usus ex ipso Chrysostomo arcessita. Tom. VIII. p. 343 B. *οὐδὲ ζημίαν ἴστε τὸ πρᾶγμα.* Tom. X. p. 89 A. *ἡμαρτῆσθαι μὲν αὐτῷ τινα ἁμαρτήματα, μὴ μὴν αὐτὸν εἰδέναι ταῦτα ἁμαρτήματα.* Tom. XI. p. 631 E. *ἀποθνήσκουσι μὲν γὰρ καὶ ἐν αὐτοῖς . . . ἀλλ' οὐκ ἴσασι θάνατον τὸν θάνατον.* Quae verba frustra sollicitavimus in Annot. ad Tom. VII. p. 535 A.

P. 673 A. Transitur apud Montef. a pag. 664 ad 673.

P. 673 C. not.[w]. *καὶ* delendum esse vidit Dunaeus.

P. 676 B. lin. ult. *ταῖς* χρείαις *τῶν ἁγίων.* Alio loco Tom. XI. p. 674 B. Chrysostomus diserte legit *μνείαις.* Verba sunt: *Καὶ τί θαυμαστὸν, εἰ τοῖς ἔτι ζῶσι κοινωνῶν τις τῶν αὐτῶν ἀξιοῦται τοῖς ἀγωνιζομένοις, ὥσπερ οὖν* (fort. *ὅπου γε*) *καὶ τοῖς ἀπελθοῦσι, τοῖς ἤδη κειμένοις, τοῖς ἐστεφανωμένοις, τοῖς οὐδενὸς δεομένοις, ἔστι κοινωνεῖν καὶ μετὰ θάνατον; Ἄκουε γὰρ τοῦ Παύλου λέγοντος, "ταῖς μνείαις τῶν ἁγίων κοινωνοῦντες."*

P. 676 D. lin. 8. *ἱκέτου σχῆμα ἀνέλαβε* καὶ οἰκέτου. "Unus *καὶ οὐκ οἰκέτου.* Quam certe lectionem ego libenter amplecterer, nisi alii omnes cum editi, tum manuscripti *καὶ οἰκέτου* haberent." *Montef.* Istam lectionem nos quidem in nullo libro deprehendimus; sed ubicumque delitescat, flocci habenda est.

P. 677 A. not.[h]. Infra p. 743 B. Σουμανίτιν (sic) est in libris omnibus.

Ibid. not.[i]. Edebatur, *ὥσπερ οὖν καὶ ὁ Ἀβραὰμ, τότε ὢν μετὰ τῆς δαψιλείας καὶ τῆς προθυμίας. καὶ διὰ τοῦτο κ.τ.ἑ.* Vetus: *quemadmodum et Abraham suo tempore largiter ac prompte fecit. Et profecto* etc. E libris, ὢν om. A.B.C.D.I. οὖν pro ὢν dant F.H. "Sic restituo locum mendi manifesti compertum, *ὥσπερ οὖν καὶ ὁ Ἀβραὰμ τότε, ὧν μετὰ δαψιλείας καὶ προθυμίας ἐποίησε,* vel *εἰργάσατο,* vel *ἐπεδείξατο*: supplendum ex priore membro, *ἐτρύγα τὸν καρπόν.* Nam quod editum est, nullum habet sensum." *Dun.* "Mendum animadvertit Dunaeus, non sustulit. Ego ex *οὖν μετὰ* vel *ὢν μετὰ* elicio, οὐκ ὤνατο. Scribo igitur: *ὥσπερ οὖν καὶ ὁ Ἀβραὰμ τότε οὐκ ὤνατο τῆς δαψιλείας, ἀλλὰ τῆς προθυμίας.* Particularum *καὶ* et *ἀλλὰ* in compendiis facilis atque obvia est permutatio." *Heyse.* Hic quidem, semel fere in toto opere, conjecturae nostrae, *ὂν* pro *ὢν*, tantum tribuimus, ut in textum Auctoris eam intulerimus.

P. 677 D. not.[z]. Verba *πρὸ πάντων* agnoscit Auctor Eclogae de Mansuetudine etc. (Tom. VII. p. 680. Ed. Sav.) Cf. Tom. I. p. 8 D. Tom. IV. p. 679 C. *οὐ γὰρ λῃστὴν εἰσήγαγε μόνον, ἀλλὰ καὶ πρὸ τῆς οἰκουμένης ἁπάσης καὶ πρὸ τῶν ἀποστόλων.* Ibid. p. p. *ἀπὸ πίστεως μόνης πρὸ τῶν ἀποστόλων εἰσεπήδησεν εἰς τὸν παράδεισον.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 677 D. not.[b]. *ἐθεράπευσε* Eclog. "Praestat *ἔφερε*." *Heyse.* "Omnino retinendum *αὐτὸν ἔφερε*: nam *ἐθεράπευε* non ita convenit. Nam neque curavit Judam unquam, nec coluit ut potentem." *Dun.* Verbum *θεραπεύειν* cum notione *blandiendi* frequentat Noster: e. g. Tom. X. p. 10 C. *ἐνταῦθα δοκεῖ μὲν αὐτοὺς θεραπεύειν, πάσης δὲ κολακείας ἀπήλλακται τὸ λεγόμενον.* Et de ipso proditore, Tom. VII. p. 782 A. *καὶ διὰ φόβου καὶ διὰ θεραπείας.* Alterum *φέρειν*, *mores alicujus perpeti*, notum ex Rom. ix. 22, nescimus an exemplis e bonis scriptoribus petitis confirmari possit.

P. 678 A. lin. 2. *ἀδάμαντα*] *λιθώδη ψυχὴν* Eclog.

P. 678 B. not.[m]. *ὦ μιαρὲ καὶ παμμίαρε* C. Sic infra p. 691 C. Tom. VII. p. 775 B. Tom. IX. p. 375 B. Cod. Reg. 733. *ὦ μιαρὲ καὶ πονηρὲ καὶ παμπόνηρε*, plane ut Tom. XII. pp. 465 D. 597 A.

P. 678 C. lin. 4. *οὐχ οὕτω*] *πῶς* Eclog. *οὐχ οὕτω*; interrogando scripsimus cum Ed. Veron.

HOM. XXIII.

P. 681 C. lin. 1. *καὶ περὶ ἐκείνου*] + *φρόνησον* Montef. notans: "Haec vox, quae in Editis desideratur, in MSS. [sic, pro MS.] habetur." Habet quidem B. sed correctus. In E. folium deest.

P. 682 B. not.[w]. *καλῶς δὲ τὸ ἐξῆς ἐκόλασεν.* Vid. Annot. ad Tom. X. p. 572 B.

P. 682 D. not.[e]. Mendosum *φιλοσοφία* pro *φιλία* in quosdam libros irrepsit infra p. 719 A. Tom. X. p. 315 B.

P. 683 D. not.[g]. "Legendum *ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ νικηθείς*. Praecessit enim *ἡττήθης*." *Dun.*

P. 684 A. not.[q]. Editi sic: *ἀποστερήσῃς, αὐτὸν τοῦ παντὸς ἐξευτέλισας, ἀπεστέρησας, καὶ ἔδειξας.* Sav. post *παντὸς*, non post *ἀποστερήσῃς*, interpungit. Ben. *ἀποστερήσῃς αὐτὸν, τοῦ παντὸς ἀπεστέρησας, ἐξευτέλισας, καὶ ἔδειξας*, sine monito. Savilius tentabat, *ἀποστερήσῃς αὐτὸν, τοῦ παντὸς ἀπεστερήσας, ἐξευτέλισας, εὐκαταφρόνητον ἔδειξας.* Post *παντὸς* add. *ἀπεστέρησας* A.B.D.E.F.H. Mox *ἀπεστέρησας* om. D.E.F.H. *ἐξευτελίσας*, non *ἐξευτέλισας* habent B.D.E.F.H. *δείξας* pro *ἔδειξας* est in A.B.D.E. F.H.I. Hinc evadit lectio optima, *ἀποστερήσῃς αὐτὸν, τοῦ παντὸς ἀπεστέρησας, ἐξευτελίσας καὶ δείξας εὐκαταφρόνητον.* Totus locus sic legitur in C. *ὅταν οὖν σὺ μάλιστα ἐπιθυμῇς τούτου, μάλιστα αὐτὸν τοῦ παντὸς ἀπεστέρησας, ἐξευτέλισας, ἔδειξας εὐκαταφρόνητον.*

P. 685 C. lin. 1. *οἶκοι τὴν πληγὴν ἔχει τῆς κακίας* edidit Montef. notans: "Editi *τὴν πηγήν*. MSS. *τὴν πληγήν*, et ita legit Vetus Interpres." Codices isti non exstant nisi in Sav. marg. hoc est, in Ed. Veron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

HOM. XXIV.

P. 686 C. lin. 3. *οὐδὲ περὶ*] *οὐδὲ γὰρ περὶ* clam edidit Morell. repugnantibus libris. Ita tamen Montef.

P. 687 C. not.[q]. "Bene *ὑπὲρ τῶν τῆς*, quod est etiam in Ven. b." *Heyse.* Ergo Editor Veronensis hic quidem archetypum suum non expressit.

P. 687 D. not.[r]. *δὲ* pro *καὶ* mendose edidit Montef.

P. 688 B. not.[q]. "Ven. b. *ἐπεστόμισεν, καθάπερ τινὰ στρ. φ. τ. ἁμ. ἐπιστήσας.* [Sic Veron. sed *ὁπλίσας* in textu]. Dunaeus conjiciebat *ἐπεστόμωσεν* vel *ἐστόμωσεν*, argutius quam aptius, si quid video: quippe *ἐπεστόμισεν* corruptum esse puto ex *ἐπεστὅλισεν*. Apparet etenim in veteribus libris duas lectiones exstitisse, quarum alteram exhibet F. alteram ex depravata scriptura Codicis b. in hunc modum facile restitues: *ἐπεστόλισεν, καθάπερ τινὰ στρ. φ. τ. ἁμ. ἐπιστήσας.*" *Heyse.* Neque *ἐπιστολίζειν* neque *ἐπιστομοῦν* apud Nostrum legere meminimus.

Ibid. lin. 5. *ἔνδικος* pro *ἔκδικος* est sphalma Benedictinorum.

P. 690 A. not.[x]. Vid. Annot. ad p. 510 A.

P. 690 D. not.[s]. Omnino conferendus est locus Tom. X. p. 294 D. *Διὰ δὴ τοῦτο εἰπὼν,* "*Πρώτη καὶ μεγάλη ἐντολή, ἀγαπήσεις κύριον τὸν θεόν σου,*" *ἐπήγαγε,* "*Δευτέρα δὲ,*" *καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν,* "*ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.*" Quae vulgatam nostri loci scripturam defendunt.

P. 691 D. not.[e]. "Codex C. *λέγοι*[s]. . . *πόθεν* (add. in rasura trium literarum *αὐτὸ καὶ*). Scilicet primitus scriptum videtur *καί.*" *Heyse.*

P. 692 A. lin. 2. *Τί δὲ ἐπὶ τοῦ Κάϊν; κ. τ. ἑ.* Similia habet Noster Tom. I. p. 675 E.

P. 692 D. lin. 7. *καὶ τοὺς ἀνακαλοῦντας μιμούμενος.* "Interpres, *imitatus eos, qui suorum casus et calamitates deplorant.* Aliquid certe in Graeco Codice deesse videtur." *Sav.* "Fort. *καὶ τοὺς μονῳδοῦντας μιμούμενος . . .* vel sic, *καὶ οὕτω τοὺς μονῳδοῦντας καὶ τοὺς τοῖς ἀναιτίοις ἐγκαλοῦντας μιμούμενος.*" *Bois.* "*Τοὺς ἀνακαλοῦντας*, quod explicandum videtur, *eos qui aliorum benevolentiam revocare student.* Cf. Galat. p. 751, 25. ubi Cod. x. *ἀνακαλοῦντος.* Exemplis opus est pluribus." *Heyse.* En copia exemplorum ex ipso Auctore sumtorum, quibus inter se collatis vis vocis neminem, opinamur, latebit. Locus ab Heysio indicatus est hic: Tom. X. p. 715 A. *ταῦτα ἀποροῦντος* (Codd. *ἀνακαλοῦντος*) *ἐστι καὶ θρηνοῦντος μᾶλλον.* Tom. I. p. 214 D. *καὶ τὰ ῥήματα δὲ, ἅπερ αὐτὸν ἀνακαλῶν ἐθρήνησεν, ἱκανὰ τὸ πάθος ἡμῖν παραστῆσαι τῆς ψυχῆς· ἐπῆρε γὰρ, φησὶν, ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσεν ἐπὶ τῷ τάφῳ Ἀβεννήρ.* Tom. V. p. 245 B. *προφητείας εἶδει μᾶλλον ἀνακαλῶν,*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ θρηνοῦντα μιμούμενος, καὶ λέγων, οὐαί σοι, Χωραζίν. Instar omnium est locus Tom. II. p. 555 C. Μάθοι δ' ἄν τις καλῶς, ὡς ἡ φαντασία τῶν ἀπελθόντων ἀπὸ τῶν τόπων ἐγγίνεται ταῖς τῶν ζώντων ψυχαῖς, εἰς νοῦν τοὺς πενθοῦντας λαβὼν, οἳ ἅμα τε τοῖς τῶν τεθνηκότων τάφοις ἐφίστανται, καὶ ὥσπερ ἀντὶ τῆς θήκης τοὺς ἐν τῇ θήκῃ κειμένους ἑστῶτας ἰδόντες, οὕτως αὐτοὺς ἀπὸ τῶν προθύρων εὐθέως ἀνακαλοῦσι. Rarius hoc sensu ponitur ἀνακαλεῖσθαι. Noster Tom. I. p. 216 E. καὶ τοῦ πατραλοίου πεσόντος ἐκείνου, οἱ μὲν λοιποὶ πάντες ἦσαν ἐν εὐφροσύνῃ καὶ χαρᾷ, μόνος δὲ ἐκεῖνος ἐπένθει καὶ ἐδάκρυε, καὶ καθείρξας ἑαυτὸν ἀνεκαλεῖτο τὸν τεθνηκότα, καὶ ἐδυσχέραινεν ὅτι μὴ ἀντ' ἐκείνου τὴν τελευτὴν ἐδέξατο. Non possumus nobis temperare, quo minus unum exemplum, idque omnium pulcherrimum, ex alio S. Patre afferamus. Sic igitur magnus ille Basilius Neocaesarienses morte Episcopi sui afflictos consolatur, Tom. III. p. 107 E. Νῦν ἀπήνθηκέ σοι κόσμος ὁ κάλλιστος, ἐκκλησία δὲ μέμυκε, καὶ σκυθρωπάζουσι πανηγύρεις, καὶ τὸ ἱερὸν συνέδριον τὸν κορυφαῖον ἐπιποθεῖ, λόγοι δὲ μυστικοὶ τὸν ἐξηγητὴν ἀναμένουσιν· οἱ παῖδες τὸν πατέρα, οἱ πρεσβῦται τὸν ἡλικιωτὴν, οἱ ἐν τέλει τὸν ἔξαρχον, ὁ δῆμος τὸν προστάτην, οἱ βίου δεόμενοι τὸν τροφέα, πάντες αὐτὸν ἐκ τῶν οἰκειοτάτων ὀνομάτων ἀνακαλούμενοι, ἐπὶ οἰκείῳ πάθει οἰκεῖον αὐτῷ καὶ προσήκοντα ἕκαστος τὸν θρῆνον αἴρουσιν. Ceterum ab hoc usu probe distinguenda est locutio apud exteros Scriptores obvia, ἀνακαλεῖσθαι τὴν ψυχήν τινος, quae ad necromantiam, non ad luctum funebrem, pertinet.

P. 693 C. lin. 7. ὡς αὐτὸς βούλεται. Pronomen abest a Ben. reclamantibus libris.

P. 693 D. lin. 2. Ἄξω κ. τ. ἑ. Locus Ezechielis est Cap. xvi. v. 37—42, non Cap. xxiii. v. 22 sqq.

HOM. XXV.

P. 694 D. lin. 7. " An melius τῆς τῶν παρόντων αὐτοὺς ἀπολύων προσπαθείας?" *Dun.* Ita quidem diserte legitur in Catena. Quinetiam Noster Tom. XII. p. 59 C. ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, ἂν μὴ οἰκίαις, ἂν μὴ προσπαθείᾳ τῶν παρόντων ὦμεν ἀπηρτημένοι. Tom. I. p. 233 E. ὅτι πάσης ἀπήλλαξαι προσπαθείας (alii συμπαθείας), καὶ ἐπιθυμίας εἶ πονηρᾶς κάθαρος.

P. 695 A. lin. penult. Pro διατείνεσθαι, διατείνασθαι perperam ediderunt Mor. Ben. " Διατείνεσθαι est quod Aristoph. σκορδινᾶσθαι, *pandiculari, se distendere.*" *Dun.* Cf. nos ad Tom. VII. p. 581 C.

P. 695 D. not.[n]. " καὶ αὐτὸς A. corr. quod placet." *Editor* Ben. 2[dae]. Bene se habet αὐτὸς, si verbo προτρέπονται passivam vim tribuas.

P. 696 D. not.[r]. ἀναστὰς ἐξ ὕπνων. Rarius in plurali hoc vocabulum. Vid. *Jacobs.* ad Ach. Tat. p. 717. *Schaefer.* ad Long. p. 343.

P. 698 D. not.[b]. " Legendum, οὕτω καὶ ἐκκλησίαν ἐργάσῃ τὸν πότον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

sic ecclesiam efficies convivium i.e. in convivio quasi in ecclesia versaberis. Τὸ ποτὸν, *potus*: ὁ πότος, *symposium*, Eustath." *Dun.* Noster Tom. II. p. 774 A. τὸν γὰρ . . . κρεωφαγίᾳ καὶ οἰνοποσίᾳ διαρρηγνύμενον, πολλάκις καὶ ἄκοντα καὶ ἑκόντα ἀνάγκη ἁμαρτάνειν, καὶ παρὰ τὸν τοῦ παρόντος **τόπου** (Colb. πότου) καιρὸν, καὶ μετὰ τὴν ἐκεῖθεν ἀναχώρησιν. Cf. *Jacobs.* ad Ach. Tat. p. 820.

P. 699 A. lin. 1. τὸν ἐγκαλινδούμενον τῷ βορβόρῳ. " Vid. Plat. Phaedon. p. 69 C. ibique *Ast.* (Tom. XI. p. 567.) et quae annotavimus ad Greg. Nyss. de Precat. p. 138 sq." *Krabinger.*

P. 699 B. not.p. ἔνθα πολλὰ τὰ ἀτόκια (subaudi φάρμακα). Vid. Annot. ad Tom. VII. p. 340 E.

P. 699 C. lin. 6. Notanda est locutio πλέον ἀργύριον **ἔλκῃ**. " Si legas ἕλῃ, non deterius." *Dun.*

Ibid. not.b, ὥστε **ἐπίχαρις** γενέσθαι. Sic Sav. notans: " Nescio quam recte in plurali." ἐπιχάρεις Ben. ἐπιχαρεῖς Ben. 2da. In quarto casu ἐπιχάριτας scriptum Tom. IX. p. 121 D. Tom. XI. p. 6 C.

P. 699 E. lin. penult. Dictum erat vulgare, ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο. Noster Tom. XI. p. 99 A. Τὸ δὲ ἐνδύσασθαι οὐδὲν ἄλλο δηλοῖ, ἢ τὸ μηδέποτε ἀποθέσθαι . . . . Καὶ πάλιν ἡμῖν ἔθος λέγειν ἐπὶ τῶν ἀνθρώπων, ὁ **δεῖνα τὸν δεῖνα ἐνεδύσατο.**

P. 700 A. not.v. καὶ ἐπὶ προσκεφαλαίου ἔκειτο ἐπὶ τῆς πρώρας. " Aut cum Boisio, καὶ **ὡς** ἐπὶ προσκεφαλαίου corrigendum, aut καὶ ἀντὶ προσκεφαλαίου: nisi forte eodem sensu posuit ἐπὶ cum casu tertio; καὶ ἐπὶ προσκεφαλαίῳ." *Heyse.* Frustra. Vid. Marc. iv. 38.

P. 700 C. not.c. ἂν δὲ τῆς χρείας ᾖς. Vulgo addunt ἐντὸς, quod non necessarium. Noster Tom. VII. p. 760 B. καὶ γὰρ πανταχοῦ τῆς χρείας ἐστίν· ἔστι δὲ ὅπου οὐδὲ τῆς χρείας. Tom. XI. p. 378 C. οὐδαμοῦ τῆς χρείας, ἀλλὰ πανταχοῦ τῶν περιττῶν. Ibid. p. 279 E. πανταχοῦ δὲ ἡμᾶς τῶν ἀναγκαίων εἶναι χρὴ, καὶ τῶν ἐν χρείᾳ, οὐ τῶν περιττῶν.

Ibid. lin. penult. ὄχημα καλὸν τῆς ψυχῆς. " Vid. *Alb. Jahn.* ad Greg. Nyss. de Anima et Resurr. p. 209 Ed. Krabing." *Krabinger.* " Frequens apud recentiores ὄχημα de unaquaque re, qua quid fulcitur, tenetur, continetur." *Jacobs.* ad Ach. Tat. p. 471. Sic Chrys. Tom. V. p. 103 A. καὶ πανταχοῦ ὄχημα εὐχῆς εὑρίσκεται ταπεινοφροσύνη.

HOM. XXVI.

P. 701 B. not.f. πάντων **ἐξῆς** ἀπείχοντο τῶν κρεῶν. Unus nostrorum ἐξίσης obtulit; frustra. Omnino consulendus *Toup.* ad Longin. De Sublim. §. xxxiii. extr.

P. 701 D. lin. 3. Pro ἐργάσηται Montef. tacite scripsit ἐργάζηται, invitis libris.

P. 704 C. lin. ult. ἀλλὰ καὶ ἕτερον ἐπάγει. εἰπὼν γὰρ, ἐάν. Sic Sav.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Particulam γὰρ casu omisit Morell. quem incaute secutus est Montefalconius, etiam distinctione in pejus mutata, ἀλλὰ καὶ ἕτερον ἐπάγει, εἰπών· ἐάν.

P. 705. lin. penult. πλείονα ἀνθρώπων——εἰς τὸ προνοεῖν ἡμῶν. "Locus est fortasse depravatus, obscurus certe: qui tamen deleto καὶ [ante δικαιώματα] et inductis forte καὶ χωρὶς τῶν ἄλλων ἁπάντων, hoc modo: πλείονα ἀνθρώπων (i. quam homines habent) δικαιώματα ἑαυτῷ κατασκευάζων εἰς τὸ προνοεῖν ἡμῶν. Sed nihil affirmo." *Sav.* "Uncinis includerem illa, καὶ χωρὶς τῶν ἄλλων ἁπάντων, quae sensum turbant, et forsan huc irrepserunt ex glossemate τοῦ πλείονα, parum tamen apto. Nam πλείονα ἀνθρώπων ita interpretari convenit: *jura majora quam quae hominibus competunt in servos suos.*" *Heyse.* Nobis quidem verba suspecta καὶ χωρὶς τῶν ἄλλων ἁπάντων non sine sententiae detrimento abesse posse videntur. Vertas, *et in primis ut nostri curam habeat.* In proximis, scriptura οὐ σφόδρα ἀντέχεται τοῦ δούλου habet quo se commendet.

P. 706 C. not.[m]. ὑπομένειν sc. τὸν ἀσθενέστερον. Vetus: *aequum fuerit ut* illum *feras.*

P. 707 C. not.[o]. Χαρμὴν Edd. "Unus Codex Χαρμίν. Forte legendum Ἀχὰρ υἱὸν Χαρμίν." *Montef.* Facilior correctio foret, τὸν Χαρμί. Tom. XI. p. 44 E. περὶ τοῦ Χαρμὶ λέγω τοῦ τὸ ἀνάθημα κλέψαντος: ubi nulla varietas e libris nostris enotatur. Ibid. p. 483 F. ἄλλος τις ὁ Χαρμὶ ἀνάθημα κλέψας.

P. 709 A. not.[v]. Ἐβοήθησεν habet etiam Flor. p. 401. (Tom. XII. p. 611 A.) Lectio ἐπτόησεν, a Savilio in margine memorata, nobis quidem magnopere placet. Ut enim hic, οὐχὶ ἠπείλησεν; οὐχὶ ἐπτόησεν; ita alio loco Tom. VII. p. 615 A. legitur, βούλεται γὰρ αὐτὸν πτοῆσαι διὰ τῆς ἀπειλῆς ταύτης. Vocabulum paullo infrequentius tum hic, tum illic notioribus cedere coactum est.

P. 710 B. not.[w]. ἕως ἂν ἔλυσαν. Vid. Annot. ad p. 564 B.

HOM. XXVII.

P. 711 C. lin. 7. Pro καὶ χρησμοῖς, Morell. tacite edidit οὐ χρησμοῖς, contra fidem librorum. Hunc temere secutus est Montef.

P. 712 E. not.[b]. καὶ τὴν χαρὰν ἠδίκησε. Sic Tom. X. p. 532 D. ἀλλὰ μᾶλλον αὐτῶν καθαπτόμενος ἅτε ἀδικούντων τὸ δίκαιον.

P. 713 B. lin. 4. τοῦτο πρὸς ἐκεῖνον...τοῦτο (non ἐκεῖνο) πρὸς τοῦτον. Negligenter dictum, quod in talibus Nostro usitatum. E. g. Tom. II. p. 248 D. καὶ οὔτε οὗτοι ἐγκαλοῦσιν ἐκείνοις, οὔτε οὗτοι (pro ἐκεῖνοι) τούτων καταγινώσκουσιν. Tom. XI. p. 250 B. καὶ ἀπὸ τούτου μὲν δῆλον, ὅσον ἀπέχετε τῆς ἐννοίας τῆς περὶ θεοῦ, δῆλον δὲ καὶ ἐκ τούτου. Tom. VIII. p. 523 B. οὐ πρὸς τὰ ἡδέα τὰ ἐνταῦθα πεισόμεθά τι, οὐ τὰ λυπηρὰ βαρέως οἴ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σομεν· ἀλλὰ καὶ τούτων καὶ τῶν ὁμοίων καταγελασόμεθα. Nescimus an legendum, ἀλλὰ καὶ τούτων καὶ τούτων ὁμοίως καταγελασόμεθα.

P. 712 B. lin. 7. ἐπιστύψαι. Dunaeus dubitanter corrigit, ἐπιστρέψαι, *in se convertere*. "Ἐπιστύψαι, i. e. *ad majorem moderationem et ad sensum aliquem suae culpae redigere*." *Bois.* Vertas, *coercere*, praeeunte *Bergler.* ad Alciphr. I. 3. Jungitur cum φοβεῖν, Tom. X. p. 455 B. ἐπιστύφει δὲ αὐτοὺς σφοδρότατα, καὶ φοβεῖ. Contrarium est τῷ θεραπεύειν, *blandiri*, ut Tom. X. p. 264 C. δεῖ γὰρ καὶ ἐπιστύφειν, οὐχὶ θεραπεύειν μόνον: ubi paucula notavimus.

P. 714 B. lin. 6. καὶ εἰς κενοδοξίαν αἰνίττεσθαι τὸν τελειότερον. Pro αἰνίττεσθαι glossema σκώπτειν habet Cat. Savilius conjicit, τῶν τελειοτέρων: Boisius, καὶ κενοδοξίαν αἰνίττεσθαι τῶν τελειοτέρων, deleta praepositione. Sed regularis constructio est αἰνίττεσθαί τινα, ut infra p. 755 C. secundum Codd. Tom. VIII. p. 362 D. ὁμοῦ μὲν αὐτοὺς αἰνιττόμενος, ὅτι περισσῶς ταῦτα ἐζήτουν. Tom. X. p. 174 B. οὓς καὶ αἰνιττόμενος ἔλεγε. Additur autem εἴς τι respectu ad vitium quod perstringitur. Cf. p. 472 C.

P. 715 B. lin. 3. καὶ γὰρ ἄνθρωπος] καὶ γὰρ καὶ ἄνθρωπος Montef. repugnantibus libris. Morellus, operarum vitio, dederat καὶ (in fine versiculi) καὶ γὰρ ἄνθρωπος.

P. 716 E. not.[t]. μέσον βαρβάρων τραφείς. Μέσον pro ἀνὰ μέσον vel κατὰ μέσον; ut Tom. X. p. 660 C. οὐδὲ μέτρα θεότητος ὁρίζειν μέσον υἱοῦ καὶ πατρός. Tom. XII. p. 6 B. πολλοῦ χρόνου γενομένου μέσον (alii μέσου). Vid. *Dorvill.* ad Charit. p. 601 Ed. Lips.

P. 717 B. lin. 2. Editi omnes, πῶς αὐτὸν διορθώσῃ. Sensus loci omnino postulat, *quomodo teipsum corrigas*. Vid. pp. 717 D. 718 A. Tunc scribendum erat, πῶς σαυτὸν δ. vel etiam πῶς αὑτὸν δ.

HOM. XXVIII.

P. 718 B. lin. penult. Τῷ δὲ δυναμένῳ——Ἀμήν. "Omnes, quos vidi Codd. [N. T.] hos tres versiculos ponunt ad finem totius Epistolae; sed Chrysostomus, alia, ut videtur, exemplaria secutus, hoc loco ad finem Cap. xiv. Et quidem ita eum legisse apparet ex p. 213. l. 27, 28. [p. 720 A.]" *Sav.* "Haec in vulgaribus Edd. leguntur Cap. xvi. v. 25—27. Hoc loco autem exhibent Graeci omnes mei, etiam Lectionaria. Chrysostomus haec tractat Hom. XXVIII. ineunte, non in fine Hom. XXXIII. Ergo etiam Codd. 3. 8. hunc locum hic exhibent." *Matthaei.* Codex Vaticanus C. hos versiculos, una cum Chrysostomi interpretatione usque ad p. 720 A. *bis* exhibet; nempe hic, et infra p. 756 D. lin. 8.

P. 720 B. lin. 6. εἰς ἔλεον αὐτὸν ἐπισπώμενος καὶ ἐπικλῶν. Sic Sav.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cum libris, ut videtur, omnibus. Mendosam scripturam Ed. Veron. ἐπικαλῶν, tacite retraxerunt Mor. Ben. Frustra. Verbum ἐπικλᾶν, *flectere ad misericordiam*, legitur Tom. III. p. 289 D. πρὸς συμπάθειαν ἐπικλώντων αὐτόν. Tom. V. p. 247 A. ἐπικλάσαι πρὸς ἔλεον. Tom. X. p. 187 A. διὰ τὴν ὠμότητα τὴν σὴν ... τὴν μὴ ἐπικλωμένην πρὸς ἔλεον. Lexicographi afferunt Aelian. de Nat. An. X. 36. οἷον εἰς οἶκτον ἐπικλάσαι τοὺς ἀκούοντας.

P. 722 A. not.s,t. ἀλγῶν ὑπὲρ αὐτοῦ (vulgo αὑτοῦ). Verterunt, *tui gratia nonnihil dolens* Vet. *dolens pro hac re* Montef. Potius, *Dei causa dolens*. Supra p. 587 E. τὸν πατέρα ὁρῶν ἀλγοῦντα ὑπὲρ αὐτοῦ καὶ κοπτόμενον. p. 588 B. οὐ γὰρ δὴ ὑπὲρ ἑαυτῶν ἤλγουν τῶν σεσωσμένων. Tom. X. p. 614 D. οὐδὲ γὰρ ὑπὲρ τῶν μειζόνων μὲν ἤλγει, τῶν δὲ ἐλαττόνων κατεφρόνει.

P. 722 B. lin. 7. Pro ἐξορύττω, ἐξορύξω legunt Mor. Ben. nulla, ut videtur, auctoritate.

P. 723 B. not.c. πᾶσαν ψῦξιν ἐξέβαλες. "Bene." *Heyse.* Cf. Tom. VIII. p. 430 A. οὕτως οὐκ ἀπὸ ψύξεως, ἀλλ' ἐκ τοῦ γυμνωθῆναι τῆς ἄνωθεν βοηθείας γέγονε. Tom. XI. p. 542 B. διὰ τὴν πολλὴν ψῦξιν τῆς ἀγάπης.

P. 723 D. not.o. ὁ ὀφθαλμός μου, h. e. *amicus maxime familiaris*. Cf. p. 722 B. Noster ad locum S. Matth. v. 29. (Tom. VII. p. 225 E.) Ἂν γάρ τινα οὕτω φιλῇς, φησὶν, ὡς ἐν χώρᾳ δεξιοῦ ὀφθαλμοῦ, ἢ οὕτω χρήσιμον εἶναι νομίσῃς, ὡς ἐν τάξει ἔχειν χειρὸς, καὶ βλάπτῃ σου τὴν ψυχὴν, καὶ τούτους ἀπότεμε.

P. 723 D. lin. 3. καὶ τὸ ὑπερορᾶν] καὶ ὑπερωρᾶν Ben. operarum, ut videtur, culpa.

P. 724 A. lin. penult. τὰ τῶν ἀγοραίων τούτων καὶ σεσυρμένων ἀνθρώπων. "Hoc verbum non est apud Suidam, neque Hesychium, neque ullum credo Lexicographum. Ἀνασεσυρμένος est *impudens, obscaenus* ... Hinc apud Lucianum, *ἀνασεσυρμένη κωμῳδία*, quam alii *φορτικήν*. Theophr. Ethic. Char. ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος ὑπαντήσας γυναιξὶν ἐλευθέραις, ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον. Videtur hoc verbum simile quiddam significare." *Dun.* "Fort. ἀσυρῶν i. ἀκαθάρτων. Quid sit ἀσυρὴς notum est e Sirac. xxiii. 18 (al. 13). Sic igitur lego, vel cum doctiss. praeceptore meo ἀνασεσυρμένων, quod ad excusam lectionem propius accedit." *Bois.* Frustra. Σεσυρμένος est *sordidus, abjectus*, ut Tom. X. p. 657 A. χαμαίζηλος ἦν αὐτῶν ἡ γνώμη, καὶ ταπεινὴ καὶ σεσυρμένη. Dixit Noster, τῶν ἐπ' ἀγορᾶς συρομένων Tom. IX. p. 247 D.

HOM. XXIX.

P. 725 E. lin. 1. ἵνα αὐτοὺς κεράσῃ. Vetus, *in unum commiscent*. Usitatius est hoc sensu compositum ἀνακεράσαι; e.g. pp. 719 D. 749 B.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 727 E. lin. 4. *καὶ ὅτι ἐποίησε γενητὰ κ.τ.ἑ.* Verbum *ἐποίησε* a Morello tacite invectum, sine monito retinuerunt Editores Benedictini.

P. 728 B. lin. 5. *οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἔχει.* Versio Graeca vulgaris habet *τὸ περιβόλαιον αὐτοῦ*; sed apud Aquilam et Theodor. est *τὸ περιβόλαιον αὐτῆς*, nempe *τῆς γῆς*, quod cum Hebraicis concinit.

HOM. XXX.

P. 730 C. lin. 6. *ἀπὸ μέρους, τουτέστιν, ἠρέμα.* Hinc colligi potest vera notio vocabuli *ἠρέμα*, ut a Chrysostomo sexcenties ponitur, non, ut vulgo vertunt, *sensim, paullatim*, sed *ἀπὸ μέρους, aliquantulum, aliquatenus*. Supra p. 548 C. *ἀλλὰ ἠρέμα καὶ κατασκευαστικόν.* p. 713 A. *ἐπειδὴ καὶ ἀπὸ κενοδοξίας ἠρέμα τοῦτο ἐγίνετο.* Tom. II. p. 731 C. *ἦν μὲν οὖν ὁ Πέτρος ἠρέμα[πως] καὶ ἀπότομος.* Tom. IV. p. 517 E. *καὶ ἠρέμα πως ἐνεδοίαζεν.* Tom. VII. p. 786 D. *ἠρέμα δὲ καὶ φιλοτιμίας τὸ πρᾶγμα ἦν:* ubi nos in Ind. Graec. dubitanter *fortasse* vertimus. Haec satis tuentur locum Luciani de Mercede Conduct. 28. qui Criticos male habuit: *τὸ μὲν γὰρ λιμῷ ξυνόντα, καὶ νὴ Δία γε διψῶντα, μύρῳ χρίεσθαι καὶ στεφανοῦσθαι τὴν κεφαλὴν, ἠρέμα καὶ γελοῖον.*

P. 730 D. lin. 1. *ἡ γὰρ ὑμῶν ὑπακοή.* Ἡμῶν est lapsus Montefalconii. Tum *ὑπακουὴ* (sic) inviti excuderunt Sav. Mor.

Ibid. not.[i]. *τὸ διαποικίλλειν* ediderunt Sav. Mor. Articulum casu, ut videtur, omisit Montef. notans: "Unus Codex *τὸ ποικίλλειν*." Subjungit ejus successor: "Sic A. Atque articulo in altera scriptione aegre caremus." Articulo caret ne unus quidem nostrorum.

P. 731 A. lin. ult. Pro *ἡ γὰρ μάχαιρα* tacite dedit Montef. *καὶ γὰρ μάχαιρα*, contra fidem librorum.

Ibid. not.[s]. Lectio marginis Sav. *περιαιρῶν* fortasse debetur *Codici emendato* apud Interp. Vet. ex quo haec ipsa scriptura affertur.

P. 733 A. not.[ε]. Mosquenses non *οἰκοδομῶ*, sed *ἐποικοδομῶ* legere testatur Matthaeius.

P. 733 B. lin. penult. "*τοῦ ἐλθεῖν*] *τοῦ μὴ ἐλθεῖν*. Mosqq. 3. 8. Sed mox cum repetit, omittit *μὴ* Mosq. 3." *Matth.*

P. 733 D. not.[z]. *εἰς Σπανίαν.* Pro scriptura Ἰσπανίαν (non Ἱσπανίαν) Matthaeius citat quatuor N.T. Codices, non Chrysostomicos. Eandem scripturam cum leni habent e nostris B.D.E.F. tum hic, tum infra p. 739 A, ubi notat Montef. "Codex unus semper Ἰσπανίαν habet." In loco Tom. X. p. 113 A. Ἱσπανίαν cum aspero edidimus, prout illic in libris scriptis exstare nobis relatum est.

Ibid. lin. ult. *ἀλλ' ἵνα τὴν ἐπιθυμίαν, ἣν πάλαι ὤδινον, ταύτην ἀποτέκω.* Plane ut Tom. I. p. 363 C. *ἀθρόως ἣν πάλαι ὤδινεν ἐπιθυμίαν ἀπέτεκε τότε.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 734 A. not.[n]. δείκνυσιν οὐκ **ἐφιέμενος** αὐτῶν τῆς δόξης. Hic quidem libri omnes faciliorem lectionem *ἐφιέμενον* exhibent; sed in sequentibus *ἐρῶν*, non *ἐρῶντα*, tuentur A.H.I. et ante corr. F. Eadem structura exstat Tom. X. p. 544 B. *νυνὶ δὲ ἀλγῶν, ἐδείκνυ κατὰ κόσμον λυπούμενος.*

P. 734 B. lin. 3. *τὸ τοῖς ῥήμασιν οὕτω θερμῶς κεχρῆσθαι.* Ne quis forte *θερμοῖς* requirat, conferimus p. 738 B. *καὶ σκόπει πῶς μεγαλοπρεπῶς ταῖς λέξεσι κέχρηται.* Vid. *Dobree.* Adversaria Tom. I. p. 406.

P. 734 C. lin. 1. *προπέμψετε* pro *προπέμψητε* est mendum typographicum Ed. Mor. quod usque ad hunc diem permansit.

P. 736 E. lin. 1. *λύκοι* **τούτων** *πολὺ πικρότεροι.* "Lego *ἐκείνων*. Sic poscit *τὸ ἀνάλογον*." *Dun.* Frustra. Pronomen *οὗτος* hic est *vulgaris*, sive *naturalis*, de quo usu monuimus ad Tom. VII. p. 376 B. Nunc unum atque alterum exemplum addimus, ubi Interpres a vero aberravit. Tom. I. p. 526 D. *ἐκεῖνοι δὲ νομίζοντες ὅτι περὶ τοῦ ὕπνου* **τούτου** *διαλέγεται, λέγουσιν αὐτῷ, κύριε, εἰ κεκοίμηται, σωθήσεται.* Tom. V. p. 280 B. *εἶχον μὲν γὰρ τὴν δόξαν τὴν παρὰ τοῦ θεοῦ· εἵπετο καὶ* **αὕτη** (sc. *mundana*).

HOM. XXXI.

P. 740 D. not.[w]. *Προστάτις* legitur sine varietate infra p. 750 A. Alterum edidimus Tom. X. p. 583 B. Mosquensium fidem secuti.

P. 741 C. not.[r]. *ἵνα γὰρ μὴ δόξῃ κολακεύων ταῦτα* Veron. Sav. sed hic in marg. *κολακεύειν*. "Aug. *κολακεύειν λέγων ταῦτα*, quod videtur recipiendum. Dun. *κολακεύειν*. Bois. *κολακεύων λέγειν ταῦτα*, melius etiam lectione Codicum." *Heyse.* "MSS. *κολακεύων ταῦτα λέγειν*. In Editis *λέγειν* deest." *Montef.* Fallitur. Nam lectio Codicis B. est *κολακεύειν λέγων ταῦτα*: alterius autem E. *κολακεύων λέγει* (*λέγει*?) *ταῦτα.*

Ibid. lin. penult. *τοῖς ξένοις αὐτὴν* **ἀνοῖξαι** *πᾶσιν.* Catena habet **ἀνεῖσθαι**, *liberam et apertam esse*, non male, sed vulgato deterius. Cf. Tom. X. pp. 527 E. 528 A. Tom. II. p. 188 B. *εἰ γὰρ ἀνεῖτο τὰ βαλάνεια.* Tom. I. p. 735 A. *οὐχὶ τῷ δεῖνι μὲν ἀνέῳκτο* (*ἡ θύρα*), *ἑτέρῳ δὲ ἀπεκέκλειστο, ἀλλὰ πᾶσιν ἁπλῶς ἀνεῖτο.*

P. 741 D. lin. penult. *ἀλλ' ὅμως πάντα* **ἀπέκρυψεν** *ἡ ἀρετή.* Dunaeus conjicit *συνέκρυψεν*, vel quod propius est, *ἐπέκρυψεν*; quia *ἀποκρύπτειν* apud Nostrum dicitur, cum splendidius *obscurat* minus splendidum. Fortasse recte. Cf. Tom. XI. p. 742 D. *αὕτη δὲ ἡ ἔξω ἐπικειμένη* (*δόξα*) *ἐπικρύπτει πολλάκις τὴν ἁμαρτίαν, ἐπικρύπτει παρὰ ἀνθρώποις καὶ μέχρι τῆς ἑσπέρας.*

P. 742 A. not.[h]. Notanda oppositio solennis verborum *φείδεσθαι* et *ἀφειδεῖν*. Sic Tom. X. p. 208 A. *καὶ ὥσπερ πολεμίας, οὕτω τῆς ἑαυτῶν ἀφειδοῦντες ψυχῆς.* Ibidem paullo post, *καὶ τῆς σωτηρίας ἡμῶν καταφρονοῦντες, τῶν* χρημάτων *φειδόμεθα. πῶς οὖν τὸν θεὸν ἀξιοῖς σου φείσασθαι, αὐτὸς σαυτοῦ οὕτως ἀφειδῶν, καὶ χρήματα προτιμῶν ψυχῆς.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

P. 742 E. lin. 3. ὄψεις pro ὄψει negligenter dederunt Mor. Ben.

P. 743 C. not.[r]. Editi omnes, *καὶ πρὸς τὴν μνήμην τῆς ἡμέρας ἀπὸ τῶν τόπων παραπεμπόμεθα.* Codicum varietas haec est. *καὶ πρὸς τὴν μν. τῆς ἡμ. ἐκείνης ἀπὸ τῶν τ. παραπ.* F. "Recte: idem Dunaeus correxit." Heyse. *καὶ πρὸς τὴν μν. ἀπὸ τῶν τ. ἐκείνου παραπ.* D. *καὶ πρὸς τὴν μν. τῆς ἡμ. ἀπὸ τῶν τ. ἐκείνης παραπ.* B. *καὶ πρὸς τὴν μν. ἐκείνην ἀπὸ τῶν τ. ἐκείνων παραπ.* C. Quod nos edidimus, *καὶ πρὸς τὴν μν. ἐκείνην ἀπὸ τῶν τ. παραπ.* est in A.E.H. et Sav. marg.

P. 744 D. not.[h]. Vid. Annot. ad p. 443 B. not.[d].

HOM. XXXII.

P. 744 E. lin. 1. Ἐπαίνετον] Ἐπαινετὸν (hic? et) infra p. 745 E. habent A.B.D. fortasse alii, cum Mosqq. et Ed. Veron. Alteram scripturam juxta praeceptum Grammaticorum dederunt Sav. et recentiores. Eustath. ad Il. β. 648. *ἐπαινετὸς, τὸ ἐπίθετον, καὶ ἐπαίνετος, κύριον.*

Ibid. lin. ult. *καὶ οἱ μὲν χρυσοχόων παῖδες κ.τ.ἑ.* Cf. Tom. II. p. 2 E. *Μὴ τοίνυν παρέργως ἀκούσωμεν· ἐπεὶ καὶ οἱ τὴν μεταλλικὴν ἔψοντες γῆν, ἐπειδὰν εἰς τὸ χωνευτήριον αὐτὴν ἐμβάλωσιν, οὐχὶ τὰς μάζας τοῦ χρυσοῦ μόνον ἀναιροῦνται, ἀλλὰ καὶ τὰ μικρὰ ψήγματα μετὰ πολλῆς συλλέγουσι τῆς ἀκριβείας.*

P. 745 B. lin. penult. *καὶ τῶν γυναικῶν δείκνυσιν εὐχαριστίαν.* Designantur prae ceteris Jacobi uxores. Noster Tom. IV. p. 544 A. *Σκόπει πῶς ἐφ' ἑκάστου τῶν παίδων εὐχαριστεῖ (ἡ Λεία) τῷ δεσπότῃ, καὶ εὐγνώμων γίνεται περὶ τὴν εὐεργεσίαν . . . . Εἶδες πῶς οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, οὐδὲ τὰς ὀνομασίας τοῖς τικτομένοις ἐπετίθει;* Tom. VIII. p. 113 A. *Ἔθος δὲ καὶ τοῦτο τοῖς παλαιοῖς ἦν ἀπὸ τῶν πραγμάτων τὰ ὀνόματα τίθεσθαι, ὅπερ δήπου καὶ ἡ Λεία πεποίηκε· τοῦτο δὲ οὐχ ἁπλῶς γίνεται, ἀλλ' ἵνα τὴν προσηγορίαν ἔχωσιν ὑπόμνημα τῆς εὐεργεσίας τοῦ θεοῦ.* Sic enim iste locus posthac legetur, ex emendatione amici eruditi Caroli Marriott, nobiscum per literas communicata. Editi, *ὅπερ δήπου καὶ Ἠλίας πεποίηκε*, nullo sensu.

P. 745 C. not.[v]. Probum est *προσκείμενον*, nec sollicitandum, quanquam Nostro fere solenne est in pari argumento προσερριμμένον. Tom. I. p. 476 D. *ἁπλῶς καὶ εἰκῆ τὸ ῥῆμα προσέρριπται.* Tom. IV. p. 274 D. *μὴ νομίσητε ἁπλῶς τοῦτο προσερρῖφθαι· οὐδὲν γάρ ἐστι τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ὃ μὴ μετά τινος εἴρηται λόγου.* Adde Tom. VII. pp. 6 B. 36 C. Tom. VIII. pp. 75 D. 87 D.

Ibid. not.[x]. Fortasse legendum, *οὐδ' ἂν Παῦλος ἔγραψεν· πνεύματι γὰρ ἔγραψεν ἅπερ ἔγραψεν.*

P. 746 D. lin. 5. *ἀναδεξαμένη δρόμους.* Sic Veron. Sav. et Codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναδεξαμέναι (sic) Mor. Montef. Hic autem in Latinis, *suscipientes*. Tandem ἀναδεξάμεναι scripsit Editor novissimus.

P. 746 D. not.[x]. Vid. *Matth.* ad locum, 1 Tim. ii. 15.

P. 746 E. not.[d]. καὶ ἕτερα ἄλλα διηκονεῖτο. Unus πολλὰ pro ἄλλα habet. In Catena autem ἄλλα abest. In promptu est conjicere ἕτερα ἄττα. Noster Tom. VIII. 8 E. ἕτερα ἄττα τινὰ τοιαῦτα. Tom. X. p. 275 A. ἕτερα τοιαῦτα ἄττα διακονούμενοι. Sed negari non potest, secundum usum linguae etiam ἕτερα ἄλλα per pleonasmum recte dici posse. Vid. *Schaefer.* ad Demosth. p. 1031, 23. Sic Noster Tom. I. p. 235 D. καὶ ἕτερα ἄλλα διακονοῦνται πολλὰ πλείονα τούτων. Tom. III. p. 446 A. ἕτερά τινα ἄλλα νομίζουσι. Tom. V. p. 272 E. καὶ ἕτερα δὲ ἄλλα παράδοξα τοιαῦτα συνέβαινεν. Tom. XII. p. 232 A. μυρία ἄλλα ἕτερα. Litem dirimere videtur locus Tom. I. p. 258 A. τοῦτο, εἰ καὶ μηδὲν ἕτερον ἄλλο, ἱκανὸν ἦν κ.τ.ἑ.

P. 747 D. lin. 5. οἳ καὶ πρὸ ἐμοῦ. Sic Veron. οἱ pro οἳ dederunt Sav. Mor. Ben. οἳ B. et fortasse omnes.

Ibid. lin. ult. ὅπου γε καὶ τὸν πρότερον αὐτοῦ βίον ἐκπομπεύειν οὐ παραιτεῖται. Haec fere persuadent, ut in loco simili, Tom. X. p. 592 D. lectionem unius Codicis, ἐκπομπεύοντος αὐτοῦ τὸν πρότερον βίον, amplectamur.

P. 748 D. Deficiente Codice C. lectiones quasdam libri ejusdem recensionis Vindob. Lamb. CXXXIV. hic notabimus. P. 748 D. not.[c]. ὑμᾶς. not.[d]. ἐνεργοὺς εἶναι δι' ὅλου, μὴ μόνον δὲ ἐνεργούς. E. not.[f]. ἐνάγων (sed vid. p. 750 C.) P. 749 A. not.[g]. τῷ καρπῷ συμβαίνῃ] τοῦ καρποῦ ἀξία. not.[l]. ὡς ἔοικε] τοὺς οἴκοι. B. not.[t]. ἐκβάλλων. C. not.[v]. παρὰ τῶν] παρουσῶν. not.[x]. Χριστοῦ.

P. 749 B. lin. penult. διὰ τῆς εἰρήνης ταύτης. "Vera lectio. Sic supra [p. 679 A.] πῶς δίδως εἰρήνην, πολέμου γέμοντι στόματι; hoc est, *osculum pacis*." *Dun.*

P. 751 D. lin. 5. Εἰ μὲν γὰρ μηδὲν κ. τ. ἑ. "Haec et sequentia usque ad finem Homiliae exscripsit plagiarius supra memoratus ad p. 705 E. Cf. Tom. VIII. Spuria p. 147 B." *Editor* Ben. 2[dae]. Hujus Scriptoris variantes notabiliores hae sunt. P. 751 D. lin. 7. ἕξει] ἔχει (etiam Flor. p. 409=Tom. XII. p. 614 C.) E. lin. 4. βιαίους] πλεονέκτας (etiam Flor.) not.[z]. ἀναιδοῦς. not.[a].+καὶ φιληδόνου. Mox ῥεπούσης pro βλεπούσης. not.[b]. ἀπὸ πολλῆς φιληδονίας. P. 752 A. not.[e]. περὶ τούτου. lin. 6. Post παρελθόντος addit, καὶ γὰρ ἐν τῇ κοιλάδι Ἰωσαφὰτ κρίσει δικαίᾳ τιμωρῶν τοὺς ἐναντίους ἄρδην ἀπώλεσεν, ὧν ἐπὶ ἑπταετῆ χρόνον ἤρκεσεν εἰς καῦσιν τὰ ὅπλα τοῖς τὴν Ἱερουσαλὴμ κατοικοῦσι (Ezech. xxxix. 9.) not.[m]. βασιλέων. B. not.[o]. πῶς ἂν αὐτὴν φύγωμεν. not.[r]. ἁμαρτωλοῦ. lin. ult. "ἥδιον] ἡδύτερον Anon. et Sav. marg." *Ed.* Ben. 2[dae]. Immo, ἀνώτερον, non ἡδύτερον est in Sav. marg. C. not.[s]. καὶ habet. not.[v]. πάντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα. not.[x]. τρυφὴ ταῦτά εἰσι πρὸς ἐ. τ. κ. D. not.[f]. + κόλασις καί. E. not.[h]. ὁ βίος. Mox ἦ, μείζονα καὶ διὰ τοῦτο δώσουσι. not.[l]. πολλῷ. P. 753 A. lin. 5. μήτοιγε pro μήτιγε. Cf. Var. Lect. ad Tom. X. p. 450 B. B. not.[r]. + τὴν ψυχήν σου ἄνθρωπε. Mox ἀντιμάχῃ pro μάχῃ. not.[v]. οὐδὲν ἕτερον λανθάνει ποιῶν ἢ εἰς αὐτὴν τὴν γέενναν ἑαυτὸν ὠθεῖ. C. not.[z]. διὰ τί γὰρ] διὰ τοῦτο. Mox ἁμαρτάνων. not.[c]. καὶ γὰρ καί. not.[d]. καὶ γέλωτος ἀτάκτου καὶ λοιδ. ἁπλῶς καὶ ἐνθυμήσεως κακῆς. not.[e]. + ὡς πάλιν ἐν τοῖς ἀγαθοῖς. D. not.[f]. + καὶ λόγου ἀγαθοῦ. not.[g]. κατωδ. not.[h]. + ὑμῖν (cum verbis in plurali). not.[l]. ὅτι κρίσις ἔσται καὶ ἀνταπόδοσις. E. lin. 4. λαλεῖν pro λῃρεῖν.

P. 752 A. not.[e]. τί σοι τοῦτο μέλει; Proba constructio, ut Tom. X. p. 414 D. καὶ οὐ σφόδρα σοι τοῦτο μέλει; ubi nunc nollemus a nobis ex unico libro editum τούτου.

P. 753 C. not.[d]. "καὶ ἐνθυμήσεως om. F. Recte. Nota textum glossis oneratum." *Heyse. et iracundiae*, vertit Montef.

HOM. XXXIII.

P. 754 A. not.[a]. Locum S. S. sine verbis καὶ εὐλογίας citat Noster Tom. VII. p. 293 D.

P. 754 B. not.[b]. Bene habet τοὺς τὰς διχοστασίας, omisso vocabulo quod quivis cogitatione supplere possit. Ejusdem generis sunt Nostri loca, Tom. XI. p. 332 C. τὸν τὰ πεντε τάλαντα (sc. λαβόντα). Ibid. p. 384 B. τὸν τὰ ἑκατὸν δηνάρια, ubi videndus Montef. Etiam in Sacro Codice Matth. xxv. 22. ὁ τὰ δύο τάλαντα, ut in optimis libris legitur: 2 Cor. viii. 5. ὁ τὸ πολὺ, ὁ τὸ ὀλίγον (sc. συλλέξας). Adde Ephraim. Syr. apud *Bengel.* ad Chrys. de Sacerdot. p. 117 Ed. Leo. ὁ τὰ ζιζάνια (sc. σπείρων). Lucian. Tom. IX. p. 186 Bip. ὁ τὸν κάνδυν καὶ τὴν τιάραν (sc. φορῶν). Anthолog. Tom. II. p. 254. ἡ τὰ ῥόδα (sc. πωλοῦσα).

P. 755 A. lin. 4. ἐπὶ τούτῳ διαβάλλων. τοῦτο est mendum Ed. Ben.

P. 756 D. lin. penult. καὶ γὰρ καὶ τὸν θεμέλιον tacite edidit Montef. invitis libris.

P. 756 E. not.[d]. οἱ Παύλου ζηλωταὶ οὗτοι. Videtur δεικτικῶς de Episcopo et Presbyteris tunc temporis in Ecclesia assidentibus dictum. Certe falluntur, qui verba ἀξίους τῆς τοιαύτης συνηγορίας vertunt, *dignos qui in tali intercessione jungant.*

P. 757 A. not.[h]. Petrus πρωτοστάτης dicitur Tom. X. p. 181 E. Eadem confusio notatur Tom. X. p. 19 E.

P. 757 D. not.[z]. βαστάξαντος. Vid. Annot. ad Tom. X. p. 217 B.

P. 758 C. not.[z]. ἅπαντας. "Recte, sicut jussit Dunaeus." *Heyse.*

P. 758 D. not.[d]. Edebatur, καὶ ἔθλιψεν ἡ εὐρύνουσα αὐτὴν ἀγάπη. Sic Sav. Mor. Ben. Veron. καὶ ἔθλιψεν αὐτὴν, εὐρύνουσα αὐτὴν ἀγάπη. Huic proxime accedit C. καὶ ἔθλιψεν αὐτὴν ἡ εὐρύνουσα αὐτὴν ἀγάπη. A.B.D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cum Sav. marg. καὶ ἔθλιψεν αὐτὴ ἡ ἔρευνα, αὐτὴ ἡ ἀγάπη. Sic, sed αὕτη pro αὐτὴ bis F.H. Concise E. καὶ ἔθλιψεν αὐτὴ ἡ ἀγάπη. Vox ἔρευνα hic non quadrat, cujus loco μέριμνα habet Reg. 733. Recte ad sensum habere videtur lectio vulgata, sed pronomen αὐτὴ, cujus manifesta vestigia in libris insunt, non erat negligendum. Noster Tom. X. p. 531 A. ἡ καρδία ἡμῶν πεπλάτυνται. καθάπερ γὰρ τὸ θερμαίνειν εὐρύνειν εἴωθεν, οὕτω καὶ τῆς ἀγάπης ἔργον τὸ πλατύνειν ἐστί.

P. 758 D. lin. 7. Distinguebatur, ἔγραψα ὑμῖν ταύτην. καὶ διαλελυμένην. Correximus juxta Eclogg. et Sav. in Addendis.

P. 759 C. not.[a]. ὀφθαλμιώντων utcunque defendere conati sunt Dun. et Bois. tanquam pro φθονούντων positum. Sed multo convenientius est ὀφθαλμῶν, etiam Heysio judice.

P. 759 E. lin. 4. φατρίαν. Hic ne unus quidem liber formam vulgarem φρατρίαν obtulit. Verbo monuimus ad Tom. X. p. 274 B.

P. 760 A. lin. 3. διεγείρων καὶ ἀλείφων post Morellum tacite dederunt recentiores. Copula non est in libris.

Addendum.

P. 427 D. not.[x]. Lectionem emendatam, ὁ γοῦν Ἀγγαῖος καὶ Ζαχαρίας καὶ ἄγγελος (vel, si mavis, Ἄγγελος cum majuscula) exemplo apud ipsum Chrysostomum exstante confirmari posse serius vidimus. Locus est Tom. XII. p. 144 C. ἀναγνῶθι τί φησιν ὁ Ἀγγαῖος, τί ὁ Ζαχαρίας, τί ὁ ἄγγελος, τί δὲ Ἔσδρας ἐγκαλεῖ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ

ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ



200

ΧΡ Χρυσόστομος, Ἰωάννης.


ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ////

ἀριθ. χρ. 2036

Ἡμερομηνία ἐπιστροφῆς	ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ

ΔΗΜΟΤΙΚΗ ΚΕΝΤΡΙΚΗ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Κεντρική Βιβλιοθήκη Βέροιας
Δημόσιο